Ayuntamiento de Madrid

Par
308

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Berstein

3605

Ayuntamiento de Madrid

ΙΩΑΝΝΟΥ ΤΟΥ

# ΣΤΟΒΑΙΟΥ

ΕΚΛΟΓΑΙ ΑΠΟΦΘΕΓΜΑΤΩΝ.

ΙΟΑΝΝΙS

# STOBAEI

COLLECTIONES SEN TENTIARVM.

σὺν θεῷ

Οὐ μετὰ πολὺ



αὐξόμενος.

Non ſine priuilegio.

M D XXXVI.

Ayuntamiento de Madrid

# ΣΤΟΒΑΙΟΥ

## ΕΚΛΟΓΑΙ ΑΠΟΦΘΕΓΜΑΤΩΝ.

## IOANNIS

# STOBAEI

## COLLECTIONES SEN TENTIARVM.

σὺν θεῷ

Οὐ μετὰ πολὺ



ἀνιρεώμενος.

Non ſine priuilegio.

M D XXXVI.

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

CVm his diebus Bembe eruditionis decus & splendor Ioannis Stobæi ἐκλογὰς ἀποφθεγμάτων, quæ iampridem latuere ad studiosorum cōmodum & utilitatem, in publicum essem editurus, opus, mea quidem sententia, ut probatissimum, & nobile, ita ad humanam uitam erudiendam, & formandam etiam, aptissimum & utilissimū, utpote in quo præclarus ille uir illustriores græcorum authorum sententias quasi pretiosiores gemmas, & margaritas, ex amplis & antiquis Græciæ thesauris depromptas miro quodam ordine in unum supra centum & uiginti libros tanq̃ in totidem nobilissima monilia digessit. Sperabam equidem illas doctis uiris uel semel degustatas gratas ac iucundas fore. Illud uero perspectum habebam longe gratiores & iucundiores futuras, si tuis auspiciis tuoq́; statim in fronte nomine prodirent insignitæ. Cum, ut eximias tuas uirtutes, singularēq́; humanitatem, ob quam boni te omnes amant (absit assentatio) colunt, & uenerantur, silentio nunc præteream, nemo in presentia sit quāuis doctissimus, qui te bonarum literarum alumnum, ac etiam parentem optimum, & studiosorum omnium fautorem eximium non agnoscat, & prædicet. te enim authore & fautore, tres illæ, quæ nunc in primis florent linguæ, græca, & utraq; latina, prisca illa, & nostra hæc uernacula pristinum decorem gratiam & elegantiam contra temporum iniuriam & indoctorū inscitiam, iam recuperarunt. Ad te igitur Stobæum mitto, cum ut ex ædibus tuis primum prodiens in doctorum hominum manus gratiosior perueniat. Tum ut illi hoc etiam sicuti aliis ferè innumeris argumentis, cognoscant, quam tu benigne hos qui rem literariam quoquo modo amplificare student, amplexeris & foueas. Ego enim (ut ingenue fatear) huiusmodi prouinciam authorū celebrium monumenta ad interitum uergentia in lucem reuocandi ea potissimum causa sum aggressus, q̄ te huic honesto meo desiderio



Ayuntamiento de Madrid

quam defuturum speraui, ut quotiescunque occasio postularet ab insigni bibliotheca, quae tuae tanquam optimarum literarum assertoris praecipui à Veneto Senatu custodiae ac tutelae tradita est, quicquid ad rem literariam illustrandam & augendam facerent, id omne per humanitatem tuam accepturum me semper credideram. Interim autem Stobaei patrocinium suscipias, meque inter tibi deditissimos ascribas uelim, qui tunc mecum praestantissime agi putauero, cum à te huiusmodi labores mei fuerint probari. quod quidem si factum fuerit, alia praeterea multa nisi maiora, non minora saltem, quae iamdiu parturio. Deo primum optimo maximo, teque deinde, ac uiris optimis iuuantibus, quam libentissime pariam. Vale.

Venetiis pridie cal. februarias.

Ayuntamiento de Madrid

Περὶ ἀδικίας.
ἀδολεσχίας
αἰδοῦς.
ἀκρασίας.
ἀληθείας.
ἀνδρείας.
ἀνεξικακίας.
ἀπορρήτων.
ἀργείας.
ἀρχῆς καὶ τοῦ ποῖον χρὴ εἶναι τὸν ἄρχοντα.
ἀσωτείας.
αὐταρκείας.
ἀφροδίτης πανδήμου.
ἀφροσύνης.
Βασιλείας
Βραχυλογίας.
Γαμικὰ παραγγέλματα.
γάμου.
γεωργίας.
γνῶθι σαυτόν.
γνῶμαι θεοκτίστου πρὸς τοὺς μαλακῶς καὶ ἐπιπονωτέρως διακειμένους μάλιστα τὴν ὠφέλειαν παρέχουσαι.
γραμμάτων.
γυναικῶν κοινωνίας.
Δειλίας.
δικαιοσύνης.
δυσγενείας.
Ἐγκρατείας.
ἐθῶν.
εἰρήνης.
ἐλπίδος
ἔπαινος γήρως.
ἔπαινος θανάτου.
ἔπαινος πενίας.
ἔπαινος πλούτου.
ἔπαινος τόλμης.
ἐπιορκίας.
ἔρωτος τῶν κατὰ τὸ σῶμα ἡδονῶν.
εὐγενείας, καὶ ὅτι εὐγενεῖς οἱ κατ᾽ ἀρετὴν ζῶντες κἂν μὴ λαμπρῶν ὦσι γεγονότες πατέρων καὶ ἀγαθοὶ τὸν τρόπον.
εὐδαιμονίας.
εὐθυμίας.
εὐκαίρως λέγειν.
Ἡσυχίας.
Θανάτου ὡς εἴη ἄφυκτος
Ἰατρῶν καὶ ἰατρικῆς.
Ἰσχύος.
Κατὰ κάλλους.
κακοδαιμονίας.
κολακείας.
Λήθης.
λύπης ὅτι λίαν μοχθηρὰ, καὶ ἐπώδυνος τοῖς φρονίζουσι.
Μελέτης.
Μνηστείας.
Ναυαγίας.
ναυτιλίας.
νηπίων.
νόσου καὶ τῆς κατ᾽ αὐτὴν ἀνιατρῶν λύσεως.
Ξενίης.
Ὁποῖον χρὴ εἶναι τὸν εὐγενῆ.
ποίους τινὰς χρὴ εἶναι τοὺς πατέρας περὶ τὰ τέκνα, καὶ ὅτι φυσική τις ἀνάγκη ἀμφοτέροις εἰς διάθεσιν.
ὀργῆς.
ὅρκου.
ὅτι ἀβέβαιος ἡ τῶν ἀνθρώπων εὐπραξία μεταπιπτούσης ῥᾳδίως τύχης
ὅτι ἀσύμφορον τὸ ἔχειν τέκνα, καὶ ἄδηλον ἀεὶ διὰ τὸ ἔχειν νομιζόντων καὶ μηδὲ θετὸν ποιῆσαι
ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα ὄντας ἀνθρώπους καὶ κατ᾽ ἀρετὴν ζῆν ὀφείλοντας.
ὅτι δεῖ τὰς εὐτυχίας προφαίνειν, τὰς δὲ ἀτυχίας κρύπτειν καὶ ὀρθῶς κεχρῆσθαι τοῖς παροῦσιν.
ὅτι ἐν τοῖς γάμοις οὐ τὴν εὐγένειαν, οὐδὲ τὸν πλοῦτον χρὴ σκοπεῖν ἀλλὰ τὸν τρόπον
ὅτι ἐν τοῖς γάμοις τὰς τῶν συναπτομένων ἡλικίας χρὴ σκοπεῖν.
ὅτι εὐγενεῖς οἱ ἀπὸ χρηστῶν πατέρων, ἢ δῆλα τῶν,

Ayuntamiento de Madrid

ἢ ἐνδόξων γενόμενα.
ὅτι κάλλιστον ἡ μοναρχία.
ὅτι κάλλιστον ἡ φιλαδελφία, καὶ ἡ περὶ τοὺς συγγενεῖς διάθεσις, καὶ ὅτι ἀναγκαῖοι.
ὅτι κάλλιστον ὁ γάμος.
ὅτι καλὸν τὸ ἔχειν τοὺς παῖδας.
ὅτι κρεῖττον οἱ ἄρσενες τῶν παίδων, καὶ ὅτι τοῖς νόθοις οὐκ ἐλάττονας χρὴ νέμειν τῶν γνησίων.
ὅτι οὐκ ἀεὶ τοῖς εὐγενέσι, καὶ χρηστοῖς τῶν πατέρων ἔοικε τὰ τέκνα.
ὅτι οὐκ ἀγαθὸν τὸ γαμεῖν.
ὅτι οὐ χρὴ ἐπιχαίρειν τοῖς ἀτυχοῦσιν.
ὅτι οὐ χρὴ παροινεῖν εἰς τοὺς τετελευτηκότας.
ὅτι οὐ χρὴ τοὺς γονεῖς τῆς καθηκούσης τιμῆς καταξιοῦσθαι παρὰ τῶν τέκνων, καὶ ἐν ἅπασιν αὐτοῖς πειστέον.
ὅτι ῥᾷον ἄλλον παραινεῖν ἢ ἑαυτόν.
ὅτι τὸ γῆρας ἀνεπαχθὲς, καὶ πολλοῖς αἰδοῦς ἄξιον ἡ σύνεσις ἀπεργάζεται.
ὅτι τοῖς μὲν ἐπωφελὴς ὁ γάμος, τοῖς δὲ ἀσύμφορον ὁ τῶν συναπτομένων ἀπετέλεσε τρόπος.
ὅτι τῶν πλείστων μὲν θανάτων ἡ μνήμη διαρρεῖ ταχέως.
Παρ' ἐλπίδας.
παρηγορικά.
παρρησίας.
πατρίδος.
πενίας ψόγος.
πένθους.
πλεονεξίας.
πολέμου.
πολιτείας.
πῶς ἄν τις ὠφελοῖτο τοῖς πολεμίοις.
Σιωπῆς.
στρατείας, καὶ ἰσχύος.
στρατηγῶν καὶ τῶν κατὰ τὸν πόλεμον χειρῶν.
σύγκρισις ζωῆς καὶ θανάτου.
σύγκρισις πενίας καὶ πλούτου.
συνηδότος.
σωφροσύνης.
Ταφῆς.
τέχνης
τόλμης.
τοῦ βίου, ὅτι βραχὺς, καὶ εὐτελὴς, καὶ φροντίδων ἀνάμεστος.
τροφῆς.
τῶν ἐν ταῖς πόλεσι δυνατῶν.
τῶν κατὰ τὸν πόλεμον χρειῶν.
τῶν παρ' ἀξίαν δυστυχούντων.
Ὑγείας, καὶ τῆς περὶ τῆς διαμονῆς αὐτῆς προνοίας.
ὑπὲρ κάλλους.
ὑπὲρ τεχνῶν.
ὑπεροψίας.
Φειδωλείας.
φθόνου.
φιλαργυρίας.
φιλαυτίας.
φιλίας,
φιλοπονίας καὶ μελέτης καὶ ὅτι ἀσύμφορον τὸ ὀκνεῖν.
φιλοσοφίας.
φρονήσεως.
φυγῆς.
Χρηστότητος.
Ψεύδους.
ψόγος ἀφροδίτης καὶ ὅτι φαῦλος ὁ ἔρως καὶ πόσων εἴη κακῶν γεγονὼς αἴτιος.
ψόγος γήρως.
ψόγος γυναικῶν.
ψόγος τόλμης.
ψόγος τυραννίδος.

Ayuntamiento de Madrid

Αἱ τὰ ἀποφθέγματα π[...]

Ἀντιφῶν.
ἀριστοτέλης.
ἀντισθένης.
ἀριστώνυμος.
ἀρχύτας.
αἴολος.
αἰσχίνης.
ἀγησίλαος.
ἀριστοφάνης.
ἀπολλώνιος.
αἰλιανός.
ἀπολλόδωρος.
ἀρίστιππος.
αἴσχυλος.
ἀρχίλοχος.
ἀρριανός.
ἀρίστων.
ἄλεξις.
ἄμασις.
ἀντιφάνης.
ἀγάθων.
ἀθηνόδωρος.
ἀνάξαρχος.
ἀναξιμένης.
ἀλεξανδρίδης.
ἀναξίων.
ἄρατος.
ἀρίσταρχος.
ἀπολλωνίδης.
ἀντίπατρος.
ἀναξανδρίδης.
ἀστυδάμας.
ἀπολλώλυνης.
ἀλκέος.

ἀριστοφῶν.
ἀρχέλαος.
ἀλκμαίων.
ἄντιλλος.
ἀνακρέων.
Βίας.
βακχυλίδης.
βίων.
Γοργίας.
Γάϊος.
Δημόκριτος.
δειλότης.
διογένης.
δημοσθένης.
δημήτριος.
δίφιλος.
δίων.
διονύσιος.
δημῶναξ.
δημάρατος.
διωτογένης.
δωρόθεος.
δικαιογένης.
δῖος.
διόδωρος.
δίδυμος.
Εὐριπίδης.
ἐπαμινώνδας.
εὔπολις.
ἐπίκτητος.
εὐσέβιος.
ἐπίχαρμος.
ἑρμῆς.
εὔφρονος.

ἐπίκουρος.
ἐρατοσθένης.
εὔηνος.
εὐαγόρας.
ἐκφάντης.
εὐφορίων.
ἑρμόδοτος.
εὔβουλος.
ἐλιανός.
ἔκδωρος.
ἑρμόλαος.
ἐρασίστρατος.
εὐρύφαμος.
ἕρμαχος.
Ζήνων.
ζάλευκος.
Ἡρόδοτος.
ἡσίοδος.
ἡράκλειτος.
ἡνίοχος.
ἥρως.
Θεαγῆς.
θρασύτης.
θέογνις.
θουκυδίδης.
θαλῆς.
θεμίστιος.
θεόδωρος.
θεόκριτος.
θεόπομπος.
θεοδέκτης.
θεόφραστος.
θεόγονος.
θεόβουλος.

θεοφάνης.
θεοδίκτης.
θράσυλος.
θησεύς.
Ἰάμβλιχος.
ἰσοκράτης.
ἴσαιος.
ἱέραξ.
ἱεροκλῆς.
ἵππαρχος.
ἰσίδωρος.
ἱππῶναξ.
ἱπποθόων.
ἱππόδαμος.
ἱέρων.
ἱππόθωος.
ἱπποκράτης.
ἰούλιος.
ἰωάννης.
Κράτης.
καλλισθένης.
κερκίδας.
κορνηλιανός.
κλεόβουλος.
κλειτοφῶν
κριτίας.
κάτων.
καλλίμαχος.
κάρνινος.
κρήσιππος.
κάλλινος.
κρατῖλος.
κλεινίας.
καλλικρατίδας

Ayuntamiento de Madrid

κράντων·
κλεαινέτης·
κτησίας·
Λίνος·
λυκοῦργος·
λυσίας·
λυκόφρων·
λεωνίδης·
Μέτωπος·
Μουσώνιος
μένανδρος·
μοσχίων·
μητρόδωρος·
μηδείας·
μίμνερμος·
μόσχος·
μηνόφιλος
μάρκος·
Νικόλαος·
νεόφρων·
νικόμαχος·
ναυμάχιος·
νικόστρατος·
νεοπτόλεμος·
Ξενοφῶν·
ξενοφάνης·
Ομηρος·
ὀλυμπιάδης·
ὅρκος·
ὄβριμος·
ὀρφεύς·
οὔθεος·
Πλάτων·
πιττακός·

πλούταρχος·
πείσανδρος·
πίνδαρος·
πρόδικος·
πίσανδρος·
ποσίδιππος·
παννασίδης·
πορφύριος·
πείριθος·
πολύδικος·
πομπήϊος·
πεικτύων
πολυίδης
πατροκλῆς·
παρμενίδης·
πολύαινος·
Ριανός·
ῥήγινος·
ῥοῦφος·
ῥαδάμανθυς·
Σωκράτης·
σώπατρος·
σοφοκλῆς·
σαπφοῦς·
σόλων·
σωσιάδης·
στρατίων·
σέρινος·
σωτίων·
σίμων·
σκλήριος·
σωσιφάνης·
σατίων·
στάσιμος·

σευσώνιος·
στωϊκοί
σώπατρος
σφαιρίδας
σωσίθεος
σῖμυλος
σουσαρίων
σιμωνίδης
σωτάδης·
σώστρατος
στησίχορος
σέβηρος·
Τέλης·
τυρταῖος·
ταράσω·
τιμοκλέης
τιμαγόρας
τρόφιλος·
Υπερίδης
ὑψαῖος·
Φωκίων
φωκυλλίδης
φιλήμων
φιλωνίδης
φαβωρῖνος
φιλιππίδης
φίλισβος
φιλοκτήτης
φάλαρις·
φιλήτης
φανοκλῆς
φερεκράτης
φιλήτας
φιλέα·

Χίλων·
χαιρήμων
χρύσιππος
χάρης
χοίριλος
χρυσέρμης
χαρώνδης·

Ayuntamiento de Madrid

# ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ, ΠΕΡΙ ΦΡΟΝΗΣΕΩΣ

## ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

Αλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως, ψυχῆς, δικαίας σώφρονός τε κἀγαθῆς. — Εὐριπίδου Θησέως.

Πρέσβεις ἧκον παρὰ βασιλέως χρυσὸν κομίζοντες, βουλόμενοι δωροδοκῆσαι τὸν Ἐπαμινώνδαν, ὁ δὲ, αὐτοὺς εἰς ἄριστον εἰσεδέξατο. ἤδη γὰρ ἐφ' ὥρᾳ τινὶ ἧκον. καὶ ἐκέλευσεν αὐτοὺς πρότερον ἀριστᾶν, εἶτα λέγειν περὶ ὅτου βούλοιντο. παρακειμένης δὲ τραπέζης φαύλης, καὶ ὀξίνην ἔπινον. οἱ μὲν οὖν οὐκ εἶχον ὅ,τι καὶ εἴποιεν. ὁ δὲ, διαμειδιάσας, ἄπιτε ἔφη καὶ λέγετε τῷ δεσπότῃ τῷ ὑμετέρῳ οἷα ἄριστα ἀριστῶ. ὡς ἔγωγ' οὐκ ἂν προδοίην, τούτοις ἀρκούμενος. — Ἐπαμινώνδου.

Σωφροσύνη, τὰ τερπνὰ ἀέξει. καὶ ἡδονὴν ἔτι μείζονα ποιεῖ. — Δημοκρίτου.

Αείτονοι, τῶν ἐμψύχων οὐδένα ἀποκτείνουσι. τὰ δὲ κεράμεια τῶν χρηστηρίων, ἐν χρυσοῖς ἐλύτροις φυλάττουσι. — Ἐκ τῶν Νικολάου.

Δαρδανεῖς Ἰλλυρικὸν ἔθνος, τρὶς ἐν τῷ βίῳ λούονται μόνον. ὅταν γεννῶνται, καὶ ἐπὶ γάμοις, καὶ τελευτῶντες.

Κράτης εἰς ἀγορὰν ἐμβαλὼν, καὶ ὁρῶν τοὺς μὲν πιπράσκοντας, τοὺς δὲ, ὠνουμένους, οὗτοι ἔφη, διότι ἐναντίον πρᾶγμα ἀλλήλοις ποιοῦσιν, ἑαυτοὺς μακαρίζουσιν. ἐγὼ δὲ ἐμαυτὸν, ὅτι ἀμφοτέρων ἀπήλλαγμαι. μήτε ὠνούμενος μήτε πωλῶν. — Κράτητος.

Σωκράτης ἔλεγε. δεῖν τὰς ἡδονὰς, μὴ παρ' ἄλλων, ἀλλὰ παρ' ἡμῶν θηρᾶσθαι. προσδιατίθετο δὲ τὸ σῶμα, ὃν χρὴ τρόπον. — Σωκράτους.

Εἰ δὲ βούλεται, καὶ τὴν μαντικὴν εἶναι συγχωρητέον ἐπιστήμην τοῦ μέλλοντος ἔσεσθαι. καὶ τὴν σωφροσύνην αὐτῆς ἐπιστατοῦσαν, τοὺς μὲν ἀλαζόνας — Πλάτωνος



Ayuntamiento de Madrid

ἀποτρέπειν· τοὺς δὲ ἀληθεῖς μάντεις καθιστάναι ἡμῖν, ὧδ᾽ ἐπιστημόνως ἂν πράττοι καὶ ζώη. ἐγ᾽ ὦμαι. ἡ γὰρ σωφροσύνη φυλάττουσα, οὐκ ἂν ἐώη παρεμπίπτουσαν τὴν ἀνεπιστημοσύνην συνεργὸν ἡμῖν εἶναι. ἔστι δὲ ὡς ἔοικεν ὃν νῦν λέγεις, ὅτι ἡδοναί εἰσι τινές. αἱ μὲν, ἀγαθαί, αἱ δὲ, κακαί. ἦ γὰρ ναί. ἆρ᾽ οὖν ἀγαθαὶ μὲν δὴ, ὠφέλιμοι. κακαὶ δὲ αἱ βλαβεραί. πάνυ γε. ὠφέλιμοι δὲ, αἱ ἀγαθὸν ποιοῦσαι, κακαὶ δὲ, αἱ κακόν; φημί. ἆρ᾽ οὖν τὰς τοιάσδε λέγεις, οἷον κατὰ τὸ σῶμα, ἃς δὴ νῦν λέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν ἡδονὰς, εἰ ἄρα τούτων, αἱ μὲν, ὑγίειαν ποιοῦσιν ἐν τῷ σώματι, ἢ ἰσχὺν, ἢ ἄλλην τινὰ ἀρετὴν τοῦ σώματος, αὗται μὲν ἀγαθαί. αἱ δὲ τἀναντία τούτων, κακαί; πάνυ γε, οὐκοῦν καὶ λῦπαι ὡσαύτως, αἱ μὲν, χρησταί εἰσιν, αἱ δὲ, πονηραί; πῶς γὰρ οὔ. οὐκοῦν τὰς μὲν χρηστὰς καὶ ἡδονὰς καὶ λύπας, καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον, πάνυ γε. τὰς δὲ πονηρὰς οὔ, δῆλον γὰρ δή. ἕνεκα γὰρ δή που τῶν ἀγαθῶν, ἅπαντα ἡμῖν πρακτέα ἐστί. καὶ τῶν ἀγαθῶν ἄρα ἕνεκα δεῖ ὥστ᾽ ἄλλα. καὶ τὰ ἡδέα πράττειν, ἀλλ᾽ οὐκ ἀγαθὰ, τῶν ἡδέων; πάνυ γε. ἆρ᾽ οὖν παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ, καὶ ποῖα κακὰ, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον τεχνικοῦ. ἀναμνησθῶμεν δὴ ὧν αὖ ἐγὼ εἰς πῶλον καὶ γοργίαν ἐτύγχανον λέγων. ἔλεγε γὰρ αὐτὸς εἰ μνημονεύεις, ὅτι εἶεν παρασκευαί. αἱ μὲν μέχρι ἡδονῆς αὐτὸ τοῦτο παρασκευάζουσαι. ἀγνοοῦσαι δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον. αἱ δὲ γινώσκουσαι, ὅτι τε ἀγαθὸν, καὶ ὅτι κακόν. καὶ ἐτίθουν τῶν μὲν, περὶ τὰς ἡδονὰς, τὴν μαγειρικὴν ἐμπειρίαν, ἀλλ᾽ οὐ τέχνην. τὴν δὲ, περὶ τὸ ἀγαθὸν, τὴν ἰατρικὴν τέχνην.

Ἀντιφῶντος. Ὅς τις δὲ τῶν αἰσχρῶν, μήτε ἐπεθύμησε, μήτε ἥψατο, οὐκ ἔστι σώφρων. οὐ γὰρ ἔσθ᾽ ὅτου κρατήσας αὐτὸς ἑαυτὸν κόσμιον παρέχεται.

Πλάτωνος. Ἐγὼ μὲν οὖν ταῦτα οὕτω τίθημι. καὶ φημὶ ταῦτα ἀληθῆ εἶναι. εἰ δὴ ἐστιν ἀληθῆ, τὸν βουλόμενον ὡς ἔοικεν εὐδαίμονα εἶναι, σωφροσύνην μὲν ἀσκητέον καὶ διωκτέον ἐστίν. ἀκολασίαν δὲ φευκτέον ὡς ἔχει ποδῶν ἕκαστον ἡμῶν. καὶ παρασκευαστέον ἑαυτὸν, μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι. ἐὰν δὲ δεηθῇ ἢ αὐτὸς ἢ ἄλλος τις τῶν οἰκείων, ἢ ἰδιώτης ἢ πόλις, ἐπιθετέον δίκην καὶ κολαστέον.

Καλλισθένης ἐν δευτέρῳ μεταμορφώσεων. Κατὰ κελαινὰς πόλιν τῆς φρυγίας, διὰ μῆνιν ἰδαίου διὸς, χάσμα μεθ᾽ ὕδατος γενόμενον, πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν καθείλκυσε. τοῦ δὲ δήμου κινδυνεύοντος, μίδας ὁ βασιλεὺς χρησμὸν ἔλαβε συνελεύσεσθαι τὴν γῆν, ἐὰν εἰς τὸ βάραθρον βάλῃ τὸ τιμιώτατον ἐν ἀνθρωπίνῳ βίῳ. τῶν δὲ

Ayuntamiento de Madrid

κελευνιτῶν χρυσόν τε καὶ ἄργυρον. καὶ τὸν κόσμον τῶν γυναικῶν, εἰς τὸ χάσμα ῥιψάντων, καὶ μὴ δ' οὕτω τοῦ κακοῦ λήγοντος, αἰγιστέος ὁ υἱὸς μίδα, λογισάμενος μηδὲν εἶναι τιμιώτερον ἐν βίῳ ψυχῆς, ἀναπηδήσας, καὶ δοὺς περιπλοκὰς τῷ γεννήσαντι. καὶ ἀποταξάμενος τῇ γυναικὶ τιμοθέᾳ. μεθ' ὁρμῆς ἐφ' ἵππου, εἰς τὸν τόπον τοῦ χάσματος ἠνέχθη.

Λιμοῦ κατασχόντος τὴν λακεδαίμονα διὰ τὴν ἀναίρεσιν τῶν κηρύκων τῶν ἀπεσταλμένων παρὰ ξέρξου αἰτοῦντος γῆν καὶ ὕδωρ ὥσπερ ἀπαρχὰς λείας, χρησμὸς ἐδόθη ἀπαλλαχθήσεσθαι αὐτούς εἴ γέ τινας ἕλοιντο λακεδαιμονίων παρὰ τοῦ βασιλέως ἀναιρεθῆναι. τότε βούλης καὶ σπέρχης ἀφικόμενοι εἰς βασιλέα, ἠξίουν ἀναιρεθῆναι. ὁ δὲ θαυμάσας αὐτῶν τὴν ἀρετὴν, ἐπανιέναι προσέταξε. Ἐκ τοῦ θησέως.

Σοφίη ἄθαμβος, ἀξίη πάντων τιμιωτάτη οὖσα. Δημοκρίτου.

Πάλιν ἐρωτώμενος, εἰ ἀνδρεία πότερον διδακτὸν, ἢ φυσικόν. οἶμαι μὲν ἔφη. ὥσπερ σῶμα σώματος ἰσχυρότερον πρὸς πόνους φύεται, οὕτω καὶ ψυχὴν ψυχῆς ἐρρωμενεστέραν εἰς τὰ δεινὰ φύσει γίνεσθαι. ὁρῶ δ' ἐν τοῖς αὐτοῖς νόμοις τε καὶ ἔθεσι τρεφομένους, πολὺ διαφέροντας ἀλλήλων τόλμῃ. μανθάνω μέντοι πᾶσαν φύσιν μαθήσει καὶ μελέτῃ πρὸς ἀνδρείαν αὔξεσθαι. δῆλον μὲν γὰρ, ὅτι σκύθαι καὶ θρᾷκες, οὐκ ἂν τολμήσαιεν ἀσπίδας καὶ δόρατα λαβόντες, λακεδαιμονίοις διαμάχεσθαι. φανερὸν δὲ ὅτι λακεδαιμόνιοι, οὔτ' ἂν θρᾳξὶ πέλταις καὶ ἀκοντίοις, οὔτε σκύθαις τόξοις ἐθέλοιεν διαγωνίζεσθαι. Ξενοφῶντος.

Ψυχῆς μὲν οὖν ἂν εἴη ἀρετὴ, τελειότης, καὶ συμμετρία τῆς ζωῆς. λόγου τε καὶ νοῦ καὶ διανοήσεως ἀκροτάτη, καὶ καθαρωτάτη ἐνέργεια. τὰ δ' ἔργα τῆς ἀρετῆς, ἀγαθοειδῆ κάλλιστα. νοερά. σπουδαῖα. πλήρη μεσότητος. συμμετρίας μετέχοντα, προηγούμενα τέλους ἀρίστου. στοχαζόμενα χαρίεντα ὅτι μάλιστα θεωρεῖσθαι. Ἰαμβλίχου

Ἀρετὰ ἐντὶ ἀνθρώπω τελειότας φύσιος ἀνθρώπω. ἕκαστον γὰρ τῶν ἐόντων, τέλειον καὶ ἄκρον γίνεται, κατὰ τὴν οἰκείαν τᾶς ἀρετᾶς φύσιν. ἵππω τε γὰρ ἀρετὰ ἐντὶ, ἃ ἐς τὸ ἄκρον ἄγοισα τὰν τῶ ἵππω φύσιν. καὶ ὧδε τῶν μερέων δὲ τῶν καθ' ἕκαστον, ὁ αὐτὸς λόγος. ὀμμάτων τε γὰρ ἀρετὰ, ὀξυδορκία. ἀλλὰ δ' ἀκρότας ἐντὶ τᾶς ὀφθαλμῶν φύσιος. καὶ οὐάτων ἀρετὰ, ὀξυκοΐα. αὕτα δ' ἀκρότας ἐντὶ τᾶς οὐάτων φύσιος. καὶ ποδῶν ἀρετὰ, ποδωκεία. καὶ ἄλλα δὲ ἀρετὰ ἐντὶ τῶν ποδῶν. Μετώπου πυθαγορείου Μεταποντίου.

ἔχους. Ε χει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος οὕτως. τὸ μὲν γάρ τι αὐτῆς ἐστι λογι-
κόν. τὸ δὲ, θύμωσις. τὸ δ' ἐπιθυμία. λογισμὸς μὲν, ὁ κρατέων τᾶς γνώσιος.
θυμὸς δὲ, ὁ κρατέων τῶ μένεος. ἐπιθυμία δὲ, ἡ κρατεῦσα τῷ ἡγεμονικῷ
ἀδέως. ὅκα ὦν ἐς τὸ ἐν τὰ τρία ταῦτα μολῇ, μίαν ἐπιδεξάμενα συναρμο-
γάν, τόκα γίνεται ἀρετὰ καὶ ὁμόνοια ἐν τᾷ ψυχᾷ. ὅκαν δὲ στασιάζοντα
ἀπ' ἀλλήλων ἀποσπάσῃ, τόκα γίνεται κακία, καὶ ἀναρμοστία ἐν τᾷ
ψυχᾷ. ἀνάγκα δ' ἀρετὰν, τρία ταῦτα ἔχειν. λόγον. δύναμιν. καὶ προαίρε-
σιν. τῷ μὲν οὖν λογικῷ μέρει τᾶς ψυχᾶς, ἀρετὰ ἁ φρόνησις. κριτικὰ γάρ ἐν-
τι καὶ θεωρητικὰ ἕξις. τῶ δὲ θυμοειδέος, ἀνδρεία. ἕξις γάρ ἐντι ἀντερειστι-
κά, καὶ ὑποστατικὰ τῶν δεινῶν. τῷ δ' ἐπιθυμητικῷ, ἁ σωφροσύνα. μετριότης
γάρ ἐντι καὶ κατοχὰ τᾶς ἡδονῶν τῶν διὰ σώματος. ὅλας δὲ τᾶς ψυχᾶς ἁ
δικαιοσύνα. φαῦλοι μὲν γάρ τοι αὖ οἱ γίνονται. ἢ διὰ κακίαν, ἢ δι' ἀκρατίαν.
ἢ διὰ θηριότητα ἀδικεῦντι δ' ἀλλάλως, ἢ διὰ κέρδος, ἢ δι' ἡδονάν, ἢ διὰ φι-
λοτιμίαν. ἁ μὲν οὖν κακία τοῦ λογιστικοῦ μέρεος τᾶς ψυχᾶς ἐντι οἰκειοτέρα,
προτέοικε γάρ ἁ μὲν φρόνασις τᾷ τέχνᾳ, ἁ δὲ κακία, τᾷ κακοτεχνίᾳ δ' ἐξεῖν,
μαχανάσθαι γάρ ποθεν εὑρίσκει τὸ ἀδικεῖν. ἁ δ' ἀκρασία μᾶλλον τῷ ἐπι-
θυμητικῷ. ἐν γάρ τῷ κρατεῦν. ἡ ἐγκράτεια. καὶ ἐν τῷ μὴ κρατεῦν, ἡ ἀκρα-
τία. οὐ κρατοῦντι δὲ ἁδονᾶς. ἁ δὲ θηριότας, τὸ θυμοειδὲς, ὅκα γάρ τῇ ἐπιθυ-
μίᾳ τὸ κακῶς ποιῆσαι χαρίζηται τις, οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς θηρίον τὸ
τοιόνδε ὀνομάζεται. ἀκόλουθα δὲ καὶ τὰ ἀποτελέσματα τῶν διαθέσιων
τούτων, ὧν περ ἕνεκα πράσσονται. αἱ μὲν γάρ πλεονεξίαι, ἀπὸ κακίας.
ἁ δὲ κακία, ἀπὸ τοῦ λογιστικοῦ μέρεος τᾶς ψυχᾶς. καὶ ἡ μὲν, φιλοτιμία,
ἀπὸ θυμοειδέος. αὕτα δ' ἐν ὑπερβολᾷ γενόμενα, γεννᾷ τὴν θηριότητα. πά-
λιν δὲ ἁ μὲν ἡδονὰ ἐν τῷ ἐπιθυμητικῷ, σφοδρότερον δὲ μαστευομένα,
γεννᾷ τὴν ἀκρατίαν. ὥστ' ἐπεὶ τὸ ἀδικεῦν γίνεται δι' αἰτίας τοσαύτας, φα-
νερὸν ὅτι τὸ δικαιοπραγεῖν γίνεται διὰ τὰς ἴσας. φύσει γάρ ἁ μὲν ἀρετὰ,
ἀγαθοποιὸς καὶ ὠφελιτικά. ἁ δὲ κακία κακοποιὸς, καὶ βλαπτικά. ἐπεὶ
δὲ τῶν τᾶς ψυχᾶς μερέων, τὸ μὲν, ἐντι ἁγεόμενον, τὸ δ' ἑπόμενον. αἱ δ' ἀ-
ρεταὶ, καὶ αἱ κακίαι περὶ ταῦτα καὶ ἐν τούτοις, φανερὸν ὅτι καὶ τῶν ἀρε-
τῶν, ταὶ μὲν, ἐντι ἡγεμονικαὶ, ταὶ δ' ἑπητικαί. ταὶ δὲ, σύνθετοι ἐκ τού-
των. ἁγεμονικαὶ μὲν, οἷον, ἁ φρόνησις. ἑπητικαὶ δὲ, οἷον ἀνδρεία καὶ σωφρο-
σύνα. σύνθετος δ' ἐκ τούτων, οἷον ἁ δικαιοσύνα. τὰ δὲ πάθεα τᾶς ἀρετᾶς.
ὕλαν. περὶ ταῦτα γάρ καὶ ἐν τούτοις αἱ ἀρεταί. τῶν δὲ παθέων, τὸ μὲν, ἑκού-
σιον. τὸ δ' ἀκούσιον. καὶ ἑκούσιον μὲν, ἁ ἡδονά. ἀκούσιον δὲ, λύπα. ὁ δὲ νόος

ἐπ' ἄκρας

Ayuntamiento de Madrid

ἐπ' ἄκρας τῆς κορυφῆς τῶ σώματος ἱδρυμένος, καὶ ἔχων περιαυγέα καὶ διαυγέα τὰν ἔποψιν, μαστεύεται τὰν τῶν ἐόντων φρόνασιν· καὶ τοῦτ' ἔργον ἐντὶ αὐτῷ κατὰ φύσιν, τὸ μαστευσάμενον, καὶ κτησάμενον, ἀκολουθῆσαι τοῖς βελτίοσιν αὐτῶ καὶ τιμιωτάτοις· ἀρχὰ γὰρ καὶ αἰτία καὶ κανὼν ἐντὶ τᾶς ἀνθρωπίνας εὐδαιμοσύνας, ἁ τῶν θείων καὶ τιμιωτάτων ἐπίγνωσις· καθόλλω μὲν ὦν ἀρετὰ, συναρμογά τις ἐντὶ τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς, ποτὶ τὸ λόγον ἔχον· γίνεται δὲ αὐτὰς, τῷ καὶ τὰν ἡδονὰν καὶ τὰν λύπαν ὅρον ἐπιδέξασθαι τὸν τοῦ δέοντος. ἄλλο δὲ τὸ δέον ἐντὶ, ὅπως δεῖ ἦμεν. τὸ δὲ μὴ δέον, ὅπως οὐ δεῖ ἦμεν. τοῦ δὲ μὴ δέοντος εἴδεα δύο. τὸ μὲν, ὑπερβολὰ, τὸ δ' ἔλλειψις. καὶ ὑπερβολὰ μὲν ἐντὶ, τὸ πλέον τοῦ δέοντος. ἔλλειψις δὲ, τὸ ἔλαττον τῶ δέοντος. τὸ δὲ δέον ἄλλο ἐὸν, ὅπερ δεῖ ἦμεν, καὶ ἄκρον αὖ ὑπάρχοι καὶ μέσον. ἄκρον μὲν, ὅτι οὔτ' ἀφαιρέσιος, οὔτε προσθέσιος δέεται. μέσον δὲ, ὅτι μεταξὺ ἐντὶ τᾶς ὑπερβολᾶς, καὶ τᾶς ἐλλείψιος. ἔχει δὲ τὸ δέον καὶ μὴ δέον ὡς ἄλλαλα οὕτως, ὥσπερ τὸ ἴσον τὸ ἄνισον, καὶ τὸ τεταγμένον τὸ ἄτακτον. ταῦτα δ' ἐντὶ ἀμφότερα, τὸ πεπερασμένον καὶ τὸ ἄπειρον. καὶ διατοῦτο τοῦ ἀνίσου τὰ μέρεα, λέγεται ποτὶ τὸ μέσον, ἀλλ' οὐ ποτ' ἄλλαλα, ἀμβλεῖά τε γὰρ ὀνομάζεται γωνία, ἁ μείζων ὀρθᾶς. ὀξεῖα δὲ, ἁ μείων ὀρθᾶς. καὶ μείζων μὲν εὐθεῖα, ἁ ὑπερέχουσα τὰν ἐκ τῶ κέντρου. καὶ μακροτέρα μὲν ἁμέρα ἰσημερινᾶς. καί τε νόσοι τε γίνονται τῶ σώματος, θερμότερον ἢ κρυμωδέστερον γίνεσθαι τὸ σῶμα. τὸ μὲν γὰρ θερμότερόν ἐντι, τὸ πλέον τῷ μετρίῳ. τὸ δὲ κρυμωδέστερον, ἔλασσον τούτω. ἔχει δέ γε καὶ ἁ ψυχὰ, καὶ τὰ περὶ αὐτὰν, διάθεσιν, τὰν ἀναλογίαν ταύταν. ἁ μὲν γὰρ θρασύτας ἐντὶ, ὑπερβολὰ τῶ δέοντος, ἐν ὑποστάσει δεινῶν. ἁ δὲ δειλότας, ἔλλειψις τῷ αὐτῷ. καὶ ἁ μὲν ὀργὰ, ἐν τῇ ὑπερβολῇ τοῦ δέοντος ἐν ὁρμᾷ θυμῷ. ἁ δ' ἀναλγησία, ἔλλειψις τούτου. ὁ δ' αὐτὸς λόγος, καὶ ἐπὶ τῶν ἄλλων διαθέσιων τῶν ἀντικειμένων. δεῖ δ' ἔξιν τῶ δέοντος ὑπάρχοισαν τὰν ἀρετὰν, καὶ μεσότατα τῶν παθέων, μήτ' ἀπαθέα, μήτ' ἐκπαθέα ἦμεν. ἁ μὲν γὰρ ἀπαθέα, ἀπαρόρμητον καὶ ἀνενθουσίαστον παρέχεται τὰν ψυχὰν ποτὶ τὸ καλόν. ἁ δ' ἐκπάθεια, συντεταραγμένον καὶ ἀνεπιλόγιστον. δι' ὧν τὸ πάθος οὕτω παρεμφαίνεσθαι ἐν τᾷ ἀρετᾷ. ὥσπερ καὶ τὰν σκιὰν καὶ τὰν γραμμὰν ἐπὶ τῆς γραφῆς. τὸ γὰρ ἔμψυχον καὶ τὸ ἁπαλὸν, καὶ τὸ μεμιμημένον τὴν ἀλήθειαν σὺν τῇ χρηστότητι τῶν χρωμάτων. μάλιστα γίνεται διὰ τούτων. ἔμψυχα δὲ ἐκπαρορμήσεως καὶ ἐνθουσιασμοῦ ἀρετῆς τῆς κατὰ φύσιν τὰ πάθεα τῆς ψυχῆς, γίνεται γὰρ ἐκ παθέων ἁ ἀρετά. καὶ γεννηθεῖσα, πάλιν σὺν αὐτοῖς συνίσταται. ὥσπερ τὸ κα-



Ayuntamiento de Madrid

λῶς ἡρμοσμένον αὐτοῦ ὀξέως καὶ βαρέως καὶ τὸ σύγκρασιν, ἐκ τοῦ θερμοῦ καὶ ψυχροῦ. οὐκ ἀφελεῖν οὖν δεῖ τὰ πάθεα τῆς ψυχῆς. οὔτε γὰρ ὠφέλιμον, οὔτ' ἀνωφέλιτον. ἀλλὰ συναρμόσασθαι ποτὶ τὸ λόγον ἔχον, τῷ δέοντι καὶ τῷ μετρίῳ.

Ἰσοκράτους — Ἰσοκράτης εἶπεν, ὅτι τὸν χρηστὸν καὶ ἀγαθὸν ἄνδρα, δεῖ τῶν μὲν προγεγενημένων μεμνῆσθαι, τὰ δὲ ἐνεστῶτα πράττειν, περὶ δὲ τῶν μελλόντων φυλάττεσθαι.

Ἀριστοτέλους. — Ἀριστοτέλης εἶπεν. ἐπειδὴ μὴ γίνεται τὰ πράγματα ὡς βουλόμεθα, δεῖ βούλεσθαι ὡς γίνεται.

Χίλωνος. — Ζημίαν αἱροῦ μᾶλλον, ἢ κέρδος αἰσχρόν. τὸ μὲν γὰρ, ἅπαξ σε λυπήσει. τὸ δὲ, διαπαντός.

Βίαντος. — Βραδέως ἐγχείρει τοῖς πραττομένοις. ἐγχειρήσας δὲ, πράττε βεβαίως.

Θεοβούλους — Τὰ ἀφανῆ τοῖς φανεροῖς τεκμαίρου.

Πλάτωνος — Σωκράτης ἔλεγεν, ὡς ἥκιστα τοῖς δυνάσταις, ἢ ὡς ἥδιστα ὁμιλεῖν.

Μάλιστα ἐπιμελεῖσθαι χρὴ, ὅπως ἕκαστος ἡμῶν τῶν ἄλλων μαθημάτων ἀμελήσας, τούτου τοῦ μαθήματος καὶ μιμητὴς καὶ μαθητὴς ἔσται. ἐάν ποθεν οἷός τ' ᾖ μαθεῖν καὶ ἐξευρεῖν τίς αὐτὸν ποιήσει δυνατὸν καὶ ἐπιστήμονα, βίον χρηστὸν καὶ πονηρὸν διαγινώσκοντα τὰ βελτίω ἐκ τῶν δυνατῶν ἀεὶ πανταχοῦ αἱρεῖσθαι.

Ἰσαίου. — Ἡγοῦμαι μεγίστην εἶναι τῶν λειτουργιῶν, τὸ καθ' ἡμέραν βίον κόσμιον καὶ σώφρονα παρέχειν.

Ἰσοκράτους πρὸς Δημόνικον. — Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει. κέρδους. ὀργῆς. ἡδονῆς. λύπης. ἔσῃ δὲ τοιοῦτος, ἐὰν κέρδη μὲν εἶναι νομίζῃς δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις. τῇ δὲ ὀργῇ παραπλησίως ἔχε πρὸς τοὺς ἁμαρτάνοντας, ἢ περὶ σὲ τοὺς ἄλλους ἔχειν ἀξιώσειας. ἐν δὲ τοῖς τερπνοῖς, ἐὰν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν. ταῖς δὲ ἡδοναῖς δουλεύειν. ἐν δὲ τοῖς λυπηροῖς, ἐὰν τὰς τῶν ἄλλων ἐπιβλέπῃς ἀτυχίας, καὶ σαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. μάλιστ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν, καὶ τὰς πλησμονὰς ἀγαπᾶν, εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς πεπήγασι. τὸ δὲ περὶ τὴν ἀρετὴν ἀεὶ πονεῖν. καὶ σωφρόνως τὸν αὑτοῦ βίον οἰκονομεῖν. ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι. τοὺς μὲν θεοὺς φοβοῦ. τοὺς δὲ γονεῖς τίμα. τοὺς φί-

Ayuntamiento de Madrid

λοις αἰσχίων. τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης. τέρψις γὰρ σὺν τῷ καλῷ μὲν, ἄριστον. ἄνευ δὲ τούτου κάκιστον.

Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι. μὴ προθέμενον αὐτὴν ὡς ἐσχάτην βιῶσαι. Μουσωνίου.

Ἀνθρώποις ἁρμόδιον, ψυχῆς μᾶλλον ἢ σώματος ποιεῖσθαι λόγον. ψυχὴ μὲν γὰρ τελεωτάτη, σκήνεος μοχθηρίαν ὀρθοῖ. σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ, ψυχὴν οὐδέν τι ἀμείνω τίθησι. Δημοκρίτου.

Ψυχῇ ζῶντας ἡμᾶς, τῇ ταύτης ἀρετῇ ῥητέον δεῖ ζῆν ὡς ὀφθαλμοῖς ὁρῶντας, τῇ τούτων ἀρετῇ καλῶς ὁρᾶν. καθάπερ εἰς ἄσυλον τέμενος τὴν ἀρετὴν ὁρμητέον. ὅπως εἰς μηδεμίαν ἀγεννῆ τύχης ὕβριν ὦμεν ἔκδοτοι. Ἐκ τῶν Ἰαμβλίχου.

Οὔτε συμπόσιον χωρὶς ὁμιλίας, οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει. Ἀντισθένους.

Οὔτε ἐξ ἱεροῦ βωμόν. οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον.

Πυθαγόρας ἔφη. ὅτι χρὴ βίον αἱρεῖσθαι τὸν ἄριστον. ἡδὺν γὰρ αὐτὸν ἡ συνήθεια ποιήσει. πλοῦτος ἀσθενὴς ἄγκυρα. δόξα ἔτι ἀσθενεστέρα. τὸ σῶμα ὁμοίως. αἱ ἀρχαί. αἱ τιμαί. πάντα ταῦτα ἀσθενῆ καὶ ἀδύνατα. τίνες οὖν ἄγκυραι δυναταί. φρόνησις. μεγαλοψυχία. ἀνδρεία. ταύτας οὐδεὶς χειμὼν σαλεύει. οὗτος θεοῦ νόμος, ἀρετὴν εἶναι τὸ ἰσχυρὸν μόνον. τὰ δ' ἄλλα, λῆρον. Φωκίωνος

Ἄγρυπνος ἔσω κατὰ νοῦν. συγγενὴς γὰρ τοῦ ἀληθινοῦ θανάτου οὗτος ὁ ὕπνος.

Ἃ μὴ δεῖ ποιεῖν μηδὲ ὑπονοοῦ ποιεῖν.

Ζητεῖν δεῖ καὶ ἄνδρα καὶ τέκνα καὶ φίλους, τοὺς κατὰ τὴν ἀπαλλαγὴν τοῦ βίου παραμενοῦντας.

Ζῆν κρεῖττόν ἐστιν ἐπὶ στιβάδος κατακείμενον καὶ θαρροῦν. ἢ ταράττεσθαι χρυσῆν ἔχοντα κλίνην.

Ἰσχὺν τῇ ψυχῇ αἱροῦ μᾶλλον, ἢ τῷ σώματι.

Πέπεισο μὴ εἶναι σὸν κτῆμα, ὅπερ μὴ ἐντὸς διανοίας ἔχεις.

Πράττε μεγάλα, μὴ ὑπισχνούμενος μεγάλα.

Τέκνα μάθε τίκτειν, οὐ τὰ γηροβοσκήσοντα τὸ σῶμα, τὴν δὲ ψυχὴν θρέψοντα τῇ ἀϊδίῳ τροφῇ.

Τὰ ἐπίπονα, τῶν ἡδέων μᾶλλον ἡγοῦ συντελεῖν εἰς ἀρετήν.

Χαλεπὸν πολλὰς ὁδοὺς ἅμα τοῦ βίου βαδίζειν.



Ayuntamiento de Madrid

Ψυχῆς πᾶν πάθος εἰς σωτηρίαν αὐτῆς πολεμιώτατον.

Ὢν ἡ ψυχὴ κυρία δοῦναι καὶ ἀφελέσθαι, οὐ δεήσῃ οὐδενός.

Ὢν τοῦ σώματος ἀπαλλαγεὶς οὐ δεήσῃ, ἐκείνων καταφρόνει πάντων. καὶ ὧν ἀπαλλαγεὶς δεήσῃ, πρὸς ταῦτά σοι ἀσκουμένῳ τοὺς θεοὺς παρακάλει γίνεσθαί σοι συλλήπτορας.

Ὢν ἕνεκα ζῆν ἐθέλεις, τούτων χάριν καὶ ἀποθανεῖν μὴ κατόκνει.

Δημοκρίτου. Νόμῳ καὶ ἄρχοντι σοφωτέρῳ εἴκειν κόσμιον. ὅρος συμφορέων καὶ ἀσυμφορέων, τέρψις καὶ ἀτερψίη.

Ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν, ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι. τοῦτο δ' ἂν εἴη, εἴ τις μὴ ἐπὶ τοῖς θνητοῖσι τὰς ἡδονὰς ποιοῖτο.

Διογένους. Πυνθανομένου τινός, πῶς ἄν τις ἑαυτοῦ διδάσκαλος γένοιτο. εἰ ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις ἔφη, καὶ ἑαυτῷ ἐπιτιμῴη μάλιστα.

Πλάτωνος ἐν πολιτείᾳ πέμπτῃ. Ὅτι μάταιος ὅς γελοῖον ἄλλο τι ἡγεῖται ἢ τὸ κακόν. καὶ ὁ γελωτοποιεῖν ἐπιχειρῶν, εἰς ἄλλην τινὰ ὄψιν ἀποβλέπων, ὡς γελοίου τὴν τοῦ ἄφρονός τε καὶ κακοῦ. καὶ καλοῦ αὖ σπουδάζει, εἰς ἄλλον τινὰ σκοπὸν στησάμενος, ἢ τὸν τοῦ ἀγαθοῦ.

Τοῦ αὐτοῦ. Τῶν μὴ ἀναγκαίων ἡδονῶν τε καὶ ἐπιθυμιῶν, δοκοῦσί τινές μοι εἶναι παράνομοι. αἳ κινδυνεύουσιν ἐγγίνεσθαι μὲν ἐν παντί. κολαζόμεναι δὲ ὑπὸ τῶν τυγχανόντων βελτιόνων, ἐπιθυμιῶν μετὰ λόγου, ἐνίων μὲν ἀνθρώπων, ἢ παντάπασιν ἀπαλλάττεσθαι, ἢ ὀλίγαι λείπεσθαι, καὶ ἀσθενεῖς. τῶν δὲ ἰσχυρότεραι καὶ πλείους. λέγεις δὴ τίνας ἔφη ταύτας. τὰς περὶ τῶν ὕπνων ἦν δ' ἐγὼ ἐγειρομένας. ὅταν τὸ μὲν ἄλλο τῆς ψυχῆς εὕδῃ, ὅσον λογικὸν καὶ ἥμερον, καὶ ἄρχον ἐκείνου. τὸ δὲ θηριῶδές τε καὶ ἄγριον. ἢ σίτου, ἢ μέθης πλησθέν, σκιρτᾷ τε καὶ ἀπωσάμενον τὸν ὕπνον, ζητεῖ ἰέναι. καὶ ἀποπιμπλάναι τὰ αὐτοῦ ἤθη. οἶσθ' ὅτι πάντα ἐν τῷ τοιούτῳ τολμᾷ εἶναι. ὡς ἀπὸ πάσης λελυμένον τε καὶ ἀπηλλαγμένον αἰσχύνης καὶ φρονήσεως, μητρί τε γὰρ ἐπιχειρεῖν μίγνυσθαι, ὡς οἴεται, οὐδὲν ὀκνεῖ. ἄλλῳ τε ὁτῳοῦν ἀνθρώπων καὶ θεῶν, καὶ θηρίων, μιαιφονεῖν τε ὁτιοῦν. βρώματός τε ἀπέχεσθαι μηδενός. καὶ ἑνὶ λόγῳ, οὔτ' ἀνοίας οὐδὲν ἐλλείπει, οὔτ' ἀναισχυντίας. ἀληθέστατα ἔφη λέγεις. ὅταν δέ γ' οἶμαι ὑγιεινῶς τις ἔχῃ αὐτὸς αὑτοῦ καὶ σωφρόνως, καὶ εἰς τὸν ὕπνον ἴῃ, τὸ λογιστικὸν μὲν ἐγείρας αὑτοῦ, καὶ ἑστιάσας λόγων καλῶν καὶ σκέψεων, εἰς σύννοιαν αὐτὸς αὑτοῦ ἀφικόμενος, τὸ ἐπιθυμητικὸν δὲ, μήτ' ἐνδείᾳ δοὺς, μήτε πλησμονῇ, ὅπως ἂν κοιμηθῇ καὶ μὴ παρέχῃ θόρυβον τῷ βελτίστῳ χαῖρον ἢ λυπούμενον. ἀλλ' ἑαυτῷ καθ' ἑαυτὸ μό-

Ayuntamiento de Madrid

νον καθαρὸν σκοπεῖν καὶ ὀρέγεσθαι του αἰσθάνεσθαι ὃ μὴ οἶδεν, ἤ τι τῶν γεγονότων, ἢ ὄντων, ἢ μελλόντων, ὡσαύτως δὲ καὶ τὸ θυμοειδὲς πραΰνας, καὶ μή τισιν εἰς ὀργὴν ἐλθὼν, κεκινημένῳ τῷ θυμῷ καθεύδῃ, ἀλλ' ἡσυχάσας μὲν τὼ δύο εἴδη, τὸ δὲ ἕτερον ἐν ᾧ τὸ φρονεῖν ἐγγίγνεται, οὕτως ἀναπαύηται. οἶσθ' ὅτι τῆς ἀληθείας ἐν τῷ τοιούτῳ μάλιστα ἅπτεται, καὶ ἥκιστα παράνομοι τότε αἱ ὄψεις φαντάζονται τῶν ἐνυπνίων; παντελῶς μὲν οὖν ἔφη οὕτω. ταῦτα μέντοι ἐπὶ πλέον ἐξήχθημεν εἰπεῖν. ὃ δὲ βουλόμεθα γνῶναι, τόδ' ἐστίν. ὡς ἄρα δεινόν τι καὶ ἄγριον καὶ ἄνομον ἐπιθυμιῶν εἶδος ἑκάστῳ ἔνεστι. καὶ πάνυ δοκοῦσιν ἡμῶν ἐνίοις μετρίοις εἶναι. τοῦτο δὲ ἄρα ἐν τοῖς ὕπνοις γίνεται ἔνδηλον.

Καὶ ὅταν λέγῃς, ὡς ὅτῳ τις μὴ ἐπίσταται χρῆσθαι, κρεῖττον ἐᾶν τὴν τούτου χρῆσιν. τίς μὴ ἐπίσταται ὀφθαλμοῖς χρῆσθαι, μηδὲ ὠσί, μηδὲ ξύμπαντι τῷ σώματι τούτῳ, μήτε ἀκούειν, μήθ' ὁρᾶν, μήτε ἄλλην χρείαν μηδεμίαν μὴ χρῆσθαι, τῷ σώματι κρεῖττον, ἢ ὁπηοῦν χρῆσθαι, δῆλον. δῆλον ὡς οὐδὲ τῇ τοῦ γείτονος, οὐδὲ ὅς τις μὴ τῇ τῶν ἄλλων, οὐδὲ τῇ ἑαυτοῦ. οὐδὲ τῶν ὀργάνων ἄλλῳ, οὐδὲ κτημάτων οὐδενί. καὶ τελευτᾷ δὴ καλῶς ὁ λόγος οὗτός σοι. ὡς ὅστις ψυχῇ μὴ ἐπίσταται χρῆσθαι, τούτῳ τὸ ἄγειν ἡσυχίαν τῇ ψυχῇ, καὶ μὴ ζῆν κρεῖττον. ἢ ζῆν πράττοντι καθ' αὑτόν. εἰ δέ τις ἀνάγκη ζῆν, δούλῳ ἄμεινον ἢ ἐλευθέρῳ διάγειν τῷ τοιούτῳ τὸν βίον.

*Τοῦ αὐτοῦ ἐκ τοῦ Κλειτοφῶντος*

Οὐκοῦν φαμὲν πάλιν τοὺς πολλοὺς διημαρτηκέναι τοῦ βελτίστου. ὡς τὰ πολλά γε οἶμαι ἄνευ νοῦ δόξῃ πεπιστευκότας. φαμὲν γάρ, λυσιτελεῖ ἄρα τοῖς πολλοῖς, μήτε εἰδέναι μηδὲν, μήτε οἴεσθαι εἰδέναι. εἴπερ γε προθυμήσονται μᾶλλον πράττειν, μὴ ταῦτ' ἂν εἰδῶσιν ἢ οἰηθῶσιν εἰδέναι πράττοντες, βλάπτεσθαι τὰ πλείω μᾶλλον, ἢ ὠφελεῖσθαι, ἀληθέστατα λέγεις. ὁρᾷς οὖν ὅτ' ἔφην κινδυνεύειν τότε τῶν ἄλλων ἐπιστημῶν κτῆμα. ἐάν τις ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης κεκτημένος ᾖ. ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω. τὸν δ' ἔχοντα αὐτό, ἆρ' οὐχὶ τῷ ὄντι ὀρθῶς ἐφαινόμην λέγων; καὶ εἰ μὴ τότε, ἀλλὰ νῦν μοι δοκεῖ ὦ Σώκρατες. δεῖ ἄρα καὶ πόλιν καὶ ψυχὴν τὴν μέλλουσαν ὀρθῶς βιώσεσθαι, ταύτης τῆς ἐπιστήμης ἀντέχεσθαι ἀτεχνῶς. ὥσπερ ἀσθενοῦντας ἰατροῦ, ἢ τινὸς κυβερνήτου τὸν ἀσφαλῶς μέλλοντα πλεῖν.

*Τοῦ αὐτοῦ ἀλκιβιάδου.*

Ὅσαι δὴ ἐν ἀνθρώποις ἀρεταὶ λέγονται, σκοπούμενος εὑρήσεις πάσας, μαθήσει τε καὶ μελέτῃ αὐξανομένας.

*Ξενοφῶντος. ἀπομνημονευμάτων β'.*

Τούτοις δὴ τοῖς λόγοις παγκάλως λεγομένοις, ὡς διδακτὸν ἀρετή. καὶ πάντων ἑαυτοῦ δεῖ μάλιστα ἐπιμελεῖσθαι, σχεδὸν οὔτ' ἀντεῖπον πώποτε, οὔτ'

*Πλάτωνος*

Ayuntamiento de Madrid

οἶμαι μή ποτε ὑπὲρ ὧν αἰτεῖται.

Τοῦ αὐτοῦ. Ἀλλὰ μὴν οὐδὲ φιλογέλωτας δεῖ ἀεὶ εἶναι. ὅταν τις σχεδὸν γὰρ ἐφίῃ ἰσχυρῷ γέλωτι, ἰσχυρὰν καὶ μεταβολὴν ζητεῖ τὸ τοιοῦτο. δοκεῖ μοι ἔφη. οὔτε ἄρα βασάνους ἀξίους λόγου κρατουμένας ὑπὸ γέλωτος, ἄν τις ποιῇ ἀποδεκτέον. πολὺ δὲ ἧττον ἐὰν θεοὺς θάλλουσα λύπῃ τοὺς ἄγαν ὑπέρφρονας.

Εὐριπίδου Αὐγῇ. Ἐστὶ καὶ πταίσαντ᾽ ἀρετὴν ἀποδείξασθαι θανάτῳ.

Οὗτος κράτιστός ἐστ᾽ ἀνὴρ ὦ Γοργία, ὅς τις ἀδικεῖσθαι πλεῖστ᾽ ἐπίσταται βροτῶν.

Μενάνδρου γεωργικῶν.

Τρεῖς εἰσὶν ἀρεταί, ἃς χρεών σ᾽ ἀσκεῖν τέκνον·
θεούς τε τιμᾶν, τούς τε θρέψαντας γονεῖς·
νόμους τε κοινοὺς Ἑλλάδος, καὶ ταῦτα δρῶν·
κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.

Εὐριπίδου Ἀντιόπῃ.

Τοῦ αὐτοῦ. Ἐγὼ μὲν οὖν ᾄδοιμι καὶ λέγοιμί τι
σοφὸν, ταράσσων μηδὲν ὧν πόλις νοσεῖ.

Ἐνεστι δ᾽ οἶκτος, ἀμαθίᾳ μὲν οὐδαμοῦ.
σοφοῖσι δ᾽ ἀνδρῶν· καὶ γὰρ οὐδ᾽ ἀζήμιον
γνώμην εἶναι τοῖς σοφοῖς λίαν σοφόν.

Θεόγνιδος. Μή ποτ᾽ ἐπαινέσῃς πρὶν ἂν ἴδῃς ἄνδρα σαφηνέως·
ὀργὴν καὶ θυμὸν καὶ τρόπον ὅν τιν᾽ ἔχει.
πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες,
κρύπτουσ᾽ ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ᾽ ἐκφαίνει πάντων χρόνος ἦθος ἑκάστου.
καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ᾽ ἐκτὸς ἔβην.

Σωπάτου. Τῆς τύχης σκοπεῖν δεῖ τὸ μέγιστον, ὡς ἔλαττον· καὶ τὸ μὴ παρὸν μὴ θέλειν. οὐδὲ γὰρ ῥᾷον ἐστιν· ἀμφότερα μένειν οὐκ οἶδεν. οὐ στήκει γὰρ οὐδέν. ἐὰν πλούσιος ὢν καθ᾽ ἡμέραν σκοπῇς τὸ πλεῖον, ὡς τοσοῦτον εἶ πενιχρὸς, ὡς ὅσον εἶ πειρατός· ὡς πένης θέλεις ζῆν, καὶ πλούσιος πλέον ἔχων, ἴσον ἔχουσιν αὐτῶν αἱ ψυχαὶ τὸ μεριμνᾶν.

Λύπησε μακρὰν προφεύξεται ἀγαθὰ φρονοῦντα. μιμοῦ τὸ καλὸν, καὶ μόνας ἐν βροτοῖς ἄριστος. νόμος ἐστὶ θεὸς, τοῦτον ἀεὶ πάντοτε τίμα. ξένος ὀφείλεις εἶναι τῶν οὐ καλῶς φρονούντων· ὅπου καλῶς βιοῖς, παράμενε, καὶ εὐτυχεῖς τὰ πάντα. παρατήρει τὰ πάντων καλά· καὶ ταῦτα σὺ μιμοῦ. ῥῆσιν δ᾽ ἀγαθὴν δεδομένην, φύλαττε σαυτῷ· σοὶ τοῦτο γινέσθω φί

Ayuntamiento de Madrid

λον· μηδὲν ἀπαιτεῖν. τὴν ἡσυχίαν κατὰ βίον ἵνα πάντοτε τηρῇς. ὑγιαίνειν εὔχου τοῖς θεοῖς ἐφ' ὅσον ἔχεις ζῆν.

Παρακαταθήκην λαβὼν δικαίως ἀπόδος.

*Πιττακοῦ.*

Φράζεο δὴ σπουδὴν ἐντυνάμενος μύθων δι' ἀκουῆς ἡμετέρων. ἀτραπόν τινα παντὸς ἀληθῆ κῆρας ἀπωσάμενος πολυπήμονας. αἵ τε βεβήλων ὄχλων ἀϊστῶσαι, ἅ τοὺς περὶ πάντα πεδῶσι· παντοίαις μορφῶν ἀπάτησιν ἔχουσαι. τοὺς μὲν, ἀπὸ ψυχῆς εἴργειν φυλακαῖς νόοιο. οὔ τις γάρ σε καθαρμὸς ὄντως δικαίως ὀσιδύσει, εἴκειν ἀληθείῃ μισεῖς ὀλοὸν γένος αὐτῶν. ἤδη μὲν πρώτιστα αἰσχρῶν δότειραν ἁπάντων, τὴν ἐπιθυμίαν ἡνιοχεῖ μάργοισι χαλινοῖσιν. ἐκ μὲν τῆς προμαντικῆς, πρόνοιαν ἔφασαν δεῖν ἐπιζητεῖν. ἐκ δὲ τῆς ἰατρικῆς, τῆς τε προνοίας ἐπανόρθωσιν. ταῦτα γὰρ εἶναι πέρατα τῆς ἰατρικῆς ἐπιστήμης. ἐκ δὲ τῆς μουσικῆς αἴσθησιν ἀκριβῆ τε καὶ ἐπιστημονικήν. ἐκ δὲ τῶν μαθηματικῶν ὀνομαζομένων, συλλογισμόν τε καὶ ἀπόδειξιν τῶν δι' αὐτῶν νοημάτων.

*Λίνου.*

Τῷ ὄντι ἄρα ἔφη ὦ Σιμμία, οἱ ὀρθῶς φιλοσοφοῦντες, ἀποθνήσκειν μελετῶσι. καὶ τεθνάναι ἥκιστα αὐτοῖς ἀνθρώπων φοβερόν.

*Πλάτωνος*

Μὴ τὴν κακίαν οἴεσθε μᾶλλον τῆς ἀρετῆς ὠφελεῖν. τὸ δ' ὄνομα ἀτυχέστερον ἔχειν. ἀλλ' οἵων περ ὀνομάτων ἕκαστα τῶν πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν εἶναι.

*Ἰσοκράτους Νικοκλῆς ἢ Κύπριος.*

Ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε.

*Ἐν ταυτῷ.*

Μόνῳ τῷ λόγῳ καθάπερ ἐπιτρόπῳ σώφρονι. παρακαταθετέον τὸν βίον καὶ τὴν νεότητα καὶ ὑποδήματα. καὶ βίος ἁρμόζων ἀλυπότερος.

*Σωκράτους*

Παρὼν δέ τις Ἀπολλόδωρος, ἐπιθυμητὴς μὲν ὢν ἰσχυρῶς αὐτοῦ. ἄλλως δ' εὐήθης εἰπεῖν. ἀλλὰ τοῦτο ἔγωγε ὦ Σώκρατες, χαλεπώτατα φέρω σε ἀδίκως ἀποθνήσκοντα. τὸν δὲ, λέγεται καταψήσαντα αὐτοῦ τὴν κεφαλὴν εἰπεῖν. σὺ δὲ ὦ φίλτατε Ἀπολλόδωρε. μᾶλλον ἂν ἐβούλου με ὁρᾶν δικαίως ἀποθνήσκοντα; καὶ ἅμα ἐπιγελάσαι. λέγεται δὲ καὶ Ἄνυτον παριόντα ἰδὼν, εἰπεῖν. ἀλλ' ὁ μὲν ἀνὴρ ὁ δέ γε κυδρὸς, ὡς μέγα τι καὶ καλὸν διαπεπραγμένος, ἢ ἀπέκτονέ με οὕτως. καὶ τῶν μεγίστων αὐτὸν ὑπὸ τῆς πόλεως ὁρῶν ἀξιούμενον. οὐκέτι χρῆναι τὸν υἱὸν περὶ βύρσας παιδεύειν. ὡς μοχθηρὸς οὗτος ἔφη, ὃς οὐκ ἔοικεν εἰδέναι, ὅτι ὁπότερος ἡμῶν καὶ συμφορώτερος καὶ καλλίων εἰς τὸν ἀεὶ χρόνον διαπέπλασται. χείρων δέ ἐστιν ὁ νικῶν.

*Ξενοφῶντος.*

Πλάτωνος. Α λλὰ πᾶν πλῆθος καὶ πᾶς πλοῦτος, ἀρετῇ ὑπείκει.

Τοῦ αὐτοῦ. Κ άλλιστον γὰρ δὴ τοῦτο καὶ λέγεται καὶ λελέξεται· ὅτι τὸ μὲν ὠφέλιμον, καλόν· τὸ δὲ βλαβερόν, αἰσχρόν· παντάπασι μὲν οὖν.

Σωκράτους. Ο ὔτε ἵππος εὐγενὴς κρίνοιτ᾽ ἂν ὁ πολυτελῆ σκευὴν ἔχων, ἀλλ᾽ ὁ τῇ φύσει λαμπρός· οὔτε ἀνὴρ σπουδαῖος, ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ᾽ ὁ τὴν ψυχὴν γενναῖος.

Τοῦ αὐτοῦ. Τ οῦ σοφοῦ στόματος ἀνοιχθέντος καθάπερ ἱεροῦ, τὰ τῆς ψυχῆς καταβλέπεται ὥσπερ ἀγάλματα.

Ε ν μὲν τῷ πλεῖν, πείθεσθαι δεῖ τῷ κυβερνήτῃ· ἐν δὲ τῷ ζῆν, τῷ λογίζεσθαι δυναμένῳ, βέλτιον.

Ο δὸν μὲν τὴν τελειοτάτην ἐκλέγεσθαι· βίον δὲ τὸν ἀλυπότατον.

Τ οῦ βίου καθάπερ ἀγάλματος πάντα τὰ μέρη καλὰ εἶναι δεῖ.

Α νδρείας μὲν ἤθη βάσεως· σπουδαῖος δὲ ἀνὴρ ἤθη καλῆς προαιρέσεως ἑστώς, ἀμετακίνητος ὀφείλει εἶναι.

Φ αύλων ἔργων καὶ τοὺς λόγους παραιτητέον.

Δημοκρί- τυ βιχύ- τος. Α δικούμενος, διαλλάσσου· ὑβριζόμενος, ἀμύνου.

Ο ὕτω παρῶ ζῆν, ὡς καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος.

Μ ὴ διὰ φόβον, ἀλλὰ διὰ τὸ δέον ἀπέχεσθαι χρεὼν ἁμαρτημάτων.

Αρισωνύ- μου. Γ υμναζόμενον φυλάξασθαι δεῖ τὸν κόπον· εὖ πράττοντα δὲ, τὸν φθόνον.

Κ υβερνήτου μὲν ἔργον ἀγαθοῦ, τὰς τῶν πνευμάτων μεταβολὰς ἁρμόσασθαι· ἀνδρὸς δὲ σοφοῦ, πρὸς τὰς τῆς ψυχῆς.

Πυθαγορεί- ου ταραν- τίνου. Π ᾶσαι μὲν οὖν ἀρεταὶ τελειοῦνται καθάπερ ἐν ἀρχᾷ διώρισται ἐκ λόγου καὶ προαιρέσιος, καὶ δυνάμεως· τοῦτο δὲ καθ᾽ ἑαυτὸ ἕκαστον, οὐκ ἀρετᾶς μέρος ἐντὶ, ἀλλ᾽ αἴτιον ἀρετᾶς· ὅσοι μὲν οὖν ἔχοντι τὸ νοατικὸν καὶ γνωστικὸν μέρος ἀθλέας, δεινοί τε καὶ συνετοὶ, οὐ μαίνονται· ὅσοι δὲ τὸ ἠθικόν τε καὶ προαιρετικόν, χρήσιμοί τε καὶ ἐπιεικέες.

Τοῦ αὐτοῦ. Ο πόταν δὲ ἐκ τοῦ τὰς αἰτίας ἀναρριπισθείσας, ἀδικεῖν πέφυκεν ἄνθρωπος· αὗται δὲ τρεῖς τυγχάνοντι· φιλαδονία μὲν ἐν ταῖς ἀπολαύσεσι, σαίνει διὰ σώματος· πλεονεξία δὲ, ἐν τῷ κερδαίνειν· φιλοδοξία δὲ, ἐν τῷ καθυπερέχειν τε καὶ ἴσων καὶ ὁμοίων· δεῖ τοιγαροῦν γνωρίζειν, ὅτι τούτοις ἀντιτιθέμενοι οἷόν τέ ἐστιν· ἃ μὲν φόβον παρασκευάζοντι τοῖς ἀνθρώποις· ἃ δὲ αἰσχύναν· ἃ δὲ καὶ ἐπιθυμίαν· φόβον μὲν δὴ τῶν νόμων· αἰσχύναν δὲ τῶν θεῶν·

Ayuntamiento de Madrid

ἐπιθυμίαν δὲ, τῶν λόγων. διδάσκειν οὖν δεῖ τοὺς νέους ἐξ ἀρχᾶς, τάν τε θεῶν τιμὰν, καὶ τὰν τῶν νόμων. ἐκ τῶνδε γὰρ φανερὸν ἂν εἴη, ὅτι πᾶν ἔργον ἀνθρώπινον, καὶ βίος, ὁ σωτατός τε, καὶ εὐσεβείας μεθέξει ἀμ' ὀρθοπλοΐᾳ.

Θεαγοῦς ἐκ τοῦ περὶ ἀρετῶν.

ἀρχαὶ τᾶς συμπάσας ἀρετᾶς· τρεῖς· γνῶσις· καὶ δύναμις· καὶ προαίρεσις. καὶ ἔστιν ἁ μὲν γνῶσις ᾇ θεωροῦμεν καὶ κρίνομεν τὰ πράγματα. ἁ δὲ δύναμις· οἷον ἀλκά τις τῶ σκάνεος· ᾇ ὑφιστάμεθα, καὶ ἐμμένομεν τοῖς πράγμασιν. ἁ δὲ προαίρεσις, οἷον χεῖρες, ψυχᾶς τινες, αἷς ὁρμῶμεν καὶ ἀντιλαζύμεθα τῶν πραγμάτων. ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος, οὕτως. τὸ μὲν γάρ τι αὐτᾶς ἐστὶ λογισμός. τὸ δὲ, θύμωσις. τὸ δ' ἐπιθυμία. λογισμὸς μὲν οὖν ὁ κρατέων τᾶς γνώσιος. θυμὸς δὲ, ὁ κρατέων τῶ μένεος. ἐπιθυμία δὲ, ἡ κρατοῦσα τῶ ἐπιθυμητικοῦ ἁδέως. ὅκα οὖν ἐς τὸ ἓν τὰ τρία ταῦτα μολῇ, μίαν ἐπιδειξάμενα συναρμογὰν, τόκα γίνεται ἀρετὰ, καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ. ὅκα δὲ στασιάζοντα καὶ ἀπ' ἀλλήλων ἀποσπάσωνται. τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. καὶ ὅκα μὲν ὁ λογισμὸς ἐπικρατέῃ τῶν ἀλόγων μερῶν τᾶς ψυχᾶς, τόκα δὲ γίνεται καρτερία καὶ ἐγκράτεια. καρτερία μὲν, ἐν τᾷ κατοχῇ τῶν πόνων. ἐγκρατεία δὲ, ἐν τᾷ κατοχᾷ τῶν ἡδέων. ὅκα δὲ τὰ ἄλογα μέρεα τῆς ψυχῆς ἐπικρατεῖ τῶ λογισμοῦ, τόκα δὲ γίνεται μαλακία καὶ ἀκρατία. μαλακία μὲν ἐν τῷ φεύγειν τοὺς πόνους, ἀκρατία δὲ ἐν τῷ νικᾶσθαι ὑπὸ τῶν ἡδέων. ὅκα δὲ, τὸ μὲν κρεῖσσον ἄρχῃ μέρος τᾶς ψυχᾶς. τὸ δὲ χέρηον ἄρχηται. καὶ τὸ μὲν, ἡγεῖται. τὸ δ' ἕπεται. ἀμφότερα δὲ συνευδοκῆται καὶ συνομολογῆται ἀλλήλοις. τόκα δὲ γίνεται ἀρετὰ καὶ παναγαθία, περὶ ὅλαν τὰν ψυχάν. καὶ ὅκα μὲν τὸ ἐπιθυμητικὸν ἕπηται μέρος τῆς ψυχῆς τῷ λογιστικῷ γίνεται σωφροσύνα. ὅκα δὲ τὸ θυμοειδὲς, ἀνδρειότης. ὅκα δὲ τὰ μέρεα πάντα, δικαιότας. αὕτα γάρ ἐστιν ἡ διείργουσα τάς τε κακίας πάσας τῆς ψυχῆς, καὶ τὰς ἀρετὰς ἀπ' ἀλλήλων. καὶ ἔστιν ἁ δικαιότας, σύνταγμά τι τᾶς ἁρμογᾶς τῶν μερέων τᾶς ψυχᾶς. καὶ ἀρετὰ τελεία καὶ πανυπερτάτα. πάντα γὰρ ἐν ταύτᾳ. τὰ δ' ἄλλ' ἀγαθὰ τᾶς ψυχᾶς, οὐ κάτερθε ταύτας. διόπερ καὶ ἐν θεοῖς, μέγα κράτος ἔχει ἁ δικαιότας καὶ ἐν ἀνθρώποις. τοῦ γὰρ ὅλου καὶ τοῦ παντὸς ἁ δ' ἀρετὰ συνέχει τὴν κοινωνίαν καὶ τὰν ἐν θεοῖς καὶ τὰν ἐν ἀνθρώποις. θέμις γε οὖν φημίζεται παρὰ τοῖς οὐρανίοις θεοῖς, δίκα δὲ, παρὰ τοῖς χθονίοις, νόμος δὲ παρὰ τοῖς ἀνθρώποις. ταῦτα δ' ἐντὶ σημεῖα καὶ σύμβολα, τοῦ τὰν δικαιότατα πανυπερτάταν ἀρετὰν. ὅκα μὲν ἐν τῷ θεωρεῖν καὶ κρίνειν γίνηται ἁ ἀρετὰ, καλέεται φρόνασις. ὅκα δὲ

Ayuntamiento de Madrid

ἐν τῷ ὑφίστασθαι τὰ ἡδέα, σωφροσύνη· ὅκα δ' ἐν τῷ κέρδεος ὑπεχέσθαι καὶ βλάβας τᾶς εἰς τὸν πλατίον, δικαιότας. ἁ δὲ κατὰ τὸν ὀρθὸν λόγον αὐτᾶς σύνταξις, καὶ παρὰ τὸν ὀρθὸν λόγον παράβασις, τῶ δέοντός ἐντι στοχασμὸς, καὶ τοῦ μὴ δέοντος ἀδιάπτωσις· ἔστι δὲ τὸ μὲν δέον, ὃ δεῖ ἦμεν· τοῦτο δὲ, οὐκ ἀφαιρέσιος, οὔτε προσθέσιος δέεται· αὐτὸ γάρ ἐστιν, ὃ δεῖ ἦμεν· τῶ δὲ μὴ δέοντος, εἴδεα δύο· τὸ μὲν ὑπερβολὰ, τὸ δ' ἔλλειψις· καὶ ἁ μὲν ὑπερβολὰ, τὸ πλέον τῶ δέοντός ἐστιν· ἁ δ' ἔλλειψις, τὸ ἔλαττον. ἁ δ' ἀρετὰ, ἕξις τίς ἐντι τῶ δέοντος. διόπερ καὶ ἀκρότας, καὶ μεσότας εὐθέως ἐντί. οὕτω γὰρ καὶ μεσότατες τυγχάνοντι καὶ ἀκρότατες. μεσότατες μὲν, ὅτι ἐκτὸς τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος πίπτοντι. ἀκρότατες δὲ, ὅτι οὔτε προσθέσιος, οὔτ' ἀφαιρέσιος δέονται· ἀλλὰ γὰρ ἐντὶ ταῦτα ἃ δεῖ αὐτὰ ἦμεν.

Ἐν ταὐτῷ. Ἐπειδὴ ἁ τοῦ ἤθεος ἀρετὰ περὶ πάθεα, τῶν δὲ παθέων ἡδονὰ καὶ λύπα ὑπερτάτα· φανερὸν ὅτι οὐκ ἐν τῷ ὑπεξελέσθαι τὰ πάθεα τᾶς ψυχᾶς, ἁδονὰν καὶ λύπαν, ἁ ἀρετὰ πέπτωκεν· ἀλλ' ἐν τῷ ταῦτα συναρμόξασθαι. οὐδὲ γὰρ ὑγίεια, εὐκρατία τις ἐοῖσα τῶν τοῦ σώματος δυνάμεων, ἐν τῷ ὑπεξελέσθαι τὸ ψυχρὸν καὶ τὸ θερμὸν, καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρὸν πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτα συγκεραθῆμεν. ἐντὶ γὰρ οἷον συμμετρία τις τούτων. οὐδ' ἐν τᾷ μωσικᾷ, ἐν τῷ ὑπεξελέσθαι τὸ ὀξὺ καὶ τὸ βαρὺ τὸ σύμφωνον πέπτωκεν· ἀλλ' ἐν τῷ ταῦτά πως συναρμόξασθαι· συναρμογὰν, τῶ ὀξέος καὶ τῶ βαρέος· τὸ μὲν σύμφωνον ἐναπολαμβάνεται· τὸ δὲ, διάφωνον, ἐκκρούεται. συναρμοσμένων δὲ, καὶ τῶ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ τῶ ὑγροῦ, καὶ ξηροῦ· ἁ μὲν ὑγεία γίνεται, ἁ δὲ νόσος ἀπόλλυται. συναρμοσμένων δὲ καὶ τῶ θυμοῦ καὶ τᾶς ἐπιθυμίας, αἱ μὲν κακίαι καὶ τὰ πάθεα, ἐξαιρέονται· ταὶ δ' ἀρεταὶ καὶ τὰ ἤθεα, ἐγγίνονται. ἰδιαίτατον δὲ τᾶς τῶ ἤθεος ἀρετᾶς, ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς. λόγω γὰρ καὶ δυνάμει συγχρέεσθαι δύναται καὶ ἄνευ ἀρετᾶς ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς. τὸ γὰρ ἀξίωμα τῶ ἤθεος ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς σημαίνει. διὸ καὶ μετὰ τᾶς βίας μὲν ἐπικρατέων ὁ λογισμὸς θυμοῦ καὶ ἐπιθυμίας, ἐγκράτειαν καὶ καρτερίαν ἐμποιεῖ. μετὰ βίας δὲ πάλιν ἐκβιασθεὶς αὐτὸς ὑπὸ τῶν ἀλόγων, ἀκρασίαν καὶ μαλακίαν. αἱ δὲ τοιαῦται διαθέσιες τᾶς ψυχᾶς ἡμιτελέες μὲν ἀρεταί· ἡμιτελέες δὲ κακίαι τυγχάνοντι. ὁ μὲν γὰρ λογισμὸς, ὑγιαίνει· τὰ δ' ἄλογα μέρεα τᾶς ψυχᾶς, νοσεῖ. καὶ καθὸ μὲν ἄρχεται καὶ ἄγεται ὁ θυμὸς, καὶ ἁ ἐπιθυμία ὑπὸ τῶ λόγον ἔχοντος μέρεος τᾶς ψυχᾶς, ἁ ἐγκράτεια καὶ ἁ καρ-

Ayuntamiento de Madrid

τελεία, ἀρετὰ τυγχάνοντι. καθὸ δὲ μετὰ βίας, ἀλλ' οὐχ ἑκουσίως. τὸ δὲ ἀκούσιον, οὐκ ἄνευ ἡδονᾶς καὶ φιλοφροσύνας. ἅμα δὲ καὶ ὁ λόγος τᾶς διαιρέσιος ἐμπέσοι. καὶ παρέστω ταῦθ' οὕτως ἔχειν. ἁ μὲν γὰρ γνῶσις καὶ ἁ ὅρασις τῶν πραγμάτων, τοῦ λόγον ἔχοντος μέρεος ἐντὶ τᾶς ψυχᾶς. ἁ δὲ δύναμις τῶ ἀλόγω. τὸ γὰρ ἀντέχειν μὴ δύνασθαι τῶν πόνων, ἐπικρατεῖν δὲ τᾶν ἀδονᾶν, οἰκεῖον ἐντὶ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. ἁ δὲ προαίρεσις, ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς, καὶ τῶ ἀλόγω. σύγκειται γὰρ ἐκ διανοίας καὶ ὀρέξιος. ὧν ἁ μὲν διάνοια τῶ λόγον ἔχοντος ἐντί, ἁ δ' ὄρεξις, τῶ ἀλόγω. διὸ καὶ ἀρετὰ πᾶσα ἐν συναρμογᾷ γίνεται τῶν μερέων τᾶς ψυχᾶς. καὶ ἑκούσιον δὲ καὶ τὸ προαιρετὸν πάντως ἐν τᾷ ἀρετᾷ.

Δ Δεῖ ὥσπερ τὸν ἀγαθὸν ὑποκριτήν, ὅ τι ἂν ὁ ποιητὴς περιθῇ πρόσωπον, τοῦτο ἀγωνίζεσθαι καλῶς, οὕτω καὶ τὸν ἀγαθὸν ἄνδρα, ὅ τι ἂν περιθῇ ἡ τύχη. καὶ γὰρ αὕτη φησὶν ὁ Βίων, ὥσπερ ποιήτρια, ὁτὲ μὲν πρωτολόγου, ὁτὲ δὲ ὑστερολόγου περιτίθησι πρόσωπον. καὶ ὁτὲ μὲν, βασιλέως, ὁτὲ δὲ ἀλήτου. μὴ οὖν βούλου δευτερολόγος ὤν, τὸ πρωτολόγου πρόσωπον. εἰ δὲ μή, ἀνάρμοστόν τι ποιήσεις. σὺ μὲν ἄρχεις καλῶς. ἐγὼ δέ, ἄρχομαί φησι. καὶ σὺ μὲν πολλῶν, ἐγὼ δὲ ἑνὸς τουτουῒ παιδαγωγὸς γενόμενος. καὶ σὺ μὲν εὔπορος γενόμενος, δίδως ἐλευθερίως. ἐγὼ δὲ λαμβάνω εὐθαρσῶς παρὰ σοῦ. οὐχ ὑποπίπτων, οὐδὲ ἀγεννίζων, οὐδὲ μεμψιμοιρῶν. σὺ κέχρησαι τοῖς πολλοῖς καλῶς, ἐγὼ δὲ τοῖς ὀλίγοις. οὐ γὰρ τὰ πολυτελῆ φασι τρέφειν. οὐδὲ ἐκείνοις μὲν δεῖ μετ' ὠφελείας χρῆσθαι. τοῖς δὲ ὀλίγοις καὶ εὐτελέσι, μετὰ σωφροσύνης οὐκέτι καὶ ἀτυφίας. διὸ καὶ εἰ λάβοι φησὶν ὁ Βίων φωνὴν τὰ πράγματα ὃν τρόπον καὶ ἡμεῖς, καὶ δύναιτο δικαιολογεῖσθαι, οὐκ ἂν εἴποι φησὶν ἡ πενία, ἄνθρωπε τί μοι μάχῃ. ὥσπερ οἰκέτης τὸν κύριον ἐφ' ἱερὸν καθίσας δικαιολογεῖται, τί μοι μάχῃ. μή τι σοι κέκλοφα; οὐκ ἂν τὸ προσταττόμενον ὑπὸ σοῦ ποιῶ; οὐ τὴν ἀποφορὰν εὐτάκτως σοι φέρω; καὶ ἡ πενία εἴποι πρὸς τὸν ἐγκαλοῦντα. τί μοι μάχῃ. μὴ καλοῦ τινος δι' ἐμὲ στερίσκῃ; μὴ σωφροσύνης; μὴ δικαιοσύνης; ἀνδρείας; ἀλλὰ μὴ τῶν ἀναγκαίων ἐνδεὴς εἶς; οὐ μεσταὶ μὲν αἱ ὁδοὶ λαχάνων; πλήρεις δὲ αἱ κρῆναι ὕδατος; οὐκ εὐνάς σοι τοσαύτας παρέχω, ὁπόση γῆ; καὶ στρωμνὰς φύλλα; ἢ εὐφραίνεσθαι μετ' ἐμοῦ οὐκ ἔστιν; ἢ οὐχ ὁρᾷς γραΐδια φύρτην φαγόντα τερετίζοντα; ἢ οὐκ ὄψον ἀδάπανον καὶ ἀπερίεργον παρασκευάζω σοι τὴν πεῖναν; ἢ οὐχ ὁ πεινῶν ἥδιστα ἐσθίει, καὶ ἥκιστα ὄψου δεῖται; καὶ ὁ διψῶν, ἥδιστα πίνει, καὶ ἥκιστα τὸ μὴ παρὸν ποτὸν ἀναμένει; ἢ πεινᾷ τις πλακοῦντα, ἢ διψᾷ χιόνα. ἀλλ' οὐ ταῦτα διὰ τρυφὴν ζητοῦσιν ἄνθρωποι. ἢ οἰκήσεις οὐ παρέχω σοι.

Ἐκ τοῦ Τέλητος περὶ αὐταρκείας

Ayuntamiento de Madrid

Περὶ φρονήσεως.

Πρῶτον μὲν χειμῶνι τὰ βαλανεῖα, θέρους δὲ τὰ ἱερά. ποῖον γάρ σοι τοιοῦτον οἰκητήριόν φησιν ὁ Διογένης τοῦ θέρους, οἷον ἐμοὶ ὁ Παρθενών, οὗτος εὔπνους καὶ πολυτελής. ἂν ταῦτα λέγῃ ἡ πενία, τί ἂν ἔχεις ἀντειπεῖν; ἐγὼ μὲν γὰρ δοκῶ, εὔφονος γενέσθαι. ἀλλ᾽ ἡμεῖς πάντα μᾶλλον αἰτιώμεθα, ἢ τὴν ἑαυτῶν δυστροπίαν, καὶ κακοδαιμονίαν, τὸ γῆρας, τὴν πενίαν, τὸν ἀπατήσαντα, τὴν ἡμέραν, τὴν ὥραν, τὸν τόπον. διό φησιν ὁ Διογένης, φωνῆς ἀκηκοέναι κακίας, ἑαυτὴν αἰτιωμένης.

Αἰσχύλου.

Ἀεὶ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς.
ὁ χρήσιμ᾽ εἰδὼς, οὐχ ὁ πόλλ᾽ εἰδὼς σοφός.
ἢ χαίρειν ἔστ᾽ ἄνθρωπον, ἂν ἄνθρωπος ᾖ.
ἀπάτης δικαίας, οὐκ ἀποστατεῖ θεός.
ἁμαρτάνει τε καὶ σοφοῦ σοφώτερος.

Μενάνδρου.

Ἅπαντα δοῦλα τοῦ φρονεῖν καθίσταται.
τὸ δ᾽ ἀσθενέστερον καὶ τὸ θῆλυ σώματος κακῶς ἐμέμφθης.
ἂν γὰρ φρονεῖν ἔχω, κρεῖσσον τὸ δ᾽ ἐστὶ καρτεροῦ βραχίονος
ὡς ὄψις ἐν ὀφθαλμῷ, νοῦς ἐν ψυχῇ.

Σοφοκλέους.

Ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν.
ἀλλ᾽ ἡ φρόνησις ἡ ἀγαθὴ, θεὸς μέγας.
οὐ τῇ φρονήσει, τῇ τύχῃ δ᾽ ἐπιτέον.
οὐχ ὡς νομίζεις τὸ φρονεῖν εἶπας κακῶς.

Χαιρήμονος.

Τό τοι κράτιστον πανταχοῦ τιμητέον.
ὁ γὰρ φρονῶν εὖ, πάντα συλλαβὼν ἔχει.

Εὐριπίδου.

Ὀρθῶς μ᾽ ἐπῄρου. βούλομαι δέ σοι τέκνον.
φρονεῖς γὰρ ἤδη κἀποσώσαις ἂν πατρός.
γνώμας φράσαντες ἂν θανὼν παραινέσαις.
κειμήλι᾽ ἐσθλά. καὶ νέοισι χρήσιμα.
βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ.
πρῶτον μὲν φρένας ἠπίους ἔχειν χρεών.
τῷ πλουσίῳ τε μὴ διδοὺς μέρος.
ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσι δίδου.
δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον
γνώμην προσάπτειν τὴν ἐναντίαν μίσει.
ἀδίκως δὲ μὴ κτῶ χρήματα ἢν βούλῃ πολὺν
χρόνον μελάθροις ἐμμένειν. τὰ δ᾽ ἀδίκως

εἰκεῖα

Ayuntamiento de Madrid

οἴκοις ἀσελγεῖν τ᾽ οὐκ ἔχει σωτηρίαν.
ἔχειν δὲ παρῶ. τοῦτο γὰρ τοὐτ᾽ εὐγενές.
ἐν τῷ πένεσθαι δ᾽ ἐστὶν ἥτ᾽ ἀδοξία,
ἥτ᾽ ἀνδρεία ἥτ᾽ ἀτιμία βίου.
φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις,
κέκτησο. τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
τῇ σῇ πονηρούς, κλεῖθρον εἰργέτω στέγης.
ὁμιλίας τε τὰς γεραιτέρους θέλε.
βραχεῖα τέρψις ἡδονῆς τίκτει λύπην.
ἐξουσίαν δὲ, μήποτ᾽ εὐτυχῶν τέκνον,
αἰσχρῶν ἔρωτας δημοτῶν διωκάθειν.
ὃ, καὶ σίδηρον, ἀγχόνας τ᾽ ἐφέλκεται,
χρηστῶν πενήτων ἄν τις αἰσχύνῃ τέκνα.
καὶ τοὺς πονηροὺς μήποτ᾽ αὔξανειν πόλει.
κακοὶ γὰρ ἐμπλησθέντες, ἢ νομίσματος,
ἢ πόλεως ἐμπεσόντες εἰς ἀρχήν τινα,
σκιρτῶσιν ἀδίκως εὐτυχησάντων δόμων.
ἀλλ᾽ ὦ τέκνον μοι δὸς χέρ᾽ ὡς θίγῃ πατήρ.
καὶ χαῖρ᾽, ὑπ᾽ αἰδοῦς δ᾽ οὐ λίαν ἀσπάζομαι.
γυναικόφρων γὰρ θυμὸς, ἀνδρὸς οὐ σοφοῦ.
Ὅς τις νέμει κάλλιστα τοῖς αὐτοῦ φίλοις,
οὗτος σοφὸς πέφυκεν εἰς τὸ συμφέρον. Πυθαγόρου
Πολλοὶ δ᾽ ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοί.
προσπίπτουσ᾽ ὧν μήτ᾽ ἐκπλήσσεο, μήτ᾽ ἂρ ἐάσῃς
εἴργεσθαι σαυτόν. ψεῦδος δ᾽ ἤν που γένηται, πράως
εἶκε. ὃ δέ τοι ἐρέω, ἐπὶ πᾶσι τελείσθω.
μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ.
πρῆξαι μηδ᾽ εἰπεῖν ὅ, τι τοι μὴ βέλτερόν ἐστι.
πρῆσσαι δὲ ταῦτα ἃ μή σε βλάπτῃ, λόγισαι δὲ πρὸ ἔργου.
Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου. Εὐριπίδου.
Ὅταν ἕτερός σοι μὴ δὲ ἓν πλέον διδῷ, Μενάνδρου
δέξαι τὸ μέτριον, τοῦ λαβεῖν γὰρ μηδὲ ἓν
τὸ λαβεῖν ἔλαττον, πλεῖον ἔσται σοι πολύ.
Ἰσχὺς καὶ τεῖχος καὶ ὅπλον σοφοῦ, ἡ φρόνησις. Πυθαγόρου.



Ayuntamiento de Madrid

Ἀριστοτέλους.

Νομίζειν τὴν εὐδαιμονίαν οὐκ ἐν τῷ πολλὰ κεκτῆσθαι γίγνεσθαι. ἀλλ' ἐν τῷ τὴν ψυχὴν εὖ διακεῖσθαι, καὶ γὰρ οὐδὲ τὸ σῶμα αὐτὸ τὸ λαμπρᾷ ἐσθῆτι κεκοσμημένον φαίη τις εἶναι μακάριον. ἀλλὰ τὸ τὴν ὑγείαν ἔχον, καὶ σπουδαίως διακείμενον. κἂν μηδὲν τῶν προειρημένων αὐτῷ παρῇ. τὸν αὐτὸν δὲ τρόπον καὶ ψυχὴν ἐὰν ᾖ πεπαιδευμένη, τὴν τοιαύτην καὶ τὸν τοιοῦτον ἄνθρωπον, εὐδαίμονα προσαγορευτέον ἐστίν. οὐκ ἄν τις ἐκ τούτων ᾖ λαμπρῶς κεκοσμημένος αὐτὸς μηδενὸς ἄξιος ὤν. οὔτε γὰρ ἵππος κἂν ψέλια χρυσᾶ καὶ σκευὴν ἔχῃ πολυτελῆ, φαῦλος ὤν, τὸν τοιοῦτον, ἄξιόν τινες νομίζομεν εἶναι. ἀλλ' ὃς ἂν διακείμενος ᾖ σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν. ὥσπερ γὰρ εἴ τις τῶν οἰκετῶν αὐτοῦ χείρων εἴη, καταγέλαστος ἂν γένοιτο, τὸν αὐτὸν τρόπον οἷς πλείονος ἀξίαν τὴν κτῆσιν εἶναι συμβέβηκε τῆς ἰδίας φύσεως, ἀθλίους τούτους εἶναι δεῖ νομίζειν. καὶ τοῦτο κατ' ἀλήθειαν οὕτως ἔχει. τίκτει γὰρ ὥσπερ φησὶν ἡ παροιμία, κόρος μὲν ὕβριν. ἀπαιδευσία δὲ μετ' ἐξουσίας ἄνοιαν. τοῖς γὰρ διακειμένοις τὰ περὶ τὴν ψυχὴν κακῶς, οὔτε πλοῦτος, οὔτ' ἰσχύς, οὔτε κάλλος τῶν ἀγαθῶν ἐστιν. ἀλλ' ὅσωπερ ἂν αὗται μᾶλλον αἱ διαθέσεις καθ' ὑπερβολὴν ὑπάρξωσι, τοσούτῳ καὶ πλείω καὶ μείζω τὸν κεκτημένον βλάπτουσι χωρὶς φρονήσεως παραγενόμεναι.

Ἰαμβλίχου.

Τὴν ἡγεμονοῦσαν τῶν ἀρετῶν φρόνησιν καὶ χρωμένην αὐταῖς ὅλαις καθάπερ ὄμμα νοερὸν τάξεώς τε καὶ μέτρα αὐτῶν. καὶ τὴν εὐκαιροτάτην εὖ διακοσμοῦσαν, ἀποδείκνυσιν ὅλον, ὑπαυγὲς ἐν τῷ παρόντι. αὕτη τοίνυν προηγουμένη μὲν, παραδέχεται τὴν ἀπογέννεσιν, ἀπὸ τοῦ καθαροῦ καὶ τελέου νοῦ. γενομένη δ' οὕτως, εἰς αὐτὸν τὸν νοῦν ἀποβλέπει. καὶ τελειοῦται ἀπ' αὐτοῦ μέτρον καὶ παράδειγμα αὐτὸν ἔχει κάλλιστον. καὶ τῶν ἐν αὐτῇ πασῶν ἐνεργειῶν εἰ δέ τις ἔτι καὶ πρὸς θεοὺς ἡμῖν κοινωνία, διὰ ταύτης μάλιστα τῆς ἀρετῆς αὕτη συνίσταται. καὶ κατὰ ταύτην διαφερόντως πρὸς αὐτὴν ἀφομοιούμεθα. ἀγαθῶν τε καὶ συμφερόντων καὶ καλῶν καὶ τῶν ἐναντίων διάγνωσις. ἀπὸ ταύτης ἡμῖν πάρεστιν ἔργων τε προσηκόντων κρίσις, καὶ κατόρθωσις. δι' αὐτὴν κατευθύνεται. καὶ συλλήβδην φάναι, κυβερνητική τίς ἐστι τῶν ἀνθρώπων, καὶ τοῖς ὅλοις ἐν αὐτοῖς διατάξεως ἀρχηγός. πόλεις τε καὶ οἴκους, καὶ τὸν ἴδιον ἑκάστου βίον, εἰς παράδειγμα τὸ θεῖον ἀναφέρουσα, διαζωγραφεῖ κατὰ τὴν ἀρίστην ὁμοιότητα. τὸ μὲν, ἐξαλείφουσα. τὸ δὲ, ἐναπομοργνυμένη. τὰ δὲ ἀμφότερα συμμέτρως ἀπεικάζουσα. ὄντως ἄρα καὶ θεοειδεῖς ἀπεργάζεται τοὺς ἔχοντας αὐτὴν ἡ φρόνησις.

Ayuntamiento de Madrid

F αὖτις ἴσον νέκυες. ψυχῶν δὲ θεὸς βασιλεύει. Φωκυλίδου.
κοινὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.
ὅπλον ἑκάστῳ νεῖμε θεὸς φύσιν ἠερόφοιτον.
λαγωοῖς πολλὴν ταχυτῆτ' ἀλκήν τε λέουσι.
ταύροις δ' αὐτοχύτοις κεράεσσι. κέντρα μελίσσαις.
ἔμφυτον ἀλκαρ ἔδωκε. λόγον δ' ὅς ἐστιν ἄριστος.
ἀνθρώπῳ νεῖμεν. βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.

Ε γὼ δ' οὐδὲν πρεσβύτερον νομίζω τῆς σωφροσύνης. Μένανδρος
ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ ξύνεστι.
φόβος δὲ τὰ θεῖα τοῖσι σώφροσι βροτῶν,
μὴ πλοῦτον εἴπης. οὐχὶ θαυμάζω θεὸν,
ὃν καὶ κάκιστος ῥαδίως ἐκτήσατο.
οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν, ἔπη καλά.
αἰαῖ. τὸ δ' ἤδη θεῖον ἀνθρώποις κακόν.
ὅταν τις ἴδῃ τἀγαθὸν. χρῆται δὲ μή.
ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνον
Δήμητρος ἀκτῆς, πόματος θ' ὑδρηχόου.
εἰμαρμένων δὲ τῶν κακῶν βουλευμάτων,
κακὰς ἀμοιβὰς δεῖ καρποῦσθαι βροτοῖς.
πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων,
σφάλλουσιν ἡμᾶς κρείττονες πεφυκότες.
θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλει.
τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο.
τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος ἔνθα κερδανεῖς.

Τ ὰς γὰρ συμφορὰς τῶν κακῶς πεπραγότων, Εὐριπίδου
οὔ πώποθ' ὕβρισ' αὐτὸς ὀρρωδῶν παθεῖν.
δυοῖν λεγόντοιν θατέρου θυμουμένου,
μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.

Α λλὰ μὴν ἡ φρόνησις, οὐ σωμάτων, ἀλλὰ πραγμάτων ὄψις ἐστὶ, Πλουτάρχου πρὶν ἐν αὐτοῖς γενέσθαι τὸν ἄνθρωπον, ὅπως ἄριστα χρήσεται τοῖς ἀπαντῶσι καὶ προστυγχάνουσι, παρέχουσι διασκοπεῖν τὸ μέλλον. τὸ μὲν οὖν σῶμα, πρόσω μόνον ὠμμάτωται, τοῖς δ' ὄπισθεν, τυφλόν ἐστιν ἀτεχνῶς, ἡ δὲ διάνοια, καὶ τὰ παρῳχημένα βλέπειν, τῇ μνήμῃ πέφ



Ayuntamiento de Madrid

φυκεν. ὁ γὰρ ἐγκαθείμενος ἀεὶ καὶ οἰκουρῶν γραμματεὺς ἐν ἡμῖν, ὥς φησιν ὁ πλάτων, οὗτός ἐστι. καὶ προγέγονας ἐνταῦθα τῆς ψυχῆς, εἴτε μέρος εἴτε ὄργανον, ὃ τῶν πραγμάτων ἀντιλαμβάνεται φερόμενον. καὶ φυλάττει. καὶ ἵστησι. καὶ κύκλον ποιεῖ τὸ παρῳχημένον ἐπιστρέφουσα. καὶ συνάπτουσα τῷ παρόντι, καὶ παραῤῥεῖν εἰς τὸ ἄπειρον οὐκ ἐῶσα. καὶ ἀνύπαρκτον καὶ ἄγνωστον.

**Θεοφράστου.** Χρὴ τοίνυν τὸν μέλλοντα θαυμασθήσεσθαι, περὶ τὸ θεῖον φιλοθύτην εἶναι. μὴ τῷ πολλὰ θύειν, ἀλλὰ τῷ πυκνὰ τιμᾶν τὸ θεῖον. τὸ μὲν γὰρ, εὐπορείας, τὸ δὲ ὁσιότητος σημεῖον. ἔπειτα γονᾶς γηροβοσκεῖν καλῶς, τοῖς ἐκείνων βουλήσεσι, τὸν αὐτοῦ βίον εὐπειθῆ κατασκευάζειν. ὁ γὰρ μὴ τοιοῦτος, ἀλλὰ τῶν τε τῆς φύσεως, τῶν τε τῆς πόλεως νόμων ὀλιγωρῶν, ἀμφοτέροις τοὺς τῆς δικαιοσύνης τρόπους παραβέβηκεν. καὶ μὴν καὶ γυναικὸς καὶ παίδων ἐπιμελητέον καλῶς καὶ φιλανθρώπως. οἱ μὲν γὰρ εἰς τὸ γῆρας ἀμείβονται ταῖς θεραπείαις. ἡ δὲ ἐν ταῖς νόσοις καὶ ταῖς καθ' ἡμέραν οἰκονομίαις ἀποδώσει τὴν εὐεργεσίαν. ἐάν τινι συμβάλλειν ἀνάγκη, ἢ μετὰ τοῦ βεβαίου πειρῶ τοῦτο πράττειν. φρονιμωτάτου γὰρ ἀνδρὸς δανείσαντα φρονίμως, ἀπολαβεῖν φιλικῶς, ἢ συναλλάξαντα φιλανθρώπως, κομίσασθαι φιλαπεχθημόνως.

**Δημοκρίτου.** Φρονήσιος ἔργον, μέλλουσαν ἀδικίην φυλάξασθαι. ἀναλγησίης δὲ, τὸ γενόμενον μὴ ἀμύνασθαι.

**Σωκράτους** Σωκράτης ἐρωτηθεὶς, τί φρόνησις, εὐαρμοστία εἶπε ψυχῆς. ὁ αὐτὸς ἐρωτηθεὶς, τίνες φρόνιμοι, οἱ μὴ ῥᾳδίως εἶπεν ἐξαμαρτάνοντες.

**Περιάνδρος.** Περίανδρος ἐρωτηθεὶς, τί μέγιστον ἐν ἐλαχίστῳ, εἶπε, φρένες ἀγαθαὶ ἐν σώματι ἀνθρώπου.

**Δημοκρίτου.** Αἱ μεγάλαι τέρψεις, ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται.

**Πλάτωνος** Φθονερὸν δὴ ἀνάγκη εἶναι καὶ πολλῶν μὲν ἄλλων συνουσιῶν ἀπείργοντα καὶ ὠφελίμων ὅθεν ἂν μάλιστα ἀνὴρ γένοιτο, μεγάλης αἴτιον εἶναι βλάβης. μεγίστης δὲ τῆς ὅθεν ἂν φρονιμώτατός τις εἴη. τοῦτο δὲ ἡ θεία φιλοσοφία τυγχάνει ὄν. ἧς ἐραστὴν παιδικὰ ἀνάγκη πόῤῥωθεν εἴργειν, περίφοβον ὄντα τοῦ καταφρονηθῆναι.

**τοῦ αὐτοῦ.** Πέφυκε ξυνιέναι εἰς τὸ αὐτὸ φρόνησίς τε καὶ δύναμις μεγάλη. καὶ ταῦτα ἄλληλα ἀεὶ διώκει, καὶ ζητεῖ, καὶ συγγίνεται.

**Πυθαγόρου.** Ὑπομίμνησκε σεαυτὸν, ὅτι πάντες ἂν οἱ μέγιστον ἀγαθὸν τὴν φρόνησιν εἶναι λέγουσιν. ὀλίγοι δὲ εἰσιν οἱ τὸ μέγιστον ἀγαθὸν τοῦτο κτήσασθαι εὐτονήσαντες.

Σωκράτης

Ayuntamiento de Madrid

Σωκράτης ὁ φιλόσοφος, πολλὰ τῶν φίλων αὐτῷ πεμπόντων, ἐπειδὴ μηδὲν δεχόμενος ἐπὶ τούτῳ παρὰ Ξανθίππης εὐθύνετο, ἔφη· ἂν τὰ διδόμενα πάντα ἑτοίμως λαμβάνωμεν, οὐδ᾽ αὖ τοιούτους τοὺς διδόντας ἕξομεν. Σωκράτους

Ἔφη τις τὸν Διογένην ἀνόητον εἶναι. ὁ δὲ, ἀνόητος μὲν, οὐκ εἰμὶ ἔφη. τὸν δὲ αὐτὸν ὑμῖν νοῦν οὐκ ἔχω. Διογένους.

Πωλούμενος ἐν Κορίνθῳ, ἐρομένου τοῦ κήρυκος τί ἐπίστασαι. ἀνθρώπων ἔφη ἄρχειν. καὶ ὁ κῆρυξ γελάσας, μέγα ἐπιτήδευμα πωλῶ, εἴ τις θέλει πρίασθαι κύριον.

Σωφρονέστατον δὲ οἶμαι τοῦ μετὰ τὸ παθεῖν ἐγκαλεῖν, τὸ πρὶν παθεῖν φυλάξασθαι τὸ μὴ παθεῖν. Γαΐου.

Ξένου τινὸς ἰδίαν φράσιν φάσκοντος αὐτῷ, ὅπως προφοβήσει τοὺς ἐπιβουλεύοντας, ἐκέλευσεν εἰπεῖν. ὁ δὲ, προσελθὼν, δός ἔφη μοι τάλαντον, ἵνα δόξῃς μεμαθηκέναι τὰ σημεῖα τῶν ἐπιβουλευόντων. ἔδωκεν οὖν θαυμάζων τὴν μέθοδον τοῦ ἀνθρώπου. Διονυσίου.

Χρύσιππος ὁ στωϊκὸς ἔφη τὴν δικαιοσύνην, εἶναι λόγου πηγήν. Χρυσίππου.

Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα, οὕτως οἱ ἐν εὐτυχίᾳ φρονοῦντες. καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἑτοιμάκασι παθήματα. Σακράτους

Ἴσον ἐκεῖνο ὦ βασιλεῦ παρ᾽ ἐμοὶ κέκριται. φρονέειν τε εὖ. καὶ τῷ λέγοντι χρηστὰ ἐθέλειν πείθεσθαι. Ἡροδότου

Σὺ δὲ μαθὼν ὅσον φθονέεσθαι κρεῖσσόν ἐστιν ἢ οἰκτείρεσθαι. ἅμα τε ὁκοῖον ἐς τοὺς τοκέας καὶ ἐς τοὺς κρέσσονας τεθυμῶσθαι, ἄπιθι ἐς τὰ οἰκεῖα.

Οἶον ὅτε τέτταρα ἐφήσαμεν ἀρετῆς εἴδη γεγονέναι, δῆλον ὡς ἓν ἕκαστον ἀνάγκη φάναι τεττάρων ὄντων, τὴν μίαν. καὶ μίαν, ἕν γε αὖ πάντα ταῦτα προσαγορεύομεν. ἀνδρείαν γάρ φαμεν ἀρετὴν εἶναι. καὶ τὴν φρόνησιν ἀρετήν. καὶ τὰ δύο τἆλλα. ὡς ὄντα οὐ πολλὰ ἀλλ᾽ ἓν τοῦτο μόνον ἀρετήν. πάνυ μὲν οὖν. ᾗ μὲν τοίνυν διαφέρετον ἀλλήλοιν τούτω τὼ δύο, καὶ δύο ὀνόματα ἐλαβέτην. καὶ τὰ ἄλλα οὐδὲν χαλεπὸν εἰπεῖν. ᾗ δὲ ἓν ἀμφοῖν ἐπωνομάσαμεν ἀρετὴν, καὶ τοῖς ἄλλοις οὐκ εὐπετές ἐστι. πῶς λέγεις. οὐδὲν χαλεπὸν ὅ, γε λέγω δηλῶσαι. διανεμώμεθα γὰρ ἀλλήλοις τὴν ἐρώτησιν καὶ ἀπόκρισιν. πῶς οὖν φράζεις ἐρώτησόν με, τί ποτε ἓν προσαγορεύοντες ἀρετὴν ἀμφότερα, δύο πάλιν αὐτὰ προσείπομεν. τὸ μὲν, ἀνδρείαν, τὸ δὲ, φρόνησιν. ἐρῶ γάρ σοι τὴν αἰτίαν. ὅτι ὁ μέν ἐστι περὶ φόβον. οὗ καὶ τὰ θηρία μετέχει τῆς ἀνδρείας καὶ τά γε τῶν παίδων ἤθη τῶν πάνυ νέων. ἄνευ γὰρ λόγου, καὶ φύσει γίγνεται ἀνδρεία ψυχή. ἄνευ δὲ αὖ λόγου ψυχὴ φρόνιμός τε καὶ Πλάτωνος



Ayuntamiento de Madrid

νοῦν ἔχουσα, οὔτ᾽ ἐγένετο πώποτε, οὔτ᾽ ἔστιν, οὐδ᾽ αὖθίς ποτε γενήσεται, ὡς ὄντως ἑτέρου ἀληθῆ λέγεις.

Πῶς γὰρ ὦ φίλε δύναιτο αὐτῆς ἀρχομένη ἀπὸ δόξης ψευδοῦς εἴη τῆς ἀληθείας καὶ μικρὸν μέρος ἀφικνόμενος κτήσασθαι σχεδὸν φρόνησιν, οὐδαμῶς.

Ωσπερ εἰς κοινὸν σκάφος, τὰ ἀπὸ τῆς φρονήσεως ἔρματα δεῖ προσεμβάλλειν.

Ο φρόνιμος ὥσπερ εἴσοδον τὸν βίον, οὐ τὰ πολλοῦ ἄξια συντίθησιν ἐφόδια, ἀλλὰ τὰ ἀναγκαιότερα.

Κρίτωνος ἤτοι δαμίππου εὐτυχία.

Φρόνασις καὶ εὐτυχία, ὧδε ἔχοντι ποτ᾽ ἄλλαλα. φρόνασις μὲν, τὸ ῥητὸν καὶ λόγον ἔχον, τεταγμένον γάρ τι καὶ ὡρισμένον ἐντί. εὐτυχία δὲ, τὸ ἄρρητον καὶ τὸ ἄλογον. ἄτακτον γάρ τι καὶ ἀόριστον ἐντί. καὶ τὸ μὲν ἀρχᾶς καὶ δυνάμιος πρᾶτον. τὸ δὲ ἀρχᾶς καὶ δυνάμιος ὕστερον. τὸ μὲν γὰρ κυβερνῆν καὶ ὁρίζεν, πέφυκε. τὸ δὲ κυβερνῆσθαι καὶ ὁρίζεσθαι, λαμβάνοντι μάντοι γε συναρμογὰν ἀμφότεραι φρονάσιος καὶ εὐτυχίας ἐς ταυτὸ συνδραμοίσας. αἰεὶ γὰρ δεῖ, τὰν μὲν ῥητὰν καὶ λόγον ἐχοίσαν φύσιν, ἔχον ὅπερ ἀνεῖται καὶ συντάξει. τὰν δὲ ἄρρητον καὶ ἄλογον, ἔχεν, ὑφ᾽ ὧ περαθήσεταί τε καὶ συνταχθήσεται. ἔχει γὰρ οὕτως ὁ λόγος κατὰ πάντων. ὅτε τᾶς ἀπείρου φύσιος καὶ τᾶς περαινοίσας. τὰ μὲν γὰρ ἄπειρα, φύσιν ἔχει περαίνεσθαί τε καὶ συντετάχθαι, ὑπὸ τὸν λόγον ἐχόντων ἀεὶ καὶ φρόνασιν. ὕλας γὰρ καὶ οὐσίας ἔχοντι τάξιν. τὰ δὲ περαίνοντά τε, ὀξ αὐτέων συντετάχθαι τε καὶ ὡρίσθαι. τέχνας γὰρ καὶ αἰτίας ἐνεργατικὰς, ἐπέχοντι τάξιν.

Ἐν ταυτῷ. Α δὲ συναρμογὰ ταύταν τᾶν φύσιον κατ᾽ ἄλλα καὶ ἄλλα γινόμενα, μεγάλαν καὶ ποικίλαν πεποίηκε τὰν διαφορὰν τῶν συναρμοσμένων. ἔν τε γὰρ τᾷ τῶν ὅλων περιοχᾷ συναρμογὰν συναμφοτέραν συναμφοτέρων τᾶν φύσιων. τᾶς τε ἀεικινάτω φύσιος, καὶ τᾶς ἀεὶ παθέος, κόσμος ἐντί. ἄλλως γὰρ οὐκ ἐνεδέχετο σώζεσθαι, τό, τε ὅλον καὶ τὸ πᾶν, μὴ συναρμογὰν ἔχοντος τῷ γεννατῷ, ποτὶ τὸ θεῖον, καὶ τῷ ἀεὶ παθέος, ποτὶ τὸ ἀκίνατον. ἔν τε τῷ ἀνθρώπῳ ἁ συναρμογὰ τῷ ἀλόγῳ μέρεος τᾶς ψυχᾶς, ποτὶ τὸ λόγον ἔχον, ἀρετὰν, οὔτε γὰρ ἐν τούτοις ἐνδέχεται στάσιος ἐούσας ἐν ἀμφοτέροις τοῖς μέρεσιν ἀποτελεσθῆμεν ἀρετάν. καὶ ἐν πόλει δὲ, τῶν μὲν ἀρχομένων ποτὶ τὼς ἄρχοντας, ἀπὸ τελεῖ κράτος, καὶ ὁμόνοιαν. τὸ μὲν γὰρ ἄρχεν, ἴδιον τῶ κρείσσονος. τὸ δ᾽ ἄρχεσθαι. ῥᾶον τῷ χείρονος. τὸ δὲ κρατὲν καὶ ὁμονοεν, κοινὸν ἀμφοτέρων. ὁ δὲ αὐτὸς τρόπος τᾶς ἐφ᾽ ὅλῳ καὶ αὐτῷ τᾶς ἐν οἴκῳ συναρμογᾶς, συν

τίθεταί τε

Ayuntamiento de Madrid

τίθεταί τε καὶ συντίθησιν ἐπῳδὰς καὶ παιδείας, ποτὶ λόγον ἐς τὸ αὐτὸ συναρμοίσας. καὶ λύπας δὲ καὶ ἡδονὰς καὶ εὐτυχίας καὶ ἀτυχήματα. χρίζει γὰρ ὁ βίος τυγχάνειν καὶ ἀνέσιος, καὶ ἐπιτάσιος. καὶ σκυθρωπότατος; καὶ διαχύσιος. καὶ εὐτυχείας δὲ καὶ ἀτυχίας. αἱ μὲν γὰρ συνέχειν καὶ συνάγειν δύνανται τὸν νόον ἐς τὰν εὐμαχανίαν, καὶ ἐς τὰν φρόνασιν, αἱ δ᾽ ἄμπαυσιν καὶ διάχυσιν παρεχόμεναι, κουφότερον καὶ εὔψυχον αὐτὸν παρασκευάζοντι ποτὶ τὰς πράξιας. ᾇ δὲ ἓν τούτων ἐνδυναστεύοι κατὰ τὸν βίον, ἑτερομερής τε καὶ ἑτεροκλινὴς γίνεται ὁ βίος. ὅκα μὲν ἐπὶ τὸ σκυθρωπόν τε καὶ χαλεπὸν καταφερόμενος. ὅκα δὲ ἐπὶ τὸ ἀνειμένον καὶ κοῦφον. ἁ δὲ συναρμογὰ τούτων ἁπάντων, ὀφείλει γίγνεσθαι ποτὶ τὰν φρόνασιν. αὕτα γὰρ ἁ διενεργοῦσα ἐντί, τό, τε ἄπειρον καὶ τὸ περαῖνον ἐν ταῖς πράξεσι. διόπερ καὶ τᾶν ἄλλαν ἀρετᾶν αὕτ᾽ ἂν ἁγεμών ἐντι καὶ μάτηρ. πᾶσαι γὰρ ποτὶ τὸν λόγον καὶ νόμον τὸν ταύτας συναρμοσμέναι τε καὶ συντεταγμέναι τυγχάνοντι. περαίνεται δὴ ὁ λόγος ἤδη μοι κατ᾽ εὐθεῖαν. τὸ γὰρ ἄλογον καὶ τὸ ῥητὸν ἐν πᾶσιν ἐντί. καὶ τὸ μὲν, ὁρίζει καὶ περαίνει. τὸ δ᾽ ὁρίζεται καὶ περαίνεται, τὸ δ᾽ ἐξ ἀμφοτέρων αὐτῶν συγκείμενον, ἅτε τῶ ὅλω καὶ τῶ παντὸς, συναρμογά ἐντι.

Ἀρχύτου Πυθαγορείου.

Φρόνιμος ἀνὴρ οὕτως ἂν μάλιστα γένοιτο. φύσιος πρᾶτον εὐστόχω τε καὶ μναμονικᾶς καὶ φιλοπόνω, τυχών. ἐν λογισμοῖς τε καὶ μαθημάτεσι. καὶ ταῖς ποτακείβεσι θεωρίαις εὐθὺς ἐκ νέων γυμνάσαιτο τὰν διάνοιαν φιλοσοφίας ἁπτόμενος ὀρθᾶς. μετὰ δὲ ταύτας, θεῶν τε νόμων καὶ βίων ἀνθρωπίνων, ἐμπειρίαν λάβῃ. δύο γάρ ἐντι ἐξ ὧν τῷ φρονίμῳ διάθεσις παραγίνεται. ὧν τὸ μέν ἐντι ἕξιν μαθηματικάν τε καὶ γνωστικὰν λαβεῖν. τὸ δὲ θεωρήματα καὶ πράγματα πολλὰ ἐπελθόντα μὲν καὶ αὐτὸν ἰδόντα. τὰ δὲ, καὶ δι᾽ ἑτέρω τινὸς τρόπω καταννοήσαντα. οὔτε γὰρ ὁ ἐν λογισμοῖς καὶ μαθημάτεσι, καὶ ταῖς ποτακείβεσι θεωρίαις εὐθὺς ἐκ νέων γυμνάσθεις τὰν διάνοιαν, ἱκανός ἐντι ποτὶ φρόνασιν, οὔθ᾽ ὁ τούτων μὲν ἀπολειφθεὶς, ἐν ἀκροαμάτεσι πολλοῖς καὶ πραγμάτεσιν ἀναστρεφθείς. ἀλλ᾽ ὁ μὲν ἐν τῷ κατέκαστα κείνων, τυφλὸς ἐγένετο τὴν διάνοιαν. ὁ δ᾽ ἐν τῷ καθόλω θεωρεῖν ἀεί. καθάπερ ἐπὶ τῶν λογισμῶν τὰ μέρεα συντιθέντας τὸ ὅλον ἐξ αὐτῶν λογίζεσθαι, οὕτω καὶ ἐπὶ τῶν πραγμάτων δύναται. ὁ μὲν λόγος, τὰν καθόλω θεωρίαν ὑπογράφει. ἁ δ᾽ ἐμπειρία, καθ᾽ ἕκαστα κείναν.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ, ΠΕΡΙ ΑΦΡΟΣΥΝΗΣ

## ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Σοφοκλέους. Ἀλλ' οἱ κακῶς πράσσοντες οὐ καφοὶ μόνον,
ἀλλ' οὐδ' ὁρῶντες εἰσορῶσι τἀφανῆ.

Εὐριπίδους. Τὸ μὴ εἰδέναι μηδὲν ὧν ἁμαρτάνεις, ἔκκαυμα·
ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσοις.

Ἡσιόδου. Ἄφρων δ' ὅς κ' ἐθέλοι πρὸς κρείσσονας ἀντιφερίζειν,
νίκης τε στέρεται, πρὸς τ' αἴσχεσιν ἄλγεα πάσχει.

Μενάνδρου. Ἄνοια θνητοῖς δυστύχημ' αὐθαίρετον.

Σοφοκλέους. Ὡς δυσπέλαστον ἡ ἀμαθία κακόν.
Τί σαυτὸν ἀδικῶν, τὴν ψυχὴν καταικτᾷ.

Μενάνδρου. οὐδεὶς ξύνοιδεν ἐξαμαρτάνων πόσον·
ἁμαρτάνει τὸ μέγεθος, ὕστερον δ' ὁρᾷ.

τοῦ αὐτοῦ. Χαλεπόν γε τοιοῦτ' ἐστὶν ἐξαμαρτάνειν.
ἃ καὶ λέγειν ὀκνοῦμεν οἱ πεπραχότες.

Εὐριπίδους. Πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς
ζητοῦσ' ἀμαυροῦν κἀπικρύπτεσθαι κακά.

τοῦ αὐτοῦ. Ἀσύνετος, ὅστις ἐν φόβῳ μὲν ἀσθενής
λαβὼν δὲ μικρὸν τῆς ψυχῆς, φρονεῖ μέγα.

Αἰόλου. Κακῆς ἀρχῆς γίνεται τέλος κακόν.

Σαπφοῦς. Κατθανοῖσα δὲ κείσεαι· οὐδέποτε μναμοσύνα σέθεν ἔσετ' οὐδέποκ' ὕστερον.
οὐ γὰρ μετέχεις ῥόδων τῶν ἐκ Πιερίας, ἀλλ' ἀφανὴς κἠν Ἀΐδα δόμοις φοιτάσεις· πεδ' ἀμαυρῶν νεκύων, ἐκπεποταμένα.

Μενάνδρου. Τυφλόν τι πανόητον εἶναί μοι δοκεῖ.

Χαιρήμονος. Οὐ ζῶσιν οἱ τὶ μὴ συνιέντες σοφόν.

Ayuntamiento de Madrid

πρὶν γὰρ φρονεῖν εὖ, καταφρονεῖν ἐπίστασαι.
οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν
σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ.
Ἡ βαρὺ φόρημα ἄνθρωπος εὐτυχῶν ἄφρων. Αἰσχύλου
ἡ δὲ μωρία μάλιστ᾽ ἀδελφὴ τῆς πονηρίας ἔφυ.
Δόξει τις ἀμαθεῖ σοφὰ λέγων, οὐκ εὖ λέγειν. Εὐριπίδου
Τὸ δ᾽ ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν· Τοῦ αὐτοῦ
εἰς συμφορὰν καθίστησι πολλὰ δὴ βροτούς.
Θάλασσα κλύζει πάντα τ᾽ ἀνθρώπων κακά. Αἰσχύλου.
φέρεται δὲ εἰς τοὺς δεισιδαίμονας· οἱ θαλάσσῃ περικαθαίρονται.
Γ Πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν.
Κεῖνος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει· Ἡσιόδου.
φρασσάμενος τά κ᾽ ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω.
ὃς δέ κε μήτ᾽ αὐτὸς νοέῃ, μήτ᾽ ἄλλου ἀκούων,
ἐν θυμῷ βάλληται, ὅδ᾽ αὖτ᾽ ἀχρήιος ἀνήρ.
Ὅστις τοι δοκέει τὸν πλησίον ἔμμεναι οὐδὲν, Θεόγνιδος
ἀλλ᾽ αὐτὸς μοῦνος ποικίλα δήνε᾽ ἔχειν,
Κεῖνός γ᾽ ἄφρων ἐστὶ, νόου βεβλαμμένος ἐσθλοῦ.
ἴσως γὰρ πάντες ποικίλ᾽ ἐπιστάμεθα.
ἀλλ᾽ ὁ μὲν οὐκ ἐθέλει κακοκερδείῃσιν ἕπεσθαι.
τῷ δὲ, δολοπλοκίαι μᾶλλον ἔτ᾽ εἰσὶ φίλαι.
Εὐηθία μοι φαίνεται δηλουμένη τὸ νοεῖν μὲν ὅσα δεῖ, μὴ φυλάττεσθαι δ᾽ ὅσα δεῖ. Μενάνδρου
Ἐπὰν ἐν ἀγαθοῖς εὐνοούμενός τις ὢν ζητεῖ τι κρεῖττον ὧν ἔχει, ζητεῖ κακά.
Οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι, Εὐριπίδου
σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους.
Εὖ γὰρ τόδ᾽ ἴσθι, κἂν εἰσ᾽ ἐλεύθερον πέρος· Τοῦ αὐτοῦ
τὸ σκαιὸν εἶναι πρῶτ᾽ ἀμουσίαν ἔχει.
Ὅθεν δὲ νικᾶν χρὴ σε, δυστυχεῖς ἄναξ. Τοῦ αὐτοῦ.
ὅθεν δὲ σ᾽ οὐ χρὴ, εὐτυχεῖς, δούλοισι γὰρ
τοῖσιν ἥκεις, τοῖσι δ᾽ ἐλευθέροισιν οὔ.

Ἀλλ᾽ ἀκούετ᾽ ὦ θεαταὶ πολλὰ καὶ ξυνίετε· χρῆμα τ᾽ εὐθὺ γὰρ πρὸς ὑμᾶς πρῶτον ἀπολογήσομαι. ὅτι μαθόντες τοὺς ξένους μὲν λέγετε ποιητὰς σοφούς· ἣν δέ τις τῶν ἐνθάδ᾽ αὐτοῦ, μὴ δὲ ἐν χεῖρον φρονῶν, ἐπιθῆται τῇ ποιήσει, πάνυ δοκεῖ κακῶς φρονεῖν· μαίνεταί τι καὶ παραρρεῖ τῶν φρενῶν Εὐπόλιδος

Ayuntamiento de Madrid

τῷ σῷ λόγῳ· ἀλλ' ἐμοὶ πείθεσθαι, πάντως μεταβαλόντες τοὺς τρόπους.
μὴ φθονεῖθ' ὅταν τις ὑμῶν μουσικῇ χαίρῃ νέων.

Ῥιανοῦ. Ἦ ἄρα δὴ μάλα πάντες ἁμαρτίνοοι πελόμεσθα ἄνθρωποι. φέρομεν δὲ θεῶν
ἑτερόρροπα δῶρα· ἀφραδέῃ κραδίῃ· βιότοιο μὲν, ὅσκεν ἐπιδευὴς στρωφᾶ-
ται· μακάρεσσι δ' ἐπὶ ψόγον αἰνὸν ἰάπτει ἀχνύμενος· σφετέρην δ' ἀρετὴν
καὶ θυμὸν ἀτίζει. οὐδέ τι θαρσαλέως νοέειν ἔπος. οὐδέ τι ῥέξαι ἐρριγὼς ὅθι
τ' ἄνδρες ἐγχεκτέανοι παρέωσι. καὶ οἱ θυμὸν ἔδουσι, κατηφείη καὶ ὀϊζύς. ὃς
δὲ κεν εὐοχθήσῃ, θεὸς δ' ἐπὶ ὄλβον ὀπάζει· καὶ πολυκοιρανίην ἐπιλήθεται
οὕνεκα γαῖαν ποσσὶν ἐπιστείβει· θνητοὶ δέ οἱ εἰσὶ τοκῆες. ἀλλ' ὑπεροπλίῃτε
καὶ ἁμαρτωλῇσι νόοιο, ἶσα Διὶ βρομέει· κεφαλὴν δ' ὑπὲρ αὐχένας ἴσχει, καί-
περ ἐὼν ὀλίγος· μνᾶται δ' εὔπηχυν Ἀθήνην. ἠέ τιν' ἀτραπιτὸν τεκμαίρε-
ται. οὔλυμπον δὲ ὥς κε μετ' ἀθανάτοισιν ἀρίθμιος εἰλαπινάζει. ἡ δ' ἄτη ἁ-
παλοῖσι μετατρωχῶσα· πόδεσσ' ἄκρῃς ἐν κεφαλῇσιν, ἀνώϊστος καὶ ἄφαντος.
ἄλλοτε μὲν γραίῃσι νεωτέρη· ἄλλοτε δ' αὖτε ὁπλοτέρῃσι γρηῢς ἐφίπταται
ἀμπλακίῃσι. Ζηνὶ θεῶν κρείοντι. Δίκῃ δ' ἐπὶ ἦρα φέρουσα.

Μενάνδρου. Οὐκ ἔστ' ἀνοίας οὐδὲν ὡς ἐμοὶ δοκεῖ τολμηρότερον.

Ἡσιόδου. Σχέτλιος ἤπου πολλὰ μεταστοναχίζετ' ὀπίσσω.
Ἣν ἄτην ἀχέων. ἣν δ' οὐ παλινάγρετός ἐστιν.

Σοφοκλέους. Ἐνταῦθα μέν τοι πάντα τἀνθρώπων νοσεῖ κακοῖς, ὅταν θέλωσιν ἰᾶσθαι κακά.

Τοῦ αὐτοῦ. Ταὐτ' ἐστὶν ἄλγιστα, ἃν παρὸν θέσθαι καλῶς, αὐτός τις αὑτῷ τὴν βλάβην
προσθῇ φέρων.

Μενάνδρου. Ὁ μὴ φέρων γὰρ εὖ τι τῶν ἐν τῷ βίῳ ἀγαθῶν, ἀλόγιστός ἐστιν οὐ μακάριος.

Τοῦ αὐτοῦ. Μικρά γε πρόφασίς ἐστι τοῦ πρᾶξαι κακῶς.

Φιλήμονος. Ἐὰν ὄνους ἢ μὴ καθεστηκώς τινὶ, οὐκ ἔστ' ἀκούειν οὐθὲν τούτων, οὐ
δ' ὁρᾶν.

Κερκίδας. Νοῦς ὁρῇ καὶ νοῦς ἀκούει· πῶς ἐνίδοιεν τὰν σοφίαν πέλας ἑστακυῖαν ἀνέρες.
ὧν τὸ κέαρ παλὸς ἔσακται, καὶ δυσέκνιπτος φυγός.

Παροιμία. Ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς.

Θεόγνιδος. Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφραίνοντας. γνῶναι γὰρ χαλεπὸν
παῦρον, ὅτ' ἐσθλὰ παρῇ.

Ῥηγίνου. Καθάπερ δὲ τὸ τοῦ ἡλίου φῶς οὐκ ἔστι θεάσασθαι ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ
ὄψει, οὕτω καὶ ἔτι μᾶλλον τὴν ἀλήθειαν, οὐκ ἔστιν ἰδεῖν ἀσθενεῖ καὶ ἀδυνά-
τῳ τῇ διανοίᾳ.

Κορνηλίου. Ἀλλ' ὅμως τὰ μεγάλα ταῦτα καὶ δεινὰ ὡμολόγηκεν εἶτα καθ' αὑτῆς. τοῦτο γὰρ
νοῦ.

Ayuntamiento de Madrid

αὐτῶν καὶ μόνον τῇ προαιρέσει πρόσεστιν ἀγαθόν. ὅπερ ἐστὶ μέγιστον τῶν
κακῶν. ὅτι περὶ ὧν πράττουσι κακῶς, καὶ παρρησιάζονται.

Γ ιγνώσκω μὲν οὖν ὅτι τοῖς πλείστοις τῶν νενουθετημένων, ἔμφυτόν ἐστι μὴ Ισοκράτους.
πρὸς τὰς ὠφελείας ἀποβλέπειν. ἀλλὰ τοσούτῳ χαλεπώτερον ἀκού-
ειν τῶν λεγομένων, ὅσωπερ αὐτοῖς αὐτῶν ἀκριβέστερον ἐξετάζῃ τὰς
ἁμαρτίας.

Α λλὰ πρῶτον μὲν εὐλαβηθῶμεν, τί πάθος μὴ πάθωμεν. τὸ ποῖον ἦν δ' ἐγώ. Πλάτωνος
μὴ γενώμεθα ἦν δ' ὅς μισόλογοι, ὥσπερ οἱ μισάνθρωποι γινόμενοι· ὡς οὐκ
ἔστιν ἐφ' ὅτι αὐτὶς μεῖζον τούτου κακὸν πάθοι, ἢ λόγους μισήσας, γίγνεται
δὲ ἐκ τοῦ αὐτοῦ τρόπου, μισολογία τε καὶ μισανθρωπία. ἥτε γὰρ μισανθρω-
πία ἐνδύεται, ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης. καὶ ἡγήσασθαι
παντάπασί τε ἀληθῆ εἶναι καὶ ὑγιῆ καὶ πιστὸν τὸν ἄνθρωπον. ἔπειτα ὀλί-
γον ὕστερον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον. καὶ αὖθις ἕτερον. καὶ ὅταν
τοῦτο πολλάκις πάθῃ τίς, καὶ ὑπὸ τούτων μάλιστα οὓς ἂν ἡγήσαιτο οἰκειο-
τάτους καὶ ἑταιροτάτους. τελευτῶν δὲ θαμὰ προσκρούων, μισεῖ τε πάν-
τας, καὶ ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι. ἢ οὐκ ᾔσθησαι σὺ τοῦτο γι-
γνόμενον; πάνυ γε ἦν δ' ἐγώ. οὐκοῦν ἦν δ' ὅς αἰσχρόν, καὶ δῆλον ὅτι ἄνευ
τέχνης τῆς περὶ τὰ ἀνθρώπεια ὁ τοιοῦτος χρῆσθαι ἐπιχειρεῖ τοῖς ἀνθρώ-
ποις. εἰ γάρ που μετὰ τέχνης ἐχρῆτο ὥσπερ ἔχει, οὕτως ἂν ἡγήσατο, τοὺς
μὲν χρηστοὺς καὶ πονηροὺς ὀλίγους εἶναι σφόδρα ἑκατέρους. τοὺς δὲ μετα-
ξύ, τοὺς πλείστους.

Ω ς κινδυνεύω ἐγὼ ἐν τῷ παρόντι, περὶ αὐτοῦ τούτου οὐ φιλοσόφως ἔχειν. Εν ταυτῷ
ἀλλ' ὥσπερ οἱ πάνυ ἀπαίδευτοι φιλονείκως. καὶ γὰρ ἐκεῖνοι ὅταν περί του ἀμ-
φισβητῶσιν, ὅπῃ μὲν ἔχει περὶ ὧν ἂν ὁ λόγος ᾖ, οὐ φροντίζουσιν. ὅπως δὲ ἃ
αὐτοὶ ἔθεντο, ταῦτα δόξει τοῖς παροῦσι, τοῦτο προθυμεῖται.

Δ ημοσθένης ὁ ῥήτωρ θεασάμενός τινα δημαγωγὸν ἀφυῆ μεγαβοῶντα, ἔ-
φη. ἀλλ' οὐ τὸ μέγα εὖ ἐστι. τὸ δὲ εὖ, μέγα.

Κ ράτης ἀπείκαζε τοὺς ἀνοήτους τῶν ἀνθρώπων τοῖς φυτάνοις. ἄνευ γὰρ δε-
σμοῦ καὶ ἀνάγκης μηδὲν ἐθέλειν τῶν δεόντων ποιεῖν.

Α νθρώποισι κακὰ καὶ ἐξ ἀγαθῶν φύεται. ἐπήν τις τἀγαθὰ, μὴ 'πίστηται ποδη- Δημοκρί-
γεῖν, μηδὲ ὀχεῖν εὐπόρως. του.

Β ίων ἔλεγε τοὺς γραμματικοὺς ζητοῦντας περὶ Ὀδυσσέως πλάνης, μὴ ἐξε-
τάζειν τὴν ἰδίαν. μηδὲ καθορᾶν, ὅτι καὶ ἐν αὐτῷ τούτῳ πλανῶνται, πο-
νοῦντες περὶ τὰ μηδὲν χρήσιμα.

Ayuntamiento de Madrid

Πλάτωνος. Καὶ ὁπόταν αὖ φῇς τοὺς ἀσκοῦντας μὲν τὰ σώματα, τῆς δὲ ψυχῆς ἠμεληκότας, ἕτερόν τι πράττειν τοιοῦτον· τὸ μὲν ἄρχοντος ἀμελεῖν· περὶ δὲ τὸ ἀρχόμενον ἐσπουδακέναι.

Κακοὶ γίνονται ὀφθαλμοὶ καὶ ὦτα ἀφρόνων ἀνθρώπων, ψυχὰς βαρβάρους ἐχόντων·

Ἰσοκράτους. Ὁ μὲν δειλός, τῆς πατρίδος· ὁ δὲ φιλόδοξος, τῆς πατρῴας οὐσίας ἐστὶ προδότης.

Οἱ δραπέται κἂν μὴ διώκωνται, φοβοῦνται· οἱ δὲ ἄφρονες, κἂν μὴ κακῶς πράττωσι, ταράττονται.

Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν· ἐν δὲ ταῖς ἀτυχίαις, παρανοοῦσιν οἱ ἀνόητοι.

Οὔθ' οἱ ἄμουσοι, τῶν ὀργάνων· οὔθ' οἱ ἀπαίδευτοι, ταῖς ἀτυχίαις δύνανται συναρμόσασθαι.

Τῷ τῶν ἀπαιδεύτων βίῳ, καθάπερ ὑποκειμένῃ πολλὰ τύφου μετεκδύματα περίκειται.

Τοῖς ἄφροσιν ὥσπερ τοῖς παιδίοις, μικρὰ πρόφασις εἰς τὸ κλαίειν ἱκανή.

Οἱ μὲν ξένοι, ἐν ταῖς ὁδοῖς· οἱ δὲ ἀπαίδευτοι, ἐν τοῖς πράγμασι πλανῶνται.

Ταυτόν ἐστιν ἀρρωστοῦντι φορτίον ἀναθέσθαι· καὶ ἀπαιδεύτοις εὐτυχίαν.

Οὔτε πλέοντας, παρὰ τόπον ὁρμεῖν ἀσφαλές· οὔτε ζῶντας, παρὰ τὸν νόμον βιοῦν ἀκίνδυνον.

Ὁ μὲν πρωτεύς, τῇ μορφῇ, ὁ δ' ἀπαίδευτος, τῇ ψυχῇ παρ' ἕκαστον ἀλλοιοῦται.

Πολλοὺς ὥσπερ ἀσθενοῦντας, οὕτω καὶ εὐτυχοῦντας τὸ πλῆθος τῶν παρακειμένων, λυπεῖ.

Φίλιππος τοὺς Ἀθηναίους εἴκαζε τοῖς ἑρμαῖς· ὡς στόμα μόνον ἔχουσι καὶ αἰδοῖα μεγάλα.

Δημάδης τοὺς Ἀθηναίους εἴκαζεν αὐλοῖς· ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστι.

Θεόκριτος γράμμα τῷ διδασκάλῳ φαύλως ἀναγινώσκοντι, προσελθὼν εἶπε· διὰ τί γεωμετρεῖν οὐ διδάσκεις· τοῦ δ' εἰπόντος ὅτι οὐκ οἶδα· καὶ τί τοῦτ' εἶπεν· οὐδὲ γὰρ ἀναγινώσκειν.

Δημοκρίτου. Εἴδωλα ἐσθῆτι καὶ κόσμῳ διαπρεπέα, πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεά.

Λήθη τῶν οἰκείων κακῶν, θρασύτητα γεννᾷ.

Ayuntamiento de Madrid

Ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς ψυχῆς κέρδεσιν· οἱ δὲ τῶν τοιῶνδε δαήμονες, τοῖς τῆς σοφίης.

Τὸ χρῆζον οἶδεν ὁκόσον χρήζει· ὁ δὲ χρήζων, οὐ γινώσκει.

Ἀνοήμονες τὸ ζῆν ὡς στυγέοντες ζῆν ἐθέλουσι δείματι ἀΐδεω.

Ἀνοήμονες βιοῦσιν, οὐ τερπόμενοι βιοτῇ.

Ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται· τὰ δὲ παρεόντα καὶ παρῳχημένων κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν.

Ἄνθρωποι, τὸν θάνατον φεύγοντες, διώκουσιν.

Ἀνοήμονες θάνατον δεδοικότες, γηράσκειν ἐθέλουσι.

Δόξα καὶ πλοῦτος ἄνευ ξυνέσιος, οὐκ ἀσφαλέα κτήματα.

Ἐπεὶ δὲ ἐν τῇ στοᾷ ἀνάπαλιν περιπατοῦντος αὐτοῦ ἐγέλων τινὲς, εἶτ' οὐκ Διογένους.
αἰσχύνεσθε εἶπεν, ὑμεῖς τὴν ἐν τῷ βίῳ ὁδὸν ἀνάπαλιν πορευόμενοι, ἐμοῦ τὴν ἐν τῷ περιπατεῖν κατεγνωκότες.

Σωκράτης ἰδὼν μειράκιον πλούσιον καὶ ἀπαίδευτον, ἰδοὺ ἔφη χρυσοῦν ἀνδράποδον.

Διογένης ἔλεγε τοὺς ἀνθρώπους τὰ μὲν πρὸς τὸ ζῆν, πορίζεσθαι· τὰ δὲ πρὸς τὸ εὖ ζῆν, οὐ πορίζεσθαι.

Ἀριστοτέλης, τοὺς τὰ ἐνεργῆ πράγματα παρωμένους δεικνύναι, ὅμοιον ἔφη ποιεῖν, τοῖς διὰ λύχνον, τὸν ἥλιον φιλοτιμουμένοις δεικνύναι.

Βίων ἐρωτηθεὶς, τί ἐστιν ἄνοια, εἶπε προκοπῆς ἐμπόδιον.

Σπλάτων ἐρωτηθεὶς τί ἰσχυρότερον ἀνδρείας αὐτὸς, ἄνθρωπος εἶπεν ἀναίσθητος.

Κλεάνθης ἔφη τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.

Φαβωρῖνος εἶπε τοὺς ἀνθρώπους, τῇ μὲν εἶναι γελοίους, τῇ δὲ ἐλεεινούς· τῇ δὲ μισητούς· γελοίους μὲν θρασύτητι μειζόνων ὀρεγομένους· μισητοὺς δὲ, ὧν τυχόντας· ἐλεεινοὺς δὲ, ἁμαρτάνοντας· ζηλωτοὺς δέ ποτε

Εἰς συμπόσιον μὲν οὖν παρακληθέντες, τῷ παρόντι χρώμεθα· εἰ δέ τις κε- Ἐπικτήτου.
λεύοι τὸν ὑποδεχόμενον ἰχθῦς αὐτῷ παρατιθέναι ἢ πλακοῦντας, ἄτοπος ἂν δόξειεν· ἐν δὲ τῷ κόσμῳ αἰτοῦμεν τοὺς θεοὺς ἃ μὴ διδόασι· καὶ ταῦτα πολλῶν ὄντων, ἅγε ἡμῖν δεδώκασι.

Χαρίεντες ἔφη εἰσὶν, οἱ μέγα φρονοῦντες ἐπὶ τοῖς οὐκ ἐφ' ἡμῖν· ἐγώ σου φησὶ Τοῦ αὐτοῦ.
κρείττων εἰμί· ἀγροὺς γὰρ ἔχω πολλούς· σὺ δὲ λιμῷ παρατείνῃ· ἄλλος λέγει· ἐγὼ ὑπατικός εἰμι· ἄλλος, ἐπίτροπος ἐγώ· ἄλλος· ἐγὼ οὔλας τρίχας· ἵππος δ' ἵππῳ οὐ λέγει, ὅτι κρείττων εἰμί σου· πολὺ γὰρ κέκτημαι χιλὸν· καὶ κριθὰς πολλάς· καὶ χαλινοί μοι εἰσὶ χρυσοῖ, καὶ ἐφίππια ποικίλα· ἀλλ' ὅτι

Ayuntamiento de Madrid

ὠκύπτερός του εἰμί. καὶ πᾶν ζῶον κρεῖττόν ἐστιν ἐκ τῆς ἑαυτοῦ ἀρετῆς καὶ κακίας. ἆρ' οὖν ἄνθρωπον μόνον ἀρετὴ οὐκ ἔστιν; ἀλλὰ δεῖ ἡμᾶς εἰς ῥίζας ἀφορᾶν, καὶ τὰ ἱμάτια, καὶ τοὺς ἵππους; τῷ μὲν ἰατρῷ μηδὲν συμβουλεύοντι, ἄχθονται οἱ κάμνοντες· καὶ ἡγοῦνται ἀπεγνῶσθαι ὑπ' αὐτοῦ. πρὸς δὲ τὸν φιλόσοφον διότι οὐκ αὐτῆς οὕτω διατεθείη, ὥστε οἴεσθαι ἀπεγνῶσθαι ὑπ' αὐτοῦ σωφρονίσαι ἂν μηδὲν λέγοι τι πρὸς αὐτὸν τῶν χρησίμων.

**Τοῦ αὐτοῦ.** Οἱ τὸ σῶμα εὖ διακείμενοι, καὶ καύματα καὶ ψύχη ὑπομένουσιν, οὕτω δὲ καὶ οἱ τὴν ψυχὴν καλῶς διακείμενοι, καὶ ὀργὴν καὶ λύπην καὶ περιχάρειαν καὶ τ' ἄλλα πάθη φέρουσι.

**Πλάτων.** Βουλοίμην ἄν, ὦ Σώκρατες, ἀλλ' ὀρρωδῶ μὴ τοὐναντίον γένηται. ἀτεχνῶς γάρ μοι δοκεῖ ἀφ' ἑστίας ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν σε. καί μοι λέγε τί καὶ ποιοῦντάς ἔφης ἰδίᾳ φθείρειν τοὺς νέους; ἄτοπα ὦ θαυμάσιε, ὡς οὕτως ἀκοῦσαι. φησὶ γάρ με ποιητὴν εἶναι θεῶν. καὶ ὡς καινοὺς ποιοῦντα θεοὺς, τοὺς δ' ἀρχαίους οὐ νομίζοντα, ἐγράψατο.

**Ἐν ταὐτῷ.** Θαυμάσιοι γὰρ ὡς ἐμοὶ δοκεῖ, οὐ σφόδρ' ἀμέλει ἄν τινα δεινὸν οἴονται, μὴ μέντοι διδασκαλικὸν τῆς αὐτοῦ σοφίας. ὃν δ' ἂν καὶ ἄλλους οἴωνται ποιεῖν τοιούτους, θυμοῦνται, εἴτ' οὖν φθόνῳ ὡς σὺ λέγεις, εἴτε δι' ἄλλο τι.

**Ἐν ταὐτῷ.** Ψυχὴν ἀνόητον αἰσχρὰν καὶ ἄμετρον θετέον. νόσον μὲν ψυχῆς, ἄνοιαν συγχωρητέον. δύο δὲ ἀνοίας γένη, τὸ μὲν, μανίαν, τὸ δὲ, ἀμαθίαν.

**Εὐσεβίου.** Ἄνθρωποι, πολυμαθίης ἔχειν δόξαν, ἢ τοῦ ἀληθίζεσθαι ἔρωτα πλεῦνα ἐκτέαται. πολλοὶ γοῦν, τοῖς πρὸ ἑωυτῶν ἐναντίας δόξας συστησάμενοι, τὴν γνῶσιν τοῦ ἀληθέος περὶ τῶν ἀναγκαιοτάτων, ἀφέλοντο τὴν πίστιν αὐτῶν μὴ ἐν βεβαίῳ ἑστάναι. ὑπὸ δὲ τοῦ ἀπὸ τῆς προτέρης δόξης περιρρέψαι, ἐς τοὐναντίον λόγον παρασκευάσαντες, ἐν τῷ ἀσταθμητοτάτῳ αἰωρέεσθαι.

**Τοῦ αὐτοῦ.** Πολλοὶ τῶν ἀνθρώπων ἐν τῇσι ζητήσεσι τῶν πρηγμάτων, ὅμοιοι τοῖσι ἀλόγοισι τῶν ζώων, ὥσπερ ἐκεῖνα μαχόμενα, οὕτω καὶ αὐτοὶ μοῦνοι τοῦ νικᾶν μεταποιέονται. ὅκως δὲ τῷ περ χρὴ πάντα ἄνδρα προμηθέεσθαι, καὶ λέγοντα καὶ πρήσσοντα, μὴ παρὰ τὸ ξυμφέρον καὶ σφέων αὐτῶν, καὶ τῶν παρεόντων, καὶ ὥστε μὴ τὸ ἀληθὲς αὐτοῦ βλάψαι, οὐκέτι λόγον τοῦτον ποιέονται.

Ἀνθρώποισιν ἔριδες προσφιλέες, καὶ τοῦ περὶ παντὸς τοῦ προτεθέντος ἀντιλέγοντας ἐθέλειν κρατεῖν, ἄπληστος καὶ ἄλογος ἐπιθυμίη. ὁπότε πολλοὶ οὔτε δέονται, καὶ κατὰ τῶν σπουδαιοτάτων, καὶ τῶν οὐ χρὴ τῷ χείρονι λόγῳ νικᾶν νικῶντες, ἀξίην κεκλῆσθαι νίκην καδμείην.

Ayuntamiento de Madrid

# ΛΟΓΟΣ Β'.

Ἄνθρωποι· τοὺς μὲν παρὰ φύσιν, καὶ ἐν πρώτῳ λόγῳ ἐόντας, ἀσπάζονται· καὶ μεγάλων χρημάτων ὠνεόμενοι, ὡς ἐπὶ μεγίστῳ κτήματι χαίρουσι, καὶ μεγαλοφρονέονται· περὶ δὲ τὰ σπουδαιότατα καὶ τὰ σμικρὰ, ἄχθονται ἀναλίσκοντες.

Οἱ πλεῦνες τῶν ἀνθρώπων, περὶ πάντα τὰ λοιπὰ φειδωλοὺς σφέας παρεχόμενοι, καὶ ἃ δαπανοῖεν ἀγάλλοντες, ὑπὲρ τοῦ παρὰ τῶν δήμων κροτηθῶσι, καὶ τὰ ἐόντα σφι πάντα ἡδέως προΐενται.

Οἱ μάταιοι τῶν ἀνθρώπων, τοὺς μὲν μεγάλα χρήματα ἔχοντας, καὶ φαύλους ἐόντας, τιμῶσί τε καὶ τεθωυμάκασι· τῶν δὲ σπουδαίων, ἐπειδὰν ἀχρηματίην καταγνῶσιν, ὑπερφρονέουσι.

Πολλοὶ ἀδικηθέντες ὑπὸ ῥητόρων, τοὺς υἱοὺς ῥήτορας διδάσκουσιν· οὐδεὶς δὲ ἀδικηθεὶς ὑπὸ λύκου, αὐτὸς λύκος γίνεται καὶ ἀντιδάκνει. Ἀρισωνύμου.

Ζήνων δὲ ἔφη· γελοῖον ἕκαστον μὲν τοῖς πράγμασιν ὡς δεῖ ζῆν μὴ προσέχειν ὡς οὐκ εἰδότων, τὸν δὲ παρὰ πάντων ἔπαινον θαυμάζειν, ὡς ἐχόμενοι κρείττως.

Οἱ μὲν ἀκρατεῖς, ἐν ταῖς ἀρρωστίαις· οἱ δὲ, ἄφρονες, ἐν ταῖς ἀτυχίαις εἰσὶ δυσθεράπευτοι. Σωκράτους.

Θυηπόλια δ' ἀφρόνων πυρὸς τροφή· τὰ δὲ ἀναθήματα, ἱεροσύλων χορηγία. Πυθαγόρου.

Ἀρίστων ὁ Χῖος· τοὺς περὶ τὰ ἐγκύκλια μαθήματα πονουμένους, ἀμελοῦντας δὲ φιλοσοφίας ἔλεγεν ὁμοίους εἶναι τοῖς μνηστῆρσι τῆς Πηνελόπης· οἳ ἀποτυγχάνοντες ἐκείνης, περὶ τὰς θεραπαίνας ἐγίνοντο.

Οὗτος τοὺς πολλοὺς εἴκαζε τῷ Λαέρτῃ, ὅς τις τῶν κατὰ τῶν ἀγρῶν ἐπιμελούμενος πάντων, ὀλιγώρως εἶχεν ἑαυτοῦ· καὶ γὰρ τούτοις τῶν κτημάτων πλείστην ἐπιμέλειαν ποιουμένοις, περιορᾶν τὴν ψυχὴν ἑαυτῶν, πλήρη παθῶν ἀγρίων οὖσαν.

Διογένης ἔλεγε, διαπαίζοντας μὲν πολλοὺς ὁρᾶν καὶ διατρέχοντας· διακαλοκαγαθιζομένους δὲ, οὔ.

Ἆρα λέγεις τὸν τῶν καλῶν ἐπιθυμοῦντα, ἀγαθῶν ἐπιθυμητὴν εἶναι; μάλιστά γε. ἆρα ὡς ὄντων τινῶν, οἳ τῶν κακῶν ἐπιθυμοῦσιν, ἑτέρων δὲ, οἳ τῶν ἀγαθῶν; οὐ πάντες ὦ ἄριστε δοκοῦσί σοι τῶν ἀγαθῶν ἐπιθυμεῖν; οὐκ ἔμοιγε. ἀλλὰ τινὲς τῶν κακῶν; ναί. οἰόμενοι τὰ κακὰ ἀγαθὰ εἶναι λέγεις, ἢ καὶ γινώσκοντες ὅτι κακά εἰσιν, ὅμως ἐπιθυμοῦσιν αὐτῶν. ἀμφότερα ἔμοιγε δοκεῖ. ἦ γὰρ δοκεῖ τίς σοι Πλάτωνος

Ayuntamiento de Madrid

ὦ μένων, γιγνώσκειν τὰ κακὰ ὅτι κακά ἐστιν, ὅμως ἐπιθυμεῖν αὐτῶν; μάλιστα. τί ἐπιθυμεῖν λέγεις, ἢ γενέσθαι αὐτῶν. γενέσθαι. τί γὰρ ἄλλο. πότερον ἡγούμενος τὰ κακὰ ὠφελεῖν ἐκεῖνον ᾧ ἂν γίνηται, ἢ γιγνώσκων τὰ κακά, ὅτι βλάπτει ᾧ ἂν παρῇ. εἰσὶ μὲν οἱ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν. εἰσὶ δὲ καὶ οἱ γιγνώσκοντες ὅτι βλάπτει. ἦ καὶ δοκοῦσί σοι γιγνώσκειν τὰ κακὰ ὅτι κακά ἐστιν οἱ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν. οὐ πάνυ μοι δοκεῖ τοῦτό γε. οὐκοῦν δῆλον ὅτι οὗτοι μὲν οὐ τῶν κακῶν ἐπιθυμοῦσιν οἱ ἀγνοοῦντες αὐτά. ἀλλ' ἐκείνων, ἃ ᾤοντο ἀγαθὰ εἶναι. ἔστι δὲ ταῦτά γε κακά, ὥστε οἱ ἀγνοοῦντες αὐτὰ καὶ οἰόμενοι ἀγαθὰ εἶναι, δῆλον ὅτι τῶν ἀγαθῶν ἐπιθυμοῦσιν. ἢ οὔ. κινδυνεύουσιν οὗτοί γε. τί δαί. οἱ τῶν κακῶν μὲν ἐπιθυμοῦντες ὥς φῂς σύ, ἡγούμενοι δὲ τὰ κακὰ βλάπτειν ἐκεῖνον, ᾧ ἂν γίγνηται, γιγνώσκουσι δή που ὅτι βλαβήσονται ὑπ' αὐτῶν; ἀνάγκη. ἀλλὰ τοὺς βλαπτομένους οὗτοι, οὐκ οἴονται ἀθλίους εἶναι, καθόσον βλάπτονται; καὶ τοῦτο ἀνάγκη. τοὺς δὲ ἀθλίους οὐ κακοδαίμονας; οἶμαι ἔγωγε. ἔστιν οὖν ὅστις βούλεται ἄθλιος καὶ κακοδαίμων εἶναι; οὔ μοι δοκεῖ ὦ σώκρατες. οὐκ ἄρα βούλεται τὰ κακὰ ὦ μένων οὐδείς, εἴπερ μὴ βούληται τοιοῦτος εἶναι. τί γὰρ ἄλλο ἐστὶν ἄθλιον εἶναι, ἢ ἐπιθυμεῖν τε τῶν κακῶν καὶ κτᾶσθαι. κινδυνεύεις ἀληθῆ λέγειν ὦ σώκρατες, καὶ οὐδεὶς βούλεσθαι τὰ κακά.

Τοῦ αὐτοῦ

Νῦν δὲ ἤ που τίς δαίμων, ἢ τίς ἀλιτήριος ἐμπεσὼν ἀνομίᾳ καὶ ἀθεότητι, καὶ τὸ μέγιστον τόλμαις ἀμαθίας, ἐξ ἧς πάντα κακὰ πᾶσιν ἐρρίζωται καὶ βλαστάνει. καὶ ὕστερον ἀποτελεῖ καρπὸν τοῖς γεννήσασι πικρότατον. αὕτη πάντα τὸ δεύτερον ἀνέτρεψέ τε καὶ ἀπώλεσεν.

Σωκράτους

Ὁ μὲν δειλὸς καθ' ἑαυτοῦ τὰ ὅπλα ἔχει. ὁ δὲ ἀνόητος, τὰ χρήματα.

Οὔθ' ὁ αὐστηρὸς οἶνος εἰς πόσιν εὔθετος. οὔθ' ὁ ἄγροικος τρόπος εἰς ὁμιλίαν.

Πλουτάρχου ἐκ τοῦ περὶ εὐθυμίας.

Ἀλλ' ὥσπερ οἱ δειλοὶ καὶ ναυτιῶντες ἐν τῷ πλεῖν ἀνομοιότερον οἰόμενοι διάξειν, ἐὰν εἰς γαῦλον ἐξ ἀκάτου, καὶ πάλιν ἐὰν εἰς τριήρη μεταβῶσιν, οὐδὲν περαίνουσι. τὴν χολὴν καὶ τὴν δειλίαν συμμεταφέροντες ἑαυτοῖς, οὕτως αἱ τῶν βίων ἀντιμεταλήψεις, οὐκ ἐξαίρουσι τῆς ψυχῆς τὰ λυποῦντα καὶ ταράττοντα. ταῦτα δ' ἐστὶν, ἀπειρίας πραγμάτων καὶ ἀλογιστίας, τὸ μὴ δύνασθαι μηδὲ ἐπίστασθαι χρῆσθαι τοῖς παροῦσιν ὀρθῶς. ταῦτα καὶ πλουσίους χειμάζει καὶ πένητας. ταῦτα γεγαμηκότας ἀνιᾷ καὶ ἀγάμους. διὰ ταῦτα προαγωγὰς ἐν αὐλαῖς διώκουσι, καὶ παρελθόντες εὐθὺς βαρύνονται. δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο. καὶ γὰρ ἡ γυνὴ λυπεῖ. καὶ τὸν ἰατρὸν αἰτιῶνται. καὶ δυσχεραίνει πρὸς τὸ κλινίδιον. φίλων δὲ, ὁ, ἐλθὼν λυ-

πηρός,

Ayuntamiento de Madrid

πηρός, ὅτ' ἀπιὼν, βαρύς, ὡς ὁ Ἴων φησίν. εἶτα τῆς νόσου διαλυθείσης, καὶ κράσεως ἑτέρας ἐγγινομένης, ἦλθεν ἡ ὑγεία, φίλα πάντα ποιοῦσα καὶ προσηνῆ. ὁ γὰρ χθὲς ᾠὰ καὶ αἰγύλια καὶ σήπινον ἄρτον διαπτύων, σήμερον αὐτόπυρον ἐπ' ἐλαίαις ἢ κάρδαμον ἐσθίει. καὶ προθύμως τοιαύτην ὁ λογισμὸς εὐκολίαν καὶ μεταβολὴν ἐγγενόμενος, ποιεῖ πρὸς τὸν βίον.

Ἆρ' οὖν τούτους φρονίμους ὑπολαμβάνεις οἳ ἂν εἰδῶσιν ἅττα δεῖ πράττειν ἢ λέγειν; ἔγωγε. ἄφρονας δὲ ποτέρους; ἆρά γε τοὺς μηδέτερα τούτων εἰδότας; τούτους. οὐκοῦν οἵγε μὴ εἰδότες μηδέτερα τούτων, δηλοῦσιν αὐτοὺς καὶ λέγοντες καὶ πράττοντες ἅττα μὴ δεῖ; φαίνεται. Πλάτωνος

Οὔτε τὰ τῶν Ἀχαιῶν ὅπλα τῷ Θερσίτῃ, οὔτε τὰ τῆς ψυχῆς ἀγαθὰ τῷ ἄφρονι ἁρμόττει. Σωκράτους

Νοσοῦντος δίαιτα, καὶ ἄφρονος εὐτυχία, πολὺ ἔχει τὸ δυσάρεστον.

Αἱ μὲν βρονταὶ, μάλιστα τοὺς παῖδας· αἱ δ' ἀπειλαὶ τοὺς ἄφρονας καταπλήττουσιν.

Ἢ τί τις ἂν φαίη περὶ τοῦ τοὺς τρόπους ἐριστικοῦ, κἂν μηδενός πώποτε κτήματος, τῶν μηδὲν αὐτῷ προσηκόντων ἐφίεται. πῶς ἂν δίκαιόν τι πράττοι, ἢ καθ' αὑτὸν ἐνθυμοῖτο μηδενὶ συντίθεσθαι τῶν ὁμολογουμένων ἀξίων, ἀλλ' ἐρίζειν πρὸς ἅπαντας παρασκευασμένος, μέτρον δὲ οὐδὲν, ἀλλ' οὐδὲ καιρὸν οὐδένα τιθέμενος εἰς φιλονεικίαν. οὐ γὰρ δὴ μόνον ἐν τοῖς λόγοις τὸ ὀρθῶς ἔχον, ὁ τοιοῦτος ἀναιρεῖν πειρᾶται, ἀλλὰ καὶ ἐν τῷ πράττειν τὰ πολλὰ τὸ φιλονεικεῖν, ὁδοὺς βιαίους πολλάκις καὶ διαστρόφους τὰς πράξεις ποιήσεται, ἑαυτὸν μὴ συνεροῦντα ταῖς τῶν πολλῶν δόξαις ἐπιδεικνύς. ἐκ τούτων δὲ αὐτὸς μὲν τοῖς ἄλλοις ἐπαχθὴς, τοὺς φεύγοντας δὲ αὐτὸν καὶ τὰς τοιαύτας συνουσίας μισήσει. τοὺς δὲ ἐπ' ἐλευθερίας ἐλέγχοντας αὐτοῦ τὸ σκαιὸν τοῦ ἤθους, οὐδὲ ἰδεῖν ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἀνέχεται. εἰ δ' εἰς τοὺς ὁμοίους ἐμπέσοι, οὐ γὰρ δὴ πολλὴ σπάνις τῶν τοιούτων, εὐθὺς στάσεις, λοιδορίαι, καὶ πόλεμος ἄσπονδος. ἐξ ἧς ψευδεῖς διαβολαὶ καὶ πᾶν εἶδος ἐπιβουλῆς, καὶ σκέψεις, ὅπως ἂν ἀλλήλους ἀπολέσωσιν. τὰ γὰρ μεγάλα κακὰ οὐκ ἄλλως, ἢ ἐκ τῆς τυχούσης φιλονεικίας, συνίσταται. Ἱέρακος ἐκ τοῦ περὶ δικαιοσύνης.

Οὐκοῦν ἱκανόν σοι τεκμήριον ἔφη τοῦτο ἀνδρὸς, ὃν ἂν ἴδῃς ἀγανακτοῦντα μέλλοντα ἀποθανεῖσθαι, ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος, ἀλλά τις φιλοσώματος. αὐτὸς δὲ τοῦ, αὐτὸς τυγχάνει ὢν καὶ φιλοχρήματος, καὶ φιλότιμος. ἤτοι τὰ ἕτερα τούτων, ἢ ἀμφότερα. πάνυ ἔχει ἔφη οὕτως ὡς λέγεις. ἆρ' οὖν ἔφη ὦ Σιμμία, οὐκ ἂν ὀνομαζόμενον ἀνδρεία τοῖς οὕτω διακειμένοις μάλιστα Πλάτωνος



Ayuntamiento de Madrid

προσήκει; πάντως που ἔφη. οὐκοῦν καὶ ἡ σωφροσύνη. ἣν καὶ οἱ πολλοὶ ὀνομάζουσι σωφροσύνην τὸ παρὰ τὰς ἐπιθυμίας μὴ ἐμπτοῆσθαι, ἀλλ' ὀλιγώρως ἔχειν καὶ κοσμίως. ἆρ' οὐ τούτοις μόνοις προσήκει τοῖς μάλιστα τοῦ σώματος ὀλιγωροῦσί τε καὶ ἐν φιλοσοφίᾳ ζῶσιν. ἀνάγκη ἔφη. εἰ γὰρ ἐθέλεις ἦ δ' ὅς ἐννοῆσαι τήν γε τῶν ἄλλων ἀνδρείαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. πῶς δὴ ὦ σώκρατες. οἶσθα ἦ δ' ὅς ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄλλοι τῶν μεγάλων κακῶν; καὶ μάλ' ἔφη. οὐκοῦν φόβῳ μειζόνων κακῶν ὑπομένουσιν αὐτῶν οἱ ἀνδρεῖοι τὸν θάνατον ὅταν ὑπομένωσιν. ἔστι ταῦτα. τῷ δέει, ναί; ναί. ἄρα οὖν δέει ἀνδρεῖοί εἰσι πάντες. πλὴν οἱ φιλόσοφοι. καίτοι ἄλογόν γε δέει τινὰ καὶ δειλίᾳ ἀνδρεῖον εἶναι; πάνυ μὲν οὖν. τί δὲ οἱ κόσμιοι αὐτῶν οὐ ταυτὸ τοῦτο πεπόνθασιν, ἀκολασίᾳ τινὶ σώφρονές εἰσι; καίτοι φαμέν γε ἀδύνατον εἶναι, ἀλλ' ὅμως συμβαίνει τούτῳ ὅμοιον τὸ πάθος, τὸ περὶ ταύτην τὴν εὐήθη σωφροσύνην. φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι, καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων ἀπέχονται, ὑπ' ἄλλων κρατούμενοι. καίτοι καλοῦσί γε ἀκολασίαν, τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι. ἀλλ' ὅμως συμβαίνει αὐτοῖς κρατουμένοις ὑφ' ἡδονῶν. τοῦτο δὴ ὅμοιόν ἐστιν, ὃ νῦν δὴ ἐλέγετο. τὸ, τρόπον τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσωφρονίσθαι. ἔοικε γάρ. ὦ μακάριε σιμμία. μὴ γὰρ οὐχ αὕτη ἡ ὀρθὴ πρὸς ἀρετὴν, ἀλλ' ἀντὶ ἡδονὰς καὶ λύπας καὶ φόβον, πρὸς φόβον καταλλάττεσθαι, μείζω πρὸς ἐλάττω ὥσπερ νομίσματα, ἀλλ' ᾖ ἐκεῖνο μόνον τὸ νόμισμα ὀρθὸν, ἀντὶ οὗ δεῖ ταῦτα πάντα καταλλάττεσθαι φρόνησις. καὶ τούτου μὲν πάντα, καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι. ἡ καὶ ἀνδρεία, καὶ σωφροσύνη, καὶ δικαιοσύνη, καὶ ξυλλήβδην ἀληθὴς ἀρετὴ μετὰ φρονήσεως, καὶ προσγινομένη καὶ ἀπογινομένη, καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων. χωριζόμενα δὲ φρονήσεως καὶ ἀλλαττόμενα ἀντὶ ἀλλήλων, μὴ σκιαγραφία τίς ᾖ ἡ τοιαύτη ἀρετή. καὶ τῷ ὄντι ἀνδραποδώδης τε, καὶ οὐδὲν ὑγιὲς, οὐδ' ἀληθὲς ἔχῃ. τὸ δ' ἀληθὲς τῷ ὄντι, ἡ κάθαρσις τῶν τοιούτων πάντων, καὶ ἡ σωφροσύνη, καὶ ἡ δικαιοσύνη. καὶ ἔτι αὐτὴ ἡ φρόνησις, μὴ καθαρμός τις ᾖ. ὡς κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες, οὐ φαῦλοι εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι, ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς ᾅδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται. ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος, μετὰ θεῶν οἰκήσεται. εἰσὶ γὰρ δὴ ὥς φασιν οἱ περὶ τὰς τελετὰς, ναρθηκοφόροι μὲν πολλοὶ βάκχοι δέ τε παῦροι. οὗτοι δ' εἰσὶ κατὰ τὴν ἐμὴν δόξαν οὐκ ἄλλοι, ἢ οἱ πεφιλοσοφηκότες.

Ayuntamiento de Madrid

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ, ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ.

## ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

Ταμιεῖόν ἐστιν ἀρετῆς ἡ σωφροσύνη. Μενάνδρου

Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν Σοφοκλέους.
ἅπαντα τἀνθρώπεια, τοὺς δὲ σώφρονας,
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.

Χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ δεῖ ποτε. τοῦ αὐτοῦ.

Οὐχ ὁ διόνυσος μὴ σωφρονεῖν, ἀναγκάσει Εὐριπίδου
γυναῖκας, ἐς τὴν κύπριν, ἀλλ' ἐν τῇ φύσει
τὸ σωφρονεῖν ἔνεστιν ἐς τὰ πάντ' ἀεί.

Ὦ μάκαρ, οἵας ἔλαχες τιμᾶς, ἱππόλυθ' ἥρως τοῦ αὐτοῦ.
διὰ σωφροσύνην, οὔποτε θνητοῖς ἀρετῆς
ἄλλη δύναμις μείζων. ἦλθε γὰρ ἢ πρόσθ' ἢ
μετόπισθεν τῆς εὐσεβείας χάρις ἐσθλή.
ἀνθρώποισι πᾶσι μέτεστι γιγνώσκειν
ἑαυτοὺς καὶ σωφρονεῖν.

Ἀνὴρ ὁκόταν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος οὐκ ἐπαΐων ὅκη βαίνει, ὑγρὴν τὴν ψυχὴν ἔχων. αὔη ψυχὴ, σοφωτάτη καὶ ἀρίστη. Ἡρακλείτου.

Ἔστι γὰρ ἡμῖν νόμος, ὥσπερ ἦν τοῖς ἐρασταῖς. ἣν δουλεύειν ἐθελοντὰς ἥντινοῦν δουλείαν παιδικοῖς μὴ κολακείαν, μηδὲ ἐπονείδιστον εἶναι. οὕτω δὴ ὡς ἄλλη μία δουλεία ἑκούσιος λείπεται οὐκ ἐπονείδιστος. αὕτη δέ ἐστιν ἡ περὶ τὴν ἀρετήν. νενόμισται γὰρ δὴ ἡμῖν. ἐάν τις τινὰ θέλῃ θεραπεύειν, ἡγούμενος δι' ἐκεῖνον ἀμείνων ἔσεσθαι, ἢ κατὰ σοφίαν τινά, ἢ κατὰ ἄλλο ὁποιοῦν μέρος. ἀρετῆς αὕτη αὖ ἡ ἐθελοδουλεία οὐκ αἰσχρά ἐστιν, οὐδὲ κολακεία. Πλάτωνος



Ayuntamiento de Madrid

Ἰαμβλίχου. Τὰ ἄλλα δὴ οὖν καὶ περὶ πασῶν τῶν δυνάμεων τῆς ψυχῆς, ἀποφαίνομαι τὴν συμμετρίαν αὐτῶν πρὸς ἀλλήλας καὶ εὐταξίαν· θυμοῦ τε, καὶ ἐπιθυμίας, καὶ λόγου, κατὰ τὴν προσήκουσαν ἑκάστῳ τάξιν εὐκοσμία· καὶ τούτων ἡ τοῦ ἄρχειν τε καὶ ἄρχεσθαι ἐν δέοντι γινομένη διανομή, σωφροσύνη ἂν εἴη πολυειδής.

Ξενοκράτους. Χρημάτων ἄλλων κομισθέντων ἀπ' Ἀλεξάνδρου, ἐπιστάς τοὺς κομίζοντας τὸν ἄλλον τρόπον, ἀπαγγείλατε ἔφη Ἀλεξάνδρῳ· ἕστ' ἂν οὕτω ζῶ οὐ δέομαι ταλάντων πεντήκοντα· τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα.

Πλάτωνος. Τί δαί· σωφροσύνης ἄρα οὐ δεήσει ἡμῖν τις, καὶ πῶς δὲ οὔ· σωφροσύνης δὲ ὡς πλήθει αὐτὰ τοιάδε μέγιστα· ἀρχόντων μὲν ὑπηκόους εἶναι· αὐτοὺς δὲ ἄρχοντας τῶν περὶ πότους καὶ ἀφροδίσια, καὶ περὶ ἐδωδὰς ἡδονῶν· ἔμοιγε δοκεῖ.

Τοῦ αὐτοῦ ἐκ συμποσίου. Πᾶσα γὰρ πρᾶξις, ὧδε ἔχει· αὐτὴ ἐφ' ἑαυτῆς πραττομένη, οὔτε καλὴ, οὔτε αἰσχρά· οἷον, ὃ νῦν ἡμεῖς ποιοῦμεν· ἢ πίνειν, ἢ ᾄδειν, ἢ διαλέγεσθαι· οὐκ ἔστι τούτων αὐτὸ καλὸν οὐδέν· ἀλλ' ἐν πράξει ὡς ἂν πραχθῇ τοιοῦτον ἀπέβη· καλῶς μὲν γὰρ πραττόμενον καὶ ὀρθῶς, καλὸν γίγνεται· μὴ ὀρθῶς δὲ, αἰσχρόν· οὕτω δὴ καὶ τὸ ἐρᾶν, καὶ ὁ ἔρως οὐ πᾶς ἐστι καλὸς οὐδὲ ἄξιος ἐγκωμιάζεσθαι· ἀλλ' ὁ καλῶς προτρέπων ἐρᾶν.

Ἐκ τῶν Νικολάου ἐθῶν συναγωγῆς. Ἰβήρων αἱ γυναῖκες κατ' ἔτος ὅ, τι ἂν ἐξυφαίνωσιν ἐν κοινῷ δεικνύουσιν· ἄνδρες δὲ χειροτονητοὶ κρίναντες τὴν πλεῖστα ἐργασαμένην προτιμῶσιν· ἔχουσι δὲ καὶ μέτρον τι ζώνης, ἣ τὴν γαστέρα περιλαβεῖν, ἂν μὴ δυνηθῶσιν, αἰσχρὸν ἡγοῦνται.

Θουκυδίδου. Σωφρόνων δὲ ἀνδρῶν, οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο· καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτεροι ἂν προσφέροιντο.

Μενέδημος νεανίσκου τινὸς εἰπόντος, μέγα ἐστὶ τὸ τυχεῖν ὧν ἄν τις ἐπιθυμῇ, εἶπε· πολλῷ μεῖζόν ἐστι, τὸ μὴ δὲ ἐπιθυμεῖν ὧν μὴ δεῖ.

Αἰσχίνου. Οὕτω γὰρ χρὴ καθαρὸν εἶναι τὸν βίον τοῦ σώφρονος ἀνδρὸς, ὥστε μηδὲν δέχεσθαι δόξαν αἰτίας πονηρᾶς.

Ἐπικτήτου. Ἐν συμποσίῳ σε οὕτω δεῖ ἀναστρέφεσθαι, περιφερόμενον τί γέγονας κατὰ σέ· ἐκτείνας τὴν χεῖρα μετρίως ἔφαψαι· παρέρχεται· μὴ κάτεχε, οὔπω ἐλήλυθε μὴ ἐπίβαλλε πόρρω τὴν ὄρεξιν, ἀλλ' ἐκδέχου κατὰ σὲ γενέσθαι ἄλλο· οὕτω πρὸς πλοῦτον· οὕτω πρὸς ἀρχάς· οὕτω πρὸς γάμον· καὶ ἔσῃ ἄξιος συμπότης τῶν θεῶν.

Μουσωνίου. Κἂν ἡδονῇ κανονιστέον· ἢ τὰ ἀρεστά, οὐδὲν τῆς σωφροσύνης ἥδιον· κἂν πόνῳ κανονιστέον· ἢ τὰ φευκτὰ οὐδὲν ἐστὶ τῆς ἀκρασίας ἐπωδυνώτερον.

Δημοσθένης. Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ αἱρεῖσθαι χρεών.

Τοῦ αὐτοῦ. Δίκαιος ἔρως, ἀνυβρίστως ἐφίεσθαι τῶν καλῶν.

Πρῶτον

Ayuntamiento de Madrid

Γ ρῶτον γὰρ ἂν δέξαιο σωκράτους ὑπερφυὲς δίδαγμα. πλοῦτον μετρεῖν χρήσασθαι. οὐ γὰρ ἔφη σωκράτης εἶναι τὴν ὑπέρμετρον κτῆσιν, πλοῦτον. τὸ δ' ὅσοις προσήκει χρῆσθαι. ἔπειτα δὲ τούτων μὴ διαμαρτάνειν, τῷ γὰρ ὄντι τούτοις κεκλῆσθαι εὐπόρους, τοὺς δ' ἄλλους πένητας ἀπεκάλει, καὶ ἀνίατον αὐτοὺς ἔφασκε πενίαν πένεσθαι, ψυχῆς γὰρ εἶναι τὸ ἀρρώστημα, οὐ κτήσεως. Ξενοφα- νους.

Κ αλὸν οὐδὲν φύεται ἐν ἀνδρὶ, θεμέλια θεμένῳ σοφίας, σωφροσύνην καὶ ἐγκράτειαν. Εν ταυτῷ

Δ εῖ ὥσπερ σειρῆνας τὰς ἡδονὰς παρελθεῖν, τὸν σπεύδοντα τὴν ἀρετὴν ἰδεῖν ὥσπερ πατρίδα. Σωκράτους

Ε υριπίδης εὐδαιμόνησεν ἐν θεάτρῳ εἰπών. τί δ' αἰσχρὸν ἂν μὴ τοῖσι χρωμένοις δοκῇ. Εκ τοῦ στεί- νου.

Α ἰσχρὸν τὸ αἰσχρὸν κἂν δοκῇ. κἂν μὴ δοκῇ. Διογένους

Φ αντάζονται δέ τινες πολλάκις, καὶ δοκοῦσι τινὲς εἶναι, καὶ οἴονται τοῦτο εἶναι τῶν ἀνθρώπων πάντων μέγιστον ὄντων ἀγαθῶν. δεδίασι δὲ ὡς εὖ εἰδότες, ὅτι μέγιστον τῶν κακῶν ἐστί. καὶ τοῦτο πῶς οὐκ ἂν ἀλήθεια ἐστὶν αὕτη ἐπονείδιστος. ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν. ἐγὼ δὲ ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι. τούτῳ ἂν ὅτι οὐκ εἰδὼς ἱκανῶς ἐν ἅδου, οὕτω καὶ οἴομαι οὐκ εἰδέναι. τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν εἶναι τοῦτον οἶδα. πρὸ οὖν τῶν κακῶν ὧν οἶδα, ὅτι κακά ἐστιν ἃ μὴ οἶδα, εἰ καὶ ἀγαθὰ ὄντα τυγχάνεις, οὐδέποτε φοβήσομαι, οὐδὲ φθέγξομαι, οὐδὲν γὰρ ἄλλων πράττων ἐγὼ περιέρχομαι, ἢ πείθων ὑμῶν καὶ νεωτέροις καὶ πρεσβυτέροις. μήτε σωμάτων ἐπιμελεῖσθαι, μήτε χρημάτων πρότερον. μηδὲ οὕτως σφόδρα, ὡς τῆς ψυχῆς, ὅπως ἀρίστη ἔσται. λέγων ὅτι, οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίνεται, ἀλλ' ἐξ ἀρετῆς τὰ χρήματα. καὶ τὰ ἄλλ' ἀγαθὰ τοῖς ἀνθρώποις καὶ ἰδίᾳ καὶ δημοσίᾳ. ἐκ τοῦ ἐναν- τίου. Πλάτωνος

Α λλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γὰρ ἴστε. ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψητε, ἢ ὑμᾶς αὐτούς. ἐμὲ μὲν γὰρ, οὐδὲν ἂν βλάψειεν, οὔτε μέλιτος, οὔτε ἄνυτος. οὐδὲ γὰρ ἂν δύναιτο. οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτείνειε μέντ' ἂν ἴσως, ἢ ἐξελάσειεν, ἢ ἀτιμώσειεν. Εν ταυτῷ

Κ αὶ μὴν οὐδὲν ἐστὶν οὕτω τῆς πυθαγορικῆς φιλοσοφίας ἴδιον, ὡς τὸ συμβολικόν. οἷον, ἐν τελετῇ μεμιγμένον φωνῇ καὶ σιωπῇ διδασκαλίας γένος, ὥστε μὴ λέγειν ἀείσω ξυνετοῖς. θύρας δ' ἐπίθεσθε βέβηλοι. ἀλλ' αὐτόθεν Πυθαγόρι- καί.



Ayuntamiento de Madrid

ἔχειν φῶς, καὶ χαρακτῆρα τοῖς συνήθεσι τὸ φραζόμενον· τυφλὸν δὲ καὶ ἄσημον εἶναι τοῖς ἀπείροις· ὡς γὰρ ὁ ἄναξ ὁ ἐν δελφοῖς οὔτε λέγει, οὔτε κρύπτει, ἀλλὰ σημαίνει κατὰ τὸν ἡράκλειτον, οὕτω τῶν πυθαγορικῶν συμβόλων· καὶ τὸ φράζεσθαι δοκοῦν, κρυπτόμενόν ἐστι· καὶ τὸ κρύπτεσθαι νοούμενον.

Ἐκ τοῦ νικολάου ἐθῶν.

Γαλακτοφάγοι σκυθικὸν ἔθνος· ἄοικοί τε εἰσὶν ὥσπερ καὶ οἱ πλεῖστοι σκυθῶν. τροφὴν δ' ἔχουσι γάλα μόνον ἵππειον· ἐξ οὗ τυροποιοῦντες, ἐσθίουσι καὶ πίνουσι. καὶ εἰσὶ διὰ τοῦτο δυσμαχώτατοι σὺν ἄλλοις πάντη τὴν τροφὴν ἔχοντες. οὗτοι καὶ δαρεῖον ἐτρέψαντο· εἰσὶ δὲ καὶ δικαιότατοι, κοινὰ ἔχοντες τά τε κτήματα καὶ τὰς γυναῖκας, ὥστε τοὺς μὲν πρεσβυτέρους αὐτῶν, πατέρας ὀνομάζειν τοὺς δὲ νέους, παῖδας· τοὺς δ' ἥλικας, ἀδελφούς, ὧν ἦν καὶ ἀνάχαρσις, εἷς τῶν ἑπτὰ σοφῶν νομισθεὶς, ὃς ἦλθεν εἰς τὴν ἑλλάδα, ἵνα ἱστορήσῃ τὰ τῶν ἄλλων νόμιμα, τούτων καὶ ὅμηρος μέμνηται, ἐν οἷς φησι.

Ὁμήρου.

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν ἱππημολγῶν, γαλακτοφάγων τε δικαιοτάτων ἀνθρώπων· παρὰ τούτοις οὐδὲ εἷς, οὔτε φθονῶν ὥς φασιν, οὔτε μισῶν, οὔτε φοβούμενος ἱστόρηται, διὰ τὴν τοῦ βίου κοινότητα, καὶ δικαιοσύνην. μάχιμοι δ' οὐχ ἧττον αὐτῶν αἱ γυναῖκες, ἢ οἱ ἄνδρες· καὶ συμπολεμοῦσιν ἄλλοις ὅταν δέῃ, καὶ διὰ τοῦτο ἀμαζόνας γενναιοτάτας εἶναι, ὥστε ποτὲ ἐλάσαι, μέχρι ἀθηνῶν καὶ κιλικίας· ὅτι τοῦτον παρῴκουν ἐγγὺς τῆς μαιώτιδος λίμνης.

Ἐπικτήτου.

Ὁ τύχης βίος συμπεπλεγμένος, ἔοικε χειμάρρῳ ποταμῷ· καὶ γὰρ ταραχώδης, καὶ ἰλύος ἀνάμεστος, καὶ δυσέμβατος καὶ τυραννικὸς, καὶ πολύηχος, καὶ ὀλιγοχρόνιος.

Τοῦ αὐτοῦ.

Ψυχὴ ὁμιλοῦσα ἀρετῇ, ἔοικεν ἀενάῳ πηγῇ· καὶ γὰρ καθαρὸν, καὶ ἀτάραχον, καὶ πότιμον, καὶ νόστιμον, καὶ κοινωνικόν· καὶ πλούσιον· καὶ ἀβλαβὲς, καὶ ἀνώλεθρον.

Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον, ὅτι κακὸς εἶ.

Βέλτιον ὀλιγάκις πλημμελεῖν, ὁμολογοῦντα σωφρονεῖν πλεονάκις, ἢ ὀλιγάκις ἁμαρτάνειν, λέγοντα πλημμελεῖν πολλάκις.

Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπ' αὐτῶν τιμωρῇ.

Μὴ οὕτω τὸ ἐκ τῆς δόξης αἰσχρόν, ὡς τὸ τῆς ἀληθείας ἀπόφευγε.

Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν· μαθὼν δὲ καλῶς λέγειν, πειρῶ καλῶς ποιεῖν, καὶ οὕτω καρπώσῃ τὸ καλῶς ἀκούειν.

Ἐξέταζε σαυτὸν, πότερον πλουτεῖν θέλεις, ἢ εὐδαιμονεῖν· καὶ εἰ μὲν πλουτεῖν, ἴσθι ὅτι οὔτε ἀγαθὸν, οὔτε ἐπὶ σοὶ πάντη· εἰ δὲ εὐδαιμονεῖν, ὅτι καὶ ἀγαθὸν καὶ ἐπὶ σοί· ἐπεὶ τὸ μὲν, τύχης ἐπίκηρον δάνειον· τὸ δὲ τῆς εὐδαιμονίας, προαιρέσεως.

Ayuntamiento de Madrid

Καθάπερ ἔχιν, ἢ ἀσπίδα, ἢ σκορπίον, ἐν ἐλεφαντίνῃ, ἢ χρυσῇ θεώμενος κύστῃ, οὐ διὰ τὸ πολυτελὲς τῆς ὕλης ἀγαπᾷς καὶ εὐδαιμονίζεις, ἀλλ' ὅτι λυμαντικὴ ἡ φύσις, ἐκτρέπῃ καὶ μυσάττῃ, οὕτω καὶ ἐπειδὰν ἐν πλούτῳ καὶ ὄγκῳ τύχης θεάσῃ κακίαν ἐνοῦσαν, μὴ καταπλαγῇς τὸ περιλαμπὲς τῆς ὕλης. ἀλλὰ καταφρόνει τῆς ἐν τῷ τρόπῳ κιβδηλίας.

Ὁ πλοῦτος, οὐ τῶν ἀγαθῶν, ἡ πολυτέλεια τῶν κακῶν. ἡ σωφροσύνη, τῶν ἀγαθῶν. καλεῖ δὲ ἡ μὲν σωφροσύνη, ἐπὶ τὴν εὐτέλειαν καὶ τὴν κτῆσιν τῶν ἀγαθῶν. ὁ δὲ πλοῦτος, ἐπὶ τὴν πολυτέλειαν, καὶ ἀφέλκει τῆς σωφροσύνης. δυσχερὲς ἄρα πλουτοῦντα σωφρονεῖν, ἢ σωφρονοῦντα πλουτεῖν. ὥσπερ δ' ἐν νηὶ ἐτράφης ἢ ἐτέχθης, οὐκ ἂν ἐπιβουλεύσου αὐτῆς κυβερνήτης ὑπάρχειν. οὔτε γὰρ ἐκεῖ σοι φύσει ἡ ναῦς συνέσται, οὔτε ἐνταῦθα ὁ πλοῦτος. ἀλλὰ πάντη ὁ λόγος ὥσπερ οὖν σοι φυσικὸν καὶ συγγενὲς ὁ λόγος, τοῦτο καὶ οἰκεῖον ἡγησάμενος, τούτου ἐπιμελοῦ.

Ἐν πέρσαις μὲν γεννηθείς, οὐκ ἐπιβουλεύεις οἰκεῖν τὴν ἑλλάδα ἀλλόθι διάγων εὐτυχεῖν. ἐν πενίᾳ δὲ γεννηθείς, τί ἐπιβουλεύεις πλουτεῖν, ἀλλ' οὐκ ἀλλόθι μῶν εὐτυχεῖν.

Ὥσπερ ἐπὶ σμικροῦ σκίμποδος θλιβόμενον ὑγιαίνειν ἄμεινον, ἢ ἐπὶ πλατείας κλίνης κυλινδούμενον νοσεῖν, οὕτω καὶ ἐν μικρᾷ περιουσίᾳ βέλτιον συσταλλόμενον εὐδαιμονεῖν, ἢ ἐν μεγάλῃ τυγχάνοντα δυστυχεῖν.

Οὐ πενία λύπην ἐργάζεται, ἀλλὰ ἐπιθυμία. οὐδὲ πλοῦτος φόβου ἀπαλλάττει, ἀλλὰ λογισμός. κτησάμενος τοιγαροῦν τὸν λογισμόν. οὔτε πλούτου ἐπιθυμίαν, οὔτε πενίαν μέμψῃ.

Οὔτε ἵππος ἐπὶ φάτνῃ καὶ φαλάροις καὶ τάπησιν, οὔτε ὄρνις ἐπὶ κρώκῃ καὶ καλιᾷ ὑψοῦται καὶ γαυριᾷ, ἀλλ' ἄμφω ἐπὶ ὠκύτητι. ὁ μὲν, ποδῶν. ὁ δὲ, πτερῶν. καὶ σὺ τοιγαροῦν, μὴ ἐπὶ τροφῇ καὶ σκέπῃ, καὶ ἁπλῶς τῇ ἔξωθεν περιουσίᾳ μετὰ ὀγκύλλου, ἀλλ' ἐπὶ χρηστότητι καὶ εὐποιΐᾳ.

Τὸ καλῶς ζῆν, τοῦ πολυτελῶς διαφέρει. τὸ μὲν γὰρ, ἐν σωφροσύνης καὶ αὐταρκείας. καὶ εὐταξίας, καὶ κοσμιότητος, καὶ εὐτελείας παραγίνεται. τὸ δὲ, ἐξ ἀκολασίας, καὶ τρυφῆς, καὶ ἀταξίας, καὶ ἀκοσμίας. τέλος δὲ τοῦ μὲν, ἔπαινος ἀληθής. τοῦ δὲ, ψόγος. εἰ τοίνυν βούλει καλῶς ζῆν, μὴ ζήτει μετὰ πολυτελείας ἐπαινεῖσθαι.

Μέτρον ἔστω σοι παντὸς σίτου καὶ πότου, ἡ πρώτη τῆς ὀρέξεως ἔμπλησις. ὄψον δὲ, καὶ ἡδονὴ, αὐτὴ ἡ ὄρεξις. καὶ οὔτε πλείονα τῶν δεόντων προσοίσῃ, οὔτε ὀψοποιῶν δεήσῃ, ποτῷ τε τῷ παρατεσόντι ἀρκεσθήσῃ.

Τὰς σιτήσεις ποιοῦ, μὴ ἀνειμένας καὶ σκυθρωπὰς. ἀλλὰ λαμπρὰς καὶ εὐτε-



Ayuntamiento de Madrid

λεῖς· ἵνα μήτε διὰ τὰ σωματικὰ αἱ ψυχαὶ παράπτωνται φαινακιζόμεναι, καὶ τῶν ἡδονῶν τῶν σωματικῶν ὀλιγωρῶσιν, ἔπειτα βλάπτονται, τρυφῶντα μὲν πλοῦτον, νοσοῦντα δὲ ἐσαῦθις τὰ σώματα.

Φρόντιζε ὅπως σε μὴ τὰ ἐν τῇ γαστρὶ μόνον ἐπαινῇ, ἀλλ' ἡ ἐν τῇ ψυχῇ εὐφρασία· ἐπεὶ τὰ μὲν, ἀποσκυβαλίζεται, καὶ συνεκρεῖ ὡς ὅρους· ἡ δὲ, κἂν ἡ ψυχὴ χωρισθῇ· διαπαντὸς ἀκήρατος μένει.

Ἐν ταῖς ἑστιάσεσι μελέτα τίσι τὰ δύο ὑποδέχῃ σῶμα καὶ ψυχήν. καὶ ὅτι ἂν τῷ σώματι δῷς, τοῦτο εὐθὺς ἐξέχεας· ὅ,τι δὲ τῇ ψυχῇ, διαπαντὸς τηρεῖς.

Μὴ συγκεράσῃς ἅμα ὀργὴν πολυτελείᾳ προσενέγκαι· πολυτέλεια μὲν τηδίσασα τῷ σώματι· μετ' οὐ πολὺ οἴχεται· ἣν δὲ ὀργὴν ἐνδὺς ἐστὶ τὸ μήκιστον μένει. σκόπει τοιγαροῦν, ὅπως μὴ ὑπ' ὀργῆς ὀξαχθεὶς, τὰς δετυμένας πολυτελῶς ὑβρίσῃς· ἀλλὰ μᾶλλον μεθ' ἡμερότητος εὐτελῶς εὐφρανεῖς.

Αἰσχρὸν τοῖς τῶν μελιττῶν δωρήμασι γλυκάζοντα τῶν κατὰ πόσιν, τὸ τῶν θεῶν δῶρον πικρὸν τὸν λόγον τῇ κακίᾳ. μελέτω σοι ἐν τοῖς σιτίοις, ὅπως σοι οἱ ὑπουργοῦντες, μὴ πλουσιώτεροι τῶν ὑπουργουμένων ὑπάρχωσιν. ἄτοπον γὰρ ὀλίγαις σιβάσι πολλὰς δουλεύειν ψυχάς.

Ἄριστον μὲν γὰρ καὶ ἐν ταῖς παρασκευαῖς χειρουργῶν, καὶ ἐν ταῖς τροφαῖς ἑστιώμενος κυβερνᾶν τοῖς θεραπεύουσι τῶν παρόντων. εἰ δὲ τὸ τοιόνδε δυσχερὲς τῷ καιρῷ ὑπάρχοι, μέμνησο, ὅτι μὴ κάμνων ὑπ' ὀκνούντων ὑπηρετῇ ἐσθίων ὑπὸ μὴ ἐσθιόντων, πίνων· ὑπὸ μὴ πινόντων ἐσθίων· λαλῶν ὑπὸ σιωπώντων· ἀνοιμένον ὑπὸ συνεσταλμένων· καὶ οὔτε ἄλλος φλεγμονὰς ἄτοπον πείσῃ. οὐδέτερον ἀγριαίνας χαλεπὸν ἐργάσῃ.

Ἐρίζειν καὶ φιλονεικεῖν, πάντη μὲν ἄτοπον· μάλιστα δὲ ἐν ταῖς παρὰ πότον ὁμιλίαις ἀπρεπές. οὔτε γὰρ ἂν μεθύων νήφοντα διδάξει τις. οὔτ' αὖ μεθύων πρὸς νήφοντος πεισθείη. ἔνθα δὲ ἂν μὴ παρῇ νῆψις, τέλος εἰκῇ σε παρέχει διατείνεσθαι.

Οἱ τέττιγες μουσικοί· οἱ δὲ κοχλίαι, ξηροί· χαίρουσι δὲ, οἱ μὲν ὑγραινόμενοι· οἱ δὲ ἀλεαινόμενοι. ἔπειτα προκαλεῖται τοὺς μὲν, ἡ δρῦς, καὶ ἐστὶ ταύτῃ ἐκδύουσι. τοὺς δ' αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος. καὶ ἐν ἄλλῳ ᾄδουσι. τοιγαροῦν εἰ βούλει μουσικὸς καὶ εὐάρμοστος ὑπάρχειν ἀνήρ, ἡνίκα μὲν τοῖς πότοις ὑπὸ τοῦ οἴνου δροσισθῇ ἡ ψυχὴ, τότε ἄλλην μὴ ἔα προεῖσαν μολύνεται· ἀλλ' ἡνίκα ἂν ἐν τοῖς συνεδρείοις ὑπὸ τοῦ λόγου διαπυρωθῇ, τότε θεσπίζειν καὶ ᾄδειν τὰ τῆς δικαιοσύνης κελεύει λόγια.

Τὸν

Ayuntamiento de Madrid

Τὸν προσομιλοῦντα φιχῇ διασκοποῦ· ἢ ὡς ἀμείνονα, ἢ ὡς ἥττονα ἢ ὡς ἴσον. καὶ τὸν μὲν ἀμείνονα, ἀκούειν χρὴ καὶ πείθεσθαι αὐτῷ· τὸν δὲ ἥττονα, ἀπωθεῖν· τὸν δὲ, ἴσον, συμφωνεῖν. καὶ οὔποτε ἁλώσῃ φιλονεικίας.

Ἄμεινον τῇ ἀληθείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρήσαντα, πρὸς τῆς ἀληθείας ἡττᾶσθαι.

Ζητῶν τὴν ἀλήθειαν, οὐ ζητήσεις τὸ ἐκ παντὸς τρόπου νικᾶν· καὶ εὑρὼν τὴν ἀλήθειαν, ἕξεις τὸ μὴ νικᾶσθαι.

Ἡ ἀλήθεια παρ' αὐτῇ νικᾷ· ἡ δὲ δόξα παρὰ τοῖς ἔξω.

Ἐλευθερία καὶ δουλεία, τὸ μὲν, ἀρετῆς ὄνομα· τὸ δὲ, κακίας.

Κακὸς δεσμὸς σώματος μὲν τύχη, ψυχῆς δὲ κακία. ὁ μὲν γὰρ τὸ σῶμα λελυμένος, τὴν δὲ ψυχὴν δεδεμένος, δοῦλος. ὁ δ' αὖ τὸ σῶμα δεδεμένος, τὴν δὲ ψυχὴν λελυμένος, ἐλεύθερος.

Τὸν μὲν τοῦ σώματος δεσμὸν, λύει καὶ φύσις θανάτου, καὶ ἡ κακία διὰ χρημάτων. τὸν δὲ τῆς ψυχῆς, ἀρετὴ διὰ μαθήσεως, καὶ μεγαλοψυχίας καὶ ἀσκήσεως.

Εἰ βούλει ἀταράχως καὶ εὐχαρέστως ζῆν, πειρῶ τοὺς συνοικοῦντάς σοι σύμπαντας ἀγαθοὺς ἔχειν. ἕξεις δὲ ἀγαθοὺς, εἰ τοὺς μὲν, ἑκόντας παιδεύοις, τοὺς δὲ, ἄκοντας. ἔπειτα κεχειρωμένους ἀπολύοις. συμφεύξεται γὰρ τοῖς φυγοῦσιν ἡ μοχθηρία ἅμα καὶ ἡ κακία. συναπολειφθήσεται δὲ τοῖς συμμένουσί σοι ἡ χρηστότης καὶ ἡ ἐλευθερία.

Βέλτιον μετὰ ἑνὸς ἐλευθέρου ζῶντα, ἄφοβον καὶ ἐλεύθερον ὑπάρχειν, ἢ μετὰ πολλῶν δουλεύειν.

Ὁ φεύγεις παθεῖν, τοῦτο μὴ ἐπιχείρει διατιθέναι. φεύγεις δὲ δουλείαν, φυλάσσου δουλεύεσθαι. ὑπομένων γὰρ δουλεύεσθαι αὐτὸς ὑπάρχων πρότερον ἔοικας δοῦλος. οὔτε γὰρ κακία ἀρετῇ κοινωνεῖ, οὔτε ἐλευθερία δουλείᾳ.

Ὥσπερ ὁ ὑγιαίνων οὐκ ἂν ὑπὸ νοσούντων βούλοιτο θεραπεύεσθαι, οὔτε τοὺς συνοικοῦντας ἑαυτῷ νοσεῖν, οὕτως οὔτε ἐλεύθερος ἀνάσχοιτ' ἂν ὑπὸ δούλων ὑπηρετεῖσθαι, ἢ τοὺς συμβιοῦντας ἑαυτῷ δουλεύειν.

Ὅστις θέλει δούλων ἐκτὸς ὑπάρχειν, αὐτὸς ἀπολύθητι δουλείας. ἔσῃ δὲ ἐλεύθερος, ἂν ἀπολυθῇς ἐπιθυμίας. οὔτε γὰρ ἀριστείδης, οὔτε ἐπαμινώνδας, οὔτε λυκοῦργος πλουτοῦντες καὶ δουλευόμενοι, ὁ μὲν δίκαιος, ὁ δὲ, θεός. ὁ δὲ, σωτὴρ προσηγορεύθησαν. ἀλλ' ὅτι πενόμενοι τὴν Ἑλλάδα δουλείας ἀπέλυον.

Εἰ θέλεις τὴν οἰκίαν εὖ οἰκεῖσθαι, μιμοῦ τὸν σπαρτιάτην λυκοῦργον. ὃν γὰρ τρόπον οὗτος, οὐ τείχεσι τὴν πόλιν ἔφραξεν, ἀλλ' ἀρετῇ τοὺς ἐνοικοῦντας

Ayuntamiento de Madrid

ὠχύρωσε, καὶ διαπαντὸς ἐτήρησεν ἐλευθέραν τὴν πόλιν, οὕτω καὶ σὺ μὴ μεγάλην αὐλὴν περίβαλλε· καὶ πύργους ὑψηλοὺς αὐτῇ· ἀλλὰ τοὺς οἰκοῦντας εὐνοίᾳ καὶ πίστει καὶ φιλίᾳ στήριζε. καὶ οὐδὲν αὐτὴν εἰσελεύσεται βλαβερόν· οὐδ᾽ ἂν τὸ σύμπαν τῆς κακίας παρατάξηται στῖφος.

Μὴ πίναξι καὶ γραφαῖς τὴν οἰκίαν σου περίβαλλε· ἀλλὰ σωφροσύνῃ καταγράφε· τὸ μὲν γὰρ ἀλλότριον, τῶν ὀφθαλμῶν ἐστὶν ἐφήμερος γοητεία· τὸ δὲ, σύμφυτος, καὶ ἀνεξάλειπτος, καὶ ἀΐδιος, οἰκίας κόσμος.

Ἀντὶ βοῶν ἀγέλης, πειρῶ φίλων ἀγέλας συναγελάζεσθαί σου τῇ οἰκίᾳ.

Ὥσπερ λύκος ὅμοιον κυνὶ, οὕτω καὶ κόλαξ καὶ μοιχὸς καὶ παράσιτος, ὅμοιος φίλῳ. πρόσεχε τοιγαροῦν, μὴ ἀντὶ κυνῶν φυλάκων, λάθῃς λυμεῶνας εἰσδεχόμενος λύκους.

Τῷ μὲν γύψῳ λευκανθίζουσαν σπουδάζειν θαυμάζεσθαι τὴν οἰκίαν, ἀπειροκάλου· τὸ δὲ ἦθος χρηστότητι κοινωνίας λαμπρύνειν, φιλοκάλου τε ἅμα καὶ φιλανθρώπου.

Ἐὰν θαυμάζῃς τὰ μικρὰ πρῶτον, μεγάλων ἀξιωθήσῃ· ἐὰν καταφρονήσῃς τῶν μικρῶν, μεγάλως θαυμασθήσῃ.

Οὐδὲν μικρότερον φιληδονίας, καὶ φιλοκερδίας, καὶ ἀλαζονείας· οὐδὲν κρεῖσσον μεγαλοψυχίας, καὶ πρᾳότητος, καὶ φιλανθρωπίας.

## Δημητρίου φαληρέως· τῶν ἑπτὰ σοφῶν ἀποφθέγματα.

### Κλεόβουλος.

Ὥσπερ οὐκ ἂν ἐβούλου ἐν νηῒ μικρᾷ καὶ πολυχρύσῳ πλέων βαπτίζεσθαι, οὕτω μηδὲ ἐν οἰκίᾳ αἱροῦ ὑπερμεγέθει καὶ πολυτελεῖ καθήμενος χειμάζεσθαι.

α· τοῦ αὐτοῦ Μέτρον ἄριστον. πατέρα δεῖ αἰδεῖσθαι. εὖ τὸ σῶμα ἔχειν καὶ τὴν ψυχήν. φιλήκοον καὶ μὴ πολύκοον. πολυμαθῆ, ἢ ἀμαθῆ. γλῶσσαν εὔφημον κεκτῆσθαι. ἀρετῆς οἰκεῖον, ἀδικίαν μισεῖν. εὐσέβειαν φυλάσσειν. πολίταις τὰ βέλτιστα συμβουλεύειν. γλώττης κρατεῖν. βίᾳ μηδὲν πράττειν. τέκνα παιδεύειν. ἔχθρας διαλύειν. τὸν τοῦ δήμου ἐχθρὸν, πολέμιον νομίζειν. γυναικὶ μὴ μάχεσθαι. μηδὲ ἄγαν φρονεῖν, ἀλλοτρίων παρόντων. τὸ μὲν, γὰρ ἐστὶ χεῖρον. τὸ δὲ, μανίαν δύναται παρέχειν. οἰκέτας μεθύοντας, μὴ κολάζειν. εἰ δὲ μὴ, δόξεις καὶ αὐτὸς μεθύειν. γαμεῖν ἐκ τῶν ὁμοίων. ἐὰν γὰρ ἐκ τῶν κρειττόνων, δεσπότας οὐ συγγενεῖς κτήσῃ. μὴ ἐπιμαίνεσθαι τῷ σκώπτοντι. ἀπεχθὴς γὰρ ἔσῃ τοῖς σκωπτομένοις. εὐποροῦντα μὴ ὑπερήφανον εἶναι. ἀποροῦντα, μὴ ταπεινοῦσθαι.

Ayuntamiento de Madrid

Σόλων Ἐξηκεστίδου Ἀθηναῖος ἔφη.

Μηδὲν ἄγαν. κριτὴς μὴ κάθισο· εἰ δὲ μή, τῷ ληφθέντι, ἐχθρὸς ἔσῃ. ἡδονὴν β′.
φεῦγε. αὕτη γὰρ λύπην τίκτει. φύλασσε τρόπου καλοκαγαθίαν, ὅρκου πι-
στοτέραν. σφράγιζε τοὺς μὲν λόγους, σιγῇ. τὴν δὲ σιγὴν καιρῷ. μὴ ψεύδου, ἀλλ'
ἀλήθευε. τὰ σπουδαῖα μελέτα. τῶν γονέων, μὴ λέγε δικαιότερα. φίλους
μὴ ταχὺ, κτῶ. οὓς δ' ἂν κτήσῃ μὴ ταχὺ ἀποδοκίμαζε. ἄρχεσθαι μαθών,
ἄρχειν ἐπιστήσῃ. συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα τοῖς πολίταις.
μὴ θρασύνου. μὴ κακοῖς ὁμίλει. χρῶ τοῖς θεοῖς. φίλους εὐσέβει. ὃ δ' ἂν
ἴδῃς, μὴ λέγε. εἰδὼς σίγα. τοῖς σεαυτοῦ πρᾶος ἴσθι. τὰ ἀφανῆ τοῖς φα-
νεροῖς τεκμαίρου.

Χίλων ὑὸς Δαμάγητος Λακεδαιμόνιος, ἔφη.

Γνῶθι σαυτόν. πίνων, μὴ πολλὰ λάλει. ἁμαρτήσεις γάρ. μὴ ἀπείλει τοῖς ἐλευ- γ′.
θέροις. οὐ γὰρ καλόν. μὴ κακολόγει τοὺς πλησίον. εἰ δὲ μή, ἀκούσῃ, ἐφ' οἷς
λυπηθήσῃ. ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου. ἐπὶ τὰς ἀτυ-
χίας, ταχέως. γάμους εὐτελεῖς ποιοῦ. τὸν τετελευτηκότα μακάριζε. πρεσβύ-
τερον σέβου. τὸν τὰ ἀλλότρια περιεργαζόμενον μίσει. ζημίαν αἱροῦ μᾶλ-
λον, ἢ κέρδος αἰσχρόν. τῷ δυστυχοῦντι, μὴ ἐπιγέλα. τραχὺς ὤν, ἥσυχον σε-
αυτὸν πάρεχε, ὅπως σε αἰσχύνωνται μᾶλλον, ἢ φοβῶνται. τῆς ἰδίας οἰ-
κίας προστάτει, ἡ γλῶσσά σου μὴ προτρεχέτω, τοῦ νοῦ. θυμοῦ κράτει. μὴ ἐ-
πιθύμει ἀδύνατα. ἐν ὁδῷ μὴ σπεῦδε προάγειν, μὴ δὲ τὴν χεῖρα κινεῖν, μα-
νικὸν γάρ. νόμοις πείθου. ἀδικούμενος διαλλάσσου.

Πιττακὸς Μυτιληναῖος.

Εὐνὴ πέρα δ' ἄπτα. φίλων παρόντων καὶ ἀπόντων μέμνησο. μὴ τὴν ὄψιν καλ- δ′.
λώπιζε, ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἴσθι καλῶς. μὴ πλούτει κακῶς. μή σε
διαβαλλέτω λόγος, τοὺς τῆς πίστεως κεκοινωνηκότας. κολακεύειν γονεῖς μὴ ὄκνει.
μὴ προσδέχου τὸ φαῦλον. οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τούτους
αὐτὸς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου. χαλεπὸν τὸ εὖ γνῶναι. ἥδιστον
τὸ ἐπιθυμίας τυχεῖν. ἀνιαρὸν ἀργία. κακὸν ἀκρασία. βαρὺ ἀπαιδευσία.
δίδασκε καὶ μάνθανε, τὸ ἄμεινον. ἀργὸς μὴ ἴσθι. μὴ δ' ἂν πλουτῇς τὴν δυ-
στυχίαν κρύπτε. φθόνον χάειν, μὴ οἰκτείρου. μὴ πᾶσι πίστευε.

Θαλῆς ὁ Μιλήσιος.

Καιρὸν γνῶθι. ὃ μέλλεις ποιεῖν, μὴ λέγε. ἀποτυχὼν γάρ, καταγελασθήσῃ. τοῖς ε′.
ἐπιτηδείοις χρῶ. ὅσα νεμεσεῖς, τὸν πλησίον, αὐτὸς μὴ ποίει. ἀπραγοῦντα μὴ
ὀνείδιζε. ἐπὶ γὰρ τούτοις νέμεσις θεῶν κάθηται. ἀγάπα τὸν πλησίον. μικρὰ

Ayuntamiento de Madrid

ἐλαττούμενος, τὸν φίλον κακῶς μὴ λέγε, δεινὸν γὰρ συνιδεῖν τὸ μέλλον. πιστὸν γῆ· ἄπιστον θάλασσα. ἄπληστον κέρδος. κτῆσαι καλοκαγαθίαν. θεραπείαν ζήτει. φίλει τὴν παιδείαν. σωφροσύνην. φρόνησιν. ἀλήθειαν. πίστιν. ἐμπειρίαν. εὐδεξιότητα. ἑταιρείαν. οἰκονομίαν. τέχνην. εὐσέβειαν.

Βίας τευταμίδου πριηνεύς.

Οἱ πλεῖστοι ἄνθρωποι κακοί. χρὴ πρῶτον αὑτὸν ἐμβλέψαντα πράττειν. εἰ μὲν καλὸς φαίνη, καλὰ ποιεῖν. εἰ δὲ αἰσχρὸς, τὸ τῆς φύσεως ἐλλιπὲς διορθοῦσθαι. ἄσκει καλοκαγαθίαν. βραδέως ἐγχείρει. ὃ δ' ἂν ἄρξῃ, διαβεβαιοῦ. μίσει τὸ ταχὺ λαλεῖν. μὴ εὐήθης ἴσθι, μήτε κακοήθης. ἀφροσύνην μὴ προσδέχου. φρόνησιν ἀγάπα. πάντοτε λέγε, ὡς εἰσὶ θεοί. νόει τὸ πραττόμενον. ἄκουε πολλά. λάλει καίρια. πένης ὢν, πλουσίοις μὴ ἐπιτίμα, ἢν μὴ μέγα ὠφελῇς. ἀνάξιον ἄνδρα, μὴ ἐπαίνει διὰ πλοῦτον. πείσας λάβε, μὴ βιασάμενος. ὅταν ἀγαθὸν πράσσῃς, θεοὺς, μὴ δὲ σεαυτὸν αἰτιῶ. κτῆσαι ἐν μὲν νεότητι, εὐπραξίαν. ἐν δὲ τῷ γήρᾳ, σοφίαν. ἕξεις ἔργῳ μνήμην. καιρῷ εὐλάβειαν. τρόπῳ γενναιότητα. πόνῳ, ἐγκράτειαν. φόβῳ, εὐσέβειαν. πλούτῳ, φιλίαν. λόγῳ, πειθώ. σιγῇ, κόσμον. γνώμῃ, δικαιοσύνην. τόλμῃ, ἀνδρείαν. πράξει, δυναστείαν. δόξῃ, ἡγεμονίαν.

Περίανδρος κυψέλου κορίνθιος, ἔφη.

Μελέτα τὸ πᾶν. καλὸν ἡσυχία. ἐπισφαλὲς, προπέτεια. κέρδος αἰσχρὸν, φύσεως κατηγορία. δημοκρατία κρεῖττον, τυραννίδος. αἱ μὲν ἡδοναὶ, θνηταί. αἱ δ' ἀρεταὶ ἀθάνατοι. εὐτυχῶν μὲν, μέτριος ἴσθι. ἀτυχῶν δὲ, φρόνιμος. φειδόμενον, κρεῖττον ἀποθανεῖν, ἢ ζῶντα ἐνδεεῖσθαι. σεαυτὸν ἄξιον παρασκεύαζε τῶν γονέων. ζῶν μὲν, ἐπαινοῦ. ἀποθανὼν δὲ, μακαρίζου. φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν, ὁ αὐτὸς ἴσθι. ὃν ἂν ἑκὼν ὁμολογήσας πονηρὸν, παράβαινε. λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ. λοιδοροῦ ὡς ταχὺ φίλος ἐσόμενος. τοῖς μὲν νόμοις, παλαιοῖς χρῶ. τοῖς δ' ὄψοις προσφάτοις. μὴ μόνον τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας κώλυε. δυστυχῶν, κρύπτε. ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς.

Σωσιάδου τῶν ἑπτὰ σοφῶν ὑποθῆκαι.

Ἕπου θεῷ. νόμῳ πείθου. θεοὺς σέβου. γονεῖς αἰδοῦ. ἡττῶ ὑπὲρ δικαίου. γνῶθι μαθών. ἀκούσας, νόει. σαυτὸν ἴσθι. γαμεῖν μέλλων, καιρὸν γνῶθι. φρόνει θνητά. ἑστίαν τίμα. ἄρχε σεαυτοῦ. φίλοις βοήθει. θυμοῦ κράτει. φρόνησιν ἄσκει. πρόνοιαν, τίμα. ὅρκῳ μὴ χρῶ. φιλίαν ἀγάπα. παιδείας ἀντέχου. δόξαν δίωκε. σοφίαν ζήλου. καλὸν εὖ λέγε. ψέγε μηδένα. ἐπαίνει

Ayuntamiento de Madrid

ἀρετὴν. πρᾶττε δίκαια. φίλοις εὔνοει. ἐχθροὺς ἀμύνου. εὐγένειαν ἄσκει. κακίας ἀπέχου. κοινὸς γίνου. ἴδια φύλαττε. ἀλλοτρίων ἀπέχου. εὔφημος ἴσθι. ἄκουε πάντα. φίλῳ χαρίζου. χρόνου φείδου. ὅρα τὸ μέλλον. ὕβριν μίσει. ἱκέτας αἰδοῦ. υἱοὺς παίδευε. ἔχων χαρίζου. δόλον φοβοῦ. εὐλόγει πάντας. φιλόσοφος γίνου. ὅσια κρῖνε. γνοὺς πρᾶττε. φόνου ἀπέχου. εὔχου δυνατά. σοφοῖς χρῶ. ἦθος δοκίμαζε. λαβὼν ἀπόδος. ὑφορῶ μηδένα. τέχνῃ χρῶ. ὃ μέλλεις δός. εὐεργεσίας τίμα. φθόνει μηδενί. φυλακῇ πρόσεχε. ἐλπίδα αἴνει. διαβολὴν μίσει. δικαίως κτῶ. ἀγαθοὺς τίμα. αἰσχύνην σέβου. χάριν ἐκτέλει. ἔριν μίσει. ὄνειδος ἔχθαιρε. κρῖνε δίκαια. ἀδωροδόκητος δοκίμαζε. αἰτιῶ παρόντα. λέγε εἰδώς. βίας μὴ ἔχου. ὁμίλει πρᾴως. πέρας ἐπιτέλει μὴ ἀποδειλιῶν. υἱοῖς μὴ καταθάρρει. γλώττης ἄρχε. σεαυτὸν εὖ ποίει. εὐπροσήγορος γίνου. ἀποκρίνου ἐν καιρῷ. πόνει μετὰ δικαίου. πρᾶττε ἀμετανοήτως. ἁμαρτάνων μετανόει. ὀφθαλμοῦ κράτει. βουλεύου χρήσιμα. ἐπιτέλει συντόμως. φιλίαν φύλαττε. εὐγνώμων γίνου. ὁμόνοιαν δίωκε. ἄρρητον μὴ λέγε. τὸ κρατοῦν φοβοῦ. τὸ συμφέρον θηρῶ. καιρὸν προσδέχου. ἔχθρας διάλυε. εὐφημίαν ἄσκει. ἀπέχθειαν φεῦγε. πλούτει δικαίως. δόξαν μὴ λεῖπε. κακίαν μίσει. μανθάνων μὴ κάμνε. κινδύνευε φρονίμως. οὓς τρέφεις, ἀγάπα. πρεσβύτερον αἰδοῦ. νεώτερον δίδασκε. πλούτῳ ἀπίστει. σεαυτὸν αἰδοῦ. προγόνους στεφάνου. θνῆσκε ὑπὲρ πατρίδος. τῷ βίῳ μὴ μάχου. ἐπὶ νεκρῷ μὴ γέλα. ἀτυχοῦντι συνάχθου. χαρίζου ἀβλαβῶς. μὴ ἐπὶ παντὶ λυποῦ. ἐξ εὐγενῶν γέννα. ἐπαγγέλλου μηδενί. φθιμένους μὴ ἀδίκει. εὖ πάσχε ὡς θνητός. τύχῃ μὴ πίστευε. κόσμιος ἴσθι. ἡβῶν ἐγκρατής. μέσος, δίκαιος. πρεσβύτερος εὔλογος. τελευτῶν ἄλυπος.

Ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν, ἢ γὰρ θεός, ἢ θηρίον, ὅτι σοφόν ἐστι, πάντων κεχωρισμένον. Ἡρακλείτου.

Κρύπτειν ἀμαθίην κρέσσον, ἢ ἐς τὸ μέσον φέρειν.

Ἀνθρώποις γίνεσθαι ὁκόσα θέλουσιν, οὐκ ἄμεινον.

Νοῦσος ὑγείαν ἐποίησεν, ἡδὺ καὶ ἀγαθόν. λιμὸς, κόρον. κάματος ἀνάπαυσιν. σωφρονεῖν, ἀρετὴ μεγίστη καὶ σοφίη. ἀληθέα λέγειν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντας. ξυνόν ἐστι πᾶσι τὸ φρονεῖν. ξὺν νόῳ λέγοντας, ἰσχυρίζεσθαι χρὴ, τῷ ξυνῷ πάντων. ὅκωσπερ νόμῳ πόλις, καὶ πόλις ἰσχυροτέρως. τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι νόμοι, ὑπὸ ἑνὸς τοῦ θείου, κρατεῖ γὰρ τοσοῦτον, ὁκόσον ἐθέλει. καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται.

Ψυχῆς ἐστι λόγος, ἑαυτὸν αὔξων. ἐν τῷ βίῳ καθάπερ ἐν δράματι, χρὴ τὰ πρω- Σωκράτους

Ayuntamiento de Madrid

τα λέγειν, οὐ τὸν πλουσιώτατον, ἀλλὰ τὸν φρονιμώτατον.

Καλὸν ἐπὶ μὲν τῆς ἑστίας φαίνεσθαι τὸ πῦρ λαμπρὸν, ἐπὶ δὲ τῆς εὐτυχίας, τὸν νοῦν.

Πλάτωνος Πολλαὶ τέχναι ἐν ἀνθρώποις εἰσὶν ἐκ τῶν ἐμπειριῶν, ἐμπείρως εὑρημέναι. ἐμπειρία μὲν γὰρ ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην. ἀπειρία δὲ, κατὰ τύχην, ἑκάστων δὲ τούτων, ταῦτα λαμβάνουσιν ἄλλοι ἄλλων ἄλλως. τῶν δὲ ἀρίστων, οἱ ἄριστοι.

Σὺ δὲ πρὸς θεῶν ὦ παῖ δυνατὸν ἡγῇ τοῦτο; τάχα γὰρ ὑμεῖς μὲν ὀξύτερον οἱ νέοι πρὸς αὐτὸ βλέποιτε, ἡμεῖς δὲ ἀμβλύτερον. τὸ ποῖον καὶ πρὸς τί μάλιστα λέγεις. οὐ γάρ πω κατανοῶ τὸ νῦν ἐρωτώμενον. εἰ πάντα ἐπίστασθαί τινα ἄνθρωπόν ἐστι δυνατὸν, μακάριον μὲν πᾶν ἡμῶν, ὦ ξυνέχειν τὸ γένος.

Σωκράτους Οὔτε ἵππῳ χωρὶς χαλινοῦ. οὔτε πλούτῳ χωρὶς λογισμοῦ δυνατὸν ἀσφαλῶς χρήσασθαι.

Ὁ βίος ὥσπερ ὄργανον, ἀνέσει καὶ ἐπιτάσει ἁρμοττόμενος, ἡδίων γίνεται.

Τὸ λιβανωτὸν, τοῖς θεοῖς. τὸν δὲ ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ.

Οἱ τὸ ἀπὸ τῶν αἰσχρῶν ἔργων κέρδος εἰς καλὰς χορηγοῦντες λειτουργίας, ὅμοιόν τι ποιοῦσι, τοῖς ἀπὸ ἱεροσυλίας εὐσεβοῦσιν.

Ἀπολογεῖσθαι μὲν γὰρ χρὴ τῶν ἀδίκως περὶ τὸ ἀδικεῖν αἰτίαν ἐχόντων. ἐπαινεῖν δὲ τοὺς ἐπ᾽ ἀγαθῷ τινὶ διαφέροντας.

Ἐπαινεῖν χρὴ τὸ κατὰ τέχνην γινόμενον.

Πλάτωνος Τί δ᾽ εἰ μὴ ἔχω, οὐκ ἂν οἴει με ἄλλως εἰδέναι παρὰ τῶν ἀδίκων. ναί. εἴγε εὕροις. ἀλλ᾽ οὐκ ἂν εὑρεῖν με ἡγῇ, καὶ μάλα εἰ ζητήσαις. εἶτα ζητῆσαι οἴει με; ἔγωγε. εἰ οἰηθείην γε μὴ εἰδέναι.

Ἐν ταυτῷ Ἐνρὼν μὲν ἄρα οὐκ οἶσθα τὰ δίκαια καὶ τὰ ἄδικα; οὐ πάνυ φαίνομαι. ἀλλὰ μὴν ἄρτι γε οὐδὲ μαθὼν ἔφησθα εἰδέναι. μήθ᾽ εὑρεῖν, μήτ᾽ ἔμαθες. πῶς οἶσθα καὶ πόθεν. ἀλλ᾽ ἴσως τοῦτό σοι οὐκ ὀρθῶς ἀπεκρίθη, τὸ φάναι εἰδέναι αὐτὸς ἐξευρών. τὸ δὲ πῶς ἔχειν ἔμαθον οἶμαι καὶ ἐγώ, ὥσπερ καὶ οἱ ἄλλοι πάλαι τὸν αὐτὸν ἡγούμενον λόγον. παρὰ τοῦ, φράζε κἀμοί. παρὰ τῶν πολλῶν. οὐκ εἰς σπουδαίους γε νομίζεις τοὺς φαύλους καταφεύγεις τοὺς πολλούς.

Ἐν ταυτῷ. Ἀποκρίνου δὴ, καὶ ἂν μὴ αὐτὸς ταῦτα ἀκούσῃς. ὅτι τὰ δίκαια καὶ συμφέροντά ἐστιν, ἄλλῳ γε λέγοντι μὴ πιστεύσῃς. οὔτοι ἀλλ᾽ ἀποβλητέον. καὶ γὰρ οὐδὲν οἶμαι βλαβήσεσθαι. μαντικὸς γὰρ εἶ. καί μοι λέγε τὴν δικαίων φησί. ναί. ἃ μὲν ἐμφέρει. ἔνια δ᾽ οὔ. πῶς τοῦτο ἐρωτᾷς. εἴ τις σοι ἤδη ἔδοξεν αἰσχρὰ μὲν, δίκαια δὲ πράττειν. οὐκ ἔμοιγε. ἀλλὰ πάντα τὰ δίκαια καλά. τί δαί-

Ayuntamiento de Madrid

τὰ καλά; πότερον πάντα ἀγαθά, ἢ τὰ μὲν, τὰ δ' οὔ. οἶμαι ἔγωγε ὦ σώ-
κρατες ἔνια τῶν καλῶν κακὰ εἶναι, ἢ καὶ αἰσχρὰ ἀγαθά; ναί. ἆρα
λέγεις τὰ τοιάδε, οἷον πολλοὶ ἐν πολέμῳ βοηθήσαντες ἑταίρῳ, ἢ οἰκείῳ
τραύματά τε ἔλαβον, καὶ ἀπέθανον· οἱ δ' οὐ βοηθήσαντες, δέον, ὑγιεῖς ἀπῆλ-
θον· πάνυ μὲν οὖν. οὐκοῦν τὴν τοιαύτην βοήθειαν, καλὴν μὲν λέγεις, κα-
τὰ τὴν ἐπιχείρησιν τοῦ σῶσαι οὓς ἔδει. τοῦτο δέ ἐστιν ἀνδρεία. ἄλλο δὲ ὁ
θάνατος· πάνυγε· οὐκ ἄρα κατ' αὐτόν γ' ἐστὶ καλὸν καὶ κακὸν τὸ τοῖς φί-
λοις βοηθεῖν. οὐ φαίνεται. ὅρα τοίνυν εἴ γε καλὸν καὶ ἀγαθὸν ὥσπερ καὶ
ἐνταῦθα. κατὰ τὴν ἀνδρείαν γὰρ ὁμολογεῖς καλὸν εἶναι τὴν βοήθειαν.
τοῦτ' οὖν αὐτὸ σκόπει ἀγαθὸν ἢ κακόν. ὧδε δὲ· πότερ' ἂν δέξαιό σοι εἶναι
ἀγαθὰ ἢ κακά· ἀγαθά· οὐκοῦν τὰ μέγιστα μάλιστα, καὶ ἥκιστα τῶν τοιούτων δέ-
ξαι' ἂν στέρεσθαι. πῶς γὰρ οὔ. πῶς οὖν λέγεις περὶ ἀνδρείας. ἐπὶ πόσῳ
ἂν αὐτοῦ δέξαιο στέρεσθαι. οὐδὲ ζῆν ἔγωγε δεξαίμην, δειλὸς ὢν. ἔσχα-
τος· ἆρά σοι δοκεῖ κακὸν εἶναι ἡ δειλία; ἔμοιγε. ἐξ ἴσου τῷ τεθνάναι
ὡς ἔοικε; φημί. οὐκοῦν θανάτῳ τε καὶ δειλίᾳ, ἐναντιώτατον ζωὴ καὶ
ἀνδρεία; ναί. καὶ τὰ μὲν, μάλιστα εἶναι βούλοιό σοι, τὰ δὲ, ἥκιστα; ἆρ' οὖν
τὰ μὲν, ἄριστα ἡγῇ, τὰ δὲ, κάκιστα; πάνυγε. ἐν τοῖς ἀρίστοις ἄρα σὺ ἡγῇ
ἀνδρείαν εἶναι, καὶ ἐν τοῖς κακίστοις θάνατον; ἔγωγε. τὸ ἄρα βοηθεῖν πολέμῳ
τοῖς φίλοις ᾗ μὲν καλὸν κατὰ τὴν ἀγαθοῦ. πρᾶξιν τὴν τῆς ἀνδρείας, καλὸν
αὐτὸ προσεῖπες. φαίνομαί γε. κατὰ δὲ κακοῦ, πρᾶξιν τὴν τοῦ θανάτου
κακόν; ναί. οὐκοῦν δίκαιον ὧδε προσαγορεύειν ἑκάστην τῶν πράξεων, εἴ-
περ ᾗ κακὸν ἀπεργάζεται, κακὴν καλεῖς, καὶ ᾗ ἀγαθὸν, ἀγαθὴν κλητέον.
ἔμοιγε δοκεῖ. ἆρ' οὖν καὶ ᾗ ἀγαθὸν, καλὸν, ᾗ δὲ κακὸν, αἰσχρόν; πάνυγε.
τὴν ἄρ' ἐν τῷ πολέμῳ τοῖς φίλοις βοήθειαν λέγων, καλὴν μὲν εἶναι, κα-
κὴν δὲ οὐδὲν διαφερόντως λέγεις. ἆρ' οὖν ἀγαθὴν μὲν, κακὴν δὲ οὐδα-
μῶς; ἀληθῆ μοι δοκεῖς λέγειν ὦ σώκρατες. οὐδὲν ἄρα τῶν καλῶν κακόν,
ᾗ καλὸν κακόν. οὐδὲ τῶν αἰσχρῶν καθόσον αἰσχρὸν, ἀγαθόν. οὐ φαίνεται.
ἔτι τοίνυν καὶ ὧδε σκέψαι. ὃς ἀγαθὸν πράττει, οὐχὶ καὶ εὖ πράττει. ναί. οἱ
δ' εὖ πράττοντες οὐκ εὐδαίμονες; πῶς γὰρ οὔ. οὐκοῦν ἡ εὐδαιμονία δι' ἀ-
γαθῶν κτῆσιν; μάλιστα. κτῶνται δὲ ταῦτα τῷ εὖ καὶ καλῶς πράττειν;
ναί. τὸ γοῦν καλῶς πράττειν ἀγαθόν; πῶς δ' οὔ. οὐκοῦν, καλὸν ἡ εὐπραγία.
ναί. ταυτὸν ἄρα ἐφάνη ἡμῖν πάλαι ἀγαθόν. φαίνεται. ὅτι ἂν ἄρα εὕρωμεν
καλὸν καὶ ἀγαθὸν, εὑρήσομεν ἔκ γε τούτου τοῦ παραδείγματος. τί δέ. τὰ ἀγα-

Ayuntamiento de Madrid

θα συμφέρει, ἢ οὔ· συμφέρει. μιμνῄσκει οὖν περὶ τῶν δικαίων, πῶς ὡμολόγησας τοὺς τὰ δίκαια πράττοντας, ἀναγκαῖον εἶναι καλὰ πράττειν. οὐκοῦν καὶ τοὺς τὰ καλὰ λέγοντας· τὰ δίκαια ἄρα ὦ Ἀλκιβιάδη συμφέροντά ἐστιν.

# ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ, ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ,

## ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Ἀριστοτέλης.

Ἐπαινετὰ ἐστὶ τὰ καλά· ψεκτὰ δὲ τὰ κακά· καὶ τῶν μὲν καλῶν, ἡγοῦνται αἱ ἀρεταί· τῶν δὲ αἰσχρῶν, αἱ κακίαι· ἐπαινετὰ δὲ ἐστὶ καὶ τὰ αἴτια τῶν ἀρετῶν· καὶ τὰ παρεπόμενα ταῖς ἀρεταῖς· καὶ τὰ γινόμενα ὑπ' αὐτῶν, καὶ τὰ ἔργα αὐτῶν· ψεκτὰ δὲ τὰ ἐναντία. Τριμεροῦς δὲ τῆς ψυχῆς λαμβανομένης κατὰ Πλάτωνα, τοῦ μὲν λογιστικοῦ ἀρετή ἐστι, φρόνησις· τοῦ δὲ θυμοειδοῦς, ἥ τε πραότης καὶ ἡ ἀνδρεία· τοῦ δὲ ἐπιθυμητικοῦ, ἥ τε σωφροσύνη καὶ ἡ ἐγκράτεια· ὅλης δὲ τῆς ψυχῆς, ἥ τε δικαιοσύνη, καὶ ἡ ἐλευθεριότης, καὶ μεγαλοψυχία· κακία δὲ τοῦ μὲν λογιστικοῦ, ἡ ἀφροσύνη· τοῦ δὲ θυμοειδοῦς, ἥ τε ὀργιλότης, καὶ ἡ δειλία· τοῦ δὲ, ἐπιθυμητικοῦ, ἥ τε ἀκολασία καὶ ἡ ἀκρασία· ὅλης δὲ τῆς ψυχῆς, ἥ τε ἀδικία, καὶ ἡ ἀνελευθερία καὶ ἡ μικροψυχία. Ἔστι δὲ φρόνησις μὲν ἀρετὴ τοῦ λογιστικοῦ παρασκευαστικὴ τῶν πρὸς εὐδαιμονίαν τεινόντων. Πραότης δ' ἐστὶν ἀρετὴ τοῦ θυμοειδοῦς· καθ' ἣν ὑπὸ ὀργῆς γίνονται δυσκίνητοι. Ἀνδρεία δ' ἐστὶν ἀρετὴ τοῦ θυμοειδοῦς· καθ' ἣν δυσέκπληκτοί εἰσιν ὑπὸ φόβων τῶν περὶ θάνατον. Σωφροσύνη δ' ἐστὶν, ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν ἀνόρεκτοι γίνονται τῶν περὶ τὰς ἀπολαύσεις φαύλων ἡδονῶν. Ἐγκράτεια δ' ἐστὶν, ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν κατέχουσι τῶν

λογισμῶν

Ayuntamiento de Madrid

λογισμῶν τὰς ἐπιθυμίας ὁρμώσας ἐπὶ τὰς φαύλας ἡδονάς. Δικαιοσύνη δέ ἐστιν, ἀρετὴ ψυχῆς διανεμητικὴ τῶν κατ' ἀξίαν. Ἐλευθεριότης δέ ἐστιν, ἀρετὴ τῆς ψυχῆς εὐδάπανος εἰς τὰ καλά. Μεγαλοψυχία δέ ἐστιν, ἀρετὴ ψυχῆς, καθ' ἣν δύνανται φέρειν εὐτυχίαν, ἢ δυστυχίαν· καὶ τιμὴν καὶ ἀτιμίαν. Ἀφροσύνη δέ ἐστι, κακία τοῦ λογιστικοῦ, αἰτία τοῦ ζῆν κακῶς. Ὀργιλότης δέ ἐστι, κακία τοῦ θυμοειδοῦς, καθ' ἣν εὐκίνητοι γίνονται πρὸς ὀργήν. Δειλία δὲ κακία τοῦ θυμοειδοῦς, καθ' ἣν ἐκπλήττονται ὑπὸ φόβων τῶν περὶ θάνατον. Ἀκολασία δέ ἐστι, κακία τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν ὀρεκτικοὶ γίνονται, τῶν περὶ τὰς ἀπολαύσεις φαύλων ἡδονῶν. Ἀκρασία δέ ἐστι, κακία τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν αἱροῦνται τὰς φαύλας ἡδονάς, μὴ κωλύοντος τοῦ λόγου. Ἀδικία δέ ἐστι, κακία ψυχῆς, καθ' ἣν αἱρετικοὶ γίνονται κέρδους αἰσχροῦ. Μικροψυχία δέ ἐστι, κακία ψυχῆς, καθ' ἣν ἀδύνατον φέρειν καὶ εὐτυχίαν, καὶ ἀτυχίαν· καὶ τιμὴν καὶ ἀτιμίαν. Ἔργα δὲ τῆς φρονήσεώς ἐστι, τὸ εὖ βουλεύεσθαι. τὸ κρῖναι τὰ ἀγαθά, καὶ τὰ κακά, καὶ πάντα τὰ ἐν τῷ βίῳ αἱρετὰ καὶ φευκτά. τὸ χρήσασθαι καλῶς πᾶσι τοῖς ὑπάρχουσιν ἀγαθοῖς. τὸ ὁμιλῆσαι ὀρθῶς. τὸ συνιδεῖν τοὺς καιρούς. τὸ ἀγχινόως χρήσασθαι. τὸ ἐμπειρίαν ἔχειν τῶν χρησίμων πάντων. μνήμη δὲ καὶ ἐμπειρία, καὶ ἀγχίνοια καὶ δεξιότης, καὶ εὐβουλία, φρονήσεως ἕκαστον αὐτῶν ἐστιν, ἢ παρέπεται τῇ φρονήσει. καὶ τὰ μὲν αὐτῶν, οἷον παραίτια τῆς φρονήσεως. καθάπερ ἡ ἐμπειρία, καὶ ἡ μνήμη. τὰ δὲ, οἷον μέρη. οἷον εὐβουλία τε καὶ ἀγχίνοια. Πρᾳότης δέ ἐστι, τὸ φέρειν μετρίως ἐγκλήματα, καὶ ὀλιγωρίας μετρίας. καὶ τὸ μὴ ταχέως ὁρμᾶν ἐπὶ τὰς τιμωρίας, καὶ δυσκίνητον εἶναι πρὸς τὰς ὀργάς, ἄπικρον δὲ τῷ ἤθει καὶ ἀφιλόνεικον ἔχοντα τὸ ἠρεμαῖον ἐν τῇ ψυχῇ καὶ στάσιμον. Ἀνδρεία δέ ἐστι. τὸ δυσέκπληκτον εἶναι ὑπὸ φόβων τῶν πρὸς τὸν θάνατον. καὶ τὸ εὐθαρσῆ εἶναι, καὶ εὔτολμον πρὸς τοὺς κινδύνους. καὶ τὸ μᾶλλον αἱρεῖσθαι τεθνάναι καλῶς, ἢ αἰσχρῶς διασωθῆναι, καὶ τὸ νίκης αἴτιον εἶναι. Ἔστι δὲ ἀνδρείας, καὶ τὸ πονεῖν καὶ τὸ καρτερεῖν, καὶ αἱρεῖσθαι ἀνδραγαθίζεσθαι. παρέπεται δὲ τῇ ἀνδρείᾳ, ἡ εὐτολμία καὶ ἡ εὐψυχία, καὶ τὸ θάρσος, ἔτι τε ἡ μεγαλοψυχία, καὶ ἡ καρτερία. Σωφροσύνη δέ ἐστι, τὸ μὴ θαυμάζειν τὰς ἀπολαύσεις τῶν σωματικῶν ἐπιθυμιῶν. τὸ εἶναι πάσης ἀπολαυστικῆς αἰσχρᾶς ἡδονῆς, ἀνόρεκτον. καὶ τὸ φοβεῖσθαι τὴν ἀταξίαν. καὶ τὸ τετάχθαι περὶ τὸν βίον ὁμοίως ἐν μικροῖς καὶ μεγάλοις. παρέπεται δὲ τῇ σωφροσύνῃ, εὐταξία. κοσμιότης. αἰδώς. εὐλάβεια. Ἐγκρατείας δέ ἐστι τὸ δύνασθαι κατασχεῖν τῶν λογισμῶν τὴν ἐπιθυμίαν, ὁρμῶσαν ἐπὶ φαύλας ἀπολαύσεις ἡδονῶν. καὶ τὸ



Ayuntamiento de Madrid

καρτερεῖν, καὶ τὸ ὑπομονητικὸν εἶναι, τῆς κατὰ φύσιν ἐνδείας τε καὶ λύπης. Δικαιοσύνης δέ ἐστι· τὸ διανεμητικὸν εἶναι τοῦ κατ' ἀξίαν, τὸ σώζειν τὰ πάτρια ἔθη, καὶ τὰ νόμιμα· τὸ σώζειν τοὺς γεγραμμένους νόμους· τὸ ἀληθεύειν ἐν τῷ διαφέροντι· τὸ διαφυλάττειν τὰς ὁμολογίας. Ἔστι δὲ πρῶτα τῶν δικαίων, τὰ πρὸς τοὺς θεούς· εἶτα πρὸς δαίμονας· εἶτα πρὸς πατρίδα καὶ γονεῖς· εἶτα πρὸς τοὺς κατοιχομένους ἐν οἷς ἐστι καὶ εὐσέβεια. ἤτοι μέρος οὖσα τῆς δικαιοσύνης· ἢ παρακολουθοῦσα· ἀκολουθεῖ δὲ τῇ δικαιοσύνῃ, καὶ ἡ ὁσιότης καὶ ἡ ἀλήθεια· καὶ ἡ πίστις· καὶ μισοπονηρία. Ἐλευθεριότητος δέ ἐστι, τὸ προαιρετικὸν εἶναι χρημάτων εἰς τὰ ἐπαινετά· καὶ τὸ ὧδε δαψιλεῖν, ὧδε τῷ εἰς δέοντι ἀναλωθῆναι, καὶ τὸ καθεῖκον εἶναι ἐν τῷ διαφόρῳ, καὶ τὸ φιλάνθρωπον· καὶ τὸ μὴ λαβεῖν ὅθεν μὴ δεῖ, καὶ ὅθεν δεῖ λαβεῖν. Ἔστι δὲ ὁ ἐλευθέριος, καὶ περὶ αἰσθῆτα καθάριος, καὶ περὶ οἴκησιν, κατασκευαστικός τε ὢν τῶν περιττῶν καὶ καλῶν, καὶ διαγωγὴν ἐχόντων ἡδεῖαν, ἄνευ τοῦ λυσιτελοῦντος, καὶ θρεπτικὸς τῶν ζώων, τῶν ἴδιόν τι ἐχόντων ἢ θαυμαστόν. Ἀκολουθεῖ δὲ τῇ ἐλευθεριότητι, ἡ τοῦ ἤθους ὑγρότης, καὶ εὐαγωγία, καὶ φιλανθρωπία, καὶ τὸ εἶναι ἐνεργητικὸν καὶ φιλόφιλον, καὶ φιλόξενον, καὶ φιλόκαλον. Μεγαλοψυχίας δέ ἐστι, τὸ καλῶς ἐνεγκεῖν καὶ εὐψύχως, καὶ ἀτυχίαν, καὶ εὐτυχίαν· καὶ τιμὴν, καὶ ἀτιμίαν, καὶ τὸ μὴ θαυμάζειν, μήτε τρυφὴν, μήτε θεραπείαν, μήτε ἐξουσίαν, μήτε τὰς νίκας τὰς ἐναγωνίους. Ἔχει δέ τι βάθος τῆς ψυχῆς καὶ μέγεθος. Ἔστι δὲ ὁ μεγαλόψυχος, οὐδὲ τὸ ζῆν περὶ πολλοῦ ποιούμενος, οὐδὲ φιλόζωος, ἁπλοῦς δὲ τῷ ἤθει καὶ γενναῖος· καὶ ἀδικεῖσθαι δυνάμενος, καὶ οὐ τιμωρητικός. Ἀκολουθεῖ δὲ τῇ μεγαλοψυχίᾳ, ἁπλότης, καὶ γενναιότης, καὶ ἀλήθεια. Ἀφροσύνης δέ ἐστι· τὸ κρῖναι κακῶς τὰ πράγματα· τὸ βουλεύεσθαι κακῶς· τὸ ὁμιλῆσαι κακῶς· τὸ χρήσασθαι κακῶς τοῖς παροῦσιν ἀγαθοῖς· τὸ ψευδῶς δοξάζειν περὶ τῶν εἰς τὸν βίον ἀγαθῶν καὶ καλῶν. Παρακολουθεῖ δὲ τῇ ἀφροσύνῃ, ἀπειρία· ἀμαθία· ἀκρασία· ἐπαριστερότης· ἀμνημοσύνη. Ὀργιλότητος δέ ἐστιν εἴδη τρία· ἀκροχολία· πικρία· βαρυθυμία. Ἔστι τοῦ ὀργίλου, τὸ μὴ δύνασθαι φέρειν, μήτε τὰς μικρὰς ὀλιγωρίας, μήτε τὰς ἐλαττώσεις, εἶναι δὲ κολαστικὸν, καὶ ἄγριον· καὶ εὐκίνητον πρὸς ὀργὴν, καὶ ὑπὸ λόγου καὶ ἔργου τοῦ τυχόντος. Ἀκολουθεῖ δὲ, τῇ ὀργιλότητι, τὸ πάροξυ τοῦ ἤθους, καὶ εὐμετάβολον· καὶ ἡ πικρολογία, καὶ ἡ μεταμέλεια· καὶ τὸ λυπεῖσθαι, καὶ ἥδεσθαι· καὶ ταῦτα πάσχειν ταχέως· καὶ παρὰ βραχὺ καιρόν. Δειλίας δέ ἐστι, τὸ ἐκ τῶν τυχόντων φόβων, εὐκίνητον εἶναι· καὶ μάλιστα τῶν περὶ θάνατον, καὶ τὰς σωματικὰς πηρώσεις· καὶ τὸ λαβεῖν κράτιστον εἶναι ὁπωσοῦν σωθῆναι, ἢ τελευτῆσαι καλῶς. Ἀκολουθεῖ

δὲ τῇ δειλίᾳ, ἀνανδρεία· φιλοψυχία· καὶ ἀπόνοια. ὕπεστι δέ τις καὶ εὐλάβεια, καὶ τὸ ἀφιλόνεικον τοῦ ἤθους. Ἀκολασία δέ ἐστι, τὸ αἱρεῖσθαι τὰς ἀπολαύσεις τῶν ἡδονῶν, τῶν βλαβερῶν καὶ αἰσχρῶν, καὶ ὑπολαμβάνειν εὐδαιμονεῖν μάλιστα· τοὺς ἐν ταῖς τοιαύταις ἡδοναῖς ζῶντας· καὶ φιλόγελων εἶναι, καὶ φιλόσκωπτον· καὶ φιλοτράπελον· καὶ ῥᾳδιουργὸν εἶναι ἐν τοῖς λόγοις καὶ ἐν τοῖς ἔργοις. Ἀκολουθεῖ δὲ αὐτῇ· ἀκολασία· ἀταξία· ἀναίδεια· ἀκοσμία· τρυφή· ῥᾳθυμία· ἀμέλεια· ὀλιγωρία· ἔκλυσις. Ἀκρασία δέ ἐστι, τὸ κωλύοντος τοῦ λογισμοῦ τὰς ἀπολαύσεις τῶν ἡδονῶν· καὶ ὑπολαμβάνοντα κρεῖττον εἶναι μὴ μετασχεῖν αὐτῶν· μετέχειν δὲ μηδὲν ἧττον. καὶ τὸ οἴεσθαι μὲν δεῖν πράττειν καὶ τὰ καλά, καὶ τὰ συμφέροντα· ἀφίσταται δὲ αὐτῶν διὰ τὰς ἡδονάς. Ἀκολουθεῖ δὲ τῇ ἀκρασίᾳ μαλακία· μεταμέλεια· καὶ τὰ πλεῖστα τὰ αὐτά, ἃ καὶ τῇ ἀκολασίᾳ. Ἀδικίας δέ ἐστιν, εἴδη τρία· ἀσέβεια· πλεονεξία· ὕβρις. ἀσέβεια μέν, ἡ περὶ θεοὺς πλημμέλεια καὶ περὶ δαίμονας· καὶ περὶ τοὺς κατοιχομένους, καὶ περὶ γονεῖς καὶ πατρίδα. Πλεονεξία δέ, ἡ περὶ τὰ συμβόλαια παρὰ τὴν ἀξίαν αἱρουμένη τὸ διάφορον. Ὕβρις δέ, καθ' ἣν τὰς ἡδονὰς αὐτοῖς παρασκευάζουσιν, εἰς ὄνειδος ἄγοντες ἑτέρους· ὅθεν καὶ Εὔηνος περὶ αὐτῆς λέγει· ἥτις κερδαίνουσα οὐδέν, ὅμως ἀδικεῖ. Ἔστι δὲ ἀδικίας, τὸ παραβαίνειν τὰ πάτρια ἔθη, καὶ τὰ νόμιμα· τὸ ἀπειθεῖν τοῖς νομίμοις καὶ τοῖς ἄρχουσι· τὸ ψεύδεσθαι· τὸ ἐπιορκεῖν· τὸ παραβαίνειν τὰς ὁμιλίας καὶ τὰς πίστεις. Ἀκολουθεῖ δὲ τῇ ἀδικίᾳ· συκοφαντία· ἀλαζονεία· ἀφιλανθρωπία· προσποίησις· κακοήθεια· πανουργία. Ἀνελευθερίας δέ ἐστιν, εἴδη τρία· αἰσχροκέρδεια· φειδωλία· κιμβικία. Ἔστι δὲ αἰσχροκέρδεια μέν, καθ' ἣν κερδαίνειν ζητοῦσι πανταχόθεν, καὶ τὸ κέρδος αἰσχύνης περὶ πλείονος ποιοῦνται. Φειδωλία δέ, καθ' ἣν ἀδάπανοι γίνονται τῶν χρημάτων εἰς τὸ δέον. Κιμβικία δέ ἐστι, καθ' ἣν δαπανῶσι μὲν κατὰ μικρόν, καὶ κακῶς, καὶ πλείω βλάπτονται, τῷ μὴ κατὰ καιρὸν ποιεῖσθαι τὸ διάφορον. Ἔστι δὲ τῆς ἀνελευθερίας, τὸ περὶ πλείστου ποιεῖσθαι χρήματα· καὶ τὸ μηδὲν ὄνειδος ἡγεῖσθαι τῶν ποιούντων κέρδος· καὶ βίος θητικὸς καὶ δουλοπρεπής· καὶ ῥυπαρός· καὶ φιλοτιμίας, καὶ ἐλευθερίας ἀλλότριος. Ἀκολουθεῖ δὲ τῇ ἀνελευθερίᾳ, μικρολογία· βαρυθυμία· μικροψυχία· ταπεινότης· ἀμετρία· ἀγένεια· μισανθρωπία. Μικροψυχία δέ ἐστι, τὸ μήτε τιμήν, μήτε ἀτιμίαν, μήτε εὐτυχίαν, μήτε ἀτυχίαν δύνασθαι φέρειν· ἀλλὰ τιμώμενον μέν, ἀναχαυνοῦσθαι· καὶ μικρὰ εὐτυχήσαντα ἐξέρχεσθαι· ἀτιμίαν δὲ μηδὲ τὴν ἐλαχίστην ἐνεγκεῖν δύνασθαι· ἀπότευγμα δὲ ὁποιονοῦν, ἀτυχίαν κρίνειν μεγάλην· ὀδύρεσθαι δὲ καὶ δυσ-



Ayuntamiento de Madrid

φορεῖν. Ἔτι δὲ καὶ τοιοῦτός ἐστιν ὁ μικρόψυχος, οἷος πάντα τὰ ὀλιγωρήματα καλεῖν ὕβριν· καὶ τὰ δι' ἄγνοιαν, ἢ λήθην, ἢ ἄνοιαν γινόμενα. Ἀκολουθεῖ δὲ τῇ μικροψυχίᾳ, μεγαλουργία· μεμψιμοιρία· δυσελπιστία· ταπεινότης. Καθόλου δὲ τῆς μὲν ἀρετῆς ἐστὶ, τὸ ποιεῖν σπουδαίαν τὴν διάθεσιν, παρὰ ταῖς εὐθέαις καὶ τεταγμέναις κινήσεσι· χρωμένην καὶ συμφωνοῦσαν κατὰ πάντα μέρη· διὸ καὶ δοκεῖ παράδειγμα πολιτείας ἀγαθῆς εἶναι, σπουδαίας ψυχῆς διάθεσις. Ἔστι δὲ τῆς ἀρετῆς, τὸ εὐεργετεῖν τοὺς ἀξίους καὶ τοὺς ἀγαθούς· καὶ τὸ μισεῖν τοὺς κακούς· καὶ τὸ μήτε κολαστικὸν εἶναι, μήτε τιμωρητικόν· ἀλλὰ προσηνῆ, καὶ εὐμενικόν· καὶ εὐγνωμονικόν. Ἀκολουθεῖ δὲ τῇ ἀρετῇ χρηστότης· ἐπιείκεια· εὐγνωμοσύνη· ἐλπὶς ἀγαθή· ἔτι δὲ καὶ τὰ τοιαῦτα. Φιλοίκειον εἶναι καὶ φιλόφιλον, καὶ φιλοξένιον· καὶ φιλάνθρωπον· καὶ φιλόκαλον· ἃ δὴ πάντα τῶν ἐπαινουμένων ἐστί. τῆς δὲ κακίας ἐστὶν ὑπεναντία· καὶ παρακολουθεῖ τὰ ἐναντία αὐτῇ· πάντα δὲ τὰ τῆς κακίας, καὶ τὰ ἀκολουθοῦντα αὐτῇ, τῶν εἰρημένων ἐστί.

Πλάτωνος Φιλονεικείτω δὲ ἡμῖν πᾶς ἐς τὴν ἀρετὴν φθόνος· ὁ μὲν γὰρ τοιοῦτος, τὰς πόλεις αὔξει· ἁμιλλώμενος μὲν αὐτὸς τοὺς ἄλλους δέ, οὐ κολούων διαβολαῖς. ὁ δὲ φθονερὸς, τῇ τῶν ἄλλων διαβολῇ, δεῖν οἰόμενος ὑπερέχειν, αὐτός τε ἧττον ξυντείνει ἐς ἀρετὴν τὴν ἀληθῆ· τούς τε ἀνθαμιλλωμένους ἐς ἀθυμίαν καθίστησι, τῷ ἀδίκως ψέγεσθαι· καὶ διὰ ταῦτα ἀγύμναστον τὴν πόλιν ὅλην ἐς ἅμιλλαν ἀρετῆς ποιῶν σμικροτέραν αὐτὴν πρὸς εὐδοξίαν, τὸ ἑαυτοῦ μέρος ἀπεργάζεται. Θυμοειδῆ μὲν δὴ χρὴ πάντα ἄνδρα εἶναι, πρᾷον δὲ ὅτι μάλιστα, τὰ γὰρ τῶν ἄλλων χαλεπὰ καὶ δυσίατα τὸ παράπαν ἀδικήματα, οὐκ ἔστιν ἄλλως ἐκφυγεῖν, ἢ μαχόμενον, καὶ ἀμυνόμενον νικῶντα, καὶ τῷ μηδὲν ἀνιέναι κολάζοντα. τοῦτο δὲ ἄνευ θυμοῦ γενναίου ψυχὴ πᾶσα ἀδύνατος δρᾶν. τὰ δ' αὖ τῶν, ὅσοι ἀδικοῦσι μὲν, ἰατὰ δὲ, γιγνώσκειν χρή. Πρῶτον μὲν ὅτι πᾶς ὁ ἄδικος οὐχ ἑκὼν, ἄδικος. τῶν γὰρ μεγίστων κακῶν, οὐδεὶς οὐδαμῶς οὐδὲν ἑκὼν κέκτητο ἄν ποτε. πολὺ δὲ ἥκιστα ἐν τοῖς τοῖς αὑτοῦ τιμιωτάτοις. Ψυχὴ δ' ὡς εἴπομεν, ἀλήθειά γ' ἐστὶ, πᾶσι τιμιώτατον. ἐν οὖν τῷ τιμιωτάτῳ τὸ μέγιστον κακόν. οὐδεὶς ἑκὼν μή ποτε λάβῃ καὶ ζῇ διὰ βίου κεκτημένος αὐτό. ἀλλὰ ἐλεεινὸς μὲν πάντως ὅ γε ἄδικος. καὶ ὁ κακὰ ἔχων. ἐλεεῖν δὲ τὸν μὲν, ἰάσιμα ἔχοντα, ἐγχωρεῖ. καὶ ἀνείργοντα τὸν θυμὸν πραΰνειν. καὶ μὴ ἀκροχολοῦντα γυναικείως πικραινόμενον διατελεῖν. τῷ δὲ ἀκράτως καὶ ἀπαραμυθήτως πλημμελεῖ καὶ κακῷ, ἐφιέναι δεῖ τὴν ὀργήν, διὸ θυμοειδῆ πρέπειν, καὶ πρᾷον ἑκάστοτε φαμὲν εἶναι δεῖν τὸν ἀγαθόν.

Ayuntamiento de Madrid

ἀγαθόν. πάντων δὲ μέγιστον κακὸν ἀνθρώποις τοῖς πολλοῖς ἔμφυτον ἐν ταῖς ψυχαῖς ἐστὶν, οὗ πᾶς αὑτῷ συγγνώμην ἔχων, ἀποφυγὴν οὐδεμίαν μηχανᾶται. τοῦτο δ' ἐστὶν, ὃ λέγουσιν· ὡς φίλος αὑτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι, καὶ ὀρθῶς ἔχει, τὸ δεῖν εἶναι τοιοῦτον. τὸ δὲ ἀληθείας γε πάντων ἁμαρτημάτων, διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν αἴτιον ἑκάστῳ γίνεται ἑκάστοτε. τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον, ὁ φιλῶν· ὥστε τὰ δίκαια, ἀγαθὰ καὶ τὰ καλὰ, κακῶς κρίνει. τὸ αὑτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾶν δεῖν ἡγούμενος, οὔτε γὰρ ἑαυτὸν ὁρᾷ καὶ ἤθη τῶν ἄλλων πάντων ὁμοίως. καὶ φύσει διαφέροντας ἀλλήλων τῶν ἀνθρώπων. καὶ ἤθη μὲν ἠθιδόντας. ἐκ δὲ τούτων δῆλόν ἐστιν ὅτι πάντας χρὴ καὶ τοὺς εὐφυεστέρους ἀξιωτέρους φύσιν. ἐν οἷς καὶ ἀξιόλογοι βούλονται γενέσθαι, ταῦτα καὶ μανθάνειν καὶ μελετᾶν.

## ΠΕΡΙ ΑΝΔΡΕΙΑΣ. ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

Πλάτωνος

ἈΝδρείας δὲ ὦ εὐθύδημε ον νομίζεις εἶναι; κάλλιστον μὲν οὖν ἔγωγ' ἔφη. χρήσιμον πρὸς τὰ ἐλάχιστα νομίζεις τὴν ἀνδρείαν; νὴ δί' ἔφην πρὸς τὰ μέγιστα μὲν οὖν πρὸς τὰ δεινά τε καὶ ἐπικίνδυνα χρήσιμον εἶναι τὸ ἀγνοεῖν ἀλλά. οἱ ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα, διὰ τὸ μὴ εἰδέναι τί ἐστιν, οὐκ ἀνδρεῖοι. ἔφη. πολλοὶ γὰρ ἂν οὔτε τῶν τε μαινομένων καὶ τῶν δειλῶν ἀνδρεῖοι. οἱ δὲ τὰ μὴ δεινὰ δεδοικότες ἐσί. νὴ Δία ἧττον ἔφη. ἆρ' οὖν τοὺς μὲν τὰ δεινὰ καὶ ἐπικίνδυνα, ὄντας ἀνδρείους ἡγῇ εἶναι, τοὺς δὲ κακοὺς μὲν οὖν ἔφη. ἀγαθοὺς δὲ πρὸς τὰ τοιαῦτα νομίζεις ἄλλους τινὰς, ἄλλοις καλῶς χρῆσθαι; οὐκ ἀλλὰ τούτους ἔφη. κακοὺς δὲ τούτους κακῶς χρῆσθαι; τίνας γὰρ ἄλλους ἔφη. ἆρ' οὖν ἕκαστοι ὡς οἴονται δεῖν; πῶς γὰρ ἄλλως ἔφη. ἆρ' οὖν οἱ μὴ δυνάμενοι. χρῆσθαι, ἴσασιν ὡς δεῖ χρῆσθαι; οὐ δήπου γε ἔφη. οἱ ἄρα εἰδότες ὡς δεῖ χρῆσθαι, οὗτοι καὶ δύνανται; μόνοι γ' ἔφη. τί δαί. οἱ μὴ διημαρτηκότες, ἆρα κακῶς χρῶνται τοῖς τοιούτοις; οὐκ οἴομαι ἔφη. οἱ ἄρα κακῶς χρώμενοι διημαρτήκασιν; εἰκὸς δ' ἔφη. οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι, ἀνδρεῖοί εἰσι. οἱ δὲ διαμαρτάνοντες τούτων, δειλοί; ἔμοιγε δοκοῦσιν.



Ayuntamiento de Madrid

# ΠΕΡΙ ΔΕΙΛΙΑ

## ΛΟΓΟΣ ΕΚΤΟΣ.

Εὐριπίδου
Δοῦλοι καὶ σκοτεινὰ μηχανήματα.
χρείας ἀνάνδρου φάρμακ' εὕρηνται βροτοῖς.

Σοφοκλέους.
Βοᾷ τις· ὦ ἀκούετε, ἢ μάτην ὑλακτῶ·
πάντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ.

Εὐριπίδου
Δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ, ἀριθμόν.
ἀλλ' ἄπεισι κἂν παρῶσιν ὅμως.

Ὁμήρου.
Τίπτε σὺ δέδοικας πόλεμον καὶ δηϊοτῆτα.
εἴπερ γὰρ τ' ἄλλοι γε περικτεινώμεθα πάντες
νηυσὶν ἐπ' ἀργείων, σοὶ δ' οὐ δέος ἐστ' ἀπολέσθαι
οὐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μάχιμος.

Σοφοκλέους.
Τοὺς εὐγενεῖς γὰρ κἀγαθοὺς ὦ παῖ φιλεῖ
ἄρης συναίρειν. οἱ δὲ τῇ γλώσσῃ θρασεῖς
φεύγοντες ἄτας, ἐκτός εἰσι τῶν κακῶν.
ἄρης γὰρ οὐδὲν τῶν κακῶν λογίζεται.

Εὐριπίδου
Οὔτοι νομίζω σοφὸν, ὃς ἂν μέλλων θανεῖν,
οἴκτῳ τὸ δεῖμα τ' ὀλέθρου νικᾶν θέλει.
Ἀνὴρ δ' ὃς εἶναι φὴς ἀνδρὸς οὐκ ἄξιον.
δειλῷ κεκλῆσθαι καὶ νοσεῖν αἰσχρὰν νόσον.

Μενάνδρου
Τὶ πολλὰ τηρεῖν πολλὰ δεῖ τὸν δεδοικότα,

Θεόγνιδου
Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσι
πταίσματα τῆς γνώμης κύριε ταρασσομένης.

Φιλήμονος.
Κακὴ μὲν ὄψις· ἐν δὲ δειλαῖαι φρένες.
Οὐ τοῖς ἀθύμοις ἡ τύχη ξυλλαμβάνει.

Σοφοκλέους.
Ὁ φόβος ὅταν τι σώματος μέλλει πέρι.

Εὐριπίδου.
λέγειν καταστὰς ἐπ' ἀγῶν' ἐναντίον,
τότε στόμ' εἰς ἔκπληξιν ἀνθρώπων ἄγει.
τὸν νοῦν τ' ἀπείργει μὴ λέγειν ἃ βούλεται,
τῷ μὲν, γὰρ ἐν κίνδυνος· ὁ δ' ἀθῶος μένει.
ὅμως δ' ἀγῶνα τόνδε δεῖ γὰρ ὑπεκδραμεῖν.
ψυχὴν γὰρ ἆθλα προκειμένην ἐμὴν ὁρῶ.

Ayuntamiento de Madrid

Ὁ δʼ ἡδὺς αἰὼν ἡ κακή τʼ ἀνανδρεία, Εὐριπίδου
οὔτʼ οἶκον οὔτε πόλιν ὀρθώσειεν ἄν.

Γ αὐτὰ μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προσδεχομένους, ἢ λυπεῖν τοὺς πειραθέντας· ὁ δὲ φόβος οὕτω χαλεπός ἐστιν, ὥστε πολλοὶ ἤδη προέλαβον τὸ ἔργον· οἱ μὲν ἐν νηὶ χειμαζόμενοι, καὶ περιμείναντες καταδῦναι τὴν ναῦν, ἀλλὰ πρότερον αὑτοὺς ἀποσφάξαντες. Διογένους

Ὑπερείδης ὁ ῥήτωρ ἔφησε τὴν ἀγωνίαν, τοῦ λέγειν πέδην εἶναι. Ὑπερείδου

Ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὁμοῖαι εἶναι. Θουκυδίδου

Νόσος δειλοῖσιν ἑορτή· οὐ γὰρ ἐκπορεύονται ἐπὶ πρᾶξιν. Ἀντιφῶντος.

Ἴδωμεν γὰρ, εἰ τοὺς δειλοὺς οἷόν τε δικαίους εἶναι· τοὺς γὰρ ἐναντίως ἔχοντας τούτοις, τοὺς θρασεῖς, ἀδίκους ὄντας εὑρίσκομεν· διὰ τὸ πρὸς βίαν τὰ πολλὰ ποιεῖν· δειλία τοίνυν ἐστὶ, διαφορὰ δόξης ἐννόμου, δεδιῶντε πέρι καὶ μὴ ἡ ἄγνοια, δεδιῶντε καὶ οὐ δεινῶν, καὶ οὐδετέρων· πῶς ἂν οὖν οἱ δόξαις διεφθαρμέναις, καὶ παρανόμοις συζῶντες εἶεν ἄνθρωποι δίκαιοι· οὐ γὰρ δὴ εἰκάζοιεν ἂν περὶ ὁτουδήποτε καλῶς· μὴ συγχωροῦντος αὐτοῖς τοῦ περὶ τὴν ψυχὴν δέους, εἰς ἥν τινα ζήτησιν προκύπτειν. Ἱεροκλέους

Αὐτίκα γὰρ εἰ τῷ πολεμοῦντι καὶ παρατεταγμένῳ παρασταῖεν ἥτε ἀνδρεία καὶ ἡ δειλία· πόσον ἂν οἴεσθε διαφόρους εἰπεῖν λόγους· ἆρʼ οὐχ ἡ μὲν ἀνδρεία μένειν κελεύοι, καὶ τὴν τάξιν διαφυλάττειν; ἀλλὰ βάλλουσιν; ὑπόμενε· ἀλλὰ τρωθήσῃ; καρτέρει· ἀλλʼ ἀποθανοῦμαι; ἀπόθανε μᾶλλον, ἢ λίπῃς τὴν τάξιν· ἀπηνὴς οὗτος ὁ λόγος καὶ σκληρός· ἀλλʼ ὁ τῆς δειλίας νὴ Δία φιλάνθρωπος καὶ μαλακός· ὑπάγειν γὰρ δήπου κελεύει τὸν φοβούμενον· ἀλλʼ ἡ ἀσπὶς ἐνοχλεῖ; ῥίψον· ἀλλὰ καὶ ὁ θώραξ; παράλυσον· παντὶ δήπου πραΰτερα ταῦτʼ ἐκείνων· ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων· μὴ λάβῃς φησὶν ἐγκράτεια, ὅθεν οὐ δεῖ· μὴ φάγῃς· μὴ πίῃς· ἀνέχου· καρτέρει· τὸ τελευταῖον ἀπόθανε πρότερον, ἢ πράξῃς ὅπερ οὐ δεῖ· ἡ δʼ ἀκρασία πείθει· ὅτι βούλει φάγε· ὅτι ἂν ἥδιστα φάγοιο· ἡ τοῦ γείτονος ἀρέσκει σοι γυνή; πέραινε· χρημάτων εὐπορεῖς; δάνεισαι· δανεισάμενος ἀδυνατεῖς; μὴ ἀποδῷς· οὐ πιστεύουσιν ἔτι δανείζειν; ἅρπασον· πολύ γε καὶ ταῦθα τὸ μεταξύ; ἀλλὰ τίς οὐκ οἶδεν, ὅτι ἡ μέν τοι τοιαύτη χάρις ὀλέθριος κατὰ τῶν προσδεξαμένων, ἡ δʼ ἐκ τῶν ἐναντίων σωτήριος. Δημητρίου



Ayuntamiento de Madrid

## ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ.

### ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ.

Σοφοκλέους.
Τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥάδιον.

Εὐριπίδου.
Κέκτησο δ' ὀρθῶς ἄνευ ψόγου.
καὶ μικρὰ σῷζον τῇ δίκῃ ξυνοῦσ' ἀεί.

Σοφοκλέους.
Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν.
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.

Εὐριπίδου.
Μήθ' ἡ βία σε μηδαμῶς νικησάτω,
τοσόνδε μισεῖν, ὥστε τὴν δίκην πατεῖν.

Κρεῖσσον δὲ πλοῦτον καὶ πολυχρύσου χλιδῆς,
ἀνδρῶν δικαίων κἀγαθῶν παρουσίαι.

Μενάνδρου.
Δίκαιος ἂν ἦς, τῷ τρόπῳ χρήσῃ νόμῳ.

Χρηστοῦ πρὸς ἀνδρὸς, μηδὲν εἰδέναι κακόν.

Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.

Τὸ μὴ ἀδικεῖν πᾶσιν ἀνθρώποις πρέπει.

Οὐ δεῖ γὰρ ἀδικεῖν τοὺς οἰκέτας. ἄλλως τε
καὶ ὅταν μετ' εὐνοίας τινὸς μὴ πονηρᾶς.
πταίσωσιν. αἰσχρὸν τοῦτο γάρ ἐστι πάνυ.

Ἐν παντὶ δεῖ καιρῷ τὸ δίκαιον ἐπικρατεῖν.

Εὐριπίδου.
Εἷς τοι δίκαιος, μυρίων οὐκ ἐνδίκων.
κρατεῖ τὸ θεῖον τὴν δίκην τε συλλαβών.

Φιλωνίδου.
Οὐκ ἔστιν οὐδεὶς δειλὸς δεδοικὼς νόμον.
πρὸς τοὺς πολεμίους δ' ἐστὶν ἀνδρείας κρίσις.
ὑπὸ τοῦ δικαίου δ' ἐστὶν ἡττᾶσθαι καλόν.

Φεῦ φεῦ. τὸ νικᾶν τὰ δίκαι' ὡς καλὸν γέρας.
τὰ μὴ δίκαια δὲ, ὡς ἁπανταχοῦ κακόν.
καὶ γλῶσσα φλαύρα καὶ φθόνος τοῦ μὴ φθονεῖν.

ὅσω

Ayuntamiento de Madrid

ὅσῳ κάλλιον μὴ καλῶς ὠγκωμένοις.
Ὁ μηδὲν ἀδικῶν, οὐδενὸς δεῖται νόμου. Ἀντιφῶντος.
Τὸ καλῶς ἔχον που, κρεῖττόν ἐστι καὶ νόμου.
εἰ τοὺς ἀδικηθέντας πάντες φυλαξούμεθα, Μενάνδρου
τίσιν ἂν βοηθήσαιμεν ἄλλοις ῥαδίως.
Τὸ μηδὲν ἀδικεῖν ἐκμαθεῖν γὰρ ὦ λάχῃ,
ἀστεῖον ὤδι τήδευμα κείνων τῷ βίῳ.
Τὸ μηδὲν ἀδικεῖν καὶ φιλανθρώπους ποιεῖ.
Τοῦ γὰρ δικαίου κἂν βροτοῖσι καὶ θεοῖς. Φιλήμωνος.
ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου.
Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν,
ἀλλ᾽ ὅστις ἀδικεῖν δυνάμενος, μὴ βούλεται.
οὐδ᾽ ὃς τὰ μικρὰ λαμβάνειν ὑπέσχετο
ἀλλ᾽ ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων.
ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως.
οὐδ᾽ ὅσγε ταῦτα πάντα διατηρῶν μόνος,
ἀλλ᾽ ὅστις ἄδολον γνησίαν τ᾽ ἔχων φύσιν,
εἶναι δίκαιος κοὐ δοκεῖν εἶναι θέλει.
Μνῆμα τὸ δ᾽ Ἱππάρχου. στεῖχε δίκαια φρονῶν. Ἱππάρχου
Μνημοσύνη καὶ ζηνὸς ὀλυμπίου ἀγλαὰ τέκνα. Σόλωνος.
μοῦσαι πιερίδες, κλῦτέ μοι εὐχομένῳ
ὄλβον μοι πρὸς θεῶν μακάρων δότε, καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν.
εἶναι δὲ γλυκὺν ὧδε φίλοις. ἐχθροῖσι δὲ πικρόν.
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματ᾽ ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι.
οὐκ ἐθέλω. πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ᾽ ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ
ἔμπεδος. ἐκ νεάτου πυθμένος ἐς κορυφήν.
ὃν δ᾽ ἄνδρες τιμῶσιν, ὑφ᾽ ὕβριος οὐ κατὰ κόσμον
ἔρχεται. ἀλλ᾽ ἀδίκοις ἔργμασι πειθόμενος
οὐκ ἐθέλων ἕπεται, ταχέως δ᾽ ἀναμίσγεται ἄτῃ.
ἀρχὴ δ᾽ ἐξ ὀλίγου γίγνεται ὥστε πυρός.
φλαύρη μὲν τὸ πρῶτον ἀνιηρὴ δὲ τελευτᾷ.

Ayuntamiento de Madrid

οὐ γὰρ δὴ θνητοῖς ὕβρεος ἔργα πέλει.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος· ἐξαπίνης δὲ,
ὥστ᾽ ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινός· ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο,
πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον,
δηώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει
οὐρανόν· αἰθρίην δ᾽ αὖθις ἔθηκεν ἰδεῖν.
λάμπει δ᾽ ἠελίοιο μένος κατὰ πίονα γαῖαν
καλόν· ἀτὰρ νεφέων οὐδὲν ἔτ᾽ ἐστὶν ἰδεῖν.
τοιαύτη Ζηνὸς πέλεται τίσις· οὐδ᾽ ἐφ᾽ ἑκάστῳ
ὥσπερ θνητὸς ἀνὴρ γίγνεται ὀξύχολος.
αἰεὶ δ᾽ οὔτε λέληθε διαμπερὲς, ὅστις ἀλιτρὸν
θυμὸν ἔχει· πάντως δ᾽ ἐς τέλος ἐξεφάνη.
ἀλλ᾽ ὁ μὲν, αὐτίκ᾽ ἔτισεν· ὁ δ᾽ ὕστερον, οἱ δὲ φύγωσιν
αὐτοὶ μὴ δὲ θεῶν μοῖρα ἐπιοῦσα κίχῃ.
ἤλυθε, πάντως αὖτις ἀναίτιοι ἔργα τίνουσιν.
ἢ παῖδες τούτων ἡγεμόνων ὀπίσω.
θνητοὶ δ᾽ ὧδε νοοῦμεν ὁμῶς ἀγαθός τε κακός τε.
ἐνδὴν ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν, τότε δ᾽ αὖτις ὀδύρεται, ἄχρι δὲ τούτου
χάσκοντες, κούφαις ἐλπίσι τερπόμεθα.
χ᾽ ὅστις μὲν νούσοισιν ὑπ᾽ ἀργαλέῃσι πιεσθῇ,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο.
ἄλλος δειλὸς ἐὼν, ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ.
καὶ καλὸς μορφὴν, οὐ χαρίεσσαν ἔχων.
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσασθαι πάντων χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ᾽ ἄλλοθεν ἄλλος· ὁ μὲν, κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶν, χρῄζων οἴκαδε κέρδος ἄγειν.
ἰχθυόεντ᾽ ἀνέμοισι φορεύμενος ἀργαλέοισι
φειδωλὴν ψυχῆς οὐδὲ μίαν θέμενος.
ἄλλος γῆν τέμνων πολυδένδρεον· εἰς ἐνιαυτὸν
λατρεύει· τοῖσιν καμπύλ᾽ ἄροτρα μέλει.
ἄλλος ἀθηναίης τε καὶ ἡφαίστου πολυτέχνεω

Ayuntamiento de Madrid

ἔργαλα ἂν χειροῖν ξυλλέγεται βίοτον.
ἄλλος ὀλυμπιάδων μουσάων πάρα δῶρα διδαχθείς,
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος ἀπόλλων.
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον.
ᾧ συνομαρτήσωσι θεοὶ, τὰ δὲ μόρσιμα πάντως.
οὔτε τις οἰωνὸς ῥύσεται, οὔθ' ἱερά.
ἄλλοι παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες.
ἰητροί. καὶ τοῖς οὐδὲν ἔπεστι τέλος.
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίνεται ἄλγος.
καὔτις λύσαιτο ἤπια φάρμακα δούς.
τὸν δὲ, κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε,
ἁψάμενος χειροῖν, αἶψα τίθησ' ὑγιῆ.
μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν.
δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν. οὐδέ τις οἶδεν,
ᾗ μέλλει σχέσειν, χρήματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος, οὐ προορήσας,
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν.
τῷ δὲ καλῶς ἔρδοντι, θεὸς περὶ πάντα δίδωσι.
συντυχίην ἀγαθὴν, ἔκλυσιν ἀφροσύνης.
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται,
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλασίως σπεύδουσι. τίς ἂν κορέσειεν ἅπαντας.
κέρδεά τοι θνητοῖσιν ὤπασαν ἀθάνατοι.
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται. ἣν ὁπόταν ζεύς.
πέμψῃ τισομένην. ἄλλο τε τ' ἄλλος ἔχει.

Μὴ γὰρ δὴ οἴου εἰ μὲν χρυσὸν, οὐκ ἄν ποτε ἡμᾶς ἑκόντας εἶναι ὑποκατακλίνεσθαι ἀλλήλοις ἐν τῇ ζητήσει, καὶ διαφθείρειν τὴν εὕρεσιν αὐτοῦ. δικαιοσύνην δὲ, ζητοῦντας πρᾶγμα πολλῷ χρυσίου τιμιώτερον. ἔπειθ' οὕτως ἀνοήτως ὑπείκειν ἀλλήλοις, οὐ σπουδάζειν ὅτι μάλιστα φανεῖται αὐτῷ. Πλάτωνος

Ἀνδρείας μὲν γὰρ οὐδὲν ὄφελος, μὴ παρούσης δικαιοσύνης, ἢ δὲ δίκαιοι πάντες γίνοιντο, μὴ δὲ ἀνδρείας δεήσεσθαι. Ἀγησιλάου

Ἰσοκράτους. Καὶ μηδεὶς οἰέσθω με λέγειν, ὡς ἔστι δικαιοσύνη διδακτόν· ὅλως μὲν γὰρ, οὐδεμίαν ἡγοῦμαι τοιαύτην τέχνην εἶναι, ἥτις τοῖς κακῶς πεφυκόσι πρὸς αὐτὴν δικαιοσύνην ἂν ἐμποιήσειεν.

Δημοσθένους. Ἄξιον τούτοις ἐπαινεῖν τῶν ἀνθρώπων· οἳ μηδεμίαν ὠφέλειαν, προαιροῦνται τοῦ δικαίου· χρήματα μὲν γὰρ ἔστι κτήσασθαι, δόξαν δὲ χρημάτων, οὐ ῥᾴδιον πρίασθαι.

Πλάτωνος. Πᾶσά τε ἐπιστήμη, χωριζομένη δικαιοσύνης, καὶ τῆς ἄλλης ἀρετῆς πανουργία ἀλλ' οὐ σοφία φαίνεται.

Δημοκρίτου. Ἀγαθὸν, οὐ τὸ μὴ ἀδικεῖν, ἀλλὰ τὸ μηδὲ ἐθέλειν.

Μοῦνοι θεοφιλέες, ὅσοις ἐχθρὸν τὸ ἀδικεῖν.

Πιττακὸς ἔφη· ἡδονὴ ἡ σὺν τῷ καλῷ, δίκαιος.

Ἀριστείδης ὁ δίκαιος ἐρωτηθεὶς, τί ἐστι τὸ δίκαιον, τὸ μὴ ἀλλοτρίων ἐπιθυμεῖν ἔφη.

Πλάτωνος. Ἐγὼ μὲν γὰρ ὑπέρ γε ἐμαυτοῦ φαίην ἂν καὶ τὴν δικαιοσύνην ὅσιον εἶναι· καὶ τὴν ὁσιότητα δίκαιον. καὶ ὑπὲρ σοῦ δὲ εἴ με ἐάσης, ταῦτα ἂν ἄλλα ἀποκριναίμην· ὅτι ἤτοι ταυτόν γ' ἐστὶ δικαιότης ὁσιότητι, ἢ ὅτι ὁμοιότατον, καὶ μάλιστα πάντων, ἥτε δικαιοσύνη, οἷον, ὁσιότης, καὶ ἡ ὁσιότης οἷον δικαιοσύνη.

Πυθαγόρου. Ξένος ἀνὴρ· δίκαιος, οὐ μόνον πολίτου, ἀλλὰ καὶ συγγενοῦς διαφέρει.

Ἰαμβλίχου. Ἐπ' αὐτὸ δὴ τὸ τῶν ὅλων ἀρετῶν τέλος, καὶ τὴν συναγωγὴν αὐτῶν συμπασῶν, ἐν ᾗ δὴ πᾶσαι ἔνεισι συλλήβδην κατὰ τὸν πάλαι λόγον· γένοιτο αὖτις εἰς τὴν δικαιοσύνην ἀγόμενος.

Ἐν ταυτῷ. Ἐν δὲ τῷ ἀνθρωπίνῳ βίῳ, διανομὴ τῶν κατ' ἀξίαν ἔργων τε καὶ τιμῶν, καὶ τῶν ἄλλων τῶν ἐπιβαλλόντων ἑκάστοις ὑφίστησι τὴν εἰς τὸν ἀνθρώπινον βίον τείνουσαν δικαιοσύνην· ἔργα τοίνυν τῇ δικαιοσύνῃ τὰ πρόσφορα, καὶ ἐπιτηδεύματα εἴη ἂν, ὅσα κοινωνικὰ καὶ ἥμερα τυγχάνει, καὶ εὐσύμβολα, καὶ εὐσυνάλλακτα, καὶ ὠφέλιμα, τῶν βλαβερῶν κωλυτικὰ διαπράξεων, τῶν δ' ἐναντίων τὴν ὅλην κατάστασιν εὐπρεπῆ παρασκευάζοντα.

Ἐπικτήτου. Ὥσπερ ἀληθὴς ζυγὸς, οὔτε πρὸς ἀμιλοῦς ἰθύνεται ζυγοῦ, οὔθ' ὑπὸ ψευδοῦς κρίνεται· οὕτω καὶ ὁ δίκαιος κριτὴς, οὔθ' ὑπὸ δικαίων εὐθύνεται, οὔτε παρ' ἀδίκοις δικάζεται.

Ὥσπερ τὸ εὐθὺ εὐθέως οὐ δεῖται, οὕτως οὐδὲ τὸ δίκαιον, δικαίου.

Μὴ πρότερον ἑτέρῳ δικαστηρίῳ δικάσῃς, πρὶν αὐτὸς παρὰ τῇ δίκῃ κριθῇς.

Εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δικαζομένων καὶ δικαιολογούντων ἐπιγίνωσκε, ἀλλ' αὐτὴν τὴν δίκην.

Ayuntamiento de Madrid

Ἥκιστα πταίσεις ἐν ταῖς κρίσεσιν, ἐὰν αὐτὸς ἐν τῷ βίῳ ἄπταιστος διατελῇς.

Ἄμεινον δικαίως κρίνοντα, πρὸς τοῦ καταδικασθέντος ἀξίως μεμφθῆναι, ἢ ἀδίκως κρίναντα, παρὰ τῇ φύσει δικαίως ψέγεσθαι.

Καθάπερ ἡ τὸν χρυσὸν δοκιμάζουσα λίθος οὐκέτι καὐτὴ πρὸς τοῦ χρυσοῦ δοκιμάζεται, οὕτω καὶ ὁ τὸ κριτήριον ἔχων.

Αἰσχρὸν τὸν δικαστὴν πρὸς ἑτέρων δικάζεσθαι.

Καθάπερ ὀρθοῦ οὐδὲν ὀρθότερον, οὕτως οὐδὲ δικαίου οὐδὲν δικαιότερον.

Διογένους

Ἡ τοίνυν δικαιοσύνη, πολλὴν ἔχει ῥαστώνην τῇ ψυχῇ. τὸ γὰρ μηδένα μήτε φοβούμενον, μήτε αἰσχυνόμενον ζῆν, ἡδονή τίς ἐστιν, ὡς ἱκανότης τοῦ βίου. ὁ δὲ τὴν δικαιοσύνην ἔχων ἐν τῇ ψυχῇ, οὐ μόνον τοῖς ἄλλοις ὠφέλιμός ἐστιν, ἀλλὰ πολλῷ μάλιστα αὐτὸς αὑτῷ. οὐ γὰρ παρασκευάζεται αὐτὸν ἀδικεῖν. οὐδὲ καθ' ἓν μέρος. οὐδὲ γὰρ λύπης αὑτῷ αἴτιός ἐστιν οὐδὲ νόσου. ἀλλὰ τὰ αἰσθητήρια τὰ τῆς φύσεως, θεοὺς ὑπολαμβάνων εἶναι, δικαίως χρήσεται αὐτοῖς. οὐδὲν μὲν ὑπὲρ τὴν δύναμιν πράττων, φυλάττων δὲ τὰ μάλιστα. καὶ ἡδονὰς καὶ ὠφελείας λαμβάνων, διὰ τούτων. καὶ γὰρ ἀπὸ ἀκοῆς, καὶ ἀπὸ ὁράσεως, καὶ ἀπὸ τῆς τροφῆς. καὶ ἀπὸ τῶν ἀφροδισίων, ἡδοναὶ ἔσονται, τῷ δικαίως ἑαυτῷ χρωμένῳ. καὶ κίνδυνοι γίνονται περὶ τὰ πλείστου ἄξια καὶ ἀναγκαιότατα. ἢ οὐχ ἑώρακας τὴν ψυχὴν παρατιθομένους καὶ νυκτὸς καὶ ἡμέρας, καὶ εἰς τὴν θάλασσαν ἑαυτοὺς ῥιπτοῦντας ἤδη καὶ εἰς ἑτέραν.

Λυκούργου.

Ζηλωτὸν ἴσως ὁ πλοῦτος. τίμιον μέν τοι καὶ θαυμαστόν, ἡ δικαιοσύνη.

Δημοσθένους.

Ὥσπερ γὰρ οἰκίας οἶμαι καὶ πλοίου καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις, ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει.

Ἐκ τῆς νικολάου ἐθῶν συναγωγῆς.

Ἐν παιδαλίοις ἰνδικῷ ἔθνει οὐχ ὁ θύων, ἀλλὰ συνετώτατος τῶν παρόντων κατάρχεται τῶν ἱερῶν. αἰτεῖται δ' ἀεὶ παρὰ τῶν θεῶν οὐδὲν ἄλλο, πλὴν δικαιοσύνης.

Πλάτωνος

Θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος. ἀλλ' ὡς οἷόν τε δικαιότατος. καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδέν, ἢ ὃς ἂν ἡμῶν αὖ γένηται ὅτι δικαιότατος περὶ τοῦτο.

Ἐκ τοῦ πώλου πυθαγόρου λευκανοῦ.

Δοκεῖ μοι τῶν ἀνδρῶν τὰν δικαιοσύναν, ματέρα τε καὶ τιθήναν τῶν ἄλλων ἀρετᾶν προσειπεῖν. ἄτερ γε ταύτας, οὔτε σώφρονα οὔτε ἀνδρεῖον, οὔτε φρόνιμον οἷόν τε εἶναι. ἁρμονία γάρ ἐστι καὶ εἰρήνα τᾶς ὅλας ψυχᾶς μετ' εὐρυθμίας. δηλοφανέστερον δὲ καὶ γένοιτο τὸ ταύτας κράτος, ἐπάζουσιν ἁμῖν τὰς ἄλλας ἕξιας. μοριακὰ γὰρ ἔχοντι αὐτὰ τὰν ὠφέλειαν

Ayuntamiento de Madrid

καὶ ποθ' ἕνα· ἁ δὲ ποθ' ὅλα τὰ συστάματα καὶ ἐν πλάθει. ἐν κόσμῳ μὲν ὦν ἀλλὰ τὰν ὅλων ἀρχὰν διαστραταγοῦσα, πρόνοιά τε, καὶ ἁρμονία, καὶ δίκα γένεος τινὸς θεῶν· οὕτω ψαφιξαμένων· ἐν πόλει τε εἰράνα τε καὶ εὐνομία δικαίως κέκληται· ἐν οἴκῳ δ' ἐστὶν ἀνδρὸς μὲν καὶ γυναικὸς, ποτ' ἀλλάλως ὁμοφροσύνα· οἰκετᾶν δὲ ποτὶ δεσπότας εὔνοια· δεσποτᾶν δὲ ποτὶ θεράποντας, κηδεμονία· ἐν σώματι δὲ, καὶ ψυχᾷ· πρᾶτα μὲν ἅπασιν ἀγαπατὸ τὰ ζῶα, ἅτε ὑγίεια καὶ ἀρτιότας· σοφία τ' ἐκ τᾶς ἐπιστάμας τε καὶ δικαιοσύνας γινομένης τε παρ' ἀνθρώποις. ἡ δ' αὐτὰ τὸ ὅλον καὶ τὰ μέρεα, οὕτω παιδαγωγεῖ τε καὶ σώζει ὁμόφρονα. καὶ ποτ' ἀγορᾷ ἀλλάλοις ἀπεργαζομένα· πῶς οὐ μάτηρ καὶ τιθήνα πασᾶν τε καὶ πάντων πανψαφεὶ λέγοιτο.

Πλάτωνος νόμων. ε. Τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν· ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν, πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνὸς, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν· ὁ δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος. οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ.

Ἱέρακος. Φέρε γὰρ ἴδωμεν, τί τοῖς πολλοῖς δοκεῖ περὶ δικαιοσύνης· οἱ μὲν οὖν, ἕξιν εἶναί φασι ψυχῆς ἀδωροδόκητον τοῦ κατὰ δύναμιν ἑκάστου στοχαζομένην· οἱ δὲ, ἕξιν ἐν ψυχῇ, μήτε τῇ χείρονι τύχῃ, μήτε τῇ κρείττονι πλέον ἢ ἔλαττον ἀπονέμουσαν· τὸ δ' ἴσον πᾶσι φυλάττουσαν· δοκοῦσι δέ μοι οἱ μὲν πρότεροι, τὸν μὴ ἀλλοτρίων ἐπιθυμοῦντα χρημάτων θαυμάζειν· τηρήσαντα δ' αὖ καὶ τὸ κατὰ δύναμιν ἑκάστῳ, ἃ ἐκελεύθην ποτὶ συγχωρηθείη· οἱ δεύτεροι δὲ, τὸν μὴ τῇ ψυχῇ τὸ πλέον μετροῦντα, πάντας δὲ τῶν αὐτῶν ἀξιοῦντα. τί οὖν εἰ τοῦτο μαθών τις ἐν τοῖς ἄλλοις ἀδικώτατος εἴη· καὶ εἰ χρημάτων μὲν ἅρπαξ, ἀλλοτρίων δὲ ἐπιθυμεῖ, ὑβριστὴς δὲ ὑπάρχοι καὶ ἀκόλαστος περὶ ἡδονὰς, ἆρα τοιούτων κακῶν ἀνάπλεως, δίκαιος ἂν εἴη; ὅταν δὲ καὶ τῶν αὐτῶν ἀξιώσῃ πάντας, πῶς μὲν οὐκ ἄφρων, πῶς δὲ οὐκ ἄδικος· εἰ ὁμοίως τιμήσει τόν τε σώφρονα καὶ τὸν ἀκόλαστον, καὶ τὸν ἄφρονα καὶ τὸν φρόνιμον.

Τοῦ αὐτοῦ. Ἀλλ' οὐδὲ τὸ μὴ χρημάτων ἀλλοτρίων ἐπιθυμεῖν, δικαιοσύνης ὅρος· εὐτύχημα δὲ περὶ ἕν τι τῶν παθῶν· ὑποκείσθω γὰρ ὑπερβολῇ πλούσιον εἶναί τινα, δυνάμενον ἄλλοις ἐπαρκεῖν πολλοῖς ἐκ τῶν ἰδίων, δόξης δὲ τοῦτον

Ayuntamiento de Madrid

ἡττώμενον καὶ φιλοτιμίας, καὶ μηδενὸς ἐλευθεριάζοντος ἀνέχεσθαι, ἀλλὰ τοὺς μὲν ὑβρίζειν· τοὺς δὲ, τύπτειν· τοῖς δὲ, κελεύειν τρεπόμενον, πρὸς πάντας ὑπακούειν ἀξιῷ· τί οὖν αὖθις τοῦτον εἴποι, ὅταν μηδενὸς μὲν τῶν ἀλλοτρίων ἐπιθυμῇ, βίαιος δὲ ἄλλως ἢ καὶ τύραννος, καὶ πρώτοις μὲν τοῖς οἰκέταις, καὶ ταῖς θεραπαινίσι χρῆσθαι κακῶς· τοὺς μὲν, ὑπὲρ τὸ μέτρον κολάζοντα, ταῖς δὲ, συγγινόμενον ἀναίδην· ἔπειτα μηδὲν ἀδικεῖν ἡγεῖσθαι, ταῦτα ποιοῦντα.

Οἱ μὲν οὖν περὶ τοῦ περιπάτου, μεσότητα πλεονεξίας, καὶ μειονεξίας τὴν δικαιοσύνην εἰρήκασιν· οἱ δὲ ἀπὸ τῆς στοᾶς, ἕξιν ἰσότητος ἀπονεμητικήν· καὶ ὡς μὲν οὐ μόνον οὐ δίκαιον, ἀλλὰ καὶ ἀδικώτατον τὸ πάντας τῶν αὐτῶν ἀξιοῦν, ἐν τοῖς ἔμπροσθεν εἴρηται· τὸ δὲ μεταξὺ πλεονεξίας καὶ μειονεξίας, ἔκβασίς ἐστι πράξεως ἀκατονόμαστος, ἀλλ᾽ οὐκ ἀρετὴ ψυχῆς· πᾶσα δὲ πρᾶξις, ἐνέργεια ψυχῆς διὰ σώματος· ἡ δ᾽ ἐνέργεια, οὐκ ἀρετή· ἢ πᾶσα ἐνέργεια ἦν ἀρετή· τὴν δὲ δικαιοσύνην πάντες ἅπαξ ἁπλῶς ἀρετὴν ψυχῆς ὁμολογοῦσιν, ἀλλ᾽ οὐ πρᾶξιν, οὐδὲ πράξεως ἀποτέλεσμα· τρία γάρ ἐστι περὶ ἕκαστον· ἡ ἕξις· ἡ πρᾶξις, ἡ ἀποτέλεσμα. Ἕξις μὲν, καθ᾽ ἣν πλεονεκτικοί τινές, ἢ μειονεκτοί ἐσμεν. Πρᾶξις δὲ, τὸ μειονεκτεῖν καὶ πλεονεκτεῖν. Ἀποτέλεσμα δὲ, ἡ μειονεξία, καὶ ἡ πλεονεξία· ὥσπερ ἕξις μὲν, ἡ ζωγραφική· πρᾶξις δὲ, ἡ ζωγραφία· ἀποτέλεσμα δὲ, ἡ γραφή· καὶ πάλιν· ἕξις μὲν, ἡ ἀγαλματοποιϊκή· πρᾶξις δὲ, τὸ ἀγαλματοποιεῖν· ἀποτέλεσμα δὲ, τὸ ἄγαλμα· εἰ δέ τις τὴν ἕξιν ὁρίζοιτο γραφὴν καὶ ἄγαλμα· τῷ τοῦ ἀποτελέσματος τοὔνομα ἐστὶ καλῶν, σφάλλεσθαι ἂν ὁμολογοῖτο, καὶ σύγχυσιν ποιεῖν, οὕτως ὁ πλεονεξίαν καὶ μειονεξίαν τὴν ἕξιν ὀνομάζων, τῷ τοῦ ἀποτελέσματος ὀνόματι χρῆται· κατὰ τῆς ἐν τῇ ψυχῇ ἕξεως· καὶ ἡ μεσότης τοίνυν τῶν ἀποτελεσμάτων, ἀποτέλεσμα ἂν εἴη· τεταγμένων γὰρ ἐν τοῖς ἐκ τῶν πραγμάτων ἀποτελουμένοις πλεονεξίας καὶ μειονεξίας· καὶ ἡ τούτων μεσότης, εἴη ἂν ἀποτέλεσμα, οὐχ ἕξις· ἔστω δὲ μὴ ἔκβασις, ἀλλ᾽ ἕξις ψυχῆς· οὔτε πλεονεκτική· ὁ περὶ τὸ τοίνυν, ἤ τινι· μήτε πλεονεκτῶν, μήτε μειονεκτῶν, ἔστι δίκαιος· περὶ μὲν δὴ τὰ σωματικὰ ἀγαθά, οὐκ ἂν φαῖεν εἶναι ταύτην, οὔτε ὡς τούτων ἀκρότητα, οὔτε ὡς μεσότητα· οὐ γὰρ δὴ κτητὰ ταῦτα γίγνεται κατὰ τὴν ἡμετέραν πρόθεσίν τε καὶ σπουδήν, ἀλλὰ τὰ πολλὰ τούτων ἐστὶ φύσεως· κάλλος μὲν γάρ ἐστι φύσει, καὶ ἰσχὺς σώματος, καὶ ὑγίεια· εἰ δὲ γηρώμεθα, τὴν μὲν ἰσχὺν, ἐπιτείνειν, τροφαῖς τε, καὶ

Ἐν παντῷ.

Ayuntamiento de Madrid

γυμνασίοις· τὴν δὲ ὑγίειαν, διαίτῃ ποιᾷ τηρεῖν, καὶ ἐκπίπτουσαν ἀνακαλεῖσθαι. ἀλλ' ὅμως ὡς οὐκ ἐφ' ἡμῖν οὔσης ἐξ ἀρχῆς τῆς τούτων κτήσεως, ἀπονεμητέον τῇ τοῦ σώματος φύσει. καί τι καὶ τούτοις πλεονεκτεῖν λέγονταί τινες. ἰσχύϊ μὲν, εἰ τύχοι μίλων ὁ κροτωνιάτης, κάλλει δὲ, λαῒς ἡ κορινθία. καὶ εἴ τινες τούτοις παραπλήσιοι. τίς οὖν ἂν γένοιτο μίλωνος ἀδικία. ἢ τίς λαΐδος πλεονεξία. ἆρα εἰ μὲν μίλων περιέλθοι τοὺς ἀσθενεστέρους τύπτων τε, καὶ τὰ τούτων χρήματα διαρπάζων, καὶ τὰς τούτων γυναῖκας, καὶ λαῒς ὁμοίως, μισθὸν μὲν πλεῖστον εἰ πράττουσα παρὰ τῶν ἐραστῶν· ἐνίων δὲ γυναικῶν καὶ γάμους διαλύουσα, τοῦτ' ἂν εἴη τὸ πλεονεκτεῖν. περὶ ποίαν οὖν ὕλην τὴν αἵρεσιν τις ποιήσεται τοῦ μήτε ὑπερβάλλοντος, μήτ' αὖ ἐλλείποντος. ἢ τὸ ἀγελαῖον ἐκεῖνο καὶ κοινόν. ἀρκοῦ τοῖς αὑτοῦ καὶ μὴ διάρπαζε τὰ πλησίον, μὴ δ' αὖ προΐεσο τῶν σῶν, ὡς καὶ τὰ τοῦτο μειονεκτῶν. τὸ μὲν δὴ μὴ βιάζεσθαι, δυναίμην εἴποι τις ἄν, ἐπ' ἐμοὶ γὰρ τοῦτο. τὸ δὲ μὴ πλεονεκτεῖσθαι, πῶς ἂν γένοιτο, πολλοὶ γὰρ οἱ κρείττους. ἀλλ' εἴ τις βούλοιτο δεομένοις ἐπαρκεῖν, καὶ ὀρφανοὺς συνεκδιδόναι, καὶ αἰχμαλώτους λύσασθαι, ταῦτα μὲν ἴσως δυνατόν ἐστι ποιεῖν, ἀλλ' ἐν τῷ γε τιμῶντι τὴν προειρημένην μεσότητα, πλεονεκτεῖσθαι γάρ ἐστι καὶ μειονεκτεῖν, τὸν ταῦτα ποιεῖν ἀνεχόμενον. πῶς οὖν ἄλλην δείξεται ὁ καθ' ἡμᾶς λόγος; ἕξιν εὔλογον ψυχῆς ὀρθότητος ἐπιμελουμένην. ἢ τιμωρίας ἀπαίτησιν, παρὰ τῶν προηδικηκότων. οὐχ ὡς τοῦ ἢ συνδέσμου τὴν ἑτέραν τῶν προτάσεων.

Ξενοφῶντος ἐν δ'. ἀπομνημονευμάτων

Καὶ ὁ σωκράτης ἔφη· οὐ δήπου ὦ εὐθύδημε, ταύτης τῆς ἀρετῆς ἐφίεσαι, δι' ἣν ἄνθρωποι πολιτικοὶ γίγνονται, καὶ οἰκονομικοὶ, καὶ ἄρχειν ἱκανοί. καὶ ὠφέλιμοι τοῖς τε ἄλλοις ἀνθρώποις καὶ ἑαυτοῖς; καὶ ὁ εὐθύδημος· σφόδρα γ' ἔφη ὦ σώκρατες ταύτης τῆς ἀρετῆς δέομαι. νὴ δί' ἔφη ὁ σωκράτης· καὶ καλλίστης ἀρετῆς καὶ μεγίστης ἐφίεσαι τέχνης. ἔστι γὰρ τῶν βασιλέων αὕτη καὶ καλεῖται βασιλική. ἀτὰρ ἔφη κατανενόηκας, εἰ οἷόν τέ ἐστι, μὴ ὄντα δίκαιον, ἀγαθὸν ταῦτα γενέσθαι; καὶ μάλα ἔφη, οὐχ οἷόν τέ γε ἄνευ δικαιοσύνης, ἀγαθὸν πολίτην γενέσθαι. τί οὖν ἔφη· σὺ ἤδη τοῦτο κατείργασαι; οἶμαί γε ἔφη ὦ σώκρατες οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος. ἆρ' οὖν ἔφη τῶν δικαίων ἔστιν ἔργα, ὥσπερ τῶν τεκτόνων; ἔστι μέν τοι ἔφη. ἆρ' οὖν ἔφη ὥσπερ οἱ τέκτονες ἔχουσι τὰ ἑαυτῶν ἔργα ἐπιδεῖξαι, οὕτως οἱ δίκαιοι τὰ ἑαυτῶν ἔχοιεν ἂν ἐξηγήσασθαι; μὴ οὖν ἔφη εὐθύδημος ἐγὼ οὐ δύναμαι τὰ τῆς δικαιοσύνης ἔργα ἐξηγήσασθαι; καὶ νὴ δί' ἔγωγε τὰ τῆς ἀδικίας. ἐπεὶ οὐκ ὀλίγα ἐστὶ καθ' ἑκάστην ἡμέραν, ὁρᾶν τε τοιαῦτα καὶ ἀκούειν. βούλει

οὖν ἔφη

Ayuntamiento de Madrid

οὐκοῦν ἔφη ὁ σωκράτης γράψομεν ἐνταυθοῖ μὲν δέλτα, ἐνταυθοῖ δὲ ἄλφα. εἶτα, ὅτι μὲν ἂν δοκῇ ἡμῖν τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τῷ δέλτα τιθῶμεν, ὅ,τι δ' ἂν τῆς ἀδικίας πρὸς τὸ ἄλφα; εἴ τι σοι ἔφη προσδεῖν δοκεῖ τούτων, ποίει ταῦτα. καὶ ὁ σωκράτης γράψας ὥσπερ εἶπον, οὐκοῦν ἔφη ἔστιν ἐν ἀνθρώποις ψεύδεσθαι; ἔστι μέντοι ἔφη, ποτέρωσε οὖν ἔφη θῶ. τοῦτο δῆλον ὅτι ἔφη πρὸς τὴν ἀδικίαν. οὐκοῦν ἔφη καὶ ἐξαπατᾶν ἔστι. καὶ μάλα ἔφη. τοῦτο οὖν ποτέρωσε θῶ. καὶ τοῦτο δῆλον ὅτι ἔφη πρὸς τὴν ἀδικίαν. τί δαί. τὸ βλέπτειν; καὶ τοῦτο ἔφη. τί δ' ἀνδραποδίζεσθαι; καὶ τοῦτο. πρὸς δὲ τῇ δικαιοσύνῃ, οὐδὲν τούτων ἡμῖν κείσεται ὦ εὐθύδημε; δεινὸν δ' ἂν εἴη ἔφη. τί δαί. ἐὰν στρατηγὸς αἱρεθεὶς, ἄδικόν τε καὶ ἐχθρὰν πόλιν ἐξανδραποδίσηται, φήσομεν τοῦτον ἀδικεῖν; οὐ δῆτα ἔφη. δίκαια δὲ ποιεῖν οὐ φήσομεν; καὶ μάλα. τί δαὶ, ἂν ἐξαπατᾷ πολεμῶν αὐτοῖς δίκαιον ἔφη; καὶ τοῦτο. ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ δίκαια ποιήσει; καὶ μάλα ἔφη. ἀλλ' ἐγώ σε τὸ πρῶτον ὑπέλαβον πρὸς τοὺς φίλους μόνους ταῦτα ἐρωτᾶν. οὐκοῦν ἔφη ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, ταῦτα πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη; ἔφη ἔοικε. βούλει οὖν ἔφη ταῦτα θέντες, οὕτω διορισώμεθα πάλιν; πρὸς μὲν τοὺς πολεμίους δίκαιον εἶναι ταῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους, ἄδικον. ἀλλὰ δεῖ πρός γε τούτους ὡς ἁπλούστατον εἶναι; πάνυ μὲν οὖν ἔφη. τί οὖν ἔφη ὁ σωκράτης. ἐάν τις στρατηγὸς ὁρῶν ἀθύμως ἔχον τὸ στράτευμα, ψευσάμενος φήσει συμμάχους προσιέναι, καὶ τῷ ψεύδει τούτῳ καταπαύσει τῆς ἀθυμίας τοὺς στρατιώτας, ποτέρωθι τὴν ἀπάτην ταύτην θήσομεν. δοκεῖ μοι ἔφη πρὸς τὴν δικαιοσύνην. ἐὰν δέ τις υἱὸν αὑτοῦ δεόμενον φαρμακείας, ἐξαπατήσας ὡς σῖτον τὸ φάρμακον δῷ, καὶ τῷ ψεύδει χρησάμενος, οὕτως ὑγιῆ ποιήσῃ, ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον; δοκεῖ μοι ἔφη καὶ ταύτην εἰς τὸ αὐτό. τί δαί. ἐάν τις ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτὸν, κλέψῃ, ἢ ἁρπάσῃ ξίφος, ἢ ἄλλο τι τοιοῦτο. τοῦτο αὖ, ποτέρωσε θετέον. καὶ τοῦτο νὴ δία πρὸς τὴν δικαιοσύνην. λέγεις ἔφη σὺ, οὐδὲ πρὸς τοὺς φίλους ἅπαντα δεῖν ἁπλοΐζεσθαι. μὰ δί' οὐ δῆτα ἔφη. ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξεστι. δεῖ γέ τοι ἔφη ὦ σώκρατες ἐξεῖναι πολὺ μᾶλλον, ἢ μὴ ὀρθῶς τιθέναι. τῶν δὲ δὴ τοὺς φίλους ἐξαπατώντων ἐπὶ βλάβῃ. ἵνα μηδὲ τοῦτο παραλίπωμεν ἄσκεπτον, πότερος ἀδικώτερός ἐστιν. ὁ ἑκὼν, ἢ ὁ ἄκων. ἀλλ' ὦ σώκρατες, οὐκέτι μὲν ἔγωγε πιστεύω οἷς ἀποκρίνομαι. καὶ γὰρ τὰ πρόσθεν πάντα, νῦν ἄλλως ἔχειν δοκεῖ μοι, ἢ ὡς ἐγὼ τότε ᾤμην. ὅμως δὲ εἰρήσθω μοι ἀδικώτεροι εἶναι τὸν ἑκόντα ψευδόμενον τοῦ ἄκοντ-



Ayuntamiento de Madrid

τος. δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι, ὥσπερ τῶν γραμμάτων; ἔμοιγε. πότερον δὲ γραμματικώτερον κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γράφῃ καὶ ἀναγινώσκῃ, ἢ ὃς ἂν ἄκων. ὃς ἂν ἑκὼν ἔγωγε. δύναιτο γὰρ ὁπότε βούλοιτο καὶ ὀρθῶς αὐτὰ ποιεῖν. οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρθῶς γράφων, γραμματικὸς ἂν εἴη. ὁ δὲ ἄκων ἀγράμματος; πῶς γὰρ οὔ. τὰ δίκαια δέ, πότερον ὁ ἑκὼν ψευδόμενος καὶ ἐξαπατῶν οἶδεν, ἢ ὁ ἄκων. δῆλον ὅτι ὁ ἑκών. οὐκοῦν γραμματικώτερον μὲν, τὸν ἐπιστάμενον γράμματα τοῦ μὴ ἐπισταμένου φὴς εἶναι; ναί. δικαιότερον δὲ τὸν ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; φαίνεται. δοκῶ δέ μοι καὶ ταῦτα οὐκ οἶδ' ὅπως λέγειν. τί δαὶ δὴ ὃς ἂν βουλόμενος τἀληθῆ λέγειν μηδέποτε, ταὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων τὴν αὐτὴν ποτὲ μὲν πρὸς ἕω, ποτὲ δὲ πρὸς ἑσπέραν φράζῃ, καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτὸν, ποτὲ μὲν πλείω. ποτὲ δὲ ἐλάττω ἀποφαίνεται, τί σοι δοκεῖ ὁ τοιοῦτος. δῆλος νὴ Δί' εἶναι, ὅτι ἃ ᾤετο εἰδέναι, οὐκ οἶδεν. οἶσθα δέ τινας ἀνδραποδώδεις καλουμένους; ἔγωγε. πότερον δι' ἀμαθίαν ἢ διὰ σοφίαν; δῆλον ὅτι δι' ἀμαθίαν. ἆρ' οὖν διὰ τὴν τοῦ χαλκεύειν ἀμαθίαν τοῦ ὀνόματος τούτου τυγχάνουσιν; οὐ δῆτα. ἀλλ' ἆρα διὰ τὴν τοῦ τεκταίνεσθαι; οὐδὲ διὰ ταύτην. ἀλλὰ τὴν τοῦ σκυτεύειν; οὐδὲ δι' ἓν τούτων ἔφη. ἀλλὰ καὶ τοὐναντίον. οἱ γὰρ πλεῖστοι τῶν τὰ τοιαῦτα ἐπισταμένων ἀνδραποδώδεις εἰσίν. ἆρ' οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ τὰ δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτό ἐστιν; ἔμοιγε δοκεῖ ἔφη. οὐκοῦν δεῖ παντὶ τρόπῳ διατεινομένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν.

Ἐν ταὐτῷ

Οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς ἱππίαν τὸν ἠλεῖον περὶ τοῦ δικαίου τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος ὁ ἱππίας ἀθήναζε παρεγένετο τῷ σωκράτει λέγοντι πρός τινας ὡς θαυμαστὸν εἴη τὸ ἂν μέν τις μέλλοιτο σκυτέα διδάξασθαί τινα, ἢ τέκτονα, ἢ χαλκέα, ἢ ἱππέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι. φασὶ δέ τινες καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι, πάντα μεστὰ εἶναι τῶν διδαξόντων. ἐὰν δέ τις βούληται, ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον, ἢ υἱὸν, ἢ οἰκέτην διδάξασθαι, μὴ εἰδέναι ποῖ ἂν ἐλθὼν τύχοι τούτου. καὶ ὁ μὲν ἱππίας ἀκούσας ταῦτα ὥσπερ ἐπισκώπτων αὐτόν. ἔτι γὰρ σὺ ὦ σώκρατες ἐκεῖνα τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα, καὶ ὁ σωκράτης. ὃ δέ γε τούτου δεινότερον ἔφη ἱππία οὐ μόνον ἀεὶ ταῦτα λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν. σὺ δ'

Ayuntamiento de Madrid

ἴσως διὰ τὸ πολυμαθὴς εἶναι, περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. ἀμέλει ἔφη πειρῶμαι καινόν τι λέγειν ἀεί. πότερον ἔφη καὶ περὶ ὧν ἐπίστασαι. οἷον περὶ γραμμάτων. ἐάν τις ἔρηταί σε πόσα καὶ ποῖα σωκράτους ἐστίν. ἄλλα μὲν πρὶν, ἄλλα δὲ νῦν λέγειν, ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς πέντε δέκα γίνονται. οὐ τὰ αὐτὰ νῦν ἃ καὶ πρότερον ἀποκρίνῃ; περὶ μὲν τούτων ἔφη ὦ σώκρατες ὥσπερ σὺ, καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω. περὶ μέντοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν. εἰπεῖν. πρὸς ἃ οὔτε σὺ, οὔτ' ἂν ἄλλος οὐδεὶς δύναιτο εἰπεῖν. νὴ τὴν ἥραν ἔφη, μέγα λέγεις ἀγαθὸν εὑρηκέναι, εἰ παύσονται μὲν οἱ δικασταὶ δίχα ψηφιζόμενοι. παύσονται δὲ οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές τε, καὶ ἀντιδικοῦντες καὶ στασιάζοντες. παύσονται δ' αἱ πόλεις διαφερόμεναι περὶ τῶν δικαίων καὶ πολεμοῦσαι. καὶ ἐγὼ μὲν οὐκ οἶδ' ὅπως ἀπολειφθείην ἄν σου, πρὸ τοῦ ἀκοῦσαι τηλικοῦτον ἀγαθὸν εὑρηκότος. ἀλλὰ μὰ δί' ἔφη οὐκ ἀκούσῃ, πρίν γ' ἂν αὐτὸς ἀποφήνῃ, ὅ, τι νομίζεις τὸ δίκαιον εἶναι. ἀρκεῖ γὰρ ὅτι τῶν ἄλλων καταγελᾷς, ἐρωτῶν μὲν καὶ ἐλέγχων πάντας, αὐτὸς δ' οὐδενὶ ἐθέλων ὑπέχειν λόγον, οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός. τί δ' ὦ ἱππία. οὐκ ᾔσθησαι ὅτι ἐγὼ ἃ δοκεῖ μοι δίκαια εἶναι οὐδὲν παύομαι ἀποδεικνύμενος; καὶ ποῖος δή σοι ἔφη οὗτος ὁ λόγος ἐστίν. εἰ δὲ μὴ λόγῳ ἔφη, ἀλλ' ἔργῳ ἀποδείκνυμι, ἢ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι; πολύ γε νὴ δί' ἔφη. δίκαια μὲν γὰρ λέγοντες πολλοὶ, ἄδικα ποιοῦσι. δίκαια δὲ πράττοντων, οὐδ' ἂν εἷς ἄδικος εἴη. ᾔσθησαι οὖν πώποτέ μου, ἢ ψευδομαρτυροῦντος. ἢ συκοφαντοῦντος, ἢ πόλιν ἢ φίλους, ἢ στάσιν ἐμβαλόντος, ἢ ἄλλό τι ἄδικον πράττοντος; οὐκ ἔγωγ' ἔφη. τὸ δὲ τῶν ἀδίκων ἀπέχεσθαι οὐ δίκαιον ἡγῇ; δῆλος εἶ ἔφη ὦ σώκρατες καὶ νῦν διαφεύγειν ἐγχειρῶν τὸ ἀποδείκνυσθαι γνώμην, ὅ, τι νομίζεις τὸ δίκαιον. οὐ γὰρ ἃ πράττουσιν οἱ δίκαιοι, ἀλλ' ἃ μὴ πράττουσι, ταῦτα λέγεις. ἀλλ' ᾤμην ἔγωγε ἔφη ὁ σωκράτης, τὸ μὴ θέλειν ἀδικεῖν, ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. εἰ δέ σοι μὴ δοκεῖ, σκέψαι, ἐὰν τὸ δέ σοι μᾶλλον ἀρέσκῃ. φημὶ γὰρ ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. ἆρα τὸ αὐτὸ λέγεις ὦ σώκρατες νόμιμόν τε καὶ δίκαιον εἶναι; ἔγωγε ἔφη. οὐκ ἄρα αἰσθάνομαί σου, ὁποῖον νόμιμον, ἢ ποῖον δίκαιον λέγεις. νόμους δὲ πόλεως ἔφη γινώσκεις; ἔγωγε ἔφη. καὶ τίνας τούτους νομίζεις; ἃ οἱ πολῖται ἔφη συνθέμενοι, ἅ τε δεῖ ποιεῖν, καὶ ὧν



Ayuntamiento de Madrid

ἀπέχεσθαι ἐγράψαντο· οὐκοῦν ἔφη, νόμιμος μὲν ἂν εἴη, ὁ κατὰ ταῦτα πολιτευόμενος· ἄνομος δὲ, ὁ ταῦτα παραβαίνων; πάνυ μὲν οὖν ἔφη. οὐκοῦν καὶ δίκαια μὲν ἂν πράττοι ὁ τούτοις πειθόμενος, ἄδικα δὲ ὁ τούτοις ἀπειθῶν; πάνυ μὲν οὖν. οὐκοῦν ὁ μὲν τὰ δίκαια πράττων, δίκαιος, ὁ δὲ, τὰ ἄδικα, ἄδικος; πῶς γὰρ οὔ· ὁ μὲν ἄρα νόμιμος, δίκαιός ἐστιν· ὁ δὲ ἄνομος ἄδικος; καὶ ὁ ἱππίας· νόμους δ' ἔφη ὦ σώκρατες, πῶς ἄν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμ' εἶναι, ἢ τὸ πείθεσθαι αὐτοῖς· οὕς γε πολλάκις αὐτοὶ οἱ θέμενοι ἀποδοκιμάσαντες μετατίθενται, καὶ γὰρ πόλεμον ἔφη ὁ σωκράτης πολλάκις ἀράμεναι πόλεις, πάλιν εἰρήνην ποιοῦνται. καὶ μάλα ἔφη. διάφορον οὖν τι οἴει ποιεῖν ἔφη τοὺς τοῖς νόμοις πειθομένους, φαυλίζων ὅτι καταλυθεῖεν ἂν οἱ νόμοι, ἢ εἰ τοὺς ἐν τοῖς πολέμοις εὐτακτοῦντας ψέγοις, ὅτι γένοιτ' ἂν εἰρήνη· καὶ τοὺς ἐν τοῖς πολέμοις ταῖς πατρίσι προθύμως βοηθοῦντας μέμφῃ; μὰ δί' οὐκ ἐγὼ ἔφη. λυκοῦργον δὲ τὸν λακεδαιμόνιον ἔφη ὁ σωκράτης καταμεμάθηκας, ὅτι οὐδὲν ἂν διάφορον τῶν ἄλλων πόλεων τὴν σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο αὐτῇ, τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν οὐκ οἶσθα ὅτι, οἵτινες ἂν τοῖς πολίταις αἰτιώτατοι ὦσι τοῖς νόμοις πείθεσθαι· οὗτοι ἄριστοί εἰσι; καὶ πόλις ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε ἄριστα διάγει, καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστιν; ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγιστόν τε ἀγαθὸν δοκεῖ ταῖς πόλεσιν εἶναι. καὶ πλειστάκις ἐν αὐταῖς αἱ γερουσίαι καὶ οἱ ἄριστοι ἄνδρες παρακελεύονται τοῖς πολίταις ὁμονοεῖν. καὶ πανταχοῦ ἐν τῇ ἑλλάδι νόμος κεῖται, τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον. οἶμαι δ' ἐγὼ ταῦτα γίγνεσθαι, οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς κρίνωσιν οἱ πολῖται, οὐδ' ὅπως τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδ' ἵνα τοῖς αὐτοῖς ἥδωνται, ἀλλ' ἵνα τοῖς νόμοις πείθωνται. τούτοις γὰρ τῶν πολιτῶν ἐμμενόντων, αἱ πόλεις ἰσχυρόταταί τε, καὶ εὐδαιμονέσταται γίγνονται. ἄνευ δ' ὁμονοίας, οὔτ' ἂν πόλις εὖ πολιτευθείη, οὔτ' οἶκος καλῶς οἰκηθείη, ἰδίᾳ δὲ, πῶς μὲν ἄν τις ἧττον ὑπὸ πόλεως ζημιοῖτο. πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς νόμοις πείθοιτο. πῶς δ' ἂν ἧττον ἐν τοῖς δικαστηρίοις ἡττῷτο, ἢ πῶς ἂν μᾶλλον, νικῴη. τίνι δ' ἄν τις μᾶλλον πιστεύσειεν, ἢ χρήματα, ἢ θυγατέρας, ἢ υἱούς. τίνα δ' ἂν ἡ πόλις ὅλη ἀξιοπιστότερον ἡγήσαιτο τοῦ νομίμου. παρὰ τίνος δ' ἂν μᾶλλον τῶν δικαίων τύχοιεν, ἢ γονεῖς, ἢ οἰκεῖοι, ἢ οἰκέται, ἢ φίλοι, ἢ πολῖται, ἢ ξένοι. τίνι δ' ἂν μᾶλλον ἢ τῷ νομίμῳ σύμμα-



Ayuntamiento de Madrid

χοι ἐθέλοιεν γίγνεσθαι, τίνι δ' ἂν μᾶλλον ἢ σύμμαχοι πιστεύσειαν ἢ ἡγεμο-
νίαν, ἢ φρουραρχίαν, ἢ πόλεις· τίνα δ' ἄν τις εὐεργετήσας ὑπολάβοι κο-
μιεῖσθαι χάριν μᾶλλον, ἢ τὸν νόμιμον· ἢ τίνα μᾶλλον ἄν τις εὐεργετήσειεν·
ἢ παρ' οὗ χάριν ἀπολήψεσθαι νομίζει· τῷ δ' ἄν τις βούλοιτο μᾶλλον φί-
λος εἶναι, ἢ τῷ τοιούτῳ, ἢ τῷ ἧττον ἐχθρός· τῷ δ' ἄν τις ἧττον πολεμή-
σειεν, ἢ ᾧ μάλιστα μὲν εἶναι φίλος βούλοιτο, ἥκιστα δ' ἐχθρός· καὶ ᾧ
πλεῖστοι μὲν φίλοι καὶ σύμμαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ' ἐχθροὶ καὶ
πολέμιοι· ἐγὼ μὲν οὖν ὦ ἱππία τὸ αὐτὸ ἀποδείκνυμαι, νόμιμόν τε καὶ
δίκαιον εἶναι· σὺ δὲ τἀναντία εἰ γιγνώσκεις δίδασκε· καὶ ὁ ἱππίας· ἀλλὰ
μὰ τὸν δί' ἔφη ὦ σώκρατες, οὔ μοι δοκεῖ τἀναντία γιγνώσκειν οἷς εἴρηκας
περὶ τοῦ δικαίου· ἀγράφους δέ τινας οἶσθα ἔφη ὦ ἱππία νόμους; τούς γε
ἐν πάσῃ χώρᾳ ἔφη κατὰ ταὐτὰ νομιζομένους· ἔχοις ἂν οὖν εἰπεῖν ἔφη,
ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; καὶ πῶς ἂν ἔφη, οἵ γε οὔτε συνελθεῖν ἅπαν-
τες δυνηθεῖεν, οὔτε ὁμόφωνοι, ἂς τίνας ἔφη νομίζεις τοὺς νόμους τεθηκέ-
ναι τούτους· ἐγὼ μὲν ἔφη θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις
θεῖναι· καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται θεοὺς σέβειν·
οὐκοῦν καὶ γονέας τιμᾶν πανταχοῦ νομίζεται; καὶ τοῦτο ἔφη· οὐκοῦν καὶ
μήτε γονέας παισὶ μίγνυσθαι, μήτε παῖδας γονεῦσιν; οὐκ ἔτι μοι δοκεῖ
ἔφη ὦ σώκρατες οὗτος θεοῦ νόμος εἶναι· τί δ' ἔφη· ὅτι ἔφη αἰσθάνομαι
τινὰς παραβαίνοντας αὐτόν· καὶ γὰρ ἅμα πολλὰ ἔφη παρανομοῦσιν· ἀλ-
λὰ δίκην γέ τοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους
νόμους· ἣν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν· ὥσπερ τοὺς ὑπ'
ἀνθρώπων κειμένους νόμους ἔνιοι παραβαίνοντες διαφεύγουσι τὸ δίκην
διδόναι· καὶ ποίαν ἔφη δίκην ὦ σώκρατες οὐ δύνανται διαφεύγειν, γο-
νεῖς τε παισὶ καὶ παῖδες γονεῦσι μιγνύμενοι· τὴν μεγίστην νὴ δία· τί γὰρ
ἂν μεῖζον πάθοιεν ἄνθρωποι, τεκνοποιούμενοι, τοῦ κακῶς τεκνοποιεῖσθαι·
πῶς οὖν ἔφη κακῶς οὗτοι τεκνοποιοῦνται, ὅτε οὐδὲν κωλύει ἀγαθοὺς
αὐτοὺς ὄντας ἐξ ἀγαθῶν τεκνοποιεῖσθαι· ὅτι νὴ δί' ἔφη οὐ μόνον ἀγα-
θοὺς δεῖ τοὺς ἐξ ἀλλήλων παιδοποιουμένους εἶναι, ἀλλὰ καὶ ἀκμά-
ζοντας τοῖς σώμασιν· ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρματα εἶναι τὰ τῶν ἀκ-
μαζόντων, ἢ τῶν παρηκμακότων; ἀλλὰ μὰ δί' ἔφη οὐκ εἰκὸς ὅμοια
εἶναι· πότερα οὖν ἔφη ὅτι τὰ τῶν ἀκμαζόντων ἄρα οὐ σπουδαῖα; οὐκ
εἰκὸς μὰ δί' ἔφη· οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι; οὐ γὰρ οὖν ἔφη·

οὐκοῦν οἵ γε οὕτω παιδοποιούμενοι, ὡς δεῖ παιδοποιοῦνται; ἔμοιγε δοκεῖ ἔφη. τίνι δὴ οὖν ἔφη ἄλλοι κακῶς ἂν παιδοποιοῖντο, εἴγε μὴ οὗτοι. ὁμογνωμονῶσι ἔφη καὶ τοῦτο. πάλιν τοὺς εὖ ποιοῦντας, ἀντευεργετεῖν οὐ πανταχοῦ νόμιμόν ἐστι; νόμιμον ἔφη. παραβαίνεται δὲ καὶ τοῦτο. οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες, δίκην διδόασι. φίλων μὲν ἀγαθῶν ἔρημοι γινόμενοι. τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν, ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς ἀγαθοὶ φίλοι εἰσίν. οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους, διὰ μὲν τὴν ἀχαριστίαν μισοῦνται ὑπ' αὐτῶν. διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι, τούτους μάλιστα διώκουσι. νὴ τὸν δί' ὦ σώκρατες ἔφη, θεοῖς πάντα ταῦτ' ἔοικε. τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι τὰς τιμωρίας ἔχειν, βελτίονος ἢ κατὰ ἄνθρωπον νομοθέτου δοκεῖ μοι εἶναι. πότερον οὖν ὦ ἱππία τοὺς θεοὺς ἡγῇ τὰ δίκαια νομοθετεῖν, ἢ ἄλλα τῶν δικαίων; οὐκ ἄλλα μὰ δί' ἔφη, σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν, εἰ μὴ θεός. καὶ τοῖς θεοῖς ἄρα ὦ ἱππία τὸ αὐτὸ δίκαιόν τε καὶ νόμιμον ἀρέσκει.

Πλάτωνος πολιτειῶν. α'.

Τοῦτο ἦν δ' ἐγὼ ἤδη στερεώτερον ὦ ἑταῖρε, καὶ οὐκ ἔτι ῥᾴδιον ἔχειν, ὅ,τι τις εἴπῃ. εἰ γὰρ λυσιτελεῖν μὲν τὴν ἀδικίαν ἐτίθεσο, κακίαν μέντοι, ἢ αἰσχρὸν αὐτὸ ὡμολόγεις εἶναι. ὥσπερ ἄλλοι τινὲς ἔχομεν ἄν τι λέγειν κατὰ τὰ νομιζόμενα λέγοντες. νῦν δὲ δῆλος εἶ, ὅτι φήσεις αὐτὸ καὶ καλὸν καὶ αἰσχρὸν εἶναι. καὶ τ' ἄλλα αὐτῷ πάντα προσθήσεις, ἃ ἡμεῖς τῷ δικαίῳ προσετίθεμεν. ἐπειδή γε καὶ ἐν ἀρετῇ αὐτὸ καὶ σοφίᾳ ἐτόλμησας θεῖναι. ἀληθέστατα ἔφη μαντεύῃ. ἀλλὰ τόδε μοι πειρῶ ἀποκρίνασθαι. ὁ δίκαιος τοῦ δικαίου δοκεῖ τί σοι ἂν ἐθέλειν πλέον ἔχειν; οὐδαμῶς ἔφη. οὐ γὰρ ἂν ἦν ἀστεῖος, ὥσπερ νῦν καὶ εὐήθης. τί δαί. τῆς δικαίας πράξεως; οὐδὲ τῆς δικαίας ἔφη. τοῦ δὲ ἀδίκου πότερον ἀξιοῖ ἂν πλέον ἔχειν, καὶ ἡγοῖτο δίκαιον εἶναι, ἢ οὐκ ἂν ἡγοῖτο. ἡγοῖτ' ἂν ἦ δ' ὃς καὶ ἀξιοῖ. ἀλλ' οὐκ ἂν δύναιτο, ἀλλ' οὐ τοῦτο ἦν δ' ἐγὼ ἐρωτῶ, ἀλλ' εἰ τοῦ μὲν δικαίου μὴ ἀξιοῖ πλέον ἔχειν, μὴ δὲ βούλεται ὁ δίκαιος. τοῦ δὲ ἀδίκου; ἀλλ' οὕτως ἔφη ἔχει. τί δαὶ δὴ ὁ ἄδικος, ἆρα ἀξιοῖ τοῦ δικαίου πλεονεκτεῖν, καὶ τῆς δικαίας πράξεως; πῶς γὰρ οὔ ἔφη, ὅς γε πάντων πλέον ἔχειν ἀξιοῖ. οὐκοῦν καὶ ἀδίκου γε ἀνθρώπου τε καὶ πράξεως ὁ ἄδικος πλεονέκτης, εἰ ἔστι ταῦτα. ὧδε δὴ λέγω μὲν ἔφη ὁ δίκαιος τοῦ μὲν ὁμοίου, οὐ πλεονεκτεῖ. τοῦ δὲ ἀνομοίου, ὁ δὲ ἄδικος, τοῦ τε ὁμοίου, καὶ τοῦ ἀνομοίου. ἄριστα ἔφη εἴρηκας. ἔστι δέ γε φρόνιμός τε,

Ayuntamiento de Madrid

καὶ ἀγαθὸς ὁ ἄδικος, ὁ δὲ δίκαιος οὐδέτερα; καὶ τοῦτ᾽ ἔφη εὖ. οὐκοῦν ἦν δὲ ἐγὼ, καὶ ἔοικε τῷ φρονίμῳ, καὶ ἀγαθῷ ὁ ἄδικος, ὁ δὲ δίκαιος οὐκ ἔοικε; πῶς γὰρ οὔ. μέλλει ἔφη τοιοῦτος ὢν, καὶ ἐοικέναι τοῖς τοιούτοις. ὁ δὲ, μὴ ἐοικέναι. καλῶς. τοιοῦτος ἄρα ἐστὶν ἑκάτερος αὐτῶν, οἷσπερ ἔοικεν; ἀλλὰ τί μέλλει ἔφη. εἶεν ὦ θρασύμαχε. μουσικὸν δέ τινα λέγεις, ἕτερον δὲ ἄμουσον; ἔγωγε. πότερον φρόνιμον, καὶ πότερον ἄφρονα; τὸν μὲν μουσικὸν δή που φρόνιμον. τὸν δὲ ἄμουσον, ἄφρονα. οὐκοῦν ἅπερ φρόνιμα, ἀγαθὸν, ἃ δὲ ἄφρονα κακόν. τί δαί. ἰατρικὸν οὐχ οὕτως; οὕτως. ἆρ᾽ οὖν τίς σε ὦ ἄριστε δοκεῖ μουσικὸς ἀνὴρ, ἁρμοττόμενος λύραν ἐθέλειν μουσικοῦ ἀνδρὸς ἐν τῇ ἐπιτάσει, καὶ ἀνέσει τῶν χορδῶν, πλεονεκτεῖν, ἢ ἀξιοῦν πλέον ἔχειν; οὐκ ἔμοιγε. τί δαί. ἀμούσου; ἀνάγκη ἔφη. περὶ πάσης δὴ ὅρα ἐπιστήμης τε καὶ ἀνεπιστημοσύνης, εἴ τίς σοι δοκεῖ ἐπιστήμων. ὅστις οὖν ἂν ἐθέλοι αἱρεῖσθαι, ἢ ὅς ἄλλος ἐπιστήμων, ἢ πράττειν, ἢ λέγειν. καὶ οὐ ταὐτὰ τῷ ὁμοίῳ ἑαυτῷ εἰς τὴν αὐτὴν ὁμοίαν πρᾶξιν. ἀλλ᾽ ἴσως ἔφη ἀνάγκη, τοῦτό γε οὕτως ἔχειν. τί δαί. ὁ ἀνεπιστήμων οὐχ ὁμοίως μὲν ἐπιστήμονος πλεονεκτήσειεν, ἀνομοίως δὲ ἀνεπιστήμονος; ἴσως. ὁ δὲ ἐπιστήμων σοφός; ναί. ὁ δὲ σοφὸς ἀγαθός; φημί. ὁ ἄρα ἀγαθός τε καὶ σοφὸς, τοῦ μὲν ὁμοίου, οὐκ ἐθελήσει πλεονεκτεῖν, τοῦ δ᾽ ἀνομοίου τε καὶ ἐναντίου; ἔοικεν ἔφη. ὁ δὲ κακός τε καὶ ἀμαθὴς, τοῦ τε ὁμοίου καὶ τοῦ ἐναντίου; φαίνεται. οὐκοῦν ὦ θρασύμαχε ἦν δ᾽ ἐγὼ ὁ ἄδικος ἡμῖν τοῦ ἀνομοίου τε καὶ ὁμοίου πλεονεκτεῖ; ἢ οὐχ οὕτως ἔλεγες. ἔγωγε ἔφη. ὁ δὲ δίκαιος τοῦ μὲν ὁμοίου, οὐ πλεονεκτήσει, τοῦ δὲ ἀνομοίου; ναί. ἔοικεν ἄρα ἦν δ᾽ ἐγὼ, ὁ μὲν δίκαιος, τῷ σοφῷ τε καὶ ἀγαθῷ. ὁ δὲ ἄδικος, τῷ κακῷ τε καὶ ἀμαθεῖ; κινδυνεύει. ἀλλὰ μὴν ὡμολογοῦμεν, ᾧ γε ὅμοιος, ἑκάτερος εἴη. τοιοῦτον καὶ ἑκάτερον εἶναι. ὡμολογοῦμεν γάρ. ὁ μὲν ἄρα δίκαιος ἡμῖν καὶ ἀναπέφανται ὢν ἀγαθός τε καὶ σοφός. ὁ δὲ ἄδικος ἀμαθής τε καὶ κακός. ἐπειδὴ δ᾽ οὖν διωμολογησάμεθα τὴν δικαιοσύνην ἀρετὴν εἶναι καὶ σοφίαν, τὴν δ᾽ ἀδικίαν κακίαν τε καὶ ἀμαθίαν. εἶεν ἦν δ᾽ ἐγώ. τοῦτο μὲν ἡμῖν, οὕτω κείσθω. ἔφαμεν δὲ δὴ καὶ ἰσχυρότερον εἶναι τὴν ἀδικίαν. ἀλλὰ τῇ δέ πῃ σκέψασθαι χρή. πόλιν φαίης ἂν ἄδικον εἶναι, καὶ ἄλλας πόλεις ἐπιχειρεῖν βούλεσθαι ἀδίκως; πῶς γὰρ οὐκ ἔφη. πότερον οὖν ἡ κρείττων γιγνομένη πόλις πόλεως, ἄνευ δικαιοσύνης τὴν δύναμιν ἕξει, ἢ ἀνάγκη αὐτῇ

μετὰ δικαιοσύνης· εἰ μὲν ἔφη ὡς σὺ ἄρτι ἔλεγες ἔχει ἡ δικαιοσύνη σοφία, μετὰ δικαιοσύνης, εἰ δ' ὡς ἐγὼ μετ' ἀδικίας. πάνυ γε ἄγαμαι ἦν δ' ἐγὼ ὦ Θρασύμαχε. δοκεῖς ἂν οὖν ἢ πόλιν, ἢ στρατόπεδον, ἢ λῃστάς, ἢ κλέπτας, ἢ ἄλλό τι ἔθνος, ὅσα κοινῇ ἐπί τι ἔρχεται, ἀδίκως πρᾶξαι ἄν τι δύνασθαι, εἰ ἀδικεῖν ἀλλήλους; οὐ δῆτα ἦ δ' ὅς. τί δ' εἰ μὴ ἀδικοῖεν οὐ μᾶλλον; πάνυ γε. στάσεις γάρ που ὦ Θρασύμαχε ἥ γε ἀδικία· καὶ μίση, καὶ μάχας ἐν ἀλλήλοις παρέχει. ἡ δὲ δικαιοσύνη, ὁμόνοιαν, καὶ φιλίαν. ἦ γάρ; ἔστω ἦ δ' ὅς. ἆρα εἰ τοῦτο ἔργον ἀδικίας, μῖσος ἐμποιεῖν ὅπου ἂν ἐνῇ; πάνυ γε. καὶ ἐν ἑνὶ δὴ οἶμαι ἐνοῦσα ταῦτα γνοίης. εἰ ἅπερ πέφυκεν ἐργάζεσθαι. πρῶτον μὲν ἀδύνατον αὐτὸν ποιήσει πράττειν στασιάζοντα, καὶ οὐχ ὁμονοοῦντα αὐτὸν ἑαυτῷ. ἔπειτα αἰσχρὸν καὶ ἑαυτῷ καὶ τοῖς δικαίοις, ἦ γάρ; ναί. δίκαιοι δέ γ' εἰσὶν ὦ φίλε καὶ οἱ θεοί; ἔστωσαν ἔφη. καὶ θεοῖς ἄρα ἐχθρὸς ἔσται ὦ Θρασύμαχε ὁ ἄδικος. ὁ δὲ δίκαιος, φίλος. εὐωχοῦ τοῦ λόγου ἔφη θαρρῶν. οὐ γὰρ ἔγωγέ σοι ἐναντιώσομαι, ἵνα μὴ τοῖσδε ἀπέχθωμαι. ἴθι δὴ ἦν δ' ἐγώ, καὶ τὰ λοιπά με τῆς ἑστιάσεως ἀποπλήρωσον, ἀποκρινόμενος ὥσπερ καὶ νῦν. ὅτι μὲν γὰρ καὶ σοφώτεροι καὶ ἀμείνους, καὶ δυνατώτεροι πράττειν οἱ δίκαιοι φαίνονται, οἱ δὲ ἄδικοι, οὐδὲν πράττειν μετ' ἀλλήλων οἷοί τε, ἀλλὰ καὶ οὓς φαμὲν ἐρρωμένως πώποτέ τι μετ' ἀλλήλων κοινῇ πρᾶξαι ἀδίκους ὄντας, τοῦτο οὐ παντάπασιν ἀληθὲς λέγομεν, οὐ γὰρ ἂν ἀπείχοντο ἀλλήλων κομιδῇ ὄντες ἄδικοι· ἀλλὰ δῆλον ὅτι ἐνῆν τις αὐτοῖς δικαιοσύνη, ἣ αὐτοὺς ἐποίει, μή τοι καὶ ἀλλήλους γε καὶ ἐφ' οὓς ᾖσαν ἀδικεῖν ἅμα· δι' ἣν ἔπραξαν. ὥρμησαν δὲ ἐπὶ τὰ ἄδικα, ἀδικίᾳ, ἡμιμόχθηροι ὄντες. ἐπεὶ οἵ γε παμπόνηροι, καὶ τελέως εἰσὶ καὶ πράττειν. πάντα μὲν οὖν ὅτι οὕτως ἔχει, μανθάνω. οἱ δὲ καὶ ἄμεινον ζῶσιν οἱ δίκαιοι τῶν ἀδίκων. καὶ εὐδαιμονέστεροι εἰσίν, ὅπερ τὸ ὕστερον προὐθέμεθα σκέψασθαι, σκεπτέον. δοκεῖ τί σοι εἶναι ἵππου ἔργον; ἔμοιγε. ἆρ' οὖν τοῦτο ἂν θείης καὶ ἵππου καὶ ἄλλου ὁτουοῦν ἔργον, ὃ ἂν ἢ μόνῳ ἐκείνῳ ποιῇ τις, ἢ ἄριστα; οὐ μανθάνω. ἀλλ' ὧδε. ἔστω. ὅτῳ ἂν ἄλλῳ ἴδοις, ἢ ὀφθαλμοῖς; οὐ δῆτα. τί δαί, ἀκούσαις ἄλλοις ἢ ὠσίν; οὐδαμῶς. οὐκοῦν δικαίως ἂν ταῦτα τούτων φαμὲν ἔργα εἶναι; πάνυ γε. τί δαί. μαχαίρᾳ ἂν ἀμπέλου κλῆμα ἀποτέμοις, καὶ σμίλῃ, καὶ ἄλλοις πολλοῖς; πῶς γὰρ οὔ. ἀλλ' οὐδενί γ' ἂν οἶμαι οὕτω καλῶς, ὡς δρεπάνῳ τῷ ἐπὶ τούτῳ ἐργασθέντι; ἀληθῆ. ἆρ' οὖν οὐ τοῦτο τούτου ἔργον θήσομεν; θήσομεν μὲν οὖν. ὀφθαλμῶν μὲν ἔστι τι ἔργον; ἔστιν. ἆρ' οὖν καὶ ἀρετὴ ὀφθαλμῶν ἔστι; καὶ ἀρετή.

Ayuntamiento de Madrid

καὶ ἀρετή. τί δαί. ὤτων ἦν τι ἔργον; ναί. οὐκοῦν καὶ ἀρετή, καὶ ἀρετή. τί δὴ γὰρ περὶ τῶν ἄλλων οὐχ οὕτως; οὕτως ἔχει δή. ἆρ' ἄν ποτε ὄμματα τὸ αὐτῶν ἔργον καλῶς ἀπεργάσαιντο, μὴ ἔχοντα τὴν αὐτῶν οἰκείαν ἀρετήν, ἀλλ' ἀντὶ τῆς ἀρετῆς κακίαν; καὶ πῶς ἄν ἔφη. τυφλότητα ἴσως γὰρ λέγεις, ἀντὶ τῆς ὄψεως ἥτις ἦν ἐγὼ ἀρετή. οὐ γάρ πω τοῦτο ἐρωτῶ. ἀλλ' εἰ τῇ οἰκείᾳ ἀρετῇ. τὸ αὐτῶν ἔργον εὖ ἐργάσεται τὰ ἐργαζόμενα. κακίᾳ δέ, κακῶς. ἀληθές ἔφη τοῦτο λέγεις. οὐκοῦν καὶ τὰ στερόμενα τῆς αὐτῶν ἀρετῆς, κακῶς τὸ ἔργον ἀπεργάσεται; πάνυ γε. τίθεμεν οὖν καὶ τὰ ἄλλα πάντα εἰς τὸν αὐτὸν τοῦτον λόγον; ἔμοιγε δοκεῖ. ἴθι δὴ μετὰ ταῦτα τόδε σκέψαι. ψυχῆς ἔστι τι ἔργον, ὃ ἄλλῳ τῶν ὄντων οὐδ' ἂν ἑνὶ πράξαις. οἷον τὸ τοιόνδε. τὸ ἐπιμελεῖσθαι καὶ ἄρχειν. καὶ τὸ βουλεύεσθαι. καὶ τὰ τοιαῦτα πάντα, ἔστιν ὅτῳ ἄλλῳ ἢ ψυχῇ δικαίως ἂν αὐτὰ ἀποδοῖμεν. καὶ φαῖμεν ἴδια ἐκείνης εἶναι οὐδενὶ ἄλλῳ. τί δ' αὖ τὸ ζῆν, οὐ ψυχῆς ἔργον φήσομεν εἶναι; μάλιστ' ἄν ἔφη. οὐκοῦν καὶ ἀρετήν φαμέν τινα ψυχῆς εἶναι; φαμέν. ἆρ' οὖν ποτε ὦ Θρασύμαχε, ψυχὴ τὰ αὑτῆς ἔργα εὖ ἀπεργάσεται, στερομένη τῆς οἰκείας ἀρετῆς, ἢ ἀδύνατον. ἀδύνατον. ἀνάγκη ἄρα κακῇ ψυχῇ κακῶς ἄρχειν καὶ ἐπιμελεῖσθαι. τῇ δὲ ἀγαθῇ πάντα ταῦτα εὖ πράττειν; ἀνάγκη. οὐκοῦν ἀρετὴν μὲν ξυνεχωρήσαμεν ψυχῆς εἶναι δικαιοσύνην, κακίαν δὲ ἀδικίαν; ξυνεχωρήσαμεν γάρ. ἡ μὲν ἄρα δικαία ψυχή, καὶ ὁ δίκαιος ἀνήρ, εὖ βιώσεται. κακῶς δέ, ὁ ἄδικος; φαίνεται ἔφη κατὰ τὸν σὸν λόγον. ἀλλὰ μὴν ὅ γε εὖ ζῶν, μακάριός τε καὶ εὐδαίμων, ὁ δὲ μή, τἀναντία; πῶς γὰρ οὔ. ὁ μὲν δίκαιος ἄρα εὐδαίμων. ὁ δ' ἄδικος ἄθλιος; ἔστω ἔφη. ἀλλὰ μὴν ἄθλιόν γε οὐ λυσιτελεῖ εἶναι. εὐδαίμονα δέ. πῶς γὰρ οὔ. οὐδέποτ' ἄρα ὦ Θρασύμαχε λυσιτελέστερον ἀδικία δικαιοσύνης.

Ταῦτα μὲν ἄρα ἦν δ' ἐγὼ μόγις διανενεύκαμεν, καὶ ἡμῖν ἐπιεικῶς ὁμολόγηται. ταὐτὰ μὲν ἐν πόλει. ταὐτὰ δὲ ἐν ἑνὶ ἑκάστου τῇ ψυχῇ γένη ἐνεῖναι, καὶ ἴσα τὸν ἀριθμόν. ἔστι ταῦτα. οὐκοῦν ἐκεῖνό γε ἤδη ἀναγκαῖον ὡς πόλις ἦν σοφή, καὶ ᾧ, οὕτω καὶ τὸν ἰδιώτην. καὶ τούτῳ σοφὸν εἶναι. τί μήν. καὶ ᾧ δὴ ἀνδρεῖος ἰδιώτης. καὶ ὡς τούτῳ, καὶ πόλιν ἀνδρείαν. καὶ οὕτω καὶ τἄλλα πάντα πρὸς ἀρετὴν ὡσαύτως ἀμφότερα ἔχειν. ἀνάγκη. καὶ δίκαιον δή ἔφη ὦ Γλαύκων οἶμαι φήσομεν ἄνδρα εἶναι τῷ αὐτῷ τρόπῳ, ὥσπερ καὶ πόλις ἦν δικαία; καὶ τοῦτο πᾶσα ἀνάγκη. ἀλλ' οὔπω μὴν τοῦτό γε ἐπιλελήσμεθα. ὅτι ἐκείνη γε, τῷ, τὸ ἑαυτοῦ ἕκαστον ἐν αὐτῇ πράττειν, τριῶν ὄντων γενῶν. δικαία ἦν. οὔ μοι δοκοῦμεν ἔφη ἐπιλελῆσθαι. μνημονευτέον

Εν παντὶ

Ayuntamiento de Madrid

ἄρα ἡμῖν, ὅτι καὶ ἡμῶν ἕκαστος ὅτου ἂν τὰ αὑτοῦ ἕκαστον τῶν ἐν αὐτῷ πράττῃ. οὕτω δικαιότερός τε ἔσται καὶ τὰ αὑτοῦ πράττων. καὶ μάλα ἦν δ' ὃς μνημονευτέον. οὐκοῦν τῷ μὲν λογικῷ ἄρχειν προσήκει σοφῷ ὄντι, καὶ ἔχοντι τὴν ὑπὲρ ἁπάσης ψυχῆς προμήθειαν; τῷ δὲ θυμοειδεῖ ὑπηκόῳ εἶναι καὶ ξυμμάχῳ τούτου; πάνυ γε. ἆρ' οὖν οὐχ ὥσπερ ἐλέγομεν μουσικῆς καὶ γυμναστικῆς κρᾶσις, σύμφωνα αὐτὰ ποιήσει. τὸ μὲν ἐπιτείνουσα καὶ τρέφουσα, λόγοις τε καλοῖς καὶ μαθήμασι, τὸ δ' ἀνιεῖσα καὶ παραμυθουμένη, ἡμεροῦσα ἁρμονίᾳ τε καὶ ῥυθμῷ; κομιδῇ γε ἦ δ' ὅς. καὶ τούτω δὴ οὕτω τραφέντε, καὶ ὡς ἀληθῶς τὰ αὑτῶν μαθόντε καὶ παιδευθέντε προστήσετον τοῦ ἐπιθυμητικοῦ, ὃ δὴ πλεῖστον τῆς ψυχῆς ἐν ἑκάστῳ ἐστὶ. καὶ χρημάτων ἀπληστότατον ὃ τηρήσετον. μὴ τῷ πιμπλάσθαι τῶν περὶ τὸ σῶμα καλουμένων ἡδονῶν πολὺ καὶ ἰσχυρὸν γενόμενον, οὐκ αὖ τὰ αὑτοῦ πράττῃ. ἀλλὰ καταδουλώσασθαι καὶ ἄρχειν ἐθέλει, ὧν οὐ προσῆκεν αὐτῷ γένει. καὶ ξύμπαντα τὸν βίον πάντων ἀνατρέψει. πάνυ μὲν οὖν ἔφη. ἆρ' οὖν ἦν δ' ἐγὼ καὶ τοὺς ἔξωθεν πολεμίους τούτω ἂν κάλλιστα φυλάττοιτην ὑπὲρ ἁπάσης τῆς ψυχῆς τε καὶ τοῦ σώματος, τὸ μὲν, κελευόμενον. τὸ δὲ προσπολεμοῦν, ἑπόμενον τῷ ἄρχοντι, καὶ τῇ ἀνδρείᾳ ἐπιτελοῦν τὰ βουλευθέντα; ἔστι ταῦτα. καὶ ἀνδρεῖον δὴ οἶμαι τούτῳ τῷ μέρει καλοῦμεν ἕνα ἕκαστον, ὅταν αὐτοῦ τὸ θυμοειδὲς διασώζῃ, διά τε λυπῶν καὶ ἡδονῶν, τὸ ὑπὸ τοῦ λόγου παραγγελθὲν, δεινόν τε καὶ μή. ὀρθῶς γε ἔφη. σοφὸν δέ γε ἐκείνῳ τῷ σμικρῷ μέρει, τῷ ὃ ἦρχέ τε ἐν αὐτῷ, καὶ ταῦτα παρήγγελλεν, ἔχον αὖ κἀκεῖνο ἐπιστήμην ἐν αὐτῷ τὴν τοῦ ξυμφέροντος ἑκάστου τε, καὶ ὅλῳ τῷ κοινῷ σφῶν αὐτῶν τριῶν ὄντων; πάνυ μὲν οὖν. τί δαί. σώφρον οὐ τῇ φιλίᾳ, καὶ τῇ ξυμφωνίᾳ τῇ αὐτῶν τούτων, ὅταν τό, τε ἄρχον καὶ τῶν ἀρχομένων, τὸ λογιστικὸν ὁμοδοξῶσι, δεῖν ἄρχειν καὶ μὴ στασιάσωσιν αὐτῷ. σωφροσύνη γοῦν ἦ δ' ὅς οὐκ ἄλλο ἐστὶν, ἢ τοῦτο πόλεώς τε καὶ ἰδιώτου. ἀλλὰ μὲν δὴ δίκαιός γε, ᾧ πολλάκις λέγομεν τούτῳ, καὶ οὕτως; ἔσται πολλὴ ἀνάγκη. τί οὖν εἶπον ἐγώ. μή πῃ ἡμῖν ἀπαμβλύνεται ἄλλο τι δικαιοσύνη δοκεῖν εἶναι, ἢ ὅπερ ἐν τῇ πόλει ἐφάνη; οὐκ ἔμοιγε ἔφη δοκεῖ. ὧδε γὰρ ἦν δ' ἐγὼ πάντα παντάπασιν ἂν βεβαιωσαίμεθα. εἴ τι ἡμῶν ἔτι ἐν τῇ ψυχῇ ἀμφισβητεῖ, τὰ φορτικὰ αὐτῷ προσφέροντες. ποῖα δή. οἷον εἰ δέοι ἡμᾶς ἀνομολογεῖσθαι, περί τε ἐκείνης τῆς πόλεως, καὶ τοῦ ἐκείνῃ ὁμοίως, πεφυκότος τε καὶ τεθραμ-

Ayuntamiento de Madrid

μένου ἀνδρὸς ἔδοξεν ἂν παρακαταθήκην χρυσίου ἢ ἀργυρίου δεξάμενος ὁ τοιοῦτος ἀποστερῆσαι. τίνα ἂν οἴει οἰηθῆναι τοῦτο αὐτὸν δρᾶσαι μᾶλλον, ἢ ὅσοι μὴ τοιοῦτοι. οὐδένα ἂν ἔφη. οὐκοῦν καὶ ἱεροσυλιῶν, καὶ κλοπῶν, καὶ προδοσιῶν, ἢ ἰδίᾳ ἑταίρων, ἢ δημοσίᾳ πόλεων ἐκτὸς ἂν οὗτος εἴη; ἐκτός, καὶ μὴν οὐδ᾽ ὁπωστιοῦν ἄπιστος, ἢ κατὰ ὅρκους, ἢ κατὰ τὰς ἄλλας ὁμολογίας; πῶς γὰρ ἄν; μοιχεῖαι μὴν, καὶ γονέων ἀμέλειαι, καὶ θεῶν ἀθεραπευσίαι παντὶ ἄλλῳ μᾶλλον, ἢ τῷ τοιούτῳ προσήκουσι. παντὶ μέν τοι ἔφη. οὐκοῦν τούτων πάντων αἴτιον, ὅτι αὐτοῦ τοῦτο ἐν αὐτῷ ἕκαστον αὐτοῦ πράττει, ἀρχῆς τε πέρι, καὶ τοῦ ἄρχεσθαι; τοῦτο μὲν δὴ οὖν οὐδὲν ἄλλο. ἔτι οὖν ἕτερον ζητεῖς δικαιοσύνην εἶναι, ἢ ταύτην τὴν δύναμιν, ἢ τοὺς τοιούτους ἄνδρας τε παρέχεται καὶ πόλεις; μὰ δί᾽ ἦ δ᾽ ὅς, οὐκ ἔγωγε. τέλεον ἄρα ἡμῖν τὸ ἐνύπνιον ἀποτετέλεσται, ὃ ἔφαμεν ὑποπτεῦσαι, ὡς εὐθὺς ἀρχόμενοι τῆς πόλεως οἰκίζειν, κατὰ θεόν τινα εἰς ἀρχήν τε καὶ τύπον τινὰ τῆς δικαιοσύνης κινδυνεύομεν ἐμβεβηκέναι. παντάπασι μὲν οὖν. τὸ δέ γε ἦν ἄρα ὦ γλαύκων. διὸ καὶ ὠφελεῖ εἴδωλόν τι τῆς δικαιοσύνης, τὸ τὸν μὲν σκυτοτομικὸν φύσει ὀρθῶς ἔχειν σκυτοτομεῖν, καὶ ἄλλο μηδὲν πράττειν. τὸν δὲ τεκτονικὸν τεκταίνεσθαι, καὶ τὰ ἄλλα δὴ οὕτω; φαίνεται. τὸ δέ γε ἀληθές, τοιοῦτόν τι ἦν ὡς ἔοικεν ἡ δικαιοσύνη. ἀλλ᾽ ὅτι περὶ τὴν ἔξω πρᾶξιν τὴν αὐτοῦ. ἀλλὰ περὶ τὴν ἐντὸς ὡς ἀληθῶς περὶ ἑαυτὸν, καὶ τὰ αὑτοῦ μὴ ἐάσαντα, τὰ ἀλλότρια πράττειν ἕκαστον ἐν ἑαυτῷ, μηδὲ πολυπραγμονεῖν πρὸς ἄλληλα τὰ ἐν τῇ ψυχῇ γένη. ἀλλὰ τῷ ὄντι τὰ οἰκεῖα εὐθυμούμενον καὶ ἄρξαντα αὐτὸν αὐτοῦ καὶ κοσμήσαντα, καὶ φίλον γενόμενον ἑαυτῷ, καὶ συναρμόσαντα ὥσπερ ὅρους τρεῖς ἁρμονίας ἀτεχνῶς νεάτης τε καὶ ὑπάτης καὶ μέσης. καὶ εἰ ἄλλ᾽ ἄττα μεταξὺ τυγχάνει ὄντα, πάντα ταῦτα ξυνδήσαντα, καὶ παντάπασιν ἕνα γενόμενον, καὶ ἐκ πολλῶν σώφρονα καὶ ἡρμοσμένον. οὕτω δὴ πράττειν ἤδη, ἐάν τι πράττῃ, ἢ περὶ χρημάτων κτῆσιν, ἢ περὶ σώματος θεραπείαν, ἢ καὶ πολιτικόν τι, ἢ περὶ τὰ ἴδια ξυμβόλαια. ἐν πᾶσι τούτοις ἡγούμενον καὶ ὀνομάζοντα. δικαίαν μὲν καὶ καλὴν πρᾶξιν, ἣ ἂν ταύτην τὴν ἕξιν σώζηται, καὶ συναπεργάζηται. σοφίαν δὲ τὴν ἐπιστατοῦσαν ταύτῃ τῇ πράξει ἐπιστήμην. ἄδικον δὲ πρᾶξιν, ἣ ἂν ἀεὶ ταύτην λύῃ ἀμαθίαν. ὡς τὴν ταύτῃ αὖ ἐπιστατοῦσαν δόξαν; παντάπασιν ἦ δ᾽ ὃς ὦ σώκρατες ἀληθῆ λέγεις. εἶεν ἦν δ᾽ ἐγώ. τὸν

Ayuntamiento de Madrid

μὲν δίκαιον καὶ ἄνδρα καὶ πόλιν καὶ δικαιοσύνην, ὅς τυγχάνει ἐν αὐτοῖς ὢν, εἰ φαμὲν εὑρηκέναι, οὐκ ἂν πάνυ τι οἶμαι δόξαιμεν ψεύδεσθαι; μὰ δί᾽ οὐ μέντοι ἔφη. φαμὲν ἄρα; φῶμεν. ἔστω δὴ ἦν δ᾽ ἐγώ. μετὰ γὰρ τοῦτο σκεπτέον οἶμαι ἀδικίαν. δῆλον. οὐκοῦν στάσιν τινὰ αὖ τριῶν ὄντων τούτων δεῖ αὐτὴν εἶναι, καὶ πολυπραγμοσύνην, καὶ ἐπανάστασιν μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς· ἵν᾽ ἄρχῃ ἐν αὐτῇ οὐ προσῆκον· ἀλλὰ τοιούτου ὄντος φύσει, οὐ πρέπει αὐτῷ δουλεύειν. τοῦ δ᾽ αὖ δουλεύειν ἀρχικοῦ γένους ὄντος. τοιαῦτ᾽ ἄττα οἶμαι φήσομεν καὶ τὴν τούτων ταραχὴν καὶ πλάνην εἶναι. τήν τε ἀδικίαν, καὶ ἀκολασίαν, καὶ δειλίαν, καὶ ἀμαθίαν. καὶ ξυλλήβδην πᾶσαν κακίαν. αὐτὰ μὲν οὖν ταῦτα ἔφη. οὐκοῦν ἦν δ᾽ ἐγώ. καὶ τὸ ἄδικα πράττειν καὶ τὸ ἀδικεῖν, καὶ αὖ τὸ δίκαια ποιεῖν, πάντα ταῦτα τυγχάνει ὄντα κατάδηλα ἤδη σαφῶς, εἴπερ καὶ ἡ ἀδικία καὶ δικαιοσύνη. πῶς δή. ὅτι ἦν δ᾽ ἐγὼ τυγχάνει οὐδὲν διαφέροντα τῶν ὑγιεινῶν τε καὶ νοσωδῶν, ὡς ἐκεῖνα ἐν σώματι. ταῦτα ἐν τῇ ψυχῇ. πῇ ἔφη. τὰ μέν που ὑγιεινὰ, ὑγίειαν ἐμποιεῖ. τὰ δὲ νοσώδη νόσον. ναί. οὐκοῦν καὶ τὸ μὲν δίκαια πράττειν, δικαιοσύνην ἐμποιεῖ. τὰ δὲ ἄδικα ἀδικίαν; ἀνάγκη. ἔστι δὲ, τὸ μὲν ὑγίειαν ποιεῖν, τὰ ἐν τῷ σώματι κατὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι, ἀλλ᾽ οὐχ ὑπ᾽ ἄλλου; ἔστι γάρ. οὐκοῦν αὖ ἔφην, τὸ δικαιοσύνην ἐμποιεῖν, τὰ ἐν τῇ ψυχῇ κατὰ φύσιν καθιστάναι κρατεῖν καὶ κρατεῖσθαι ὑπ᾽ ἀλλήλων. τὸ δὲ ἀδικίαν παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ὑπ᾽ ἄλλου; κομιδῆ ἔφη. ἀρετὴ μὲν ἄρα ὡς ἔοικεν ὑγίειά τέ τις ἂν εἴη, καὶ κάλλος καὶ εὐεξία ψυχῆς. κακία δὲ νόσος τε καὶ αἶσχος καὶ ἀσθένεια; ἔστιν οὕτω. ἆρ᾽ οὖν καὶ τὰ μὲν καλὰ ἐπιτηδεύματα εἰς ἀρετῆς κτῆσιν φέρει. τὰ δὲ αἰσχρὰ εἰς κακίας; ἀνάγκη. τὸ δὴ λοιπὸν ἤδη ὡς ἔοικεν ἡμῖν ἐστὶ σκέψασθαι. πότερον αὖ λυσιτελεῖ, δίκαιά τε πράττειν, καὶ καλὰ ἐπιτηδεύειν, καὶ εἶναι δίκαιον, ἐάν τε λανθάνῃ, ἐάν τε μὴ τοιοῦτος ὢν, ἢ ἀδικεῖν τε καὶ ἄδικον εἶναι, ἐάνπερ μὴ διδῷ δίκην, μηδὲ βελτίων γίγνηται κολαζόμενος. ἀλλὰ ἔφη ὦ σώκρατες, γελοῖον ἔμοιγε φαίνεται τὸ σκέμμα γίγνεσθαι ἤδη. εἰ τοῦ μὲν σώματος τῆς φύσεως διαφθειρομένης δοκεῖ οὐ βιωτὸν εἶναι. οὐδὲ μετὰ πάντων σιτίων τε καὶ ποτῶν, καὶ παντὸς πλούτου καὶ πάσης ἀρχῆς. τῆς δὲ αὐτοῦ τούτου ᾧ ζῶμεν φύσεως ταραττομένης τε καὶ διαφθειρομένης. βιωτὸν ἄρα ἔσται, ἄνπερ τις ποιῇ, ὃ ἂν βουληθῇ ἄλλο, πλὴν τοῦτο, ὁπόθεν κακίας μὲν καὶ ἀδικίας ἀπαλλαγήσεται. δικαιοσύνην δὲ καὶ ἀρετὴν κτήσεται. ἐπειδήγε ἐφάνη γε ὄντα ἑκάτερα. οἷα ἡμεῖς διεληλύθαμεν

Ayuntamiento de Madrid

ὅσον οἷόν τε σαφέστατα κατιδεῖν. ὅτι ταῦτα οὕτως ἔχει, οὐ χρὴ αὐτὸν καὶ μένειν. ἥκιστα νὴ τὸν Δί' ἔφη πάντων ἀποκνητέον.

Ε Ἴθι δὴ εἶπον. ἐπειδὴ ἐνταῦθα λόγου γεγόναμεν, ἀναλάβωμεν τὰ πρῶτα λεχθέντα, δι' ἃ δεῦρ' ἥκομεν, ἦν δέ που λεγόμενον λυσιτελεῖν ἀδικεῖν τῷ τελέως μὲν ἀδίκῳ, δοξαζομένῳ δὲ δικαίῳ. ἢ οὐχ οὕτως ἐλέχθη. οὕτω μὲν οὖν. νῦν δὴ ἔφην αὐτῷ διαλεγώμεθα, ἐπειδὴ διωμολογησάμεθα, τό, τε ἀδικεῖν καὶ τὸ δίκαια πράττειν, ἣν ἑκάτερον ἔχει δύναμιν. πῶς ἔφη. εἰκόνα πλάσαντες τῆς ψυχῆς λόγῳ, ἵνα εἰδῇ ὁ ἐκεῖνα λέγων, οἷα ἔλεγε. ποίαν τινὰ ἦ δ' ὅς. τῶν τοιούτων. τίνα ἦν δ' ἐγώ. οἷαι μυθολογοῦνται παλαιαὶ γενέσθαι φύσεις. ἥ τε χιμαίρας, καὶ ἡ σκύλλης, καὶ κερβέρου, καὶ ἄλλαι τινὲς συχναὶ λέγονται ξυμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. λέγονται γὰρ ἔφη. πλάττε τοίνυν μίαν μὲν ἰδέαν θηρίου ποικίλου καὶ πολυκεφάλου, ἡμέρων δὲ θηρίων ἔχοντος κεφαλὰς κύκλῳ καὶ ἀγρίων, καὶ δυνατοῦ μεταβάλλειν καὶ φύειν ἐξ αὑτοῦ πάντα ταῦτα. δεινοῦ πλάστου ἔφη τὸ ἔργον. ὅμως δ' ἐπειδὴ μυθοπλαστότερον κηροῦ καὶ τῶν τοιούτων λόγος, πεπλάσθω. μίαν δὴ τοίνυν ἄλλην ἰδέαν λέοντος, μίαν δ' ἀνθρώπου. πολὺ δὲ μέγιστον ἔστω τὸ πρῶτον καὶ δεύτερον. τὸ δεύτερον. ταῦτα ἔφη, ῥᾷω καὶ πέπλασται. σύναπτε τοίνυν αὐτὰ εἰς ἓν τρία ὄντα. ὥστε πῃ ξυμπεφυκέναι ἀλλήλοις. συνῆπται ἔφη. περίπλασον δὴ αὐτοῖς ἔξωθεν ἑνὸς εἰκόνα τὴν τοῦ ἀνθρώπου. ὥστε τῷ μὴ δυναμένῳ τὰ ἐντὸς ὁρᾶν. ἀλλ' ἀπ' ἔξω μόνον ἔλυτρον ὁρῶντι, ἓν ζῷον φαίνεσθαι ἄνθρωπον. περιπέπλασται ἔφη. λέγωμεν δὴ τῷ λέγοντι, ὡς λυσιτελεῖ τούτῳ ἀδικεῖν τῷ ἀνθρώπῳ. δίκαια δὲ πράττειν οὐ ξυμφέρει. ὅτι οὐδὲν ἄλλο φησὶν, ἢ λυσιτελεῖν αὐτῷ τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι ποιεῖν ἰσχυρόν. καὶ τὸν λέοντα, καὶ τὰ περὶ τὸν λέοντα. τὸν δὲ ἄνθρωπον, λιμοκτονεῖν, καὶ ποιεῖν ἀσθενῆ. ὥστε ἕλκεσθαι, ὅπῃ ἂν ἐκείνων πότερον ἄγῃ. καὶ μηδὲν ἕτερον ἑτέρῳ συνεθίζειν. μηδὲ φίλον ποιεῖν. ἀλλ' ἐᾶν αὐτὰ ἐν αὑτοῖς δάκνεσθαί τε, καὶ μαχόμενα ἐσθίειν ἄλληλα. παντάπασι γὰρ ἔφη ταῦτα λέγει, ὁ τὸ ἀδικεῖν ἐπαινῶν. οὐκοῦν αὖ ὁ τὰ δίκαια λέγων, λυσιτελεῖν φαίη ἄν. δεῖ ταῦτα, καὶ ταῦτα λέγειν, ὅθεν τοῦ ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἔσται ἐγκρατέστατος. καὶ τοῦ πολυκεφάλου θρέμματος ἐπιμελήσεται. ὥσπερ γεωργὸς τὰ μὲν ἥμερα τρέφων καὶ τιθασεύων. τὰ δ' ἄγρια ἀποκωλύων φύεσθαι ξύμμαχον. ποιησάμενος τὴν τοῦ λέοντος φύσιν. καὶ κοινῇ πάντων κηδόμενος φίλα ποιησάμενος ἀλλήλοις τε καὶ αὑτῷ, οὕτω θρέψει. κομιδῇ γὰρ αὖ λέγει ταῦτα ὁ τὸ δίκαιον ἐπαινῶν. καὶ πάντα δὴ τρόπον, ὁ μὲν τὸ δίκαιον ἐγκωμιάζων, ἀληθῆ

Πλάτωνος τῆς ἐν πολιτείᾳ.

Ayuntamiento de Madrid

ἂν λέγοι. ὁ δὲ τἄδικα, ψεύδεται. πρὸς γὰρ ἡδονὴν καὶ πρὸς εὐδοξίαν καὶ ὠφέλειαν σκοπουμένῳ, ὁ μὲν ἐπαινέτης τοῦ δικαίου ἀληθεύει. ὁ δὲ ψέκτης, οὐδὲν ὑγιὲς οὐδὲ εἰδὼς ψέγει. οὔ μοι δοκεῖ ἦδ' ὅς οὐδαμῇ γε. πείθωμεν τοίνυν αὐτὸν πράως. οὐ γὰρ ἑκὼν ἁμαρτάνει. ἐρωτῶντες ὦ μακάριε. οὐ καὶ τὰ καλὰ καὶ τὰ αἰσχρὰ νόμιμα διὰ τὰ τοιαῦτ' ἂν φαμὲν γεγονέναι. τὰ μὲν καλὰ τὰ ὑπὸ τῷ ἀνθρώπῳ, μᾶλλον δ' ἴσως τὰ ὑπὸ τῷ θείῳ, τὰ θηριώδη ποιοῦντα τῆς φύσεως. αἰσχρὰ δ' ὑπὸ τῷ ἀγρίῳ τὸ ἥμερον δουλούμενα συμφήσει. ἢ πῶς. ἐάν ἐμοί γ' ἔφη πείθηται. ἔστιν οὖν εἶπον ὅτῳ λυσιτελεῖ ἐκ τούτου τοῦ λόγου χρυσίον λαμβάνειν ἀδίκως, εἴπερ τοιόνδε γίγνεται λαμβάνων τὸ χρυσίον, ἅμα καταδουλοῦται τὸ βέλτιστον αὑτοῦ τῷ μοχθηροτάτῳ. ἢ ὁ μὲν λαβὼν χρυσὸν, ὑὸν ἢ θυγατέρα ἐδουλοῦτο. καὶ ταῦτ' εἰς ἀγρίων τε καὶ κακῶν ἀνδρῶν, οὐκ ἂν αὐτῷ ἐλυσιτέλει. οὐδ' ἂν πάμπολυ ἐπὶ τούτῳ λαμβάνειν. εἰ δὲ τὸ αὑτοῦ θειότατον, ὑπὸ τῷ ἀθεωτάτῳ τε καὶ μιαρωτάτῳ δουλοῦται, καὶ μηδὲν ἐλεεῖ, οὐκ ἄρα ἄθλιός ἐστι; καὶ πολὺ ἐπὶ δεινοτέρῳ ὀλέθρῳ χρυσὸν δωροδοκεῖ ἢ ἐριφύλη ἐπὶ τῇ τοῦ ἀνδρὸς ψυχῇ τὸν ὅρμον δεξαμένη. πολὺ μέντοι ἦδ' ὃς ὁ γλαύκων. ἐγὼ γάρ σοι ὑπὲρ ἐκείνου ἀποκρινοῦμαι. οὐκοῦν καὶ τὸ ἀκολασταίνειν οἴει διὰ τὰ τοιαῦτα πάλαι ψέγεσθαι, ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ τὸ δεινὸν τὸ μέγα ἐκεῖνο, καὶ πολυειδὲς θρέμμα ἐς ἐλευθερίαν πέρα τοῦ δέοντος; δῆλον ἔφη. ἡ δ' αὐθάδεια καὶ δυσκολία ψέγεται, οὐχ ὅταν τὸ λεοντῶδες, καὶ ὀφεῶδες αὔξηται, καὶ συγγίνηται ἀναρμόστως; πάνυ μὲν οὖν. τρυφὴ μὲν οὖν καὶ μαλθακία. οὐκ ἐπὶ τῇ αὐτοῦ τούτου χαλάσει τε καὶ ἀνέσει ψέγεται, ὅταν ἐν αὐτῷ δειλίαν ἐμποιῇ; τί μήν. κολακεία δὲ καὶ ἀνελευθερία, οὐχ ὅταν τις τὸ αὐτὸ τοῦτο τὸ θυμοειδὲς ὑπὸ τῷ ὀχλώδει θηρίῳ, καὶ ἕνεκα χρημάτων καὶ τῆς ἐκείνου ἀπληστίας προπηλακιζόμενον ἐθίζῃ ἐκ νέου ἀντὶ λέοντος πίθηκον γίγνεσθαι; καὶ μάλα ἔφη. βαναυσία δὲ καὶ χειροτεχνία διὰ τί οἴει ὄνειδος φέρει, ἢ δι' ἄλλο τι φήσομεν, ἢ ὅταν τις ἀσθενὲς φύσει ἔχῃ τὸ τοῦ βελτίστου εἶδος, ὥστε μὴ ἂν δύνασθαι ἄρχειν τῶν ἐν αὐτῷ θρεμμάτων, ἀλλὰ θεραπεύειν ἐκεῖνα, καὶ τὰ θωπεύματα αὐτῶν μόνον δύνηται μανθάνειν; ἔοικεν ἔφη. οὐκοῦν ἵνα καὶ ὁ τοιοῦτος ὑφ' ὁμοίου ἄρχηται οἵου περ ὁ βέλτιστος, δοῦλον αὐτὸν φαμὲν δεῖν εἶναι, ἐκείνου τοῦ βελτίστου, καὶ ἔχοντος ἐν αὐτῷ τὸ θεῖον ἄρχον, οὐκ ἐπὶ βλάβῃ τῇ τοῦ δούλου οἰόμενοι δεῖν ἄρχεσθαι αὐτόν. ὥσπερ θρασύμαχος ᾤετο τοὺς ἀρχομένους. ἀλλ' ὡς ἄμεινον παντὶ ὑπὸ θείου καὶ φρονίμου ἄρχεσθαι. μάλιστα μὲν

Ayuntamiento de Madrid

οἰκεῖον ἔχοντος ἐν ἑαυτῷ· εἰ δὲ μή, ἔξωθεν ἐφεστῶτος, ἵνα εἰς δύναμιν πάντες ὅμοιοι ὦμεν καὶ φίλοι, τῷ αὐτῷ κυβερνώμενοι. καὶ ὀρθῶς γ' ἔφη. δηλοῖ δέ γε ἦν δ' ἐγώ, καὶ ὁ νόμος ὅτι τοιοῦτον βούλεται πᾶσι τοῖς ἐν τῇ πόλει ξύμμαχος ὤν, καὶ ἡ τῶν παίδων ἀρχή, τὸ μὴ ἐᾶν ἐλευθέρως εἶναι, ἕως ἂν ἐν αὐτοῖς, ὥσπερ ἐν πόλει πολιτείαν καταστήσωμεν. καὶ τὸ βέλτιστον θεραπεύσαντες τῷ παρ' ὑμῖν τοιούτῳ ἀντικαταστήσωμεν φύλακα ὅμοιον καὶ ἄρχοντα ἐν αὐτῷ. καὶ τότε δὴ ἐλεύθερον ἀφίεμεν. δηλοῖ γὰρ ἦ δ' ὅς.

Ο οὐκοῦν ἦν δ' ἐγώ, τά τε ἄλλα ἀπελυσάμεθα ἐν τῷ λόγῳ, καὶ οὐ τοὺς μισθούς, οὐδὲ τὰς δόξας δικαιοσύνης ἀπηνέγκαμεν, ὥσπερ Ἡσίοδόν τε καὶ Ὅμηρον ὑμᾶς ἔφατε. ἀλλ' αὐτὸ δικαιοσύνην αὐτῇ τῇ ψυχῇ ἄριστον εὕρομεν. καὶ ποιητέον εἶναι αὐτῇ τὰ δίκαια, ἐάν τ' ἔχῃ τὸν Γύγου δακτύλιον, ἐάν τε μή. καὶ πρὸς τοιούτῳ δακτυλίῳ, τὴν Ἄϊδος κυνέην. ἀληθέστατα ἔφη λέγεις. ἆρ' οὖν ἦν δ' ἐγώ, ὦ Γλαύκων, νῦν ἤδη ἀνεπίφθονόν ἐστι πρὸς ἐκείνοις, καὶ τοὺς μισθοὺς τῇ δικαιοσύνῃ καὶ τῇ ἄλλῃ ἀρετῇ ἀποδοῦναι, ὅσους καὶ οἵους τῇ ψυχῇ παρέχει παρ' ἀνθρώπων τε καὶ θεῶν, ζῶντός τε ἔτι τοῦ ἀνθρώπου καὶ ἐπειδὰν τελευτήσῃ; παντάπασι μὲν οὖν ἦ δ' ὅς. ἆρ' οὖν ἀποδώσετέ μοι ἃ ἐδανείσασθε ἐν τῷ λόγῳ.. τί μάλιστα ἔδωκα ὑμῖν. τὸν δίκαιον δοκεῖν ἄδικον εἶναι, καὶ τὸν ἄδικον δίκαιον. ὑμεῖς γὰρ ᾐτεῖσθε. κἂν εἰ μὴ δυνατὸν εἴη ταῦτα λανθάνειν, καὶ θεοὺς καὶ ἀνθρώπους, ὅμως δοτέον εἶναι τοῦ λόγου ἕνεκα. ἵν' ἡ αὐτὴ δικαιοσύνη πρὸς ἀδικίαν αὐτὴν κριθείη. ἢ οὐ μνημονεύεις. ἀδικοίην μέντ' ἂν ἔφη. ἐπειδὴ τοίνυν ἦν δ' ἐγὼ κεκριμέναι εἰσίν. ἐγὼ πάλιν ἀπαιτῶ ὑπὲρ δικαιοσύνης, ὥσπερ ἔχει δόξης καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων, καὶ ἡμᾶς ὁμολογεῖν περὶ αὐτῆς δοκεῖσθαι οὕτως, ἵνα καὶ τὰ νικητήρια κομίσηται. ἃ ἀπὸ τοῦ δοκεῖν κτωμένη. δίδωσι τοῖς ἔχουσιν αὐτήν. ἐπειδὴ καὶ τὰ ἀπὸ τοῦ εἶναι ἀγαθὰ διδοῦσα ἐφάνη. καὶ οὐκ ἐξαπατῶσα τοὺς τῷ ὄντι λαμβάνοντας αὐτήν. δίκαια ἔφη αἰτῇ. οὐκοῦν ἦν δ' ἐγώ. πρῶτον μὲν τοῦτο ἀποδώσετε. ὅτι θεούς τε οὐ λανθάνει ἑκάτερος αὐτῶν, οἷός ἐστιν. ἀποδώσομεν ἔφη. εἰ δὲ μὴ λανθάνετον. ὁ μὲν, θεοφιλὴς ἂν εἴη. ὁ δὲ, θεομισής. ὥσπερ καὶ κατ' ἀρχὰς ὡμολογοῦμεν. ἔστι ταῦτα. τῷ δὲ θεοφιλεῖ οὐχ ὁμολογήσομεν, ὅσα γε ἀπὸ θεῶν γίγνεται πάντα γίγνεσθαι, ὡς οἷόν τε ἄριστα, εἰ μή τι ἀναγκαῖον αὐτῷ κακὸν ἐκ προτέρας ἁμαρτίας ὑπῆρχεν; πάνυ μὲν οὖν. οὕτως ἄρα ὑποληπτέον

Πλάτωνος πολιτείας

Ayuntamiento de Madrid

περὶ τοῦ δικαίου ἀνδρὸς, ἐάν τ' ἐν πενίᾳ γίγνηται, ἐάν τ' ἐν νόσοις, ἤ τινι ἄλλῳ τῶν δοκούντων κακῶν· ὡς τούτῳ ταῦτα εἰς ἀγαθόν τι τελευτήσει ζῶντι, ἢ καὶ ἀποθανόντι, οὐ γὰρ δὴ ὑπό γε θεῶν ποτε ἀμελεῖται, ὡς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι, καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι θεῷ. εἰκός τ' ἔφη τὸν τοιοῦτον μὴ ἀμελεῖσθαι ὑπὸ τοῦ ὁμοίου. οὐκοῦν περὶ τοῦ ἀδίκου τἀναντία τούτων δεῖ διανοεῖσθαι; σφόδρα γε. τὰ μὲν δὴ παρὰ θεῶν τοιαῦτ' ἄττ' ἂν εἴη νικητήρια τῷ δικαίῳ. κατὰ γοῦν ἐμὴν δόξαν ἔφη. τί δ' ἦν δ' ἐγὼ παρ' ἀνθρώπων. ἆρ' οὐχ ὧδε ἔχει, εἰ δεῖ τὸ ὂν τιθέναι. οὐχ οἱ μὲν δεινοί τε καὶ ἄδικοι δρῶσιν, ὅπερ οἱ δρομεῖς ὅσοι ἂν θέωσιν εὖ ἀπὸ τῶν κάτω, ἀπὸ δὲ τῶν ἄνω μή, τὸ μὲν πρῶτον ὀξέως ἀποπηδῶσι, τελευτῶντές τε καταγέλαστοι γίγνονται, τὰ ὦτα ἐπὶ τῶν ὤμων ἔχοντες, καὶ στεφανωτοὶ ἀποτρέχοντες, οἱ δὲ τῇ ἀληθείᾳ δρομικοί, εἰς τέλος ἐλθόντες, τά τε ἆθλα λαμβάνουσι καὶ στεφανοῦνται, οὐχ οὕτω καὶ περὶ τῶν δικαίων τὸ πολὺ ξυμβαίνει; πρὸς τὸ τέλος ἑκάστης πράξεως καὶ ὁμιλίας, καὶ τοῦ βίου εὐδοκιμοῦσί τε καὶ τὰ ἆθλα παρὰ τῶν ἀνθρώπων φέρονται; καὶ μάλα ἂν ἔφη. ἆρα λέγοντος ἐμοῦ περὶ τούτων, ἅπερ αὐτὸς ἔλεγες περὶ τῶν ἀδίκων, ἐρῶ γὰρ δὴ ὅτι οἱ μὲν δίκαιοι, ἐπειδὰν πρεσβύτεροι γένωνται ἐν τῇ αὑτῶν πόλει, ἄρχουσί τε ἃς ἂν βούλωνται. ἀρχὰς γαμοῦσί τε, ὁπόθεν ἂν βούλωνται. ἐκδιδόασί τε εἰς οὓς ἂν ἐθέλωσι. καὶ πάντα ἃ ὑπὲρ ἐκείνων ἐγὼ νῦν λέγω, περὶ τῶνδε. καὶ αὖ περὶ τῶν ἀδίκων. ὅτι οἱ πολλοὶ αὐτῶν, καὶ ἐὰν νέοι ὄντες λάθωσιν, ἐπὶ τέλους τοῦ δρόμου αἱρεθέντες, καταγέλαστοί εἰσι. καὶ γέροντες γιγνόμενοι ἄθλιοι, προπηλακίζονται ὑπὸ ξένων τε καὶ ἀστῶν μαστιγούμενοι. καὶ ἃ ἀγροῖκα ἔφησθα σὺ εἶναι ἀληθῆ λέγοντα στρεβλώσονται, καὶ ἐκκαυθήσονται πάντα, ἐκεῖνα, οἶον καὶ ἐμοῦ ἀκηκοέναι ὡς πάσχουσιν. ἀλλ' ὃ λέγω ὅρα εἰ ἀνέξῃ. καὶ πάνυ ἔφη. δίκαια γὰρ λέγεις. ἃ μὲν τοίνυν ἦν δ' ἐγὼ ζῶντι τῷ δικαίῳ παρὰ θεῶν τε καὶ ἀνθρώπων ἆθλά τε καὶ μισθοὶ, καὶ δῶρα γίγνονται πρὸς ἐκείνοις τοῖς ἀγαθοῖς, οἷς αὐτὴ παρείχετο ἡ δικαιοσύνη, τοιαῦτ' ἂν εἴη. καὶ μάλα ἔφη καλά τε καὶ βέβαια. ταῦτα τοίνυν ἦν δ' ἐγὼ, οὐδέν ἐστι πλήθει οὐδὲ μεγέθει πρὸς ἐκεῖνα ἃ τελευτήσαντα ἑκάτερον περιμένει.

Πλάτωνος Τί τοὐντεῦθεν. πῶς ἄρχεσθαι δεῖν φαμὲν δικαιοσύνης περὶ μαθήσεως, ὥσπερ ἂν εἴποις ἢ καὶ προὔργου τοῦ σώματος ἐπιμέλειαν ποιεῖσθαι μηδὲν προνοοῦντας ὁρῶν καθάπερ παῖδας. ὡς ἔστι τις γυμναστική, καὶ ἰατρική, καὶ ἔπειτα ὠνείδιζε λέγων, ὡς αἰσχρὸν πυρῶν μὲν καὶ κριθῶν καὶ ἀμπέλων ἐπι

μέλειαν

Ayuntamiento de Madrid

μέλειαν πᾶσαν ποιεῖσθαι. καὶ ὅσα τοῦ σώματος ἕνεκα διαπονούμεθά τε καὶ κτώμεθα. τούτου δ' αὐτοῦ μηδεμίαν τέχνην, μηδὲ μηχανὴν, ὅπως ὡς βέλτιστον ἔσται τὸ σῶμα ἐξευρίσκειν καὶ ταῦτα οὖσαν. εἰ δὲ ἐπανηρόμεθα τοὺς ταῦθ' ἡμᾶς προφέροντας, λέγεις δὲ εἶναι τινὰς ταύτας τὰς τέχνας, εἰπεῖν ἂν ἴσως ὅτι γυμναστικὴ, καὶ ἰατρικὴ, καὶ νῦν δή τινα φαμὲν εἶναι τὴν ἐπὶ τῇ τῆς ψυχῆς ἀρετῇ τέχνην; λεγέσθω. ὁ δὴ δοκῶν αὐτῶν ἐρρωμενέστατος εἶναι, πρὸς ταῦτα ἀποκρινόμενος εἶπε ταύτην τὴν τέχνην εἶναι, ἥνπερ ἀκούης συλλέγοντος ἔφη σωκράτους, οὐκ ἄλλην ἢ δικαιοσύνην. εἰπόντος δέ μου μή μοι τὸ ὄνομα εἴπῃς μόνον ἀλλὰ ὧδε. ἰατρική πού τις λέγεται τέχνη. ταύτης δέ ἐστι διττὰ τὰ ἀποτελούμενα. τὸ μὲν ἰατροὺς ἀεὶ πρὸς τοῖς οὖσιν, ἑτέρους ἐξεργάζεσθαι. τὸ δὲ, ὑγίειαν. ἔστι δὲ τούτων θάτερον, οὐκέτι τέχνη. τῆς τέχνης δὲ τῆς διδασκούσης τε καὶ διδασκομένης ἔργον, ὃ δὴ λέγομεν ὑγίειαν. καὶ τεκτονικῆς δὲ κατὰ ταῦτα, οἰκία τε, καὶ τεκτονικῆς, τὸ μὲν, ἔργον, τὸ δὲ, δίδαγμα. τῆς δὴ δικαιοσύνης ὡσαύτως. τὸ μὲν, δικαίους ἔστω ποιεῖν καθάπερ ἐκεῖ τοὺς τεχνίτας ἑκάστους. τὸ δ' ἕτερον ὃ δύναται ποιεῖν ἡμῖν ἔργον ὁ δίκαιος, τί τοῦτο φαμὲν, εἰπέ. οὗτος μὲν ὡς οἶμαι τὸ συμφέρον ἀπεκρίνατο. ἄλλος δὲ τὸ δέον. ἕτερος δὲ, τὸ ὠφέλιμον. ὁ δὲ, τὸ λυσιτελοῦν. ἐπανῄειν δὴ ἐγὼ λέγων, ὅτι ἐκεῖ τά γε ὀνόματα ταῦτ' ἐστὶν ἐν ἑκάστῃ τῶν τεχνῶν ὀρθῶς πράττειν λυσιτελοῦντα. ὠφέλιμα καὶ τὰ τοιαῦτα. ἀλλὰ πρὸς ὅ, τι ταῦτα πάντα τείνει, ἐρεῖ τὸ ἴδιον ἑκάστη ἡ τέχνη. οἷον ἡ τεκτονικὴ, τὸ εὖ τὸ καλῶς. τὸ δεόντως. ὥστε τὰ ξύλινα φήσει σκεύη γίγνεσθαι. ἃ δὴ οὐκ ἔστι τέχνη. λεγέσθω δὴ καὶ τὸ τῆς δικαιοσύνης ὡσαύτως. τελευτῶν ἀπεκρίνατό τις. ὦ σώκρατές μοι τῶν σῶν ἑταίρων ὃς δὴ κομψότατα ἔδοξεν εἰπεῖν. ὅτι τοῦτ' εἴη τὸ τῆς δικαιοσύνης ἴδιον ἔργον. ὃ τῶν ἄλλων οὐδεμιᾶς φιλίαν ἐν ταῖς πόλεσι ποιεῖν. οὗτος δ' αὖ ἐρωτώμενος τὴν φιλίαν, ἀγαθόν τε ἔφη εἶναι, καὶ οὐδέποτε κακόν. τὰς δὲ τῶν παίδων φιλίας, καὶ τὰς τῶν θηρίων, ἃς ἡμεῖς τοῦτο τοὔνομα ἐπονομάζομεν, οὐκ ἀπεδέχετο εἶναι φιλίας ἐπανερωτώμενος. συνέβαινε γὰρ αὐτῷ τὰ πλείω τὰς τοιαύτας βλαβερὰς, ἢ ἀγαθὰς εἶναι. φεύγων δὴ τὸ τοιοῦτον, οὐδὲ φιλίας ἔφη τὰς τοιαύτας εἶναι. ψευδῶς δὲ ὀνομάζειν αὐτὰς, τοὺς οὕτως ὀνομάζοντας. τὴν δὲ ὄντως καὶ ἀληθῶς φιλίαν εἶναι σαφέστατα ὁμόνοιαν. τὴν δὲ ὁμόνοιαν ἐρωτώμενος. εἰ ὁμοδοξίαν εἶναι λέγοι ἢ ἐπιστήμην. τὴν μὲν ὁμοδοξίαν ἠτίμαζεν. ἠναγκάζοντο γὰρ πολλαὶ καὶ βλαβεραὶ γίγνεσθαι ὁμοδοξίαι ἀνθρώπων. τὴν δὲ φιλίαν, ἀγαθὸν ὡμολογήκει πάντως εἶναι,



Ayuntamiento de Madrid

καὶ δικαιοσύνης ἔργον. ὥστε ταυτὸ ἔφησεν εἶναι ὁμόνοιαν καὶ ἀδη σήμην οὖσαν, ἀλλὰ οὐ δόξαν. ὅτε δὴ ἐνταῦθα ἦμεν τοῦ λόγου ἀπορουῦντες, οἱ παρόντες ἱκανοὶ ἦσαν ἀδηπλήττειν τε αὐτῷ καὶ λέγειν, ὅτι περιδεδράμηκεν εἰς ταυτὸν ὁ λόγος τοῖς πρώτοις. καὶ ἔλεγον ὅτι καὶ ἡ ἰατρικὴ, ὁμόνοιά τις ἐστὶ καὶ ἅπασαι αἱ τέχναι. καὶ περὶ ὅτου εἰσὶν ἔχουσι λέγειν. τὴν δὲ ὑπὸ σοῦ λεγομένην δικαιοσύνην ἢ ὁμόνοιαν, ὅτου τινός ἐστι διαπέφευγε. καὶ ἄδηλον αὐτῆς ὅτι ποτέ ἐστι τὸ ἔργον. ταῦτα ὦ σώκρατες ἐγὼ τελευτῶν, καὶ σεαυτὸν ἠρώτων, καὶ εἶπάς μοι δικαιοσύνης εἶναι, τοὺς μὲν ἐχθροὺς βλάπτειν, τοὺς δὲ φίλους εὖ ποιεῖν. ὕστερον δὲ ἐφάνη βλάπτειν γε οὐδέ ποτε ὁ δίκαιος οὐδένα. ἅπαντα γὰρ ἐπ' ὠφελείᾳ πάντας δρᾶν.

# ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΑΔΙΚΙΑΣ, ΚΑΙ ΦΙΛΑΡΓΥΡΙΑΣ, ΚΑΙ ΠΛΕΟΝΕΞΙΑΣ.

## ΛΟΓΟΣ ΟΓΔΟΟΣ.

Εὐριπίδου. Πάλαι ποτ' ἐστὶ τοῦτό μοι δεδεγμένον,
ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνήρ.
ὁ δ' εἰς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον,
φίλοις τ' ἄχρηστος, καὶ συναλλάξαι βαρύς.

Σεραπίωνος. Οὐ τῆς ἐμῆς ἕκατι καρδίας φέρεις.
λόγοις προσηνεῖς, τοῦ δὲ σοῦ κέρδους χάριν.

Μενάνδρου. Πλεονεξία, μέγιστον ἀνθρώποις κακόν.
οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας,
ἀποτυγχάνουσι πολλάκις νικώμενοι.
τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

Διφίλου. Ἆρ' ἐστὶν ἀνοητότατον αἰσχροκέρδεια;
πρὸς τὸ λαβεῖν γὰρ ὢν ὄνους, τἆλλ' οὐχ ὁρᾷ.

Ayuntamiento de Madrid

Εἰ μὴ τὸ λαβεῖν ἴσω, οὐδὲ εἷς πονηρὸς ἴσω.
φιλαργυρεία τοῦτ' ἐστιν, ὅταν ἀφεὶς σκοπεῖν
τὰ δίκαια, τοῦ κέρδους διαπαντὸς δοῦλος ᾖς.
Λέγεις. ἃ δὲ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις. Μενάνδρου
Ὅστις γὰρ αὐτοῦ τὸ πλέον ἔχειν πέφυκ' ἀνήρ, Εὐριπίδου
οὐδὲν φρονεῖ δίκαιον, οὐδὲ βούλεται.
φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.
Ὦ καλλιφεγγὲς λαμπάδ' εἱλίσσων φλογὸς Θεοδέκτου
ἥλιε, ποθεινὸν πᾶσιν ἀνθρώποις σέλας.
εἰ δ' ἐς τιν' ἄλλον πώποτ' εἰς οὕτω μέγαν
ἐλθόντ' ἀγῶνα καὶ δυσέκφευκτον κρίσιν,
ὅπου κατηγορεῖ μὲν ἡ κουριδία μου
γυνή. πρὸς ὃν δ' εἴρηκε τυγχάνει πόσις,
κρατοῦσι δ' οἵπερ καὶ κατηγοροῦσί μου;
Τί δημόσια γὰρ μισθοφοροῦντες χρήματα Ἀριστοφά-
ἴδια σκοπεῖθ' ἕκαστος, ὅ,τι τις κερδανεῖ. νης.
τὸ δὲ κοινὸν, ὥσπερ αἴσιμος κυλίνδεται.
Χρήματα δ' οὐχ ἁρπακτὰ, θεόσδοτα πολλὸν ἀμείνω. Ἡσιόδου
Νήπιοι. οὐδ' ἴσασι πλέον ὅσον ἥμισυ παντὸς,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.
μὴ κακὰ κερδαίνειν, κακὰ κέρδεα, ἶσα ἄτῃσι.
Ἁ δὲ χεὶρ, τὴν χεῖρα νίζει. Ἐπιχάρμου
Ὡς δ' ἅπαξ εἰπεῖν, φρένας καὶ πυκινὰς κέρδος ἀνθρώπων βιᾶται. Βακχυλί-
Ἀλλὰ κέρδει, καὶ σοφία δέδεται. δου
Δὼς ἀγαθὴ, ἅρπαξ δὲ κακὴ, θανάτοιο δότειρα. Πινδάρου.
ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅ τε κἂν μέγα δώῃ, Ἡσιόδου.
χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν.
ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
καί τε σμικρὸν ἐὸν τόγ' ἐπάχνωσε φίλον ἦτορ.
Ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη. Εὐριπίδου.
ὅστις δὲ πλεῖστον μισθὸν εἰς χεῖρας λαβὼν
κακὸς γένηται, τῷδε συγγνώμη μὲν οὔ.
πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων.



Ayuntamiento de Madrid

τὸν τῶν λεγόντων ῥᾷον ἂν φέροι ψόγον.

**Σοφοκλέους.** Κρείσσων γὰρ οὐδεὶς χρημάτων πέφυκ᾽ ἀνήρ.
πλὴν εἴ τις, ὅστις οὗτός ἐστιν, οὐχ ὁρῶ.
Ὑφεὶς μάγον τοιόνδε. μηχανορράφον
δόλιον. ἀγύρτην. ὅστις ἐν τοῖς κέρδεσι
μόνον δέδορκε. τὴν τέχνην δ᾽ ἔφυ τυφλός.

**Μενάνδρου λακαισίᾳ.** Ὅστις ὑπέχει χρυσίῳ τὴν χεῖρα κἂν μὴ φῇ,
πονηρὰ βούλεται.
Οὐδεὶς ἐπλούτησε ταχέως δίκαιος ὤν.
ὁ μὲν γὰρ αὑτῷ συλλέγει καὶ φείδεται.
ὁ δὲ, τὸν πάλαι τηροῦντ᾽ ἐνεδρεύσας, πάντ᾽ ἔχει.

**Ἀντιφῶντος.** Τὰ πονηρὰ κέρδη, τὰς μὲν ἡδονὰς, ἔχει μικράς. ἔπειτα
δ᾽ ὕστερον τὰς λύπας, μακράς.

**Εὐριπίδου.** Βίᾳ νῦν, ἕλκετ᾽ ὦ κακοὶ τιμὰς βροτοὶ,
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι.
σύμμικτα, μὴ δίκαια καὶ δίκαι᾽ ὁμοῦ.
ἔπειτ᾽ ἀμᾶσθαι τὸν δύστηνον θέρος.

**Μενάνδρου ἀδελφοῖς.** Ἔργον εὑρεῖν συγγενῆ πένητός ἐστιν.
οὐδεὶς γὰρ ὁμολογεῖ αὐτῷ προσήκειν.
τὸν βοηθείας τινὸς δεόμενον, αἰτεῖσθαι.
γὰρ ἅμα τι προσδοκᾷ.

**Σοφοκλ.** Φιλάργυρον μὲν πᾶν τὸ βάρβαρον γένος.

**Εὐριπίδου.** Κακοῖς τὸ κέρδος, τῆς δίκης ὑπέρτερον.

**Πλάτωνος ἐν τῷ Κρίτωνι.** Ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι, καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ φαμὲν, ἢ οὔ. φαμέν. οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν; οὐδῆτα. οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται. ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν; οὐ φαίνεται. τί δαὶ δή. κακουργεῖν δεῖ ὦ Κρίτων, ἢ οὔ. οὐ δεῖ δήπου ὦ Σώκρατες. τί δαί. ἀντικακουργεῖν κακῶς πάσχοντα ὡς οἱ πολλοί φασι δίκαιον, ἢ οὔ. δίκαιον οὐδαμῶς. τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους, τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. ἀληθῆ λέγεις. οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ᾽ ἂν ὁτιοῦν πάσχῃ ὑπ᾽ αὐτῶν. καὶ ὅρα ὦ Κρίτων ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς. οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δόξει. οἷς οὖν οὕτω δέδοκται, καὶ οἷς μὴ, τούτοις οὐκ ἔστι κοινὴ βουλὴ, ἀλλ᾽

ἀνάγκη

Ayuntamiento de Madrid

ἀνάγκη τούτοις ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα.

Φιλοχρηματίῃ, τοῦ κτήσασθαι εὑρεῖν ἀρκέοντα οὖρον, οὐκ οἶδε. Εὐσεβίου.

Φιλοχρηματίην ἐφ' ἡμέρῃ ἑκάστῃ ἐπιῤῥέων, πλοῦτος οὐχ ἵστησιν. ὥσπερ οὐδὲ πυρκαϊὴν ὕλη ἐπιβαλλομένη. ἐπιγινομένου δ' αἰεὶ ἐς τοὺς πλούτου τὴν ἐπιθυμίην ἐξάπτει μεζόνως νόσος. ὃ μοῦνος παραστὰς, καὶ τοῦτο οἶδεν ἀκέσασθαι.

Φιλοχρηματίην ἄλογοι, τὰ κτώμενα, ὑποβαλλόμενα μᾶλλον ἀνύσωσιν, ἢ ὁ ἐφ' ἑκάστῃ ἡμέρῃ πλοῦτος, ἄπλετος ἐπιγινόμενος.

Τὸ οἰκονομέειν τὰ παρεόντα, ἀνδρὸς προνόου, τὸ δὲ μηδ' ὅλως ἐθέλειν, ἐστὶ τῶν δεόντων χρέεσθαι.

Οἱ πλούσιοι τῶν νέων παρὰ λόγον φειδόμενοι ἀξιοῦσι πολυχρήματοι πεπιστευμένοι, ἢ λίθινοι καὶ σικυοὶ νομίζεσθαι, ἢ περὶ τὰ δέοντα ἀναλίσκοντες δεξιοὶ κεκλῆσθαι. Προδίκου.

Δός τι καὶ λάβοις τι.

Ἐγὼ μὲν ὦ βασιλεῦ οἷα ἄνθρωπος, ἰδὼν ἤδη πολλά τε καὶ μεγάλα πεσόντα πρήγματα ὑπὸ ἡσσόνων οὐκ ἔωσε τὰ πάντα τῇ ἡλικίῃ εἴκειν. ἐπιστάμενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν. Ἡροδότου

Πλούσιον χρὴ νομίζειν, τὸν ἡγεόμενον ἔχειν τὰ ἀρκέοντα. τὸν δὲ αἰεὶ ἐπιθυμέοντα προσκτήσασθαι, καὶ πληθώρην μηδέποτε τοῦ τοιούτου λαμβάνοντα. κἂν ᾖ Μίδου πλουτέοι μᾶλλον, πένητα καλέω καὶ Ἶρον, ἣν ἐκεῖνος ἐξ ἀνάγκης εἶχε ψυχὴν κεκτῆσθαι. Εὐσεβίου.

Πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος, ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται. Δημοκρίτου.

Βίων ὁ σοφιστὴς τὴν φιλαργυρίαν, μητρόπολιν ἔλεγε πάσης κακίας εἶναι.

Σιμωνίδης παρακαλοῦντός τινος ἐγκώμιον ποιῆσαι, καὶ χάριν ἕξειν λέγοντος, ἀργύριον δὲ μὴ διδόντος, δύο εἶπεν οὗτος ἔχω κιβωτούς. τὴν μὲν, χαρίτων, τὴν δὲ, ἀργυρίου, καὶ πρὸς τὰς χρείας, τὴν μὲν, τῶν χαρίτων κενὴν εὑρίσκω ὅταν ἀνοίξω. τὴν δὲ, χρησίμην μόνην.

Οἱ δὲ ἐργαζόμενοι μὲν καὶ φειδόμενοι, καὶ ταλαιπωροῦντες καὶ προστιθέντες, ἥδονται, οἷα δ' εἴ τις ἂν εἰκάσειεν ἥδεσθαι, ἀφαιροῦντες δὲ καὶ χρώμενοι, ἀλγοῦσιν, ὥσπερ ἀπὸ τῶν σαρκῶν ἀφαιρούμενοι. Ἀντιφῶντος.

Ὡς κακὸν εἴη διδάσκειν τὴν ψυχὴν πλέον τι δίζεσθαι, καὶ ἔχειν τοῦ παρεόντος. Ἡροδότου

Φιλάργυρος οὐδεὶς ἀγαθὸς, οὔτε βασιλεὺς, οὔτε ἐλεύθερος. Ἀντισθένους.

Χρυσοῦ τὸν οἰόμενον νόον ἔχειν ὁ νουθετέων, τὶ ματαιοπονέει.

Χρημάτων ὄρεξις ἣν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη. μέζονες γὰρ ὀρέξιες, μέζονας ἐνδείας ποιοῦσι. Δημοκρίτου.

Κακὰ κέρδεα, ζημίαν ἀρετῆς φέρει.



Ayuntamiento de Madrid

Διογένους. Ὁμοίους τοὺς φιλαργύρους τοῖς ὑδρωπικοῖς. ἐκείνους μὲν γὰρ πλήρεις ὄντας ἀργυρίου, ἐπιθυμεῖν πλείονος· ἀμφοτέρους δὲ, πρὸς κακοῦ. ἐπιτείνεσθαι γὰρ μᾶλλον τὰ πάθη, ὅσῳ τὰ ἐπιθυμούμενα πορίζεται.

Σωκράτης ἐρωτηθεὶς, τίνες φιλοχρήματοι, οἱ τὰ αἰσχρὰ κέρδη θηρώμενοι εἶπε, καὶ τοὺς ἀναγκαίους τῶν φίλων ὑπερορῶντες.

Πιττακοῦ. Ἄπληστον τὸ διαπαντὸς κέρδος.

Περιάνδρου. Κέρδος αἰσχρὸν, βαρὺ κειμήλιον.

Ἐκ τῶν ἀρισωνύμου. Ἀριστοτέλης φησὶν, ὅτι ὀκτώ τινες κοινῇ λῃστεύοντες, ἐστασίασαν πρὸς ἀλλήλους περὶ τῶν σκύλων, καὶ τέσσαρες αὐτῶν κατελήφθησαν. πάλιν οὗτοι πρὸς ἀλλήλους διηνέχθησαν καὶ δύο κατελείφθησαν. εἶτα εἷς, καὶ τί ὑπόλοιπον, εἰ στασιάσει τὰ δεξιὰ πρὸς τὰ εὐώνυμα.

Ἐκ τῶν αὐτοῦ. Τοῦ Πύρρου ὀνειροπολοῦντος αὐτῷ Σικελίαν, καὶ μετὰ ταῦτα Καρχηδόνα καὶ πολλὴν γῆν, ὁ γίγων αὐτῷ Κινέας ἔφη, εἶτα μετὰ τοῦτο τί; τοῦ δὲ, εἰπόντος, ὅτι ζησόμεθα λοιπόν. ὁ δὲ, ἔφη. τί οὖν κωλύει ἀπὸ τοῦ νῦν ζῆν, πρὶν πολλὰς πόλεις ἀπολέσαι. ἔοικεν οὖν ὁ τοῦ φιλαργύρου βίος, νεκροῦ δείπνῳ. πάντα γὰρ ἔχων. τὸν εὐφρανθησόμενον οὐκ ἔχει.

Σεμίραμις δὲ ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν. ὅστις χρημάτων δεηθῇ βασιλεὺς, διελόντα τὸ μνημεῖον, ὅσα βούλεται λαβεῖν. Δαρεῖος δὲ διελὼν, χρήματα μὲν οὐχ εὗρε, γράμμασι δ᾽ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν. εἰ μὴ κακὸς ἦς ἀνὴρ, καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις.

Τίμων ὁ μισάνθρωπος στοιχεῖα ἔφη τῶν κακῶν εἶναι, ἀπληστίαν καὶ φιλοδοξίαν.

Ἰσοκράτους. Ὑποστάθμη ἐστὶν οἴνου μὲν, τρύξ. φιλαργύρου δὲ, ἀνελευθερία.

Τοῦ αὐτοῦ. Οὔτε παρὰ νεκροῦ ὁμιλίαν, οὔτε παρὰ φιλαργύρου χάριν δεῖ ζητεῖν.

Ξενοφῶντος. Τίνας νομίζεις δῆμον εἶναι; τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. καὶ τοὺς πένητας ἄρα οἶσθα; πῶς γὰρ οὔ. ἆρ᾽ οὖν καὶ τοὺς πλουσίους οἶσθα; οὐδέν γε ἧττον ἢ καὶ τοὺς πένητας. ποίους δὲ πένητας καὶ ποίους πλουσίους καλεῖς. τοὺς μὲν, οἶμαι μὴ ἱκανὰ ἔχοντας εἰς ἃ δεῖ τελεῖν πένητας, τοὺς δὲ πλείω τῶν ἱκανῶν, πλουσίους. καταμεμάθηκας οὖν ὅτι ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν, οὐ μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ᾽ αὐτῶν, ἐνίοις δὲ πάνυ πολλὰ, οὐχ ἱκανά ἐστι; καὶ νὴ δί᾽ ἔφη ὁ Εὐθύδημος, ὀρθῶς γάρ με ἀναμιμνήσκεις. οἶδα καὶ τυράννους τινὰς, οἳ δι᾽ ἔνδειαν, ὥσπερ οἱ ἀπορώτατοι, ἀναγκάζονται ἀδικεῖν. οὐκοῦν ἔφη ὁ Σωκράτης, εἴγε ταῦ-

Ayuntamiento de Madrid

τα οὕτως ἔχει, τοὺς μὲν τυράννους, ὡς τὸν δῆμον θήσομεν· τοὺς δὲ ὀλίγα κεκτημένους ἐὰν οἰκονομικοὶ φῶσιν, ὡς τοὺς πλουσίους.

Ἐλπὶς κακοῦ κέρδους, ἀρχὴ ζημίας. Δημοσθένους.

Οἱ φιλάργυροι καθάπερ μαχαίρα τῷ βίῳ χρῶνται. πάντα ποιοῦντες κατὰ τὴν λαβήν. Διογένους

Πλάτων πρὸς τὸν ἀεὶ ζητοῦντα χρηματίζεσθαι, ὦ πονηρὲ εἶπε μὴ παρὼ τὴν κτῆσιν αὔξειν, ἀλλὰ τὴν ἐπιθυμίαν μειῶσαι.

Διογένης ὁ κύων. θεασάμενός τινα πλουσίας γραίας προσποιούμενον, ἐρᾶν ἔφη ταύτῃ οὐ τὸν ὀφθαλμόν. ἀλλὰ τὸν ὀδόντα ἀποβέβληκε.

Σιμωνίδης. διατί ἐσχάτου γήρως ὢν φιλάργυρος εἴη, ὅτι εἶπε βουλοίμην ἂν ἀποθανὼν τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν, ἢ ζῶν δεῖσθαι τῶν φίλων καταγνωκὼς τῆς τῶν πολλῶν φιλίας τὸ ἀβέβαιον.

Διογένης, τοὺς μεγάλα καὶ ἀθρόα λαμβάνοντας, μεγαλοπτώχους ἐκάλει.

Οὐκ ἐπιλογιζομένη ἡ ψυχὴ τὸ τοῦ σώματος αὔταρκες, οὐ δύναται ἑαυτὴν αὐτάρκη ποιῆσαι. Ἀπολλωνίου Σοφράτη.

Ἡ τέκνοις ἄγαν χρημάτων συναγωγὴ, πρόφασίς ἐστι φιλαργυρείης τρόπον ἴδιον ἐλέγχουσα.

Ὧν τὸ σκῆνος χρήζει, πᾶσι πάρεστιν εὐμαρέως, ἅπερ μόχθου καὶ ταλαιπωρείης. Ἐκ τῶν ἀεὶ σοφῶν τοῦ πυθαγορείου.

Ὁκόσα δὲ μόχθον καὶ ταλαιπωρείης χρήζει, καὶ βίον ἀλγύνει, τούτων οὐκ ἱμείρεται τὸ σκῆνος, ἀλλ' ἡ τῆς γνώμης κακοθηγίη.

Περὶ δὲ ἐπιθυμίας, τάδε ἔλεγεν. εἶναι τὸ πάθος τοῦτο ποικίλον, καὶ πολύπονον, καὶ πολυειδέστατον. εἶναι δὲ τῶν ἐπιθυμιῶν τὰς μὲν, ἐπικτήτους τε καὶ παρασκευαστάς. τὰς δὲ, συμφύτους. αὐτὴν μέν τοι τὴν ἐπιθυμίαν, ἐπιφοράν τινα τῆς ψυχῆς καὶ ὁρμὴν, καὶ ὄρεξιν εἶναι πληρώσεως, ἢ παρουσίας αἰσθήσεως, ἢ κενώσεως καὶ ἀπουσίας, καὶ τοῦ μὴ αἰσθάνεσθαι. ἐπιθυμίας δὲ ἡμαρτημένης τε καὶ φαύλης, τρία εἶναι εἴδη τὰ γνωριμώτατα. ἀσχημοσύνην. ἀσυμμετρίαν. ἀκαιρίαν, ἢ γὰρ αὐτόθεν εἶναι τὴν ἐπιθυμίαν ἀσχήμονά τε καὶ φορτικὴν καὶ ἀνελεύθερον, ἢ τοῦτο μὲν οὔ. σφοδρότερον δὲ καὶ χρονιώτερον τοῦ προσήκοντος. ἢ τρίτον πρὸς ταῦτα, ὅτε οὐ δεῖ, καὶ πρὸς ἃ οὐ δεῖ. Ἐκ τῶν ἀποφθεγμάτων αὐτοῦ.

Πενίαν ἡγητέον εἶναι, μὴ τὸ τὴν οὐσίαν ἐλάττω ποιεῖν. ἀλλὰ τὸ τὴν ἀπληστίαν πλείω. Πλάτωνος

Τοῦ πλέονος ἐπιθυμίη, τὸ παρεὸν ἀπόλλυσι. τῇ Αἰσωπίῃ κυνὶ ἰκέλη γιγνομένη. Δημοκρίτου.



Ayuntamiento de Madrid

**Ἐκ τῶν τοῦ Νικολάου ἐθῶν συναγωγῆς.** Ὄμβρικοι ὅταν πρὸς ἀλλήλους ἔχωσιν ἀμφισβήτησιν, καθοπλισθέντες, ὡς ἐν πολέμῳ μάχονται· καὶ δοκοῦσι δικαιότερα λέγειν, οἱ τοὺς ἐναντίους ἀποσφάξαντες.

**Κλειτοφῶντος.** Βρέννος ὁ τῶν Γαλατῶν βασιλεὺς λεηλατῶν τὴν Ἀσίαν, εἰς Ἔφεσον ἦλθε· καὶ στρατοπεδευσάμενος, περιέμενε τοῦ πολέμου τὴν προθεσμίαν. παρθένος δέ τις τῶν ἐπισήμων τοὔνομα Δημονίκη, εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ βαρβάρου, προδώσειν αὐτῷ τὴν Ἔφεσον ὑπέσχετο, ἐὰν μισθὸν λάβῃ τὰ ψέλλια καὶ τοὺς ὅρμους. ὁ δὲ Βρέννος δεξάμενος αὐτὴν εἰς τόπον ὡρισμένον, ἤγαγε τοὺς ὑποτεταγμένους, καὶ προσέταξεν αὐτοῖς, τὸν χρυσὸν ὅσον εἶχον κόσμου χάριν βάλλειν εἰς τὸν τῆς φιλαργύρου κόλπον· ποιησάντων δὲ αὐτῶν τὸ παραγγελθὲν, ἡ Δημονίκη ὑπὸ τῆς δαψιλείας τοῦ βαλλομένου χρυσίου ζῶσα κατεχώσθη.

**Πλάτωνος.** Ἐσχάτη γὰρ ἀδικία, δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα. ἢ οὐκ οἶσθα ὅτι φιλάργυρόν τε, καὶ φιλότιμον εἶναι, ὄνειδος λέγεταί τε καὶ ἐστίν.

Ἐπειδὴ οὖν διωμολογησάμεθα τὴν δικαιοσύνην ἀρετὴν εἶναι καὶ σοφίαν. τὴν δὲ ἀδικίαν, κακίαν τε καὶ ἀμαθίαν, εἶεν ἦν δ' ἐγὼ, τοῦτο μὲν ἡμῖν οὕτω κείσθω.

Κλοπὴ μὲν χρημάτων, ἀνελεύθερον· ἁρπαγὴ δὲ, ἀναίσχυντον.

Ἐάν τις τι κλέπτῃ δημόσιον μέγα ἢ καὶ σμικρὸν, τῆς αὐτῆς δίκης δεῖ. σμικρόν τε γὰρ ὁ κλέπτων, ἔρωτι μὲν ταυτῷ· δυνάμει δὲ ἐλάττονι κέκλοφε.

**Ἱέρακος ἐκ τοῦ περὶ δικαιοσύνης.** Ἐπειδὴ δὲ ὁ κατάρχων ἄλλος, πρὸ τῶν ἀδικεῖσθαι μελλόντων ἑαυτὸν ἀδικῶν ἀγνοεῖ, ἴστω ὡς διπλῆς οὔσης τῆς ἀδικίας, αὐτὸς ἀπολαύει πρότερος. ἔπειτα καὶ τὸ ἀδικούμενον ὑπ' αὐτοῦ μέρος, μὴ γὰρ οὕτως ἀναισθητεῖν, εἰ ἦν μηδενὶ τῶν ἀνεκτῶν. εἰ δυνατὸν δὲ, μηδὲ τῶν πονηρῶν· ὑπὲρ γὰρ ὑγείας ψυχῆς ἡ εὐχὴ, ὡς δι' ἀναισθησίαν νομίζειν τοὺς ἀδικουμένους μᾶλλον τῶν ἀδικούντων βλάπτεσθαι. ἐν μὲν γὰρ μόνον ἐστὶ τὸ ἀδικούμενον ἐκ παντὸς ἡ ψυχή· τὸ δὲ ἀδικοῦν καὶ ἐπιβουλεῦον, ἡ κακία. καὶ ἐν τῷ ἀδικοῦντι, καὶ κατὰ τοῦ ἀδικουμένου ἀλλὰ τὸν μὲν, ἔλαττον, τὸν δὲ, πλεῖστον· ἔλαττον μὲν, τὸν ἀδικεῖσθαι μέλλοντα, πλεῖστον δὲ, τὸν ἀδικεῖν διανοούμενον. ἐπεὶ καὶ ἀπ' αὐτοῦ τὴν κίνησιν λαμβάνει καὶ τὴν ἔπαρσιν. ἐγειρομένη τοίνυν, τὸν τεκόντα πρῶτον ἀνάπτει· καὶ πρὶν τεκεῖν ἐν ταῖς ὠδῖσι, φλέγει, καὶ διϊοῦσα, λυμαίνεται. καὶ ὥσπερ ἀπ' αὐτοῦ ἰῷ, χρώζει δυσοποιῷ τῇ βαφῇ. οὔτε γὰρ τῷ πυρὶ τὴν τεκοῦσαν ὕλην διελθεῖν δυνατὸν ἐπὶ τὴν τῶν ἄλλων λύμην, πρὶν παντελῶς αὐτὴν ἀναλῶσαι, οὔτε τῇ μυραίνῃ, τοὺς ἐνύδρους ὄφεις, εἰς ἄλλων ὄλεθρον ἀπογεννᾶν, πρὶν τὴν κυήσασαν γαστέρα, καταφαγεῖν· ὡς Νίκανδρος ὁ Κολοφώνιος καὶ

Ayuntamiento de Madrid

ἀρχέλαος ὁ φυσικὸς, γράφουσιν· οὕτω καὶ πᾶς ἄδικος, αὐτὸς τῆς κακίας πρῶτος γεύεται, πρὶν εἰς ἄλλοις ἀφιέναι. πολλοὶ γὰρ ἀνεγείροντες τὴν ἐν αὐτοῖς χολὴν, ἐκ τῆς πρὸς ἀλλήλους ὀργῆς, αὐτοὶ προαπέθανον, πρὶν τοὺς ἐχθροὺς τιμωρήσασθαι. τοῦτο τοίνυν ἀγνοήσαντες πολλοὶ, ταῖς κατὰ τῶν ἀσθενεστέρων ἀδικίαις, ἀνέδην ἐχρήσαντο. μηδὲν εἶναι πρὸς αὐτοὺς οἰηθέντες τὸ λυπηρόν. τούτου δὲ ὁμολογουμένου, δεῖ καθάπερ παραιτεῖσθαι τὸ ἀδικεῖν.

## ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟ ΠΕΡΙ ΑΛΗΘΕΙΑΣ.

### ΛΟΓΟΣ ΕΝΑΤΟΣ.

Ἀλήθεια δὲ παρέστω σοὶ καὶ ἐμοὶ, πάντων χρῆμα δικαιότατον. Μενάνδρου
Ἀλάθεια, θεῶν ὁμόπολις, μόνη θεοῖς συνδιαιτωμένη. Ὀλύμπια-
Ἀρχὰς μεγάλας ἀρετᾶς, ὦνασσ' ἀλάθεια μὴ πταίσῃς ἐμὰν σύνθε- δου.
σιν τραχεῖ ποτὶ ψεύδει. Πινδάρου.
Οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλὸν, οὐδ' ἀτελεύτητον. Ὁμήρου.
ὅττι κεν κεφαλῇ κατανεύσω.

Λυδία μὲν γὰρ λίθος μανύει χρυσόν. ἀνδρῶν δ' ἀρετὰν, σοφία τε παγκρατὴς Βακχυλί-
πλέθει ἀλάθεια. δου

Ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη. Αἰσχύλου.

Δράσω. τὸ γὰρ δίκαιον, οὐκ ἔχει λόγον, δυοῖν ἐρίζειν. ἀλλ' ἐπισπεύδει Σοφοκλέ-
τὸ δρᾶν. ους.

Ἔρχεται τἀληθὲς εἰς φῶς ἐνίοτε οὐ ζητούμενον. Μενάνδρου

Ἆρ' εἰ κράτιστόν ἐστι τἀληθῆ λέγειν.
ἐν παντὶ καιρῷ· τοῦτ' ἐγὼ παρεγγυῶ
εἰς ἀσφάλειαν τοῦ βίου πλεῖστον μέρος.

Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

Εὐριπίδου

Ayuntamiento de Madrid

κοὐ ποικίλων δεῖ τἄνδιχ᾽ ἑρμηνευμάτων·
ἔχει γὰρ αὐτὰ καιρόν, ὁ δ᾽ ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.

**Ιαμβλίχου.** Ἀλήθεια μὲν, ὥσπερ καὶ τοὔνομα δηλοῖ, περὶ θεοὺς ποιεῖ τὴν ἐπιστροφήν, καὶ τῶν θεῶν τὴν ἀκήρατον ἐνέργειαν. ἡ δὲ δοξομιμητικὴ αὕτη εἰδωλοποιία ὥς φησι Πλάτων, περὶ τὸ ἄθεον καὶ σκοτεινὸν πλανᾶται. καὶ ἡ μὲν, τοῖς νοητικοῖς εἴδεσι καὶ θείοις καὶ τοῖς ὄντως οὖσι, καὶ κατὰ τὰ αὐτὰ ἀεὶ ἔχουσι, τελειοῦται. ἡ δὲ τὸ ἀνείδεον καὶ μὴ ὂν καὶ ἄλλοτε ἄλλως ἔχον ἀποβλέπει καὶ περὶ αὐτοῦ ἀμβλυώττει. καὶ ἡ μὲν, αὐτὸ ὅ ἐστι θεωρεῖ. ἡ δ᾽ οἷον φαίνεται τοῖς πολλοῖς, τοιοῦτον ὑποδύεται πρόσχημα. διόπερ δὴ, ἡ μὲν, πρὸς νοῦν ὁμιλεῖ, καὶ τὸ ἐν ἡμῖν νοερὸν αὔξει, ἡ δὲ, τῷ ἀεὶ δοκοῦντι θηρεύεται τὴν ἄνοιαν καὶ ἀπατᾷ.

**Ἐκ τῶν Σερίνου ἀπομνημονευμάτων.** Πλάτων μὲν ἥδιστον εἶναι τῶν ἀκουσμάτων, τὴν ἀλήθειαν ἔλεγε. Πολέμων δὲ, πολὺ ἥδιον τοῦ ἀκούειν, τὸ λέγειν εἶναι τἀληθῆ.

**Αἰσχίνου κατὰ Τιμάρχου.** Ὑμεῖς δ᾽ ἐξεβάλετε αὐτὸν ὑπολαμβάνοντες. ἴσμεν ὦ τύρανδρε, ὅτι οὐ δεῖ γελᾶν τούτων ἐναντίον. ἀλλ᾽ οὕτως ἰσχυρόν ἐστιν ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖν τῶν ἀνθρωπίνων λογισμῶν.

**Γαΐου.** Τότ᾽ οὖν ἀπολαβὼν ἤδη θεράπαιναν, ἠρώτα πῶς ἔχοι τὰ περὶ τὴν γυναῖκα. ἡ δὲ, οὐδὲ μελήσασα, οὐθὲν εἶπεν. οὕτω τὸ ἀληθὲς ἀμελέτητόν ἐστιν.

**Πλάτωνος νόμων β΄.** Ἀλήθεια δὴ, πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται. πάντων δ᾽ ἀνθρώποις. ἧς ὁ γενήσεσθαι μέλλων, μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὅτι πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ. πιστὸς γάρ. ὁ δὲ ἄπιστος ᾧ φίλον ψεῦδος ἑκούσιον. ὅτω δ᾽ ἀκούσιον, ἄνους, ὧν οὐδέτερον ζηλωτόν. ἄφιλος γὰρ δὴ πᾶς, ὅ γε ἄπιστος καὶ ἀμαθής. ἡγουμένης δὲ καὶ ἀληθείας, οὐκ ἄν ποτε οἶμαι φαμὲν αὐτῇ χορὸν κακῶν ἀκολουθῆσαι.

**Ἀπολλωνίου.** Ψεύδεσθαι ἀνελεύθερον· ἀλήθεια γενναῖον.

**Εὐσεβίου.** Ἀληθείῃ νόος ἀσπάζεται. καὶ αἰεὶ αὐτῇ συνοικέει. ἐὼν δὲ ἐν τοῖς ἐοῦσι ἀποψευδέστατον, ὅμως ἔστιν ὅτε καὶ ψεῦδος ἀγαθῷ κεράσας, παρέχεται ἐπ᾽ ὠφελείῃ ἀνθρώπων τῶν τούτου χρηζόντων. καὶ αὐτῷ χρηστῷ τῷ σφετέρῳ, παραλογισθησομένων πρὸς αὐτοῦ. τότε γὰρ δὴ μοῦνον καὶ οὔκοτε ἄλλοτε νόος. καὶ ἐν καιρῷ τῷ αὐτὸς οἶδε. πάντα τἄλλα ψεύδεα ἀπευχέων, ψεῦδος τοιοῦτον ἀφέρεται ἀπὸ τῆς τῶν λοιπῶν ἁπάντων ψευδέων φύσιος, ἐς ἄλλο εἶδος μεταληφθὲν χρησιμώτατον τέχνῃ καὶ σοφίῃ αὐτοῦ τοῦ νόου τοῦ φαι-

Ayuntamiento de Madrid

λον πρᾶγμα ἐς τοῦτο μετακοσμήσαντος.

Υ οὐδ' ἔθαι ἐν πόλει, μὴ δὲ εἰς νόμος ξυγχωρείτω μηδὲν πλὴν τοῦ φιλαλήθεος, καὶ νοήμονος ἐπιστημένου τε ὅκοτε καὶ ὅκως οὐ φιλεῖ ἢ ψεύδεος. τῆς δὲ ἀπὸ τούτου γιγνομένης χρέης ἀναγκαίης, καὶ τοῦτο ποιέειν. τοῦ αὐτοῦ.

Γ ιερι ἀληθείας ὦ τάτ. οὐκ ἔστι δυνατὸν ἄνθρωπον ὄντα ζῷον ἀτελὲς ἐξ ἀτελῶν συγκείμενον μελῶν, καὶ ἐξ ἀλλοτρίων σωμάτων καὶ πολλῶν τὸ σκῆνος συνεστὸς, τολμήσαντα εἰπεῖν. ὃ δ' ἔστι δυνατὸν ἢ δίκαιον, τοῦτό φημι ἀλήθειαν εἶναι, ἐν μόνοις τοῖς ἀϊδίοις σώμασιν. ὧν καὶ τὰ σώματα αὐτὰ ἀληθῆ ἐστι. πῦρ αὐτόπυρ μόνον, καὶ οὐδὲν ἄλλο. γῆ αὐτογῆ καὶ οὐδὲν ἄλλο. ἀὴρ αὐτοαήρ. τὰ δὲ ἡμέτερα σώματα, ἐκ πάντων τούτων συνέστηκεν. ἔχει μὲν γὰρ πυρός. ἔχει δὲ καὶ γῆς. ἔχει καὶ ὕδατος καὶ ἀέρος. καὶ οὔτε πῦρ ἐστὶν, οὔτε γῆ, οὔτε ὕδωρ, οὔτε ἀὴρ, οὔτε οὐδὲν ἀληθές. εἰ δὲ μὴ τὴν ἀρχὴν ἡ σύστασις ἡμῶν ἔσχε τὴν ἀλήθειαν, πῶς ἂν δύναιντο ἀλήθειαν ἢ ἰδεῖν ἢ εἰπεῖν. νοῆσαι δὲ μόνον, ἐὰν ὁ θεὸς θέλῃ. πάντα οὖν ὦ τάτ. τὰ ἐπὶ γῆς, ἀλήθεια μὲν οὐκ ἔστι. τῆς δὲ ἀληθείας μιμήματα. καὶ οὐ πάντα. ὀλίγα δὲ ταῦτα. ἀλλὰ ψεῦδος καὶ πλάνος ὦ τάτ. καὶ δόξαι φαντασίας καθάπερ εἰκόνες συνεστῶτα. ὅταν δ' ἄνωθεν τὴν ἀπόρροιαν ἔχῃ ἡ φαντασία, τῆς ἀληθείας γίνεται μίμησις. χωρὶς δὲ τῆς ἄνωθεν ἐνεργείας, ψεῦδος καταλείπεται. καθάπερ καὶ ἡ εἰκών. τὸ μὲν σῶμα τῆς γραφῆς, δείκνυσιν. αὐτὴ δὲ οὐκ ἔστι σῶμα κατὰ τὴν φαντασίαν τοῦ ὁρωμένου. καὶ ὀφθαλμοὺς μὲν ὁρᾶται ἔχουσα. βλέπει δὲ οὐδέν. ἀκούει δὲ οὐδὲν ὅλως, καὶ τὰ ἄλλα πάντα ἔχει ἡ γραφή. ψευδῆ δέ ἐστι τὰς τῶν ὁρώντων ὄψεις ἐξαπατῶντα. τῶν μὲν δοκούντων ἀλήθειαν ὁρᾶν. τῶν δὲ, ὡς ἀληθῶς ὄντων ψευδῶν. ὅσοι μὲν οὖν οὐ ψεῦδος ὁρῶσιν, ἀλήθειαν ὁρῶσιν. ἐὰν οὖν ἕκαστον τούτων οὕτω νοῶμεν ἢ ὁρῶμεν ὡς ἔστιν, ἀληθῆ καὶ νοοῦμεν καὶ ὁρῶμεν. ἐὰν δὲ παρὰ τὸ ὄν, οὐδὲν ἀληθὲς οὔτε νοήσομεν, οὔτ' εἰσόμεθα. ἔστιν οὖν πάτερ ἀλήθεια καὶ ἐν τῇ γῇ. καὶ οὐκ ἀσκόπως σφάλλῃ ὦ τέκνον. ἀλήθεια μὲν οὐδαμῶς ἐστὶν ἐν τῇ γῇ ὦ τάτ. οὔτε γὰρ γενέσθαι δύναται. περὶ δὲ ἀληθείας νοῆσαι ἐνίους τῶν ἀνθρώπων, οἷς ἐὰν ὁ θεὸς τὴν θεοπτικὴν δωρήσηται δύναμιν γενέσθαι. οὕτως ἀληθὲς οὐδέν ἐστιν ἐν τῇ γῇ νοῶ καὶ λέγω φαντασίαι δὴ καὶ δόξαι πάντα ἀληθῆ νοῶ καὶ λέγω. οὐκοῦν τό, τε ἀληθῆ νοεῖν καὶ λέγειν, τοῦτο ἀλήθειαν δεῖ καλεῖν. τί δαί. τὰ ὄντα δεῖ νοεῖν καὶ λέγειν;

Ἑρμοῦ. ἐκ τῶν πρὸς τάτ.

Ayuntamiento de Madrid

ἔστι δὲ οὐδὲν ἀληθὲς ἐπὶ τῆς γῆς. τοῦτο ἀληθές ἐστι, τὸ μὴ εἰδέναι μηδὲν ἀληθές. ἐνθάδε δὲ πῶς ἂν καὶ δύναιτο γενέσθαι ὦ τέκνον. ἡ γὰρ ἀλήθεια, τελειοτάτη ἀρετή ἐστιν, αὐτὸ τὸ ἀκρότατον ἀγαθόν. τὸ μὴ ὑπὸ ὕλης θολούμενον, μήτε ὑπὸ σώματος περιβαλλόμενον. γυμνόν. φανερόν. ἄτρεπτον. σεμνόν. ἀναλλοίωτον ἀγαθόν. τὰ δὲ ἐνθάδε ὦ τέκνον, οἷά ἐστιν ὁρᾶσθαι δεκτὰ τοῦδε τοῦ ἀγαθοῦ. φθαρτά. παθητά. διαλυτά. τρεπτά. ἀεὶ ἀλλοιούμενα. ἄλλα ἐξ ἄλλων γινόμενα. ἃ οὖν μήτε πρὸς ἑαυτὰ ἀληθῆ ἐστι, πῶς δύναιτο ἀληθῆ εἶναι. πᾶν γὰρ τὸ ἀλλοιούμενον, ψεῦδός ἐστι. μὴ μένον ἐν ᾧ ἐστι, φαντασίας δὲ μεταφερόμενον, ἄλλας καὶ ἄλλας ἐπιδείκνυται ἡμῖν. οὐδὲ ἄνθρωπος ἀληθής ἐστιν ὦ πάτερ. καθότι ἄνθρωπος οὐκ ἔστιν ἀληθὴς ὦ τέκνον. τὸ γὰρ ἀληθές ἐστι, καὶ ἐξ αὐτοῦ μόνου τὴν σύστασιν ἔχον καὶ μένον καθ' αὑτό, οἷόν ἐστιν ὁ ἄνθρωπος ὅδε, ἐκ πολλῶν συνέστηκε. καὶ οὐ μένει καθ' αὑτόν. τρέπεται δὲ καὶ μεταβάλλεται ἡλικίαν καὶ ἐξ ἡλικίας. καὶ ἰδέαν ἐξ ἰδέας. καὶ ταῦτα ἔτι ὢν ἐν τῷ σκήνει. καὶ πολλοὶ τέκνα οὐκ ἐγνώρισαν, χρόνου ὀλίγου μεταξὺ γενομένου. καὶ πάλιν τέκνα γονεῖς ὁμοίως. τὸ οὖν οὕτως μεταβαλλόμενον ὥστε ἀγνοεῖσθαι δύναται ἀληθὲς εἶναι ὦ τάτ, οὐ τοὐναντίον ψεῦδός ἐστιν ἐν ποικίλαις γινόμενον φαντασίαις τῶν μεταβολῶν; σὺ δὲ νόει ἀληθές τι εἶναι, τὸ μόνον καὶ δίκαιον. ὁ δὲ, ἄνθρωπος, οὐκ ἔστιν ἀεί. ἄρα οὐδὲ ἀληθές ἐστι. φαντασία δέ ἐστί τις. ἄνθρωπος. ἡ δὲ φαντασία, ψεῦδος ἂν εἴη ἀκρότατον. οὐδὲ ταῦτα οὖν ὦ πάτερ τὰ ἀΐδια σώματα. ἐπεὶ μεταβάλλεται, ἀληθῆ ἐστι, πᾶν μὲν οὖν τὸ γεννητὸν καὶ μεταβλητὸν, οὐκ ἀληθές, ὑπὸ δὲ τοῦ προπάτορος γινόμενα. τὴν ὕλην δύναται ἀληθῆ ἐσχηκέναι. ἔχει δέ τι καὶ ταῦτα ψεῦδος ἐν τῇ μεταβολῇ. οὐδὲν γὰρ μὴ μένον ἐφ' αὑτοῦ ἀληθές ἐστιν. ἀληθὲς ὦ πάτερ. τί οὖν ἂν εἴποι τις μόνον τὸν ἥλιον παρὰ τὰ ἄλλα πάντα μὴ μεταβαλλόμενον, μένοντα δὲ ἐφ' ἑαυτῷ, ἀλήθειαν. διὸ καὶ τὴν ἐν τῷ κόσμῳ πάντων δημιουργίαν, αὐτὸς μόνος πεπίστευται, ἄρχων πάντων, καὶ ποιῶν πάντα. ὃν καὶ σέβομαι, καὶ προσκυνῶ αὐτοῦ τὴν ἀλήθειαν. μετὰ τὸν ἕνα καὶ πρῶτον, τοῦτον δημιουργὸν γνωρίζω. τί οὖν ἂν εἶναι τὴν πρώτην ἀλήθειαν ὦ πάτερ. ἕνα καὶ μόνον ὦ τάτ. τὸν μὴ ἐξ ὕλης, τὸν μὴ ἐν σώματι, τὸν ἀχρώματον, τὸν ἀσχημάτιστον, τὸν ἄτρεπτον, τὸν μὴ ἀλλοιούμενον, τὸν ἀεὶ ὄντα. τὸ δὲ ψεῦδος ὦ τέκνον φθείρεται. πάντα δὲ τὰ ἐπὶ γῆς, φθορὰ κατέλαβε καὶ ἐμπεριέχει, καὶ ἐμπεριέξει ἡ τοῦ ἀληθοῦς πρόνοια, χωρὶς γὰρ φθορᾶς, οὐδὲ γένεσις δύναται συστῆναι. πάσῃ δὲ γενέσει, φθορὰ ἕπεται, ἵνα πάλιν γένηται. τὰ γὰρ γινόμενα. ἐκ

Ayuntamiento de Madrid

τῶν φθειρομένων ἀνάγκη γίνεσθαι, φθείρεσθαι δὲ τὰ γινόμενα ἀνάγκη, ἵνα μὴ στῇ ἡ γένεσις τῶν ὄντων. πρῶτον οὖν τὸν δημιουργὸν γνώριζε εἰς τὴν γένεσιν τῶν ὄντων. τὰ οὖν ἐκ φθορᾶς γινόμενα, ψευδῆ ἂν εἴη. ὡς ποτὲ μὲν ἄλλα, ποτὲ δὲ ἄλλα γινόμενα, τὰ γὰρ αὐτὰ γίνεσθαι δυνατὸν, τὸ δὲ μὴ αὐτὸ, πῶς ἂν ἀληθὲς εἴη. φαντασίας οὖν καλεῖν δεῖ ταῦτα ὦ τέκνον, εἴγε ὀρθῶς προσαγορεύομεν τὸν ἄνθρωπον, ἀνθρωπότητος φαντασίαν. τὸ δὲ παιδίον, παιδίου φαντασίαν. τὸν δὲ νεανίσκον, νεανίσκου φαντασίαν. τὸν δὲ, ἄνδρα, ἀνδρὸς φαντασίαν. τὸν δὲ γέροντα, γέροντος φαντασίαν. οὔτε γὰρ ὁ ἄνθρωπος, ἄνθρωπος, οὔτε τὸ παιδίον, παιδίον. οὔτε ὁ νεανίσκος, νεανίσκος. οὔτε ὁ γέρων, γέρων. οὔτε ὁ ἀνὴρ, ἀνήρ. μεταβαλλόμενα δὲ, ψεύδεται. καὶ τὰ προόντα, καὶ τὰ ὄντα. ταῦτα μέν τοι οὕτω νόει ὦ τέκνον. ὡς καὶ τῶν ψευδῶν τούτων ἐνεργειῶν ἄνωθεν ἠρτημένων ἀπ' αὐτῆς τῆς ἀληθείας. τούτου δὲ οὕτως ἔχοντος, τὸ ψεῦδος φημὶ τῆς ἀληθείας ἐνέργημα εἶναι.

Ὅτι ἡ ἀλήθεια κάλλιστον, ὡς καὶ ἐν θεοῖς ὑπάρχειν μέγιστον. δηλοῖ δὲ διὰ τῶν ἐπῶν τούτων. τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον τέκμωρ, οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλὸν, οὐδ' ἀτελεύτητον, ὅτι κεν κεφαλῇ κατανεύσω. τριῶν γὰρ αἰτιῶν οὐσῶν, δι' ἃς ἄνθρωποι παραβαίνουσι τὰς ὑποσχέσεις, καὶ ψεύδονται. ἢ γὰρ εὐθὺς ἐξαπατῶν τις ἔφησεν, ἢ φήσας ὕστερον μετενόησεν. ἢ βουλόμενος ἐξησθένησε. τούτων δὲ τὸ μὲν ἐστὶ φαύλης προαιρέσεως. τὸ δὲ, ἀσθενοῦς κρίσεως. τὸ δὲ ἐνδεοῦς δυνάμεως, πάντα δὲ ὁ θεὸς ἐκπέφευγε τῷ φιλαλήθει, τὸ ἀπατηλόν. καὶ τῷ βεβαίῳ, τὸ παλινάγρετον. καὶ τῷ τελεσιουργῷ, τὸ ἀτέλεστον. Ἐκ τῶν Ὁμήρου.

Πυθαγόρας ἐρωτηθεὶς, τί ποιοῦσιν ἄνθρωποι θεῷ ὅμοιον, ἔφη, ἐὰν ἀληθεύωσιν. οἱ δὲ μάγοι ἀποφαίνονται τὸν μέγιστον τῶν θεῶν, ὃν ὡρομάγδην καλοῦσιν ἐοικέναι, τὸ μὲν σῶμα, φωτί. τὴν δὲ ψυχὴν ἀληθείᾳ.

Ayuntamiento de Madrid

## ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΨΕΥΔΟΥΣ

### ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ.

Εὐριπίδου. Δυσγενὴς ὅστις καὶ τὰ καλὰ ψευδῆ λέγων,
οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν.

Σοφοκλέους. Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου.
Καλὸν τὸ κεύθειν, καὶ πρὸς ἀνδρὸς εὐγενοῦς.

Καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν.
ὅτῳ δ' ὄλεθρον δεινὸν ἡ ἀλήθει' ἄγει.
συγγνωστὸν εἰπεῖν ἐστὶ καὶ τὸ μὴ καλὸν

Μενάνδρου. Κρεῖττον ἐλέσθαι ψεῦδος, ἢ ἀληθὲς κακόν.

Πισάνδρου. Οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.

Ὁμήρου. Ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστί.

Μενάνδρου. Τὸ πιθανὸν ἰσχὺν τῆς ἀληθείας ἔχει,
ἐνίοτε μείζω, καὶ πιθανώτερον ὄχλον.

Εὐριπίδου. Ἡ που χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν.

Τοῦ αὐτοῦ. Ἐγώ γέ φημι καὶ νόμον γε μὴ σέβειν.
ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον.

Διφίλου. Καιρῷ τιθέμενον κέρδος, ὡς καρπὸν φέρει.

Δημοκρίτου. Ἀληθομυθεύειν χρεὼν ὅπου λώϊον.

Θαλῆς ὁ Μιλήσιος ἐρωτηθεὶς πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς.
ὅσον ἔφη ὀφθαλμοὶ τῶν ὤτων.

Χαιρήμονος. Ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν.

Θεόγνιδος. Ἀρχὴ ἔπι ψεύδους, μικρὰ χάρις· εἰς δὲ τελευτὴν, αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερον γίνεται· οὐδέ τι καλὸν ὅτῳ ψεῦδος προσομαρτῇ ἀνδρεὶ, καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

Θεοφράστου. Ἐκ διαβολῆς καὶ φθόνου ψεῦδος ἐπ' ὀλίγον ἰσχῦσαν ἀπεμαράνθη.

50 /.

Ayuntamiento de Madrid

Ἀνὴρ ἐς Λακεδαίμονα ἀφίκετο Χῖος γέρων ἤδη ὤν. τὰ μὲν ἄλλα ἀλαζών, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ τὰς τρίχας πολιὰς οὔσας, ἐπειρᾶτο βαφῇ ἀφανίζειν. παρελθὼν οὖν, εἶπεν ἐκεῖνα, ὑπὲρ ὧν καὶ ἀφίκετο. ἀναστὰς οὖν ὁ Ἀρχίδαμος, τί ἂν ἔφη οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει. — Τοῦ αὐτοῦ.

Ψεύδεσθαι προχειρότατον, τοῖς πολλάκις ἁμαρτάνουσιν.

Οὐδὲ μία γὰρ μοχθηρία μᾶλλον δυσκοινώνητος ἀφ' ἑστίας. ἀλλ' αὕτη ἐστὶν ἡ κακία, πρὸς ἣν μόνην καὶ φυλακῆς ἐξαποροῦμεν, καὶ γὰρ δὴ ὃ μόνον ἐπορισάμεθα φυλακτήριον τὸν ὅρκον λέγω, τούτῳ αὐτῷ μάλιστα καταχρῆται. ὅταν δέ ἤ τι ἄπιστον ἄνδρα κακῶς δράσαντα ἐξαρνήσασθαι. ἔστι δὲ δή τι καὶ ἕτερον ψεῦδος, ὃ τοὺς μὲν ἄλλους, οὐ πάνυ δή τι λυμαίνεται. αἶσχος δὲ ἐστὶ τοῦ χρωμένου, γίνεται γὰρ οὐκ ἐν τῷ καθ' ἑτέρου τι λέγειν ἢ πράττειν. ἀλλ' ἐν τῷ περὶ αὑτοῦ τε καὶ τοῦ ἑαυτοῦ. διπλοῦν δὲ τοῦτο καὶ διχοειδές, ἢ γὰρ ἐν τῷ μείζονί τε, καὶ σεμνοτέρῳ. καλεῖται δὲ τὸ μὲν ἐνδεέστερον, εἰρωνεία. τὸ δὲ πλέον, ἀλαζονεία. τὸ μὲν δὴ ἐλλεῖπον τοῦ ἀληθοῦς, κομψόν τέ ἐστι, καὶ αἱμύλον. καὶ ἐνίοτε οὐκ ἄχρηστον τῷ φιλοσόφῳ. καὶ διὰ τοῦτο αὐτὸ καὶ Σωκράτης παρελάμβανεν ἐν τοῖς λόγοις, ὁπότε ἐδεῖτο ἐπι. σκῶψαί τινα σοφιστὴν τύφου μεστὸν, καὶ γέμοντα περιφροσύνης, μᾶλλον γάρ τι αἰσθάνονται τῆς ἑαυτῶν οὐδενείας, ὅταν ἀμαθέστεροι ἐξελέγχωνται, τοῦ μηδὲν εἰδέναι προσποιουμένου. τὸ δὲ ἕτερον τὸ ὑπερβάλλον, βαρύ τε καὶ ἐπαχθές, καὶ οὐδὲν οὕτως ἄκουσμα φορτικὸν, ὡς ὁ καθ' αὑτοῦ ἔπαινος. καὶ ταῦτα ἐπὶ παιδείᾳ ἔφη, καὶ ἄλλων ἐπαινούντων, ἐρυθριᾶν χρεών. τοὺς ἀληθινῶς αὐτῆς ἐπηβόλους. οὐκοῦν καὶ πρὸς ἀλήθειαν, ταυτὸν τοῦτο ἀνέχτερον ψυχὴν θήσομεν. ἢ ἂν τὸ μὲν ἑκούσιον ψεῦδος μισῇ, καὶ χαλεπῶς φέρῃ, αὐτή τε καὶ ἑτέρων ψευδομένων ὑπεραγανακτεῖ. τὸ δὲ ἀκούσιον εὐκόλως προσδέχηται, καὶ ἀμαθαίνουσά που ἁλισκομένη μὴ ἀγανακτῇ. ἀλλ' εὐχερῶς ὥσπερ θηρίον ὕειον ἐν ἀμαθίᾳ μολύνηται. — Θεμιστίου ἐκ τοῦ μετριοπαθοῦς ἢ φιλοτέκνου,

Ἔνθα γάρ τι δεῖ ψεῦδος λέγεσθαι λεγέσθω. — Ἡροδότου

Ὁρᾷς γοῦν ὅτι καὶ νῦν διὰ τῆς ἐπαλλάξεως ταύτης ὁ πολυκέφαλος σοφιστὴς ἠνάγκακεν ἡμᾶς, τὸ μὴ ὂν οὐκ ἐθέλοντας ὁμολογεῖν εἶναί πως; ὁρῶ καὶ μάλα. τί δαὶ δὴ τὴν τέχνην αὐτοῦ τινα ἀφορίζοντες ἡμῖν αὐτοῖς συμφωνεῖν οἷοί τε ἐσόμεθα; πῇ καὶ τὸ ποῖόν τι φοβούμενος οὕτω λέγεις, ὅταν περὶ τὸ φάντασμα αὐτὸν ἀπατᾶν φῶμεν. καὶ τὴν τέχνην εἶναί τινα ἀπατητικὴν αὐτοῦ, τότε πότερον ψευδῆ δοξάζειν τὴν ψυχὴν ἡμῶν φήσομεν ὑπὸ τῆς — Πλάτωνος

Ayuntamiento de Madrid

ἐκείνου τέχνης, ἢ τί ποτ' ἐροῦμεν τοῦτο. τί γὰρ ἂν ἄλλο εἴποιμεν. ψευδὴς δ' αὖ δόξα ἔσται τἀναντία τοῖς οὖσι δοξάζουσα. ἢ πῶς, οὕτω τὰ ἐναντία λέγεις, ἄρα μὴ ὄντα δοξάζειν τὴν ψευδῆ δόξαν; ἀνάγκη. πότερον μὴ εἶναι τὰ μὴ ὄντα δοξάζουσα, ἢ πῶς λέγεις εἶναι. τὰ μηδαμῶς ὄντα εἶναι. πῶς τὰ μὴ ὄντα. λέγε. εἴπερ ψεύσεταί ποτέ τις τι καὶ κατὰ βραχύ. τί δ' οὔ. καὶ μηδαμῶς εἶναι τὰ πάντως ὄντα δοξάζεται; ναί. καὶ τοῦτο δὴ ψεῦδος; καὶ τοῦτο. καὶ λόγος οἶμαι ψευδὴς, οὕτω κατὰ ταυτὰ ταῦτα νομισθήσεται, τά τε ὄντα λέγων μὴ εἶναι, καὶ τὰ μὴ ὄντα εἶναι; πῶς γὰρ ἂν ἄλλως τοιοῦτος γένοιτο.

Ἐν ταὐτῷ Τὸ μὲν μὴ ὂν ἡμῖν, ἕν τι τῶν ἄλλων γένος ὂν, ἀνεφάνη κατὰ πάντα τὰ ὄντα διεσπαρμένον. οὕτως. οὐκοῦν τὸ μετὰ τοῦτο σκεπτέον. εἰ δόξῃ τε καὶ λόγῳ μίγνυται. τί δὴ μὴ μιγνυμένου μὲν αὐτοῦ τούτοις ἀναγκαῖον ἀληθῆ πάντ' εἶναι. μιγνυμένου δὲ δόξα τε ψευδὴς γίγνεται καὶ λόγος. τὸ γὰρ τὰ μὴ ὄντα δοξάζειν ἢ λέγειν, τοῦτ' ἔστι που, τὸ ψεῦδος ἐν διανοίᾳ τε καὶ λόγοις γιγνόμενον. οὕτως. ὄντος δέ γε ψεύδους ἔστιν ἀπάτη; ναί. καὶ μὴν ἀπάτης οὔσης, εἰδώλων τε, καὶ εἰκόνων, ἤδη φαντασίας ἅπαντα ἀνάγκη μεστὰ εἶναι. πῶς γὰρ οὔ.

Πλάτωνος Φέρε δὴ πότερον ἡγῇ δίκαιον εἶναι ψεύδεσθαι ἢ ἀληθῆ λέγειν. ἀληθῆ ἔγωγε. ψεύδεσθαι ἄρα ἄδικον; ναί. πότερον δὲ ἐξαπατᾶν δίκαιον; ἢ μὴ ἐξαπατᾶν; μὴ ἐξαπατᾶν δήπου. ἐξαπατᾶν ἄρα ἄδικον; ναί. τί δαὶ βλάπτειν δίκαιον ἢ ὠφελεῖν. ὠφελεῖν. βλάπτειν ἄρα ἄδικον. ναί. ἔστιν ἄρα ἀληθῆ μὲν λέγειν καὶ μὴ ἐξαπατᾶν, καὶ ὠφελεῖν δίκαιον. ψεύδεσθαι δὲ καὶ βλάπτειν καὶ ἐξαπατᾶν ἄδικον; ναὶ μὰ Δία σφόδρα γε. ἦ καὶ τοὺς πολεμίους; οὐδαμῶς. ἀλλὰ βλάπτειν δίκαιον τοὺς πολεμίους, ὠφελεῖν δὲ ἄδικον; ναί. οὐκοῦν καὶ ἐξαπατῶντας δίκαιον βλάπτειν τοὺς πολεμίους; πῶς γὰρ οὔ. τί δὲ ψεύδεσθαι ἵνα ἐξαπατῶμεν καὶ βλάπτωμεν αὐτοὺς οὐ δίκαιον; ναί. τί δαὶ, τοὺς φίλους οὐκ ὠφελεῖν δίκαιον εἶναι φής; ἔγωγε. πότερον μὴ ἐξαπατῶντας, ἢ ἐξαπατῶντας ἐπ' ὠφελείᾳ τῇ ἐκείνων. καὶ ἐξαπατῶντας νὴ Δία. ἀλλ' ἐξαπατῶντας μὲν, δίκαιον ἄρα ὠφελεῖν. οὐ μέν τοι ψευδομένοις γε, ἢ καὶ ψευδομένοις. καὶ ψευδομένοις. δίκαιον δὲ ἄρα ὡς ἔοικε ψεύδεσθαί τε, καὶ ἀληθῆ λέγειν, δίκαιον καὶ ἄδικον; ναί. καὶ μὴ ἐξαπατᾶν, καὶ ἐξαπατᾶν δίκαιον καὶ ἄδικον; ἔοικε. καὶ βλάπτειν καὶ ὠφελεῖν δίκαιον καὶ ἄδικον; ναί. ταῦτα δὴ ὡς ἔοικε πάντα τὰ τοιαῦτα ὄντα καὶ δίκαιον καὶ ἄδικον ἐστίν; ἔμοιγε φαίνεται. ἄκουε δή. ὀφθαλμὸν ἐγὼ ἔχω δεξιὸν, καὶ ἀριστερὸν, ὥσπερ

καὶ οἱ

Ayuntamiento de Madrid

καὶ οἱ ἄλλοι ἄνθρωποι; ναί. καὶ μυκτῆρα δεξιὸν καὶ ἀριστερόν, καὶ χεῖρα δεξιὰν καὶ ἀριστεράν; ναί. οὐκοῦν ἐπειδὴ ταῦτα ὀνομάζων, τὰ μὲν, δεξιά φὴς εἶναι, τὰ δὲ ἀριστερὰ τῶν ἐμῶν, εἴτε ἐγὼ ἐροίμην, ὁπότερα ἂν ἔχοις εἰπεῖν, ὅτι τὰ μὲν πρὸς τοῦδε, δεξιά ἐστι· τὰ δὲ πρὸς τοῦ, ἀριστερά. ἴθι δὴ καὶ ἐκεῖ. ἐπειδὴ ταῦτα ὀνομάζων, τὰ μὲν δίκαια φὴς εἶναι, τὰ δὲ, ἄδικα ἔχεις εἰπεῖν ὁπότερα τὰ δίκαια, καὶ ὁπότερα τὰ ἄδικα; ἐμοὶ μὲν τοίνυν δοκεῖ, ἐν μὲν τῷ δέοντι καιρῷ ἕκαστα τούτων γιγνόμενα, δίκαια εἶναι. ἐν δὲ τῷ μὴ δέοντι, ἄδικα. καλῶς γέ σοι δοκοῦν, ὁ μὲν ἄρα ἐν τῷ δέοντι ἕκαστα τούτων ποιῶν δίκαια ποιεῖ, ὁ δὲ μὴ ἐν τῷ δέοντι ἄδικα; ναί. οὐκοῦν ὁ μὲν τὰ δίκαια ποιῶν, δίκαιος, ὁ δὲ τὰ ἄδικα, ἄδικος; ἔστι ταῦτα. τίς οὖν ὁ ἐν τῷ δέοντι καιρῷ οἷός τε τέμνειν, καὶ κάειν, καὶ ἰσχναίνειν, ὁ ἰατρὸς, ὅτι ἐπίσταται, ἢ δι' ἄλλο τι. ὅτι ἐπίσταται. τίς δὲ ἐν τῷ δέοντι σκάπτειν καὶ ἀροῦν καὶ φυτεύειν οἷός τε, ὁ γεωργός. ὅτι ἐπίσταται, ἢ ὅτι οὔ. ὅτι ἐπίσταται. οὐκοῦν καὶ τὰ ἄλλα οὕτως; ὁ μὲν ἐπιστάμενος, οἷός τε τὰ δέοντα ποιεῖν ἐστὶ, καὶ ἐν τῷ δέοντι καιρῷ. ὁ δὲ μὴ ἐπιστάμενος, οὔ. οὕτως. καὶ ψεύδεσθαι ἄρα καὶ ἐξαπατᾶν καὶ ὠφελεῖν ὁ ἐπιστάμενος. ὁ μὲν ἐπιστάμενος, οἷός τε ποιεῖν ἕκαστα τούτων ἐν τῷ δέοντι καιρῷ. ὁ δὲ μὴ ἐπιστάμενος, οὔ. ἀληθῆ λέγεις.

## ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΠΑΡΡΗΣΙΑΣ.

## ΛΟΓΟΣ ΕΝΔΕΚΑΤΟΣ.

Ὁπότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω, — Εὐριπίδου.
ἢ σκληρ' ἀληθῆ φράζω· σὴ γὰρ ἡ κρίσις.
οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε
τὸ ῥῆμα· καὶ ποῦ τοῦτο φυλάξεσθαι δοκεῖς.
πέφευγα. τἀληθὲς γὰρ ἰσχυρὸν βλέπω.

Οὐ δ' αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ. — Σοφοκλέους.
τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει.

Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει,
ξὺν τῷ δικαίῳ γὰρ, μέγ' ἔξεστι φρονεῖν.

Θάρσει λέγων τἀληθὲς, οὐ σφαλεῖ ποτέ. — Εὐριπίδου.



Ayuntamiento de Madrid

Σοφοκλέους. Κ αὶ γὰρ δικαία γλῶσσ' ἔχει κράτος μέγα.

Εὐριπίδου. Ε μοὶ γένοιτο πτωχὸς, εἰ δὲ βούλεται,
πτωχοῦ κάκιον ὅστις ὢν εὔνοις ἐμοὶ
φόβον παρελθὼν τ' ἀπὸ καρδίας ἐρεῖ.

Τοῦ αὐτοῦ. Κ αλόν γ' ἀληθὴς καὶ ἀπηνὴς παρρησία.

Σοφοκλέους. Α ἰδὼς γὰρ ἐν κακοῖσιν, οὐδὲν ὠφελεῖ.
ἡ γὰρ σιωπὴ, τῷ λαλοῦντι σύμμαχος.

Εὐριπίδου. Λ ελεγμένον· οὐδ' εἰ πέλεκυν ἐν χεροῖν ἔχων,
μέλλοι τις ἐς τράχηλον ἐμβαλεῖν ἐμόν.
σιγήσομαι, δίκαιά τ' αὐτ' εἰπεῖν ἔχων.

Φ εῦ φεῦ· βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα,
χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων.

Θ άρσει, τό τοι δίκαιον ἰσχύει μέγα.

Μοσχίωνος. Ο μως τόγε ὀρθὸν καὶ δίκαιον οὔποτε
σιγῇ παρήσω· τὴν γὰρ ἐντεθραμμένην
ἀστοῖς ἀθηναίας τῆς τε θησέως πόλει
καλὸν φυλάξαι γνησίῳ παρρησίᾳ.

Εὐριπίδου. Α πὰρ σιωπᾶν τάγε δίκαια οὐ χρή ποτε.

Φ ιλόξενος παραδοθεὶς ὑπὸ διονυσίου ποτὲ εἰς τὰς λατομίας, διὰ τὸ φαυλίζειν τὰ ποιήματα αὐτοῦ, καὶ ἀνακληθεὶς, ἔπειτα πάλιν ἐπὶ τὴν ἀκρόασιν ἄλλων ἐκλήθη, μέχρι τινός ὑπομείνας ἀνέστη. πυθομένου δὲ τοῦ διονυσίου, ποῖ δὴ σὺ, εἰς τὰς λατομίας εἶπεν.

Δημοσθένους. Ο ὐδὲν ἂν εἴη τοῖς ἐλευθέροις μεῖζον ἀτύχημα, τοῦ στέρεσθαι τῆς παρρησίας.

Ἐκ τῶν διογένους διατριβῶν. Ω σπερ οἱ τοῦ ποντικοῦ μέλιτος γεύσασθαι ἐπιχαροῦσιν οἱ ἄπειροι· γευσάμενοι δὲ παραχρῆμα ἐξέπτυσαν δυσχεράναντες, ὅτι πικρόν ἐστι καὶ ἀηδὲς, οὕτω καὶ τὰς διογένους ἀποπειρᾶσθαι μὲν ἤθελον διὰ πολυπραγμοσύνην· ἐλεγχόμενοι δὲ, ἀπεστρέφοντο καὶ ἔφευγον. καὶ ἄλλων μὲν ἥδοντο λοιδορουμένων, αὐτοὶ δ' ἐφοβοῦντο καὶ ἀνεχώρουν. καὶ εἰ μὲν ἔσκωπτε καὶ ἔπαιζεν ὥσπερ εἰώθει ἐνίοτε, ὑπερφυῶς ἔχαιρον, κατατεινομένου δὲ καὶ σπουδάζοντος, οὐχ ὑπέμειναν τὴν παρρησίαν.

Ἐν ταὐτῷ. Ε π' αὐτόν γε τὸν ἀντισθένην παραβάλλων πρὸς τοὺς λόγους ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον. καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα λοιδορῶν. αὐτοῦ γὰρ οὐκ ἀκούειν φθεγγομένου μέγιστον. καὶ ἀντισθένης ἀμυνόμενος, ἀντὶ τῆς σάλπιγγος ἔλεγε σφηξὶν ὅμοιον αὐτὸν εἶπε. καὶ γὰρ τῶν σφηκῶν

Ayuntamiento de Madrid

τὸν μὲν ψόφον τῶν πτερῶν, εἶναι μικρόν· τὸ δὲ κέντρον, δριμύτατον, ἔχαι-ρεν οὕτω τῇ παῤῥησίᾳ τοῦ διογένους.

Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα. Σόλωνος.

Συγγενείᾳ καὶ ἄρχοντι πλὴν ἐλευθερίας πάντα εἰκαστέα. Πυθαγόρου.

Ὅμοιον ἀψινθίου τὸ δριμὺ καὶ λέγειν παῤῥησίαν ἐκκόψαι. Ἐκ τῶν Ἀρι-

Ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνει, τοῖς δὲ κατὰ φύσιν ἡδύ ἐστιν, οὕτω καὶ οἱ ἐκ φιλοσοφίας λόγοι. στωνύμου.

Τὴν αὐθτίμησιν ὁ διογένης, ἀλλότριον ἀγαθὸν ἔλεγεν εἶναι. Ἐκ τῶν Δίω-

Διογένης, ἀττικοῦ τινὸς ἐγκαλοῦντος αὐτῷ, διότι λακεδαιμονίους μᾶλλον ἐπαινῶν παρ' ἐκείνοις οὐ διατρίβει· οὐδὲ γὰρ ἰατρὸς εἶπεν ὑγείας ὢν ποιητικὸς, ἐν τοῖς ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται. νος χρειῶν.

Κρεῖσσον τὰ οἰκεῖα ἁμαρτήματα ἐλέγχειν, ἢ τὰ ὀθνεῖα. Δημοκρί-

Ὁ διογένης ἔλεγεν ὅτι οἱ μὲν κύνες, τοὺς ἐχθροὺς δάκνουσιν ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω. του.

Ἀντιπάτρῳ, ἀγροῖκος ἄνθρωπος ἐπεδίδου βιβλίον εὐτυχίαν ἔχον. ὁ δὲ, οὐ σχολάζω ἔφη· καὶ μὴ βασίλευε εἶπεν ἐκεῖνος, εἰ μὴ σχολὴν ἄγεις. Ἐκ τῶν στεφά-νου.

Πρεσβῦτις δικαζομένη ἐπὶ φιλίππου, ὡς οὐ    ζοντα ἐπὶ τὰ μέλλοντα ἀποφαίνεσθαι, ἐδεῖτο συγχωρῆσαι αὐτῇ ἐφεῖναι. ὁ δὲ, ἐπὶ τίνα εἶπεν. ἐπὶ φοιτῶντα ἀπεκρίνατο ἐγρηγορότα. Ἐν ταυτῷ.

Δημοκράτης ἰδὼν κλέπτην ὑπὸ τῶν ἕνδεκα ἀπαγόμενον, ἄθλιε εἶπε. τί γὰρ τὰ μικρὰ ἔκλεπτες, ἀλλ' οὐ τὰ μεγάλα, ἵνα καὶ σὺ ἄλλους ἀπῆγες.

Ἱπποκράτην ἔπειθέ τις πρὸς ξέρξην ἀπαίρειν, χρυσὸν εἶναι φάσκων βασιλέα. ὁ δὲ, οὐ δέομαι ἔφη χρυσοῦ δεσπότου.

Δημοσθένης πρὸς κλέπτην εἰπόντα οὐκ ᾔδειν ὅτι σόν ἐστιν, ὅτι δὲ ἔφη σὸν οὐκ ἔστιν ᾔδεις;

Τὰ ἁμαρτήματά σου πειρῶ μὴ λόγοις ἐπικαλύπτειν, ἀλλὰ θεραπεύειν ἐλέγχοις. Πυθαγόρου.

Οὐχ οὕτω χαλεπὸν ἁμαρτάνειν, ὡς τὸ ἁμαρτάνοντα μὴ ἐξελέγχειν.

Ὥσπερ σωματικὸν πάθος οὐ κρυπτόμενον, οὐδὲ ἐπαινούμενον ὑγιάζεται, οὕτως οὐδὲ ψυχὴ κακῶς φρουρουμένη καὶ συναγορευομένη θεραπεύεται.

Διονύσιος ὁ τύραννος ἀτιμάζων αὐτὸν διὰ τὴν πρὸς δίωνα φιλίαν, κατέκλινεν αὐτὸν ἐν τῇ ἐσχάτῃ χώρᾳ. καὶ μυκτηρίζων εἶπον ὁ πλάτων ἐνθένδε ἀπελθὼν, πολλὴν ἐν ἀκαδημίᾳ λέγον καθ' ἡμῶν διαθήσει. ὁ δὲ, μὴ λόγων ἔφη Πλάτωνος



Ayuntamiento de Madrid

γένοιτο τοσαύτη ἀπορεία, ὥστε περὶ σοῦ διαλέγεσθαι.

Διογένης ἤρετο Πλάτωνα, εἰ νόμους γράφει. ὁ δὲ, ἔφη. τί δαὶ πολιτείαν οὐκ ἔγραψας; πάνυ μὲν οὖν. τί οὖν ἡ πολιτεία νόμους οὐκ εἶχεν; εἶχεν. τί οὖν ἔδει σε πάλιν νόμους γράφειν.

Αἰσχίνου. Τιμόθεος ὁ Κόνωνος πρὸς Ἀριστοφῶντα τὸν Ἀζηνιέα, πάντων ἄριστα ἔχοντα λόγον, εἶπεν· ἐπεὶ γὰρ ἄσωτος ἦν ὁ Ἀριστοφῶν, πικρότατα αὐτοῦ καθίκετο ὁ Τιμόθεος εἰπὼν, ᾧ ἱκανὸν οὐδὲν, τούτῳ γε αἰσχρὸν οὐδέν.

ἐκ τῶν Ἀριστωνύμου ὁμοιωμάτων. Φήσαντός τινος λίαν μοι ἐπισκώπτεις, ἔφη· καὶ γὰρ τοῖς ἀπλωνικοῖς, τὰ μὲν δριμέα καὶ πικρὰ ὠφέλιμα· τὰ δὲ γλυκέα βλαβερά.

Οἰκεῖον ἐλευθερίας, παρρησία· κίνδυνος δὲ, ἡ τοῦ καιροῦ διάγνωσις.

Δημοκρ. Ἀλλὰ δικαίου πολίτου κρίνω, τὴν τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι.

Δημοσθ.

ἐκ τοῦ στείνου. Ἡ Λάκαινα πωλουμένη, πρὸς τὸν ἐρόμενόν τι ἐπίστασαι, ἐλευθέρα ἔφη εἶναι.

Θεμιστίου ἐκ τοῦ περὶ ψυχῆς. Εἰ μὲν οὖν ὀρθῶς περὶ Πλάτωνος εἶπε Διογένης, τί δὲ ὄφελος ἡμῖν ἀνδρὸς, ὃς πολὺν ἤδη χρόνον φιλοσοφῶν, οὐδένα λελύπηκεν, ἕτεροι κρινοῦσιν. ἴσως γὰρ ὡς τὸ μὲν δεῖ καὶ τὸν λόγον τοῦ φιλοσόφου τὸ γλυκὺ δηκτικὸν ἔχειν τῶν ἡλκωμένων.

Εὐσεβίου. Παρρησία ἀπὸ γνώμης ἐλευθέρης καὶ ἀλήθειαν ἀσπαζομένης προέρχεται, παρέξεται δὲ αὐτὴν ἀμώμητον, οὐ τὸ πᾶσι καὶ ὡς ἔτυχεν ἐπιτιμᾶν καὶ λοιδορέεσθαι νομίζων τοῦτο εἶναι τὴν παρρησίαν. ἀλλ' εἰ πρὸς οὓς δεῖ, καὶ ὑπὲρ τίνων χρημάτων. καὶ ἐν ᾧ χρὴ μετὰ τοῦ χρησίμου μετὰ τῶν παρισταμένων ξὺν νόῳ προσδιαλέγοιτο.

Ἐχθρὸς ἀληθῆ εἰπὼν τοῦ προσποιουμένου φίλου πρὸς χάριν εἰπόντος, παντὸς αἱρετώτερος.

Σωκράτους. Τῆς παρρησίας ὥσπερ ὥρας ἐν καιρῷ ἡ χάρις ἡδίων.

Οὔτε μάχαιραν ἀμβλεῖαν, οὔτε παρρησίαν ἄπρακτον ἔχειν δεῖ.

Οὔτε ἐκ τοῦ κόσμου τὸν ἥλιον, οὔτε ἐκ τῆς παιδείας ἀρτέον τὴν παρρησίαν.

Ἔστιν ὥσπερ τρίβωνα ῥυπαρὸν ἀπεχόμενον εὐεκτεῖν, οὕτω σοὶ καὶ βίον ἔχοντα πενιχρὸν παρρησιάζεσθαι.

Ἑρμοῦ. Ἔλεγχος γὰρ ἐπιγνωσθεὶς ὦ μέγιστε βασιλεῦ εἰς ἐπιθυμίαν φέρει τὸν ἐλεγχθέντα· ὧν πρότερον οὐκ ᾔδει.

Ayuntamiento de Madrid

## ΛΟΓΟΣ ΔΩΔΕΚΑΤΟΣ.

Ην χλανίδα πάντες ὡς ἔοικεν οὐκ ἐμέ. Ποσιδίππου
προσηγόρευον. οὐδὲ εἷς νῦν μοι λαλεῖ.
Ος τις δὲ τοῖς φίλοισι πάντα πρὸς χάριν Κριτίου.
πράσσων ὁμιλεῖ, τὴν παραυτίχ' ἡδονὴν,
ἔχθραν καθίστησιν εἰς τὸν ὕστερον χρόνον.
Φ ίλους δὲ, τοὺς μὴ χαλῶντας ἐν λόγοις, Εὐριπίδου
κέκτησο. τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
τῇ σῇ πονηροὺς, κλεῖθρον εἰργέτω στέγης. Ζήνωνος.
Ε λεγχε σαυτὸν ὅστις εἶ καὶ μὴ πρὸς χάριν
ἄκουε, ἀφαιροῦ δὲ κολάκων παῤῥησίαν. Εὐριπίδου.
Α ἰνούμενοι γὰρ ἀγαθοὶ, τρόπον τινὰ
μισοῦσι τοὺς αἰνοῦντας, ἂν αἰνῶσ' ἄγαν.
Β αρος τι καὶ τὸ δ' ἐστὶν, αἰνεῖσθαι λίαν.
Τ ὸ τῶν παρασίτων ἄνδρες ἐξεῦρε γένος, Νικολάου.
Διὸς πεφυκὼς ὡς λέγουσι Τάνταλος,
οὐ δυνάμενος δὲ τῇ τέχνῃ χρῆσθαι καλῶς,
ἀκόλαστον εἶχε γλῶσσαν, εἶτ' ἀκουσίῳ
δίφρῳ περιπεσὼν δυναμένῳ λιμὸν ποιεῖν,
τῆς τραπέζης ἐξαπίνης ἀπεστράφη.
ἄφνω δὲ πληγεὶς εἰς μέσην τὴν γαστέρα
ἔδοξεν αὐτῷ γεγονέναι πάνω καὶ κάτω.
σύμπυλόν τε τοῦτον ἀνατετράφθαι τὸν τρόπον
καὶ μάλα δικαίως. φρὺξ γὰρ ὢν, οὐχ ἱκανὸς ἦν
τὴν τοῦ φέροντος εὖ φέρειν παῤῥησίαν.
διὸ δὴ τοιαύτης παντελῶς κακεξίας
ἐν τοῖς βίοις παρὰ πᾶσιν ἐζηλωμένης.
πικρῶς ἐκπλῆξαι βούλομαι ἄνπερ νὴ Δία
παῤῥησίαν μοι δῶτε τοὺς ἀσυμβόλους.
τἀλλότρια δειπνεῖν ἑλομένους ἄνευ πόνου.
τί γὰρ μαθὼν ἄνθρωπε πρὸς τῶν δαιμόνων



Ayuntamiento de Madrid

βούλει παρασιτεῖν. ἢ τί τῶν ἐν τῷ βίῳ·
ξυνῆκας. εἶπον, ἄξιον γὰρ εἰδέναι.
τίνος μαθητὴς γέγονας. αἵρεσιν τίνα
κλοῖς ἀπὸ τίνων δογμάτων ὁρμώμενος,
τολμᾷς παρασιτεῖν. ἃ μόλις ἡμεῖς τὸν βίον
πάντα καταρρίψαντες, οὐδὲ νῦν ἔτι
ἀνεῳγμένην δυνάμεθα τὴν θύραν ἰδεῖν,
διὰ τοὺς ἄνω, διὰ τ' ἀλλότρια μασωμένους.
οὐ παντὸς ἀνδρός ἐστι τράπεζαν ἔσθ' ὁ πλοῦς.
πλευρὰν ἔχειν πρώτοισι τούτοισι δεῖ.
πρόσωπον ἰταμόν. χρῶμα διαμενόν. γνάθον
ἀκάματον εὐξὺς δυναμένην πληγὰς φέρειν.
στοιχεῖα μὲν ταῦτ' ἐστὶ τῆς ὅλης τέχνης.
ἔπειτα δεῖ σκωπτόμενον ἐφ' ἑαυτῷ γελᾶν.
αἰσχρὸν γὰρ οἶμαι δοῦλον εἶναι σκώμματος.
ἀπὸ τῶν ἐτῶν κλέπτει τίς, ἢ καὶ βλάπτεται
θέλων καλὸς εἶναι, καὶ παρ' ἡλικίαν νοσεῖ.
ἔσω γανυμήδης οὕτως ἀποθεούμενος.
πρὸς χάριν ὁμιλεῖ τοῦ τρέφοντος ἐπ' ὀλέθρῳ.
παράπτεταί τις καὶ ποιεῖ πάντας νεκροὺς
δείπνῳ. σιωπῇ τοῦτον ὑπομυκτηρίσας
εἰς τὴν τράπεζαν καὶ σὺ τὴν χολὴν ἄφες.
οἶμαι δ' ἐμαυτὸν εὔθετον τοῖς πράγμασι.
παῖδες γεγονέναι, πάντα γὰρ πρόσεστί μοι.
ὅσα περ ἔχειν τ' ἀλλότρια τὸν δειπνοῦντα δεῖ
λιμὸς ἀπόνοια. τόλμα. γαστὴρ, ἀργία
καὶ νῦν μελλόντων τῶν πολυχρύσων ἄναξ
σύνδειπνον αὐτῷ κέκληκεν εἶναι φίλον.

**Δημοκρίτου.** Ε ὐλογεῖν ἐπὶ καλοῖς ἔργμασι, καλόν. τὸ γὰρ ἐπὶ φλαύροισι, κίβδηλον καὶ ἀπατεῶνος ἔργον.

**Ἐκ τῶν Ἀριστωνύμου.** Τ ὰ μὲν ξύλα τὸ πῦρ αὔξοντα, ὑπ' αὐτοῦ καταναλίσκεται. ὁ δὲ πλοῦτος ἐκτρέφων τοὺς κόλακας, ὑπ' αὐτῶν τούτων διαφθείρεται.

**Ἐκ τῶν Σωτίωνος.** Ο ἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι. πρὸς δὲ τὸ ξηρὸν, οὐκ ἐξοκέλλουσιν. οὕτως οἱ κόλακες ἐν εὐδίᾳ παραμένουσιν, ὡς

Ayuntamiento de Madrid

καὶ οἱ τοὺς φίλους εἰς ἀποδημίαν προπέμποντες, μέχρι τῆς λείας συμπαρακολουθοῦσιν, ἐπειδὰν δὲ εἰς τραχεῖαν ἔλθωσιν, ἀπίασιν.

Ἔστι δὲ οὐκ ἀξιόπιστος ἔπαινος, ὃν ἐπαινεῖ τις ἕτερον, διὰ τὸ ἑαυτοῦ συμφέρων. Φαβωρίνου.

Ὥσπερ ὁ Ἀκταίων, ὑπὸ τῶν τρεφομένων ὑπ' αὐτοῦ κυνῶν ἀπέθανεν, οὕτως οἱ κόλακες τοὺς τρέφοντας, καταλύουσιν.

Εἴσοδος δὲ ἦν παρ' αὐτὴν οὐκ ὀλίγη· τῶν μὲν, τοῦ ἤθους τὴν ὠφέλειαν ἀποδεχομένων· τῶν δέ τι καὶ δεομένων ἴσως· τῶν δὲ πολλῶν συνήθως νοσούντων, καὶ οἰκείᾳ φύσει χρωμένων· οἳ τοὺς πλουτοῦντας ὥσπερ τι κρεῖττον θαυμάζοντες φθείρεσθαι, πρὸς τὰς τούτων θύρας εἰώθασι· κἂν μηδ' ὁπωσοῦν τῆς εὐπορίας μεθέξειν μέλλωσι. Θεοδώρου.

Ἐπὶ τῆς κολακείας, ὥσπερ ἐπὶ μνήμασι, αὐτὸ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται. Διογένους.

Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες, τοὺς πιστεύσαντας ἀδικοῦσι. Ἰσοκράτης.

Κράτης τοὺς κόλακας ἔφη, συγκατανευσιφάγους.

Ἀντισθένης αἱρετώτερον φησὶν εἰς κόρακας ἐμπεσεῖν, ἢ εἰς κόλακας· οἱ μὲν γὰρ ἀποθανόντος τὸ σῶμα· οἱ δὲ, ζῶντος τὴν ψυχὴν λυμαίνονται.

Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον, ἢ τοῖς κολακεύουσιν, ὡς δ' ἐχθρῶν χείρονας ἐκτρέπου τοὺς κολακεύοντας. Πυθαγόρας.

Ἀντισθένης ἔλεγεν, ὥσπερ ταῖς ἑταίραις τἀγαθὰ πάντα εὔχεσθαι τοῖς ἐρασταῖς παρεῖναι, πλὴν νοῦ καὶ φρονήσεως, οὕτω καὶ τοὺς κόλακας οἷς σύνεισι.

Κράτης πρὸς νέον πλούσιον πολλοὺς κόλακας ἐπισυρόμενον, νεανίσκε εἶπεν ἐλεῶ σου τὴν ἐρημίαν.

Ἡ τῶν κολάκων εὔνοια, καθάπερ ἐκ ῥοπῆς φεύγει τὰς ἀτυχίας. Σωκράτης

Θηρεύουσι τοῖς μὲν κυσὶ τοὺς λαγωοὺς οἱ κυνηγοὶ, τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί.

Οἱ μὲν λύκοι, τοῖς κυσίν· οἱ δὲ κόλακες, τοῖς φίλοις ὄντες ὅμοιοι, ἀνομοίων ἐπιθυμοῦσιν.

Ἔοικεν ἡ κολακεία, γραπτῇ πανοπλίᾳ, διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ οὐδεμίαν παρέχεται.

Ἑώρων γὰρ καὶ τότε καὶ νῦν ὁρῶ τὰς μεγάλας οὐσίας, καὶ ὑπερόγκους τῶν τε ἰδιωτῶν, καὶ τῶν μονάρχων σχεδὸν ὅσῳπερ ἂν μείζους ὦσι, τοσούτῳ πλείους Πλάτωνος

G iiii

Ayuntamiento de Madrid

καὶ μείζους τοὺς διαβάλλοντας, καὶ πρὸς ἡδονὴν μετὰ αἰσχρᾶς βλάβης τοὺς ὁμιλοῦντας τρεφούσας, οὐ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε, καὶ ἡ τῆς ἄλλης ἐξουσίας δύναμις.

Ὅταν δέ τις ἐν τούτοις ἀγωνίζηται ὥσπερ καὶ ἐπαινεῖ, οὐδὲν μέγα δοκεῖν δεῖ λέγειν.

## ΠΕΡΙ ΑΣΩΤΕΙΑΣ

## ΛΟΓΟΣ ΙΓ'.

Μενάνδρου. Τοὺς τὸν ἴδιον δαπανῶντας ἀλογίστως βίον,
τῷ καλῶς ἀκούειν ταχὺ ποιεῖ πᾶσι κακῶς.
ὁ γὰρ τὸν ἴδιον οἰκονομῶν κακῶς βίον,
πῶς οὗτος ἂν σώσειε τῶν ἔξω τινά.

Εὔφρονος. Ἔργον συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ.
ἐν ἡμέρᾳ δὲ μιᾷ διαφορῆσαι ῥᾴδιον.

Διφίλου. Λαμπρῶς ἐνίοις σώζειν, οἷς χαλεπώτερον
τοῦ περιποιήσασθαί τι τὸ φυλάξαι βίον.

Μενάνδρου. Ἂν μὲν πλέωμεν ἡμερῶν που τεττάρων,
σκεπτόμεθα τὰ ἀναγκαῖα ἑκάστης ἡμέρας.

Φιλήμονος. Ἂν ᾖ δ' ἐφείσασθαί τι τοῦ γήρως χάριν,
οὐ φεισόμεθ' ἐφόδια τότε ποιούμενοι.

Θεόγνιδος. Ὥσπερ ἐγώ, μέσην ὁδὸν ἔρχεο ποσσὶν,
μηδ' ἑτέροισι δίδου κύρνε τὰ τῶν ἑτέρων.

Πυθαγόρου. Μὴ δαπανᾶν παρὰ καιρόν· ἀπειροκάλως ἐνὶ ἡμῶν.
μὴ δ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

Σωκράτης ἰδών τινα προχείρως πάντη χαριζόμενον, καὶ ἀνεξετάστως ὑπηρετούμενον, κακῶς εἶπεν ἀπόλοιο, ὅτι τὰς χάριτας παρθένους οὔσας, πόρνας ἐποίησας.

Διογένης ἄσωτον ᾔτει μνᾶν, τοῦ δὲ εἰπόντος· διατί τοὺς ἄλλους τριώβολα, ἐμὲ δὲ μνᾶν ζητεῖς, ἔφη· παρὰ μὲν τῶν ἄλλων, ἐλπίζω πάλιν· παρὰ δὲ σοῦ, οὐκέτι.

Κράτης τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα, ταῖς ἐπὶ κρημνῶν συκαῖς εἴκαζεν· ἀφ' ὧν ἄνθρωπον μηδὲν λαμβάνειν· κόρακας δὲ καὶ ἰκτίνους ὥσπερ

Ayuntamiento de Madrid

παρὰ τούτων, ἑταίρας ἢ κόλακας.

Τῶν γὰρ ἀνθρώπων οἱ πλεῖστοι κτῶνται μὲν τἀγαθὰ, τῷ καλῶς βουλεύεσθαι· καὶ μηδενὸς καταφρονεῖν, φυλάττειν δ' οὐκ ἐθέλουσι τοῖς ἄλλοις τούτοις. Δημοσθένους

Ἰδὼν πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ τῆς ἄλλων ἀσωτείας, καὶ λέγοντας ἐκ πολλοῦ τοῦ περιόντος ἀναλίσκειν, ἔλεγεν· ἦ που καὶ τοῖς μαγείροις συγγνώσεσθε, ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, ὅτι πλῆθος ἁλῶν ἄλλοις ὑπῆρχεν.

Οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω χαλεπὸν, ὡς τὸ λαβόντα στερηθῆναι. Ξενοφῶντος.

## ΠΕΡΙ ΦΕΙΔΩΛΕΙΑΣ

## ΛΟΓΟΣ ΙΔ'.

Ἃν οἷς ἔχομεν, τοῖς μηδὲ χρώμεθα, Φιλήμονος.
ἃ δ' οὐκ ἔχομεν ζητοῦμεν, ὧν μὲν διὰ τύχην.
ὧν δὲ δι' ἑαυτοὺς ἐσόμεθα ἐστερημένοι.

Μισῶ τύχην συνοῦσαν ἀτυχεῖ σώματι Ἀπολλοδώρου.
ὅστις γὰρ εὐπορῶν παρὸν ζῆν ἡδέως,
κακῶς διάγει, τί αὔτις ἀλλ' ἢ τῇ τύχῃ
μέμφοιτο, διότι δυστυχεῖ σὺν τύχῃ.

Ἐγὼ γὰρ οὐ τὸν πλοῦτον ἴδοιμι ὅσος ἐστὶν, ἀλλ' ὅστις ἄλλον
κέκτηται, ἢ ὑπέρτερός ἐστιν ὧν ἔχει.

Εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος, Εὐριπίδου.
μηδὲν δόμοισι τῶν καλῶν πειράσεται,
ἐγὼ μὲν, οὔ ποτ' αὐτὸν ὄλβιον καλῶ,
φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.

Ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσι δάκρυ
στάζειν· κακὸν δὲ χρημάτων ὄντων ἅλις
φειδοῖ πονηρᾷ μηδὲν εὖ ποιεῖν βροτῶν.

Ὅστις δόμους μὲν ἥδεται πληρουμένους,
γαστρὸς δ' ἀφαιρῶν σῶμα δύστηνος κακοῖ,
τοῦτον νομίζω καὶ θεῶν συλᾶν βρέτη,
τοῖς φιλτάτοις τε πολέμιον πεφυκέναι.

Οὔπω ποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα Μενάνδρου

Ayuntamiento de Madrid

ἄνθρωπον ἀπολαύοντα μηδὲν ὧν ἔχει.
Μ ὴ πάντοθεν κέρδαινε. αἰσχύνου δέ μοι
τὸ μὴ δικαίως εὐτυχεῖν, ἔχει φόβον.
ὁ τρισκακοδαίμων, ὅστις ἐκ φειδωλίας
κατέθετο μῖσος διπλάσιον τῆς οὐσίας.

Θεοκρίτου. Κ άλλιον ὦ 'πιμελητὰ φιλάργυρε τὸ φακὸν ἑλεῖν,
μὴ 'πιτάμνης τὰν χεῖρα διαπρίων τὸ κύμινον.

Μενάνδρου. Α στοργίαν ἔχει τινὰ ὁ σκληρὸς βίος.

Ἀπολλοδώρου. Α λλὰ σχεδόν τι τὸ κεφάλαιον τῶν κακῶν εἴρηκας.
σὺ φιλαργυρίᾳ γὰρ πάντ' ἔνι.

Ἀντιφῶντος. Ω δυστυχεῖς. ὅσοισι τοῦ κέρδους χάριν, ὧν προσθέτ' αἰσχρὰ φαίνετ' εἶναι τῶν καλῶν, ὧν σκοτεῖ γὰρ τῷ φρονεῖν τὸ λαμβάνειν.

Μενάνδρου. Π ερὶ χρημάτων λαλεῖς ἀβεβαίου πράγματος;
εἰ μὲν γὰρ οἶσθα ταῦτα παραμενοῦντά σοι,
πάντα τὸν χρόνον φύλαττε μηδενὶ ἄλλῳ
μεταδιδοὺς, αὐτὸς ὢν δὲ κύριος.
εἰ δὲ μὴ δι' ἑαυτὸν, τῆς τύχης δὲ πάντ' ἔχεις,
τί ἂν φθονοίης ὦ πάτερ τούτων τινί;
αὐτὴ γὰρ ἄλλῳ τυχὸν ἀναξίῳ τινὶ
παρελομένη σοῦ πάντα προσθήσει πάλιν.
διόπερ ἐγώ σέ φημι δεῖν ὅσον χρόνον
εἶ κύριος, χρῆσθαί σε γενναίως πάτερ.
αὐτὸν ἐπικουρεῖν πᾶσιν εὐπόρους ποιεῖν.
ὡς ἂν δύνῃ πλείστους διὰ σαυτοῦ.
τοῦτο γὰρ ἀθάνατόν ἐστι κἄν ποτε πταίσας
τύχῃς ἐκεῖθεν ἔσται ταυτὸ τοῦτό σοι πάλιν.
Π ολλὸν δὲ κρεῖττόν ἐστιν ἐμφανὴς φίλος,
ἢ πλοῦτος ἀφανὴς, ὃν σὺ κατορύξας ἔχεις.

Εὐσεβείου. Α νὴρ μεγάλα ἔχων χρήματα, ἀποτεθησαυρισμένα, ἔπειτα γνώμῃ μὴ τῇ ἑωυτοῦ ἐς μηδὲν τῶν δεόντων οἷός τε ἐὼν αὐτοῖς χρέεσθαι. ἔοικε τῷ τὰ ἐν τοῖς δημοσίοις ἀποκείμενα πεπιστευκότι ἑωυτοῦ εἶναι. δόξῃ μὲν γὰρ ὁμοίη πλουτέουσι. τό περ δὲ τοῦ κεκτῆσθαί ἐστιν οἰκήιον. τοῦ αὐτοῖς χρέεσθαι ἀπεστέρηται ὁμοίως ἀμφότεροι.

Θεοπόμπου. Ε ἴ τις πλεῖστα τῶν ἀγαθῶν κεκτημένος, μετὰ τοῦ λυπεῖσθαι διάγοι τὸν βίον,

Ayuntamiento de Madrid

ἁπάντων ἂν εἴη καὶ τῶν ὄντων, καὶ τῶν ἐσομένων, ἀθλιώτατος.

Οἱ φειδωλοὶ τὸν τῆς μελίσσης σῖτον ἔχουσιν ἐργαζόμενοι ὡς ἀεὶ βιωσόμενοι. Δημοκρίτου.

Οἱ τῶν φειδωλῶν παῖδες ἀμαθέες γινόμενοι, ὥσπερ οἱ ὀρχησταὶ, οἱ ἐς τὰς μαχαίρας ὀρούοντες, ἢν ἑνὸς μόνου μὴ τύχωσι καταφερόμενοι ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται. χαλεπὸν δὲ τυχεῖν ἑνός. τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν ποδῶν. οὕτω δὲ καὶ οὗτοι ἢν ἁμάρτωσι τοῦ πατρικοῦ τύπου τοῦ ἐπιμελέος, καὶ φειδωλοῦ, φιλέουσι διαφθείρεσθαι.

Φειδώ τοι καὶ λιμὸς, χρηστή, ἐν καιρῷ δὲ καὶ δαπάνη. γινώσκειν δὲ ἀγαθοῦ.

Εἰσί τινες, οἳ τὸν παρόντα μὲν βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ, ὡς ἕτερόν τινα βίον βιωσόμενοι, οὐ τὸν παρόντα. καὶ ἐν τούτῳ παραλειπόμενος ὁ χρόνος οἴχεται. Ἀντιφῶντος.

Ἑτοιμάζονταί τινες διὰ βίου τὰ πρὸς τὸν βίον βιωσόμενοι. μετὰ τὸ λεγόμενον ζῆν οὐ συνορῶντες, ὡς πᾶσιν ἡμῖν θανάσιμον ἐγκέχυται τὸ τῆς γενέσεως φάρμακον. Μητροδώρου.

Βίος ἀνεόρταστος, μακρὴ ὁδὸς ἀπανδόκευτος. Δημοκρίτου.

Οὐ μὴν ἀλλὰ καὶ μικρολογία, καὶ γλισχρότης ἐνίους ἀναγκάζει πιεζομένους οἴκοι τὰς ἐπιθυμίας, καὶ κατάπασιν αὐαίνονται ἐμπίπλασθαι παρ' ἑτέρων τῶν πολυτελῶν, καὶ ἀπολαύειν καθάπερ ἐκ πολεμίας ἀφειδῶς ἐπισιτιζομένους εἶτα κακῶς διατεθέντες ἀπιᾶσιν εἰς τὴν ὑστεραίαν. ἐφόδιον τῆς ἀσιτίας, τὴν ἀπεψίαν ἔχοντες. Πλουτάρχου.

Θεόκριτος τοὺς πολλοὺς τῶν πλουσίων ἔλεγεν, ἐπιτρόπους εἶναι, ἀλλὰ μὴ δεσπότας τῶν χρημάτων.

Ἄνδρα χρήματα μεγάλα ἔχοντα ἀποτεθησαυρισμένα, καὶ τοῦ θησαυρίζειν αὐτοῦ τούτου ἕνεκα ἐπικτώμενον, καὶ ὅπως ἀεί τοι τοῖς παροῦσι προσθείη χρήματα ἔχοντα, μήτε δὲ εἰς ἑαυτὸν, μήτε εἰς ἄλλό τι τῶν χρησίμων ἀναλίσκοντα, μήποτε πλουτεῖν ἀποφήνειε. φύλακα δὲ ἢ πενεστὴν εἶναι ἀλλοτρίων χρημάτων. καὶ πόνους ἔχειν αἱρεῖσθαι πολλάκις, καὶ πιστέων τῷ μηδὲν προσήκουσιν ἐπικτώμενον. Εὐσεβείου.

Ὅπως δὲ καὶ τοῦτο εἰδέναι ᾖς ὦ Κροῖσε. ἐγὼ γὰρ τοὺς πλεῖστα ἔχοντας καὶ φυλάττοντας πλεῖστα, εὐδαιμονεστάτους ἡγοῦμαι. οἱ γὰρ τὰ τείχη φυλάττοντες, οὗτοι ἂν εὐδαιμονέστατοι εἴησαν, πάντα γὰρ τὰ ἐν ταῖς πόλεσι φυλάττουσιν. ἀλλ' ὃς ἂν πλεῖστα κτᾶσθαί τε δύνηται σὺν τῷ δικαίῳ, καὶ χρῆσθαι πλείστοις σὺν τῷ καλῷ, τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω καὶ τὰ χρήματα. Ξενοφῶντος.

Ayuntamiento de Madrid

Σωκράτους. Ὁ τοῦ φιλαργύρου πλοῦτος, ὥσπερ ὁ ἥλιος καταδὺς εἰς τὴν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει.

Ἐπικούρου. Γεγόναμεν ἅπαξ· δὶς οὐκ ἔστι γενέσθαι· δεῖ δὲ τὸν αἰῶνα μηκέτ' εἶναι. σὺ δὲ τῆς αὔριον οὐκ ὢν κύριος, ἀναβάλλῃ τὸν καιρόν. ὁ δὲ πάντων βίος μελλησμῷ παραπόλλυται. καὶ διὰ τοῦτο ἕκαστος ἡμῶν, ἀσχολούμενος ἀποθνήσκει.

Ἀντιφῶντος. Ἔστι δέ τις λόγος, ὡς ἄρα ἰδὼν ἀνὴρ ἄνδρα ἕτερον ἀργύριον ἀναιρούμενον πολὺ, ἐδεῖτο οἱ δανεῖσαι ἐπὶ τόκῳ, ὁ δ' οὐκ ἠθέλησεν, ἀλλ' ἦν οἷος ἀπιστεῖν τε καὶ ὠφελεῖν μηδένα, φέρων δ' ἀπέθετό ποι δή, καί τις καταμαθὼν τοῦτο ποιοῦντα, ὑφείλετο. ὑστέρῳ δὲ χρόνῳ ἐλθὼν, οὐχ εὑρίσκει τὰ χρήματα ὁ καταθέμενος. περιαλγῶν οὖν τῇ συμφορᾷ τά τε ἄλλα, καὶ ὅτι οὐκ ἔχρησε τῷ δεομένῳ, ὃ ἂν αὐτῷ καὶ σῶον ἦν, καὶ ἕτερον προσέφερεν. ἀπαντήσας δὲ τῷ ἀνδρὶ τῷ τότε δανειζομένῳ, ἀπωλοφύρετο τὴν συμφοράν, ὅτι ἐξήμαρτε. καὶ ὅτι οἱ μεταμέλει οὐ χαρισαμένῳ, ἀλλ' ἀχαριστήσαντι. καὶ πάντως οἱ ἀπολλόμενον τὸ ἀργύριον. ὁ δ' αὐτὸν ἐκέλευε μὴ φροντίζειν, ἀλλὰ νομίζειν αὐτὸ εἶναι καταθέμενον λίθον εἰς τὸ αὐτὸ χωρίον. πάντως γὰρ οὐδ' ὅτε ἦν σοι, ἐχρῶ αὐτῷ. ὅθεν μηδὲ νῦν νόμιζε στέρεσθαι μηδενός, ὅτῳ γάρ τις μὴ ἐχρήσατο, μηδὲ χρήσεται ὄντος, ἢ μὴ ὄντος αὐτῷ οὐδὲν, οὔτε πλέον οὔτε ἔλασσον βλάπτεται. ὅταν γὰρ ὁ θεὸς μὴ παντελῶς βούληται ἀγαθὰ διδόναι ἀνδρὶ, χρημάτων πλοῦτον παρασχὼν, τοῦ φρονεῖν καλῶς πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος, ἑκατέρων ἀπεστέρησεν.

Ayuntamiento de Madrid

## ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

## ΠΕΡΙ ΕΓΚΡΑΤΕΙΑΣ

### ΛΟΓΟΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΣ.

Ζῆν αἰσχρὸν αἰσχρῶς, τοῖς καλῶς πεφυκόσιν. Σοφοκλέους.
οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας
τέρπειν ὅπου μὴ καὶ δίκαια τέρψεται.

Γ αστρὸς δὲ πειρῶ πᾶσιν ἡνίαν κρατεῖν, Χάρητος.
μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν.
ἀεὶ δὲ τοῦ δέοντος ἐνδεῖται πλέον.
ὅστις δὲ μὴ γαστρὸς κρατεῖν ἐπίσταται,
τὰ πλεῖστα τῶν κακῶν ἔχει κακά.

Α λλ' οὐ γὰρ αὐδᾶν ἔσθ' ἃ μὴ δὲ δρᾶν καλά. Σοφοκλέους.
ὅσοι δὲ φιλοσοφοῦντες ἐκμοχθοῦσί τι,
ἐνταῦθ' ὑπάρχει τῷ βίῳ γαστρὸς κρατεῖν.
διδάσκαλος γὰρ οὖσα ἡ εὐτέλεια
τῶν σοφῶν, καὶ τῶν ἀρίστων γίνεται βουλευμάτων.

Ε ξουσία δὲ μήποτ' ἐντυχὼν τέκνον Εὐριπίδου.
αἰσχροὺς ἔρωτας δημοτῶν διώκαθεν.
ὃ καὶ σίδηρον ἀνοχάς τ' ἐφέλκεται.
χρηστῶν πενήτων ἦν τις αἰσχύνη τέκνα.

Γ αντὸς καλοῦ κτήματος πόνος προηγεῖται ὁ κατ' ἐγκράτειαν. Πυθαγόρου.

Τ ίδαὶ τοῖς ἀνθρώποις χρωμένοις ἐμμελῆ καὶ εὐάρμοστον ἕξιν πρός τε τοὺς διαφέροντας τρόπους εὐκοινώνητον, ἄρχειν τε καὶ ἄρχεσθαι δυναμένην, ἐν μέρει τῷ προσήκοντι. τούτοις δ' ἕπεται τὰ ἔθη καὶ τὰ ἐπιτηδεύματα, περί τε ἐγκράτειαν ἡδονῶν, καὶ περὶ τὴν ἀρχὴν τῶν ἐπιθυμιῶν. ἀλλὰ δεῖ διὰ τῶν ἡδονῶν τὸ ἀκόλαστον ἐξ ἅπαντος τρόπου καὶ ἄμετρον ἐξορίζοντα.

Φ ωκίωνι ὁ παῖς πλείω τῶν εἰωθότων ὄψων ἐπρίατο. ὁ δέ, οἰμώξῃ ἔφη, ἐὰν

Ayuntamiento de Madrid

τοῦ φαγεῖν πλείω ὑποφαγεῖν παρασκευάζῃς.

Ἐκ τῶν σιμωνος. Μέμνησο μέν τοι λιμοῦ καὶ δίψης, ταῦτα γὰρ δύναται μεγάλα τοῖς σωφροσύνην διώκουσι.

Πυθαγόρου. Ῥώμην μεγίστην καὶ πλοῦτον, τὴν ἐγκράτειαν κτῆσαι.

Πυθαγόρας παρηγγύα, μὴ πυκνὰ τὸν ἄνθρωπον ἀπὸ τοῦ ἀνθρώπου μὴ δεῖν συνεχῶς ἀφροδισιάζειν ἀντιπτόμενος.

Ἀπολλώνιος ἀδυμένη. Ζηλώσωμεν τὴν αὐτάρκειαν, οὐχ ὅπως τοῖς εὐτελέσι καὶ λιτοῖς πάντων χρώμεθα, ἀλλ' ὅπως θαρρῶμεν πρὸς αὐτά.

Μηδέν με δόξῃς ῥαδίως ἄλλοις παραινεῖν, αὐτὸς γὰρ ὑπὸ τῆς μάζης, καὶ τῆς ἄλλης τῆς ἀκολούθου ταύτῃ διαίτης ὤν, τοιαῦτα ὑμῖν παρεγγυῶ.

Διογένης καθαρὸν λαβὼν ἄρτον ἐξέβαλε τῆς πήρας τὸν αὐτόπυρον αὐτῶν. ὦ ξένε τυράννοις ἐκποδὼν μεθίστασο.

Σωκράτης. Ἑορτῆς οὔσης παρὰ τοῖς ἀθηναίοις, ἐφιλοτιμήσατο ὁ ἀλκιβιάδης δῶρα πολλὰ πέμψαι τῷ σωκράτει. τῆς οὖν ξανθίππης καταπλαγείσης, καὶ τὸν σωκράτην λαβεῖν αὐτὰ ἀξιούσης, ἔφη. ἀλλὰ καὶ ἡμεῖς τῇ τοῦ ἀλκιβιάδου φιλοτιμίᾳ παραταξόμεθα, μὴ λαβεῖν τὰ πεμφθέντα, ἀντιφιλοτιμησάμενοι.

Ἀρίστιππ. Κρατεῖ ἡδονῆς, οὐχ ὁ ἀπεχόμενος, ἀλλ' ὁ χρώμενος μέν, μὴ προεκφερόμενος δέ, ὥσπερ καὶ νεὼς καὶ ἵππου, οὐχ ὁ μὴ χρώμενος, ἀλλ' ὁ μετάγων ὅποι βούλεται.

Περικλῆς σοφοκλέους εὐπρεπῆ παῖδα δεικνύντος αὐτῷ, ὦ σοφόκλης εἶπε. τὸν σώφρονα στρατηγὸν, οὐ μόνον τὰς χεῖρας, ἀλλὰ καὶ τὴν ὄψιν ἔχειν παρ' ἑαυτῷ δεῖ.

Ἐκ τῶν ἐπικτήτου. Ὅταν ἡδονῆς τινος φαντασίαν λάβῃς, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων φαντασιῶν φυλάσσου, μὴ συναρπάζῃ ταχέως. ἀλλὰ ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ μικρὰν ἀναβολὴν αὐτὸς παρὰ σαυτοῦ λάβε. εἶτα ἐπισκοπήσας τὴν φαντασίαν, καθ' οὓς ἔχεις κανόνας, μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὧν ἀπολαύσας μετὰ τῆς ἡδονῆς ἡττώμενος μετανοήσεις, καὶ λοιδορήσεις σεαυτῷ. ἀπεχόμενος δὲ χαίρεις καὶ ἐπαινεῖς αὐτὸς ἑαυτόν. ἐὰν δὲ εὔκαιρον φαίνηται ἅψασθαι τοῦ πράγματος, μέμνησο ἵνα σου μὴ κρατήσῃ τὸ προσηνὲς αὐτοῦ καὶ ἀγωγόν, ἀλλὰ πειρῶ κρατεῖν τῶν ἡνιῶν.

Δημοσθένης. Δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω παρᾶσθαι ποιεῖν.

Σωκράτης ἐρωτηθεὶς, τίνι τῶν ἄλλων ἀνθρώπων διαφέρει, εἶπε. καθόσον οἱ

Ayuntamiento de Madrid

μὲν λοιποὶ ζῶσιν, ἵν' ἐσθίωσιν, αὐτὸς δὲ ἐσθίω ἵνα ζῶ.

Χάρις τῇ μακαρίᾳ φύσει, ὅτι τὰ ἀναγκαῖα ἐποίησεν εὐπόριστα, τὰ δὲ δυσπόριστα οὐκ ἀναγκαῖα. Ἐπικούρου.

Εἰ βούλει πλούσιόν τινα ποιῆσαι, μὴ χρημάτων προσθίθει, τῆς δὲ ἐπιθυμίας ἀφαίρει.

Ξενοκράτης, εἴ ποτε στάμνον οἴνου ἀνοίξειεν, ἔφθανεν ὁ οἶνος τρεπόμενος πρὶν ἀναλωθῆναι. καὶ τὰ ὄψα δὲ πολλάκις ἕωλα ἐξέρριπτεν. ὅθεν καὶ ἡ παροιμία, τὸ ξενοκράτους τυρίον· ἐπὶ τῶν ἐπὶ πολὺ παραμενόντων, καὶ μὴ τάχιστα ἀναλισκομένων. Παροιμία.

Ἀγνώμων, ὁ μὴ λυπούμενος ἐφ' οἷσιν οὐκ ἔχει· ἀλλ' οὐ χαίρων ἐφ' οἷσιν ἔχει. Δημοκρίτου.

Τεθνάναι πολλῷ κρεῖττον, ἢ δι' ἀκρασίαν τὴν ψυχὴν ἀμαυρῶσαι.

Σωκράτης ἐγκράτειαν, τὸ κρατεῖν τῆς ἐν τῷ σώματι ἡδονῆς ἔφη. Πυθαγόρου.

Χρύσιππος ὁ σολεὺς, ἐποιεῖτο τὸν βίον ἐκ πάνυ ὀλίγων, κλεάνθης δὲ, καὶ ἀπὸ ἐλαττόνων.

Ἐπίκουρος ὁ γαργήττιος κέκραγε λέγων. ᾧ ὀλίγον, οὐχ ἱκανὸν, τούτῳ γε οὐδὲν ἱκανόν. ἔλεγε δὲ ἑτοίμως ἔχειν, καὶ τὸ Δὶ ὑπὲρ εὐδαιμονίας δεῖ ἀγωνίζεσθαι, μάζαν ἔχων καὶ ὕδωρ.

Σωκράτης ἐρωτηθεὶς, πῶς ἂν γένοιτό τις πλούσιος, εἰ τῶν ἐπιθυμιῶν ἔφη ἂν πένης.

Εἰ δὲ δὴ καὶ ἐγκράτεια καλόν τε, καὶ ἀγαθὸν ἀνδρὶ κτῆμά ἐστιν, ἐπισκεψώμεθα, εἴ τι προυβίβαζε λέγων εἰς ταύτην τοιάδε· ὦ ἄνδρες, εἰ πολέμου ἡμῖν γενομένου βουλοίμεθα ἑλέσθαι ἄνδρα, ὑφ' οὗ μάλιστα αὐτοὶ μὲν σωζοίμεθα, τοὺς δὲ πολεμίους χειροίμεθα, ἆρ' ὅν τινα ἂν αἰσθανοίμεθα ἥττω γαστρὸς, ἢ οἴνου, ἢ ἀφροδισίων, ἢ πόνου, ἢ ὕπνου τοῦτον αἱροίμεθα; καὶ πῶς ἂν οἰηθείημεν τὸν τοιοῦτον, ἢ ἡμᾶς σῶσαι, ἢ τοὺς πολεμίους κρατῆσαι. εἰ δὲ ἐπὶ τελευτῇ τοῦ βίου γενόμενοι, βουλοίμεθά τῳ ἐπιτρέψαι, ἢ παῖδας ἄρρενας παιδεῦσαι, ἢ θυγατέρας παρθένους διαφυλάξαι, ἢ χρήματα διασῶσαι. ἆρ' ἀξιόπιστον εἰς ταῦτα ἡγησαίμεθ' ἂν τὸν ἀκρατῆ; δούλῳ δ' ἀκρατεῖ ἐπιτρέψαιμεν ἂν, ἢ βοσκήματα, ἢ ταμίαν, ἢ ἔργων ἐπιστασίαν. διάκονον δὲ καὶ ἀγοραστὴν τὸν τοιοῦτον ἐθελήσαιμεν ἂν προῖκα λαβεῖν. ἀλλὰ μὴν εἴγε μὴ δὲ δοῦλον ἀκρατῆ δεξαίμεθ' ἂν, πῶς οὐκ ἄξιον αὐτόν γε φυλάξασθαι τοιοῦτον γενέσθαι. καὶ γὰρ οὐχ ὥσπερ οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι χρήματα, ἑαυτοὺς δοκοῦσι πλουτίζειν, οὕτως ὁ ἀκρατὴς τοῖς μὲν ἄλλοις βλαβερὸς, αὑ[illegible]μος. ἀλλὰ κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ Ξενοφῶντος.

Ayuntamiento de Madrid

πολὺ κακουργότερος· εἴγε κακουργότατόν ἐστι μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. ἐν συνουσίᾳ δὲ, τίς ἂν ἡσθείη τῷ τοιούτῳ ὃν εἰδείη τῷ ὄψῳ καὶ τῷ οἴνῳ χαίροντα μᾶλλον ἢ τοῖς φίλοις· καὶ τὰς πόρνας ἀγαπῶντα μᾶλλον ἢ τοὺς ἑταίρους; ἆρά γε οὐ χρὴ πάντα ἄνδρα ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρώτην ἐν τῇ ψυχῇ κατασκευάσασθαι; τίς γὰρ ἄνευ ταύτης, ἢ μάθοι τι ἀγαθὸν, ἢ μελετήσειεν ἀξιολόγως· ἢ τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν· ἐμοὶ μὲν δοκεῖ νὴ τὴν ἥραν, ἐλευθέρῳ μὲν ἀνδρὶ εὐκτὸν εἶναι μὴ τυχεῖν δούλου τοιούτου. δουλεύοντι δὲ ταῖς τοιαύταις ἡδοναῖς, ἱκετευτέον τοὺς θεοὺς δεσποτῶν ἀγαθῶν τυχεῖν. οὕτω γὰρ ἂν μόνως ὁ τοιοῦτος σωθείη.

Ἐν ταὐτῷ. Οὐκ οἶσθ' ὅτι, ὁ μὲν ἥδιστα ἐσθίων, ἥκιστα ὄψου δεῖται, ὁ δὲ ἥδιστα πίνων, ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ; τάγε μὴν ἱμάτια οἶσθ' ὅτι οἱ μεταβαλλόμενοι, ψύχους καὶ θάλπους ἕνεκα μεταβάλλονται, καὶ ὑποδήματα ὑποδοῦνται, ὅπως μὴ διὰ τὰ λυποῦντα τοὺς πόδας κωλύωνται πορεύεσθαι; οὐκ οἶσθ' ὅτι οἱ φύσει ἀσθενέστατοι τῷ σώματι μελετήσαντες, τῶν ἰσχυροτάτων ἀμελησάντων, κρείττους τε γίνονται πρὸς ἃ ἂν μελετήσωσι, καὶ ῥᾷον αὐτὰ φέρουσιν; ἐὰν δὲ δὴ φίλοις, ἢ πόλιν ὠφελεῖν δέῃ, ποτέρῳ πλείων σχολὴ τούτων ἐπιμελεῖσθαι, τῷ ὡς ἐγὼ νῦν, ἢ τῷ ὡς σὺ μακαρίζεις διαιτωμένῳ· στρατεύοιτο δὲ, πότερος ἂν ῥᾷον, ὁ μὴ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν, ἢ ᾧ τὸ παρὸν ἀρκοίη· ἐκπολιορκηθείη δὲ, πότερος ἂν θᾶττον, ὁ τῶν χαλεπωτάτων εὑρεῖν δεόμενος, ἢ ὁ τοῖς ῥᾴστοις ἐντυγχάνειν ἀρκούντως χρώμενος· ἔοικας ὦ Ἀντιφῶν τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν, καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω, τὸ μὲν μηδενὸς δέεσθαι, θεῖον εἶναι· τὸ δὲ, ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ θείου· καὶ τὸ μὲν θεῖον, κράτιστον· τὸ δ' ἐγγυτάτω τοῦ θείου, ἐγγυτάτω τοῦ κρατίστου.

Ἐπικούρου. Βρυάζω τῷ κατὰ τὸ σωμάτιον ἡδεῖ, ὕδατι καὶ ἄρτῳ χρώμενος· καὶ προσπτύω ταῖς ἐκ πολυτελείας ἡδοναῖς· οὐ δι' αὐτὰς, ἀλλὰ διὰ τὰ ἐξακολουθοῦντα αὐταῖς δυσχερῆ.

Τοῦ αὐτοῦ. Τότε χρείαν ἔχομεν τῆς ἡδονῆς, ὅταν ἐκ τοῦ μὴ παρεῖναι αὐτὴν ἀλγῶμεν· ὅταν δὲ τοῦτο μὴ πάσχωμεν, ἐν αἰσθήσει καθεστῶτες, τότε οὐδεμία χρεία τῆς ἡδονῆς. οὐ γὰρ ἡ τῆς φύσεως ἡδονὴ τὴν ἀδικίαν ποιεῖ ἔξωθεν, ἀλλ' ἡ περὶ τὰς κενὰς δόξας ὄρεξις.

Πλάτων πολλάκις διψῶν, ἐκ τοῦ φρέατος ἀνιμᾶτο ὕδωρ καὶ ἐξέχει· κο-

λάζων

Ayuntamiento de Madrid

λάζων τὴν ἐπιθυμίαν.

Ἐπίκουρος ἐρωτηθεὶς, πῶς ἄν τις πλουτήσειεν, οὐ τοῖς οὖσι προστιθεὶς, ἔφη, τῆς δὲ χρείας τὰ πολλὰ περιτέμνων.

Τῶν ἡδέων τὰ σπανιώτατα γινόμενα, μάλιστα τέρπει.

Δημοκρίτου.

Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα, ἀτερπέστατα ἂν γίγνοιτο.

Ἀνδρεῖος, οὐχ ὁ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρέσσων.

Εὐσεβίου.

Γνώμης ἀνδρὸς ἄριστον ἀπόδειξις ἥδε· μὴ ἐπὶ τῷ σιτέεσθαι ἑωυτὸν νομίζειν γεγονέναι· μηδὲ ἐν τούτῳ τὴν ζωὴν ἡγέεσθαι· μοῦνον δὲ αὐτοῦ τοῦ ζώειν ἕνεκα ἀνθρώποις τροφὴν νομίζειν εὑρῆσθαι.

Ἐγκράτεια, καὶ σώματι ἀγαθόν· πρὸς γὰρ ὑγείην αὐτῷ ξυμμάχεται, καὶ σωφροσύνην ἐν ψυχῇ τίκτει· σωφροσύνη δὲ ἄριστον, καὶ εὔδιον, καὶ βίον ἡρωϊκὸν ψυχῇ παρασκευάζει.

Μουσωνίου ἐκ τοῦ περὶ τροφῆς.

Περὶ δὲ τροφῆς, εἰώθαμεν πολλάκις λέγειν, καὶ πάνυ συντεταμένως· ὡς οὐ περὶ μικροῦ πράγματος, οὐδ᾽ εἰς μικρὰ διαφέροντος, ᾤετο γὰρ ἀρχὴν καὶ ὑποβολὴν τοῦ σωφρονεῖν εἶναι, τὴν ἐν σιτίοις καὶ ποτοῖς ἐγκράτειαν, ἅπαξ δέ ποτε τῶν ἄλλων ἀφέμενος λόγων, οὓς ἑκάστοτε διεξῄει, τοιάδε τινὰ εἶπεν· ὡς χρὴ καθάπερ τὴν εὐτελῆ τῆς πολυτελοῦς τροφὴν προτιμᾶν, καὶ τὴν εὐπόριστον τῆς δυσπορίστου, οὕτω καὶ τὴν σύμφυλον ἀνθρώπῳ τῆς τοιαύτης εἶναι· σύμφυλον ἡμῖν, τὴν ἐκ τῶν φυομένων ἐκ γῆς, ὅσα τε σιτώδη ὄντα, καὶ ὅσα μὴ τοιαῦτα ὄντα δύναται τρέφειν οὐ κακῶς τὸν ἄνθρωπον. καὶ τῶν ἀπὸ τῶν ζώων οὐκ ἀναιρουμένων, ἄλλως δὲ χρησιμευόντων· τούτων δὲ τῶν βρωμάτων ἐπιτηδειότατα μὲν, οἷς αὐτόθεν χρῆσθαι ὑπάρχει δίχα πυρός· ἐπεὶ καὶ ἑτοιμότατα, οἷα δή τά τε ὡραῖα, καὶ τῶν λαχάνων ἔνια καὶ γάλα, καὶ τυρὸν, καὶ κηρία, καὶ ὅσα μέν τοι δεῖται πυρὸς, ἢ σιτώδη, ἢ λαχανώδη ὄντα· καὶ ταῦτ᾽ οὐκ ἀνεπιτήδεια, ἀλλὰ σύμφυλα ἀνθρώπῳ πάντα· τὴν μέν τοι κρεώδη τροφὴν, θηριωδεστέραν ἀπέφαινε, καὶ τοῖς ἀγρίοις ζώοις προσφορωτέραν· εἶναι δὲ ταύτην ἔλεγε καὶ βαρυτέραν, καὶ τῷ νοεῖν τι καὶ φρονεῖν ἐμπόδιον, τὴν γὰρ ἀναθυμίασιν τὴν ἀπ᾽ αὐτῆς θολωδεστέραν οὖσαν, ἐπισκοτεῖν τῇ ψυχῇ· παρὸ καὶ βραδυτέρους φαίνεσθαι τὴν διάνοιαν, τοὺς πλείονι ταύτῃ χρωμένους· δεῖν δὲ τὸν ἄνθρωπον, ὥσπερ συγγενέστατον θεοῖς τῶν ἐπιγείων ἐστὶν, οὕτω καὶ ὁμοιότατα τρέφεσθαι τοῖς θεοῖς, ἐκείνοις μὲν οὖν ἀρκεῖν τοὺς ἀπὸ γῆς καὶ ὕδατος ἀναφερομένους ἀτμοὺς, ἡμᾶς δ᾽ ὁμοιοτάτην ταύτῃ προσφέρεσθαι τροφὴν ἂν εἴη, τὴν κουφοτάτην καὶ καθαρωτάτην· οὕτω δ᾽ ἂν καὶ τὴν ψυχὴν ἡμῶν



Ayuntamiento de Madrid

ὑπάρχειν καθαρὰν τε, καὶ ξηρὰν, ὁποία οὖσα ἀρίστη καὶ σοφωτάτη, ἥπερ καθάπερ Ἡρακλείτῳ δοκεῖ λέγοντι, οὕτως αὖ γῆ ξηρὴ, ψυχὴ σοφωτάτη καὶ ἀρίστη. νῦν δὲ ἔφη πολὺ χεῖρον ἡμεῖς τῶν ἀλόγων ζώων τρεφόμεθα. τὰ μὲν γὰρ, εἰ καὶ σφόδρα τῇ ἐπιθυμίᾳ ὥσπερ μάστιγι τινὶ ἐλαυνόμενα φέρεται πρὸς τὴν τροφὴν, ὅμως τοῦ γε πανουργεῖν περὶ τὰ βρώματα καὶ τοῦ τεχνιτεύειν ἀπήλλακται, ἀρκούμενα τοῖς παραπεσοῦσι, καὶ πλησμονὴν θηρώμενα μόνον, προσωτέρω δ᾽ οὐδέν. ἡμεῖς δὲ τέχνας καὶ μηχανὰς ποικίλας ἐπινοοῦμεν, ὥστε τὴν ἡδονὴν τῆς τροφῆς ἐφηδύνειν, καὶ τὴν κατάποσιν κολακεύειν μειζόνως. ἐς τοῦτο δὲ προεληλύθαμεν λιχνείας, καὶ ὀψοφαγίας, ὥστε καθάπερ μουσικὰ καὶ ἰατρικὰ, οὕτω καὶ μαγειρικὰ πεποίηνται τινὲς συγγράμματα, ἃ τὴν μὲν ἡδονὴν, καὶ πάνυ αὔξει τὴν ἐν τῇ φάρυγγι, τὴν δ᾽ ὑγίειαν διαφθείρει. πολὺ γοῦν κάκιον διακειμένους ὁρᾶν ἔστι τὰ σώματα, τοὺς περὶ τὰ βρώματα τρυφῶντας, ὧν εἰσιν ἔνιοι παραπλήσιοι ταῖς κιττώσαις γυναιξὶ, καὶ γὰρ οὗτοι καθάπερ ἐκεῖναι, τὰ συνηθέστατα τῶν βρωμάτων δυσχεραίνουσι, καὶ τοὺς στομάχους διεφθαρμένους ἔχουσιν, ὅθεν ὥσπερ ὁ ἀχρεῖος σίδηρος συνεχῶς δεῖται στομώσεως, οὕτω καὶ οἱ ἐκείνων στόμαχοι ἐν τῷ ἐσθίειν, συνεχὲς στομοῦσθαι θέλουσιν, ἢ ὑπὸ ἀκράτου, ἢ ὑπὸ ὄξους, ἢ ὑπὸ βρώματός τινος στρυφνοῦ. ἀλλ᾽ οὐχὶ ὁ Λάκων τοιοῦτος, ὅς ἰδών τινα, παρακειμένου αὐτῷ ὀρνιθίου τῶν πλειόνων καὶ πολυτελῶν ὑπὸ τρυφῆς ἀναινόμενον φαγεῖν αὐτὸ, καὶ φάσκοντα μὴ δύνασθαι, ἀλλ᾽ ἐγὼ ἔφη καὶ γυπὸς δύναμαι καὶ φάγον. Ζήνων δέ γε ὁ Κιτιεὺς, οὐδὲ νοσῶν ᾤετο δεῖν τροφὴν προσφέρεσθαι τρυφερωτέραν, ἀλλ᾽ ἐπεὶ ὁ θεραπεύων ἰατρὸς ἐκέλευεν αὐτὸν φαγεῖν νεοττὸν περιστερᾶς οὐκ ἀνασχόμενος, ὡς μάνην ἔφη με θεράπευε. ἠξίου γὰρ οἶμαι, μηδὲν μαλακώτερον ἐν τῇ θεραπείᾳ γίνεσθαι αὐτῷ, ἢ τῶν δούλων τινὶ νοσοῦντι, καὶ γὰρ ἐκεῖνοι θεραπεύεσθαι δύνανται, δίχα τοῦ τροφὴν λαμβάνειν πολυτελεστέραν, δύνασθαι ἂν καὶ ἡμᾶς, δεῖ γὰρ μηδαμῶς τὸν ἀγαθὸν ἄνδρα, δούλου μηδενὸς εἶναι μαλακώτερον, διόπερ ὁ Ζήνων εἰκότως ἠξίου εὐλαβεῖσθαι τὴν πολυτέλειαν ἐν τῇ τροφῇ, καὶ μηδ᾽ ἐπ᾽ ὀλίγον ἐνδιδόναι περὶ τὸ τοιοῦτον, ἐπείπερ ὁ ἐνδοὺς ἅπαξ, προέλθοι ἂν ἐπιπλεῖστον, ἅτε τῆς ἡδονῆς πολλὴν ἐχούσης αὔξησιν ἔν τε πόμασι, καὶ βρώμασι. ταῦτα μὲν τότε καινότερα ἔδοξεν ἡμῖν εἰπεῖν περὶ τροφῆς, ὧν εἰώθει λέγειν ἑκάστοτε.

Ξενοφῶντος ἐν πρώτῃ ἀπομνημονευμάτων.

Δ ἰχίτῃδε, τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα, ᾗ χρώμενος ἄν τις εἰ μήτις δαιμόνιος εἴη, θαῤῥαλέως καὶ ἀσφαλῶς διάγοι, καὶ οὐκ ἂν ἀπορήσαι

τοσαύτης δαπάνης. οὕτω γὰρ εὐτελὴς ἦν, ὥστ' οὐκ οἶδ' εἴ τις οὕτως ἂν ὀλίγα ἐργάζοιτο, ὥστε μὴ λαμβάνειν τὰ Σωκράτει ἀρκοῦντα. σίτῳ μὲν γὰρ τοσούτῳ ἐχρῆτο, ὅσον ἡδέως ἤσθιε. καὶ ἐπὶ τούτῳ οὕτω παρεσκευασμένος εἴη, ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου, ὄψον αὐτῷ εἶναι. ποτὸν δὲ πᾶν ἡδὺ ἦν αὐτῷ, διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη. εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐλθεῖν ἐπὶ δεῖπνον, ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν. ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο. τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν, συνεβούλευε φυλάττεσθαι, μὴ πεινῶντας ἐσθίειν, μὴ δὲ διψῶντας πίνειν. καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας, καὶ κεφαλάς, καὶ ψυχάς, ταῦτα ἔφη εἶναι. οἴεσθε δ' ἔφη ἐπισκώπτων καὶ τὴν Κίρκην ὗς ποιεῖν τοιούτοις πολλοῖς δειπνίζουσαν. τὸν δὲ Ὀδυσσέα Ἑρμοῦ τε ὑποθημοσύνῃ, καὶ αὐτὸν ἐγκρατῆ ὄντα, καὶ ἀποσχόμενον τὸ ὑπὲρ τὸν καιρὸν τῶν τοιούτων ἅπτεσθαι, διὰ ταῦτα οὐ γενέσθαι ὗν. τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων. ἀφροδισίων δὲ παραίνει τῶν καλῶν, ἰσχυρῶς ἀπέχεσθαι, οὐ γὰρ ἔφη ῥᾴδιον εἶναι, τὸν τοιούτων ἁπτόμενον σωφρονεῖν.

Εἰπέ μοι ἔφη ὦ Εὐθύδημε. ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ καὶ πόλει, καὶ κτῆμα ἐλευθερίαν; ὡς οἷόν τέ γε μάλιστα. ὅστις οὖν ἄρχεται ὑπὸ τῶν τοῦ σώματος ἡδονῶν, καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας τὸ ταῦτα ποιεῖν, ἀνελεύθερον νομίζεις; παντάπασιν ἔφη. παντάπασιν ἄρα σοι δοκοῦσιν οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι; νὴ τὸν Δί' εἰκότως. πότερα δέ σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν. οὐδὲν ἧττον ἔμοιγ' ἔφη δοκοῦσι ταῦτα ἀναγκάζεσθαι, ἢ ἐκεῖνα κωλύεσθαι. ποίους δέ τινας δεσπότας ἡγῇ τοὺς τὰ μὲν ἄριστα κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας, ὡς δυνατόν; νὴ Δί' ἔφη κακίστους. δουλείαν ποίαν κακίστην νομίζεις εἶναι. ἐγὼ μὲν ἔφη, τὴν παρὰ κακίστοις δεσπόταις. τὴν κακίστην ἄρα δουλείαν, οἱ ἀκρατεῖς δουλεύουσιν; ἔμοιγε δοκεῖ ἔφη. σοφίαν δὲ τὸ μέγιστον ἀγαθόν, οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία, εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι, καὶ καταμανθάνειν αὐτὰ κωλύειν, ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ πολλάκις αἰσθανομένους τῶν ἀγαθῶν τε, καὶ τῶν κακῶν, ἐκπλήξασα



Ayuntamiento de Madrid

ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι; γίνεται τοῦτο ἔφη. σωφροσύνης δὲ ὦ Εὐθύδημε, τίνι ἂν φαίημεν ἧττον, ἢ τῷ ἀκρατεῖ προσήκειν· αὐτὰ γὰρ δήπου τὰ ἐναντία σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. ὁμολογῶ καὶ τοῦτο ἔφη. τοῦ δ' ἐπιμελεῖσθαι ὧν προσήκει, οἴει τι κωλυτικώτερον ἀκρασίας εἶναι; οὔκουν ἔγωγέ φημι. τοῦ δὲ ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι, ἐκείνων δὲ ἀμελεῖν πείθοντος, καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος, οἴει τι ἀνθρώπῳ κάκιον εἶναι; οὐδὲν ἔφη. οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων, ἢ τὴν ἀκρασίαν εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; πάνυ μὲν οὖν ἔφη. οὐκοῦν καὶ τὸ τῶν ἐναντίων τὸ αἴτιον εἰκὸς ἄριστον εἶναι; εἰκὸς γὰρ ἔφη. ἔοικεν ἄρα ἔφη ὦ Εὐθύδημε, ἄριστον ἀνθρώπων ἐγκράτειαν εἶναι; εἰκότως γὰρ ἔφη ὦ Σώκρατες. ἐκεῖνο δ' ἔφη ὦ Εὐθύδημε ἤδη πώποτε ἐνεθυμήθης; ποῖον ἔφη. ὅτι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ' ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν, αὐτὴ μὲν, οὐ δύναται ἄγειν. ἡ δ' ἐγκράτεια πάντων μάλιστα ἥδεσθαι ποιεῖ; πῶς ἔφη. ἡ μὲν ἀκρασία οὐκ ἐῶσα καρτερεῖν, οὔτε λιμὸν, οὔτε δίψος, οὔτ' ἀφροδισίων ἐπιθυμίαν, οὔτε ἀγρυπνίαν, δι' ὧν μόνων ἔστιν ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν καὶ ἀφροδισιάσαι. ἡδέως δ' ἀναπαύσασθαί τε καὶ κοιμηθῆναί τε περιμείναντας καὶ ἀνασχομένους, ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως ἥδεσθαι. ἡ δ' ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν τὰ εἰρημένα, μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως μνήμης ἐπὶ τοῖς εἰρημένοις. παντάπασιν ἔφη ἀληθῆ λέγεις. ἀλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν καὶ ἀγαθὸν, καὶ τοῦ ἐπιμεληθῆναι καὶ τῶν τοιούτων τινὸς, δι' ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσαι, καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσαι, καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο, καὶ ἐχθροὺς κρατήσαι, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται, οἱ μὲν ἐγκρατεῖς ἀπολαύουσι πράττοντες· οἱ δὲ ἀκρατεῖς, οὐδενὸς μετέχουσι. τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν τοιούτων προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν. κατεχομένῳ ἐπὶ τὸ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδονάς. καὶ ὁ Εὐθύδημος· δοκεῖς μοι ἔφη ὦ Σώκρατες λέγειν, ὡς ἀνδρὶ ἥττονι, τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν, οὐδεμιᾶς ἀρετῆς προσήκει. τί γὰρ διαφέρει ὦ Εὐθύδημε ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀκρατεστάτου. ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων, ἀλλὰ τοῖ(ς) ἐγκρατέσι μόνοις ἔξεστι σκο

Ayuntamiento de Madrid

πτειν τὰ κράτιστα τῶν πραγμάτων καὶ λόγῳ καὶ ἔργῳ, καὶ διαλέγοντας κατὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι. καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ διαλέγεσθαι δυνατωτάτους. ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι, ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι, διαλέγοντας κατὰ γένη τὰ πράγματα.

## ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΑΚΡΑΣΙΑΣ

### ΛΟΓΟΣ ΙϚʹ.

ΤΙ ταῦτ' ἐπαινεῖς; τίς γὰρ οἰνωθεὶς ἀνὴρ — Σοφοκλέους.
ἧσσον μὲν ὀργῆς ἐστί, τοῦ δὲ νοῦ κενός.
φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐκχέας μάτην,
ἄκων ἀκούειν οὓς ἑκὼν εἴπῃ κακῶς.

Ὡς οὐκ ἀνεκτός, ὅστις ἢ πάροινος ὢν — Σκληρίου.
ἢ καὶ μεμηνώς, ὃς μὲν αὑτὸν ἀσφαλής,
ἀεί ποτ' ἐστίν, ὃς δὲ τοὺς πέλας νοσεῖ.

Οἶνός τε πυρὶ ἴσον ἔχει μένος. εὖτ' ἂν ἐς ἄνδρας ἔλθῃ, κυμαίνει δ' οἷα Λίβυσσαν ἅλα βορῆς ἠὲ νότος. τὰ δὲ καὶ κεκρυμμένα φαίνει. βυσσόθεν, αὐτὴ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον. — Ἐρατοσθένους.

Ὁ πολὺς ἄκρατος, ὀλίγ' ἀναγκάζει φρονεῖν, — Μενάνδρου.
οὐ γὰρ τὸ πλῆθος ἂν σκοπῇ τις τοῦ ποτοῦ
ποιεῖ παροινεῖν, τοῦ ποιοῦντος δ' ἡ φύσις.

Τί δὴ ζῆν ὄφελος ᾧ μή 'στι τὸ ζῆν εἰδέναι. — Φιλήμονος
ἀλλ' οἶνος ἦν. οὐδεὶς δὲ μεθύων ἂν σκοπῇς,
ὃς οὐχὶ δοῦλός ἐστι τοῦ πεπωκέναι.
ὅσα μ' οὔτις ἠνάγκαζεν, ἐποίουν ταῦτ' ἐγώ.



Ayuntamiento de Madrid

ὁ πονηρὸς οἶνος οὗτος ἐστὶ νικοφῶν.

Α πᾶς πονηρὸς οἶνος ὁ πολὺς ἐς ἀεί.
ἐμέθυον. ἱκανὴ πρόφασις ἐσθ' ἁμαρτάνειν.

Θεόγνιδος Π ολλῶ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
ἄνδρας, ὅσοι μοίρης πλέον ἤθελον ἔχειν.

Α ἰσχρόν τι μεθύοντα παρ' ἀνδράσι νήφουσιν εἶναι.
αἰσχρὸν δ' ἢ νήφων πὰρ μεθύουσι μένη.

Ο ἶνος πινόμενος πολὺς, κακὸς. ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακὸς ἀλλ' ἀγαθός.

Αἰσχύλου. Κ άτοπτρον εἴδους χαλκός ἐστιν, οἶνος δὲ νοῦ.

Θεόγνιδος Ο ς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτ' ἐκεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου.
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφουσιν γίνετ' αἰσχρά,
αἰδεῖται δ' ἔρδων οὐδὲν, ὅταν μεθύῃ.
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος. ἀλλὰ σὺ ταῦτα
γινώσκων, μὴ πίν' οἶνον ὑπερβολάδην.
ἀλλ' ἢ πρὶν μεθύειν ὑπανίστασο, μὴ δὲ βιάσθω
γαστέρ', ὥστε κακὸν λάτριν ἐφημέριον.

Α φρονος ἀνδρὸς ἄγαν καὶ σώφρονος οἶνος ὅταν δὴ
πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

Ε ν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γινώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον.
καὶ μάλα περ πινυτοῦ, κακότητα δὲ πᾶσαν ἐλέγχει.
ὥστε καταισχύνειν, καὶ τὸν ἐόντα σοφὸν,
οἰνοβαρέω κεφαλὴν ὀνομάκριτε, καί με βιᾶται
οἶνος. ἀτὰρ γνώμης, οὐκέτ' ἐγὼ ταμίης
ἡ μετέρης, τὸ δὲ δῶμα περιτρέχει, ἀλλ' ἄγ' ἀναστὰς
πειρήσω, μή πως καὶ πόδας οἶνος ἔχει.
καὶ νόον ἐν στήθεσι, δέδοικα δὲ μή τι μάταιον
ἔρξω θωρηχθεὶς, καὶ μέγ' ὄνειδος ἔχω.

Ὁμήρου. Ο ἶνος πολύφρονά περ μάλ' ἀέσαι.
καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκε.
καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον.

Μενάνδρου Χ αλεπὸν ὅταν τις ὢν πίνει πλέον λαλῇ.

Ayuntamiento de Madrid

μηδὲν καταδὼς ἀλλὰ προσποιούμενος.

Νῦν δ' οἶνος ἐξέστησέ με, ὁμολογῶ δέ σε Εὐριπίδου
ἀδικεῖν, τὸ δ' ἀδίκημ' ἐγένετ' οὐχ ἑκούσιον.

Οὐκέστιν, ἐμεθύσθην πάτερ λέγοντα ἥμαρτον, ὥστε πρὸς σέ με συγγνώμης Φιλιππί-
τυχεῖν, ὁ γὰρ ἅς τὸν ἀσθενῆ βίᾳ τι πάμφιλε ποιῶν, ὑβρίζειν, οὐχ ἁμαρ- δου.
τάνειν δοκεῖ.

Εἶν' ἄγε δὴ καὶ πῖνε. ἀρετή τίς ἐστι καὶ αὕτη. Πανυασί-
ὅς κεν δρῶν πολὺ πλεῖστον ἐν εἰλαπίνῃ μέθυ πίνῃ, δου.
εὖ καὶ ἐπισταμένως, ἅμα τ' ἄλλον φῶτα κελεύῃ,
ἶσον δ' ὃς ἐν δαιτὶ καὶ ἐν πολέμῳ θοὸς ἀνήρ
ὑσμίνας διέπων ταλαπενθέας, ἔνθα τε παῦροι
θαρσαλέοι τελέθουσι· μένουσί τε θοῦρον ἄρηα.
τοῦ μὲν ἐγὼ θείμην ἶσον κλέος, ὅς τινι δαιτὶ
τέρπηται παρεὼν, ἅμα τ' ἄλλον λαὸν ἀνώγῃ.
οὐ γάρ μοι ζώειν γε δοκεῖ βροτὸς οὐδὲ βιῶναι
ἀνθρώποιο βίον ταλασίφρονος, ὅς τις ἀπ' οἴνου
θυμὸν ἐρητύσας πίνει ποτὸν ἄλλο νεόφρων.
οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ
ἐσθλὸν, ἀλεξίκακον πάσης συνόπηδον ἀοιδῆς,
ἐν μὲν γὰρ θαλίης ἱερὸν μέρος ἀγλαΐης τε,
ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος.
ἐν δέ τε μὲν θήρης, καὶ δυσφροσύνης ἀλεγεινῆς.
τῷ σε χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ,
πίνειν· μὴ δὲ βορῇ κεκακωμένον ἠύτε γῦπα.
ἧσθαι πλημμύροντα λελασμένον εὐφροσυνάων.

Πυθαγόρας ἔλεγε τὴν μέθην, μανίας εἶναι μελέτην.

Ἀνάχαρσις ἔφη· κιρναμένου κρατῆρος ἐφεστίον, τὸν μὲν πρῶτον ὑγείας πίνεσθαι· τὸν δὲ δεύτερον, ἡδονῆς, τὸν δὲ τρίτον, ὕβρεως. τὸν δὲ τελευταῖον μανίας.

Τὰς μὴ κατὰ θύρας φησὶν ὁ ἀντισθένης ἐπιούσας ἀπολαύσεις, δεήσει ἢ χα- Ἀντισθέν.
σθῆναι, ἢ ἐλλεβορισθῆναι· ἢ πάντως λιμαγχονηθῆναι, κακὰς ἀμοι- Γλυπέρχου
βὰς ἐκτείνοντα τῆς προγεγενημένης ἀπληστίας, ἕνεκα μικρᾶς καὶ ὀλιγο- ἐκ τοῦ ὅτι
χρονίου ἡδονῆς. μὴ γυναῖκα

Τῷ διονύσῳ νάρθηκα καὶ λήθην συγκαθιεροῦσιν, ὡς μὴ δέον μνημο- παιδευτέ-
ον.



Ayuntamiento de Madrid

νοῦσαν τῶν ἐν οἴνῳ πλημμεληθέντων, ἀλλὰ ἀνευθεσίας παιδικῆς δεομένων, ὡς συνάδει, καὶ τὸ μισῶ μνημοσύναν ποτᾶν. ὁ δ' Εὐριπίδης, τῶν ἀτόπων τὴν λήθην σοφὴν εἴρηκε.

Πλάτωνος

Μεθύων κυβερνήτης, καὶ πᾶς παντὸς ἄρχων, ἀνατρέπει πάντα. εἴτε πλοῖον, εἴτε ἅρμα, εἴτε στρατόπεδον, εἴτε ὅτι ποτὲ εἴη τὸ κυβερνώμενον ὑπ' αὐτοῦ.

Οὐ μόνον ὡς ἔοικεν ὁ γέρων δὶς παῖς γίνοιτ' ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς.

Δημοκρίτου.

Υγιείην εὐχῇ παρὰ θεῶν αἰτέονται ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν παρ' ἑαυτοῖς ἔχοντες, οὐκ ἴσασιν. ἀκρασίῃ δὲ τἀναντία πρήσσοντες, αὐτοὶ προδόται τῆς ὑγείης τῇσιν ἐπιθυμίῃσι γίγνονται.

Πλουτάρχου

Ἀμαθίαν ὥς φησιν Ἡράκλειτος, καὶ ἄλλως κρύπτειν ἔργον ἐστὶν, ἐν οἴνῳ δὲ χαλεπώτερον. καὶ Πλάτων δέ φησιν ἐν οἴνῳ τὰ ἤθη φανερὰ γίνεσθαι.

Σοφοκλῆς ἐμέμφετο Αἰσχύλῳ, ὅτι μεθύων ἔγραφε. καὶ γὰρ εἰ τὰ δέοντα ποιεῖ φησιν, ἀλλ' οὐκ εἰδώς γε.

Πυθαγόρας ἐρωτηθεὶς, πῶς ἂν οἰνόφλυξ τοῦ μεθύειν παύσαιτο, εἰ συνεχῶς ἔφη θεωροίη τὰ ὑπ' αὐτοῦ πρασσόμενα.

Ἀνάχαρσις ἔφη ἐρωτηθεὶς πῶς αὐτὸς μὴ μεθύσκοιτο, εἰ ὁρῴη τοὺς μεθύοντας οἷα ποιοῦσιν.

Δημοκρίτου.

Ὁκόσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται, ὑπερβεβληκότες τὸν καιρὸν, ἐπὶ βρώσεσιν, ἢ πόσεσιν, ἢ ἀφροδισίοις, ἐν τοῖσι πᾶσιν αἱ μὲν ἡδοναὶ, βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν, ἢ πίνωσιν. αἱ δὲ λῦπαι πολλαί. τοῦτο μὲν γὰρ τὸ ἐπιθυμεῖν, ἀεὶ τῶν αὐτῶν πάρεστι, καὶ ὁκόταν γένηται, ὁκοίων ἐπιθυμέουσι, διαταχέος τε ἡ ἡδονὴ παροίχεται, καὶ οὐδὲν ἐν αὐτοῖσι χρηστὸν ἐστὶν. ἀλλ' ἡ τέρψις βραχεῖα, καὶ αὖθις τῶν αὐτῶν δεῖ.

Ὅστις σῶμα θεραπεύει τὸ ἑαυτοῦ, οὐχ ἑαυτὸν θεραπεύει. ὅστις δὲ χρήματα οὔθ' ἑαυτὸν, οὔτε τὰ ἑαυτοῦ. ἀλλὰ ἔτι πορρωτέρω τῶν ἑαυτοῦ.

Μουσωνίου ἐκ τοῦ περὶ τροφῆς.

Αἴσχιστον ἔφη γαστριμαργία καὶ ὀψοφαγία ἐστὶν, οὐκ ἀντερεῖ οὐδείς. σκοποῦντας δὲ ὅπως διαφεύξονται ταῦτα, πάνυ ὀλίγους ᾔσθημαι ἐγὼ, τοὺς δὲ πολλοὺς ὁρῶ καὶ ἀπόντων ὀρεγομένους τῶν τοιούτων βρωμάτων, καὶ παρόντων ἀπέχεσθαι μὴ δυναμένους. καὶ χρωμένους αὐτοῖς, ὅταν χρῶνται ἀφειδῶς, ὡς καὶ πρὸς βλάβην χρῆσθαι τὴν τοῦ σώματος, καί τοι γαστριμαργία τί ἂν εἴη ἄλλο, ἢ ἀκρασία περὶ τροφὴν, δι' ἣν ἄνθρωποι τὸ ἡδὺ τὸ ἐν σίτῳ, τοῦ ὠφελίμου προτιμῶσι. καὶ ὀψοφαγία δὲ, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀμετρία περὶ χρῆσιν ὄψου. πανταχοῦ δὲ κακὸν οὖσα ἡ ἀμετρία,

Ayuntamiento de Madrid

ἐν τοῖς μάλιστα, τῇ δὲ τὴν ἑαυτῆς ἐπιδείκνυνται φύσιν. παρεχομένη τοὺς ὀψοφάγους ἀντὶ ἀνθρώπων, ὑσὶν ἢ κυσὶν ὁμοιουμένους τὴν λαβρότητα, καὶ εὐσχημονεῖν μὴ δυναμένοις· οὐ ταῖς χερσὶν, οὐ τοῖς ὄμμασιν, οὐ τῇ καταπόσει, οὕτως ἄρα αὐτοὺς ἐξίστησιν ἡ ἐπιθυμία τῆς ἐν ὄψῳ ἡδονῆς. ὅτι μὲν δὴ οὕτως ἔχειν πρὸς τροφὴν αἴσχιστόν ἐστι, γνώριμον. ἐν ᾧ γε ζώοις ἄφροσι μᾶλλον, ἢ ἀνθρώποις φρονίμοις ὁμοιούμεθα. αἰσχίστου δὲ τούτου ὄντος, κάλλιστον ἂν εἴη τοὐναντίον. τάξει καὶ κοσμίως ἐσθίειν, καὶ τὴν σωφροσύνην ἐνταῦθα ἐπιδείκνυσθαι πρῶτον, οὐκ ὂν ῥᾴδιον, ἀλλὰ δεόμενον πολλῆς ἐπιμελείας καὶ ἀσκήσεως, καθόλου μὲν ἴσως τὸ σωφρονεῖν. διὰ τί δὴ τοῦτο. ὅτι πολλῶν ἡδονῶν οὐσῶν, αἳ τὸν ἄνθρωπον ἀναπείθουσιν ἁμαρτάνειν, καὶ ἐνδιδόναι αὐταῖς βιάζονται παρὰ τὸ συμφέρον, δυσμαχωτάτη εἶναι κινδυνεύει πασῶν, ἡ περὶ τροφὴν ἡδονή, ταῖς μὲν γὰρ ἄλλαις ἡδοναῖς σπανιώτερον ὁμιλοῦμεν· καὶ ἐνίων γε μῆνας καὶ ἐνιαυτοὺς ὅλους ἀπέχεσθαι δυνάμεθα, ταύτης δὲ ἀνὰ πᾶσαν ἡμέραν πάντως πειρᾶσθαι ἀνάγκη, καὶ τάγε πολλὰ, δὶς ἑκάστης ἡμέρας, οὐ γὰρ ἐνὶ ζῆν ἄλλως τὸν ἄνθρωπον. ὥσθ' ὅσῳ πλεονάκις τῆς ἐν βρώσει ἡδονῆς πειρώμεθα, τοσούτῳ πλείους οἱ ἐνταῦθα κίνδυνοι. καὶ μὴν καθ' ἑκάστην προσφορὰν τροφῆς, οὐχ εἷς κίνδυνος ἁμαρτήματος. ἀλλὰ πλείονες. καὶ γὰρ ὁ παραπλέον ἢ δεῖ ἐσθίων, ἁμαρτάνει, καὶ ὁ κατασπεύδων ἐν τῷ ἐσθίειν, οὐδὲν ἧττον, καὶ ὁ μολυνόμενος ὑπὸ τοῦ ὄψου μᾶλλον ἢ χρὴ, καὶ ὁ τὰ ἡδίω τῶν ὑγιεινοτέρων βρώματα προτιμῶν, καὶ ὁ μὴ νέμων τὰ ἴσα τοῖς συνεσθίουσιν. ἔστι δὲ καὶ ἄλλη τις ἁμαρτία περὶ τροφὴν, ὅταν παρὰ καιρὸν προσφερώμεθα αὐτὴν, καὶ δέον ἄλλό τι πράττειν, ἀφέμενοι τούτου, ἐσθίομεν. τοσούτων δὴ καὶ ἔτι ἄλλων ἁμαρτιῶν οὐσῶν περὶ τροφὴν, δεῖ μὲν ἁπασῶν καθαρεύειν αὐτῶν, καὶ μηδὲ μιᾷ ἔνοχον εἶναι τὸν μέλλοντα σωφρονήσειν. καθαρεύοι δ' ἄν τις καὶ ἀναμάρτητος εἴη, ἀσκῶν καὶ ἐθίζων αὑτὸν αἱρεῖσθαι σῖτον, οὐχ ἵνα ἥδηται, ἀλλ' ἵνα τρέφηται, οὐδ' ἵνα λεαίνηται τὴν κατάποσιν, ἀλλ' ἵνα ῥωννύηται τὸ σῶμα. καὶ γὰρ γέγονεν ἡ μὲν κατάποσις, δίοδος εἶναι τροφῆς, οὐχ ἡδονῆς ὄργανον. ἡ δὲ γαστὴρ, τοῦ αὐτοῦ χάριν, οὗπερ ἕνεκα, καὶ φυτῷ παντὶ ῥίζα γέγονε, καθάπερ γὰρ ἐκεῖ τρέφει τὸ φυτὸν ἡ ῥίζα, ἀπὸ τῶν ἐκτὸς τὴν τροφὴν λαμβάνουσα, οὕτω τρέφει τὸ ζῷον ἡ γαστὴρ ἀπὸ τῶν εἰσφερομένων σίτων καὶ ποτῶν. ὥσπερ τε αὖ τούτοις διαμονῆς ἕνεκα συμβαίνει τρέφεσθαι, καὶ οὐχ ἡδονῆς, παραπλησίως καὶ ἡμῖν, καὶ φάρμακον ἡ τροφὴ τῷ ἀνθρώπῳ ἐστί.

Ayuntamiento de Madrid

διὸ καὶ προσήκει ἐσθίειν ἡμῖν ἵνα ζῶμεν, οὐχ ἵνα ἡδώμεθα, εἴγε μέλλομεν στοιχεῖν ἀρίστῳ ὄντι τῷ λόγῳ σωκράτους, ὃς ἔφη τοὺς μὲν πολλοὺς ἀνθρώπους ζῆν, ἵνα ἐσθίωσιν, αὐτὸς δὲ ἐσθίειν, ἵνα ζῇ, οὐ γὰρ δὴ ἐπιεικής τις βουλόμενος εἶναι ἄνθρωπος, ἀξιώσει παραπλήσιός τις εἶναι τοῖς πολλοῖς, καὶ ζῆν ἕνεκα τοῦ ἐσθίειν, ὥσπερ ἐκεῖνοι θηρώμενοι ἐξ ἅπαντος τὴν ἀπὸ τῆς τροφῆς ἡδονήν. ὅτι δὲ καὶ θεὸς ὁ ποιήσας τὸν ἄνθρωπον, τοῦ σώζεσθαι χάριν, οὐχὶ τοῦ ἥδεσθαι σῖτα, καὶ ποτὰ παρεσκεύασεν αὐτοῖς, μάθοι τις ἂν ἐκεῖθεν μάλιστα. ἡ γὰρ δὴ τροφὴ ὅτε ἐργάζεται μάλιστα τὸ ἑαυτῆς ἔργον, τότε οὐδαμῶς ἥδει τὸν ἄνθρωπον κατά τε τὴν πέψιν, καὶ τὴν ἀνάδοσιν, ἀλλὰ τρεφόμεθα μὲν τότε ὑπ' αὐτῆς καὶ ῥωννύμεθα, ἡδόμεθα δὲ τότε, οὐδεμίαν ἡδονήν, καίτοι πλείων ὁ χρόνος οὗτός ἐστιν, ἢ ἐν ᾧ ἐσθίομεν. ἔδει δέ γε εἴπερ ὁ θεὸς ἡδονῆς χάριν τὴν τροφὴν ἐμηχανήσατο ἡμῖν, τὸν πλείω τοῦτον χρόνον ἥδεσθαι ἡμᾶς ὑπ' αὐτῆς, καὶ οὐ τὸν ἐλάχιστον ἐκεῖνον ἐν ᾧ καταπίνομεν, ἀλλ' ὅμως χαίρειν ἐκείνου τοῦ ἐλαχίστου χρόνου, ὃν ἡδόμεθα, παρασκευὴ μὲν ὄψων γίνεται μυρίων, πλεῖται δὴ ἡ θάλαττα μέχρι περάτων. μάγειροι δὲ γεωργῶν περισπουδαστότεροί εἰσι. δεῖπνα δὲ παρατίθενταί τινες, ἀγρῶν ἀναλίσκοντες τιμάς, καὶ ταῦτ' οὐδαμῶς ὠφελουμένων τῶν σωμάτων, ἐκ τῆς πολυτελείας τῶν βρωμάτων, πᾶν γὰρ τοὐναντίον, οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς, ἰσχυρότατοί εἰσι, τοὺς γοῦν οἰκέτας, τῶν δεσποτῶν, καὶ τοὺς χωρίτας. τῶν ἀστικῶν, καὶ τοὺς πένητας, τῶν πλουσίων, ἴδοις ἂν ὡς ἐπὶ τὸ πλῆθος. ῥωμαλεωτέρους ὄντας, καὶ μᾶλλον μὲν ποιεῖν δυναμένους, ἧττον δὲ κάμνοντας ἐν τοῖς ἔργοις, νοσοῦντας δὲ σπανιώτερον, ἀνεχομένους δὲ εὐκολώτερον κρύος, θάλπος, ἀγρυπνίαν, πᾶν εἴ τι τοιοῦτο. καίτοι κἂν ἐπίσης ἥ τε πολυτελὴς, καὶ ἡ λυσιτελὴς τροφὴ ῥωννύῃ τὸ σῶμα, ὅμως αἱρετέον ἐστὶ τὴν εὐτελῆ, ὅτι αὕτη σωφρονεστέρα, καὶ πρέπει ἀνδρὶ ἀγαθῷ μᾶλλον, ἢ καὶ τὸ εὐπόριστον τοῦ δυσποριστου,, καὶ τὸ ἀπραγμάτευτον, τοῦ μετὰ πραγμάτων, καὶ τὸ ἕτοιμον τοῦ ἀνετοίμου, πρὸς τροφὴν πρεπωδέστερον τοῖς ἐπιεικέσιν, ἵνα γὰρ συνελὼν εἴπω, περὶ τροφῆς τὸ πᾶν, φημὶ δεῖν, σκοπὸν μὲν αὐτῆς ποιεῖσθαι ὑγείαν τε, καὶ ἰσχὺν, ὡς τούτων μόνον ἕνεκα βρωτέον, ἃ δὴ δεῖται πολυτελείας οὐδὲ μιᾶς, ἐσθίοντα δὲ ἐπιμελεῖσθαι κόσμου τε καὶ μέτρου τοῦ προσήκοντος, καὶ τοῦ διαφέρειν πλεῖστον, τῷ τε ἀμολώτῳ καὶ τῷ χολαίῳ.

# ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

## ΠΕΡΙ ΑΝΕΞΙΚΑΚΙΑΣ

## ΛΟΓΟΣ. ΙΖ.

Σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώπου μέγα Εὐριπίδου
γλῶσσ' ἐκπορίζει, τοῦτο δ' οἱ σοφοὶ βροτῶν
ἐξευλαβοῦνται μὴ φίλοις τεύχειν ἔριν.

Ἥδιον οὐδὲν, οὐδὲ μουσικώτερόν ἐστι Φιλήμονος
δύνασθαι λοιδορούμενον φέρειν,
ὁ λοιδορῶν γὰρ, ἂν ὁ λοιδορούμενος
μὴ προσποιῆται, λοιδορεῖται ὁ λοιδορῶν.

Δυοῖν λεγόντοιν θατέρου θυμουμένου, Εὐριπίδου
ὁ μὴ ἀντιτείνων τοῖς λόγοις, σοφώτερος.

Δημοσθένης λοιδορουμένου τινὸς αὐτῷ, οὐ συγκαταβαίνω εἶπεν. εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος, τοῦ νικῶντός ἐστι κρείττων.

Πλάτων. λοιδορούμενος ὑπό τινος, λέγε ἔφη κακῶς, ἐπεὶ καλῶς οὐ μεμάθηκας.

Ἀρίστιππος. λοιδοροῦντος αὐτὸν τινὸς, ἔφη. τοῦ μὲν λέγειν κακῶς, σὺ κύριος εἶ, τοῦ δὲ δικαίως ἀκούειν ἐγώ.

Λόγων δὲ κουφοτάτου πράγματος, βαρυτάτη ζημία κατὰ τὸν θεῖον πλάτωνα, καὶ παρὰ θεῶν ἕπεται καὶ παρ' ἀνθρώπων, ἡ δὲ σιγὴ, πανταχοῦ μὲν ἀνυπεύθυνον, οὐ μόνον ἄδιψον ὥς φησι ἱπποκράτης, ἐν δὲ λοιδορείαις, σεμνὸν καὶ σωκρατικὸν μᾶλλον δὲ, ἡράκλειον. Πλουτάρχου

Οὐδ' ὅσον μύγας στυγερῶν ἐμπάζετο μύθων. Πυθαγόρου

Μεγάλην παιδείαν νόμιζε, δι' ἧς δυνήσῃ φέρειν ἀπαιδευσίαν.

Ὀργῆς κρατεῖν ἄριστον ἐθίζειν ἑαυτὸν, μάλιστα μὲν καὶ πρὸς τὸ μὴ εὐπετέως πρὸς αὐτῆς ξυγκινέεσθαι. εἰ δὲ μὴ, ἀλλ' ὥστε γε πάντως μὴ τὸ καταναγκαζόμενον ὑπ' αὐτῆς, αὐτίκα δὲ καὶ ἐν τῷ ἀλογίστῳ ἀποπιμπλάναι. Εὐσεβείου.

Νικᾷ γὰρ ἀρετή με τῆς ἔχθρας πολύ.

Ayuntamiento de Madrid

**Σοφοκλέους.** Οὐ δύναμαί σοι θυμὲ παρέχειν ἄρμενα πάντα,
τέτλαθι· τῶν δὲ καλῶν οὐχὶ σὺ μοῦνος ἐρᾷς.

**Θεοφράστου.** Οὐ μὴν οὐδὲ μετ' ὀργῆς πρακτέον τοῖς φρονίμοις οὐδὲν, ἀλόγιστος γὰρ θυμὸς, καὶ μετὰ προνοίας οὐδὲν ἄν ποτε ποιήσειεν. ἀλλὰ μεθύων ταῖς φιλονεικίαις, ὡς ἔτυχε χρῆται ταῖς ὁρμαῖς, ὥστε δεῖ μήτε ἐξ ὑπογύου τῶν ἁμαρτημάτων τὰς τιμωρίας, μήτε παρὰ τῶν οἰκετῶν, μήτε παρὰ τῶν ἄλλων λαμβάνειν, ἵνα τὸ τῷ λογισμῷ κράτιστον, μὴ τὸ τῷ θυμῷ φίλον ἀεὶ πράττῃς, καὶ δίκην παρὰ τῶν ἐχθρῶν λαμβάνῃς, ἐξ ἧς μέλλεις σαυτὸν, μὴ αὐτοὺς ἐκείνους βλάπτειν, τὸ γὰρ τιμωρεῖσθαί τινα κακῶς ἑαυτὸν ποιοῦντα δίκην διδόναι οὐχ ἧττον, ἢ λαμβάνειν ἐστίν. ὥστε δεῖ σχολῇ μᾶλλον ἀμύνεσθαι ζητεῖν, ἢ ταχέως ἀλυσιτελῶς κολάσαι τὸν ἐχθρόν.

**Ρούφου.** Τὸ δὲ Λυκούργου τοῦ Λακεδαιμονίου, τίς ἡμῶν οὐ θαυμάζει; πηρωθεὶς γὰρ ὑπό τινος τῶν πολιτῶν ὀφθαλμῶν τὸν ἕτερον, καὶ παραλαβὼν τὸν νεανίσκον παρὰ τοῦ δήμου, ἵνα τιμωρήσαιτο ὅπως αὐτὸν βούληται, τούτου μὲν ἀπέσχετο, παιδεύσας δὲ αὐτὸν καὶ ἀποφήνας ἄνδρα ἀγαθὸν, παρήγαγεν εἰς τὸ θέατρον, θαυμαζόντων δὲ τῶν Λακεδαιμονίων. τοῦτον μέντοι λαβὼν ἔφη παρ' ὑμῶν ὑβριστὴν, καὶ βίαιον· ἀποδίδωμι ὑμῖν ἐπιεικῆ καὶ δημοτικόν.

Πιττακὸς ἀδικηθεὶς ὑπό τινος, καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν εἰπὼν, συγγνώμη τιμωρίας ἀμείνων. τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι. τὸ δὲ θηριώδους.

**Ἐκ τῶν Ἐπικτήτου.** Ἄρξαι οὖν ἀπὸ τῶν μικρῶν, ἐκχεῖται τὸ ἔλαιον. κλέπτεται τὸ οινάριον. λέγε ὅτι τοσούτου πωλεῖται ἀπάθεια· τοσούτου ἀταραξία· προῖκα οὐδὲν γίνεται. ὅταν δὲ καλῇς τὸν παῖδα, προενθυμοῦ, ὅτι δύναται καὶ μὴ ὑπακοῦσαι, καὶ μηδὲν ποιῆσαι ὧν θέλεις· ἀλλ' οὐχ οὕτως ἐστὶν αὐτῷ, ἵνα ἐν ἐκείνῳ ᾖ τὸ ἐμὲ ταραχθῆναι.

**Μουσωνίου.** Ὕβρεως δὲ γραφὴν, οὔτ' ἂν αὐτὸς ἔφη γράψασθαί τινα ποτὲ, οὔτ' ἂν ἑτέρῳ συμβουλεῦσαι οὐδὲν τῶν φιλοσοφεῖν ἀξιούντων, ἃ γὰρ πάσχοντές τινες ὑβρίζεσθαι δοκοῦσι, τούτων οὐδὲν εἶναι ὕβριν, ἢ αἰσχύνην τοῖς πάσχουσιν. οἷον λοιδορηθῆναι, ἢ πληγῆναι, ἢ ἐμπτυσθῆναι, ὧν τὸ χαλεπώτατον πληγή. ὡς δὲ οὔτε αἰσχρὸν, οὔτε ὑβριστικὸν ἔχουσιν οὐδὲν, δηλοῦν Λακεδαιμονίων παῖδας δημοσίᾳ μαστιγουμένους, καὶ ἐπ' αὐτῷ τούτῳ ἀγαλλομένους. ὁ δὲ φιλόσοφος ἦν εἰ μὴ δύναιτο καταφρονεῖν πληγῶν, ἢ λοιδορίας, τί ἂν ὄφελος αὐτοῦ εἴη, ὅν γε φαίνεσθαι δεῖ καὶ θανάτου καταφρονοῦντα. νὴ Δία τοῦ δρῶντος αὐτὰ δεῖν. ἢ τὸ ἐπεγγελῶντα καὶ ὑβρίζειν νομίζοντα ῥαπίσαι, ἢ λοιδορῆσαι, ἢ τι τοιοῦτο ποιῆσαι. δημοσθένης γοῦν καὶ τὸ βλέμματι

Ayuntamiento de Madrid

ὑβρίζειν τινάς, καὶ ἀφόρητα εἶναι τὰ τοιαῦτα, καὶ ὀξίνεσθαι τοὺς ἀνθρώπους ὑπ' αὐτῶν. ταῦτα δὲ οἱ μὲν τὸ καλὸν καὶ τὸ αἰσχρὸν ὅτι τῇ ἀληθείᾳ ἐστὶν ἀγνοοῦντες, καὶ πρὸς τὴν δόξαν κεχηνότες, ταύτῃ ἢ ἐκείνῃ οἴονται, καὶ ἄλλοι ὑβρίζεσθαι νομίζουσιν, εἴ τις ἢ προσβλέποι ἄλλους πικρότερον, ἢ καταγελῴη ἄλλων, ἢ πλήττοι, ἢ λοιδοροίη. ἀνὴρ δὲ εὖ φρονῶν καὶ νοῦν ἔχων, οἷον εἶναι δεῖ τὸν φιλόσοφον, ὑπὸ οὐδενὸς τούτων ταράττεται, οὐδ' οἴεται τὸ πάσχειν ἀλλὰ αἰσχρὸν, ἀλλὰ τὸ ποιεῖν μᾶλλον, ἐπεί τι καὶ ὁ πάσχων ἁμαρτάνει, ὁ δὲ ἁμαρτάνων, εὐθὺς καὶ ἐν αἰσχύνῃ ἐστίν. ὁ μέν τοι πάσχων ὅσον οὐχ ἁμαρτάνει καθόσον πάσχει, οὕτως οὐδὲ ἐν αἰσχρῷ οὐδενὶ γίνεται, ὅθεν οὐδ' ἂν δίκας, οὐδέ τι ἐγκλήματα εἰσέλθοι ἂν ὁ νοῦν ἔχων, ἐπείπερ οὐδ' ὑβρίζεσθαι ἂν δόξειεν. καὶ γὰρ μικρόψυχον τὸ ἀγανακτεῖν, ἢ ἀντιτείνεσθαι περὶ τῶν τοιούτων, πράως δὲ καὶ ἡσύχως οἴσει τὸ συμβάν, ἐπεὶ καὶ πρέπον τοῦτο τῷ βουλομένῳ εἶναι μεγαλόφρονι. σωκράτης γοῦν οὕτω διακείμενος φανερὸς ἦν, ὃς δημοσίᾳ λοιδορηθεὶς ὑπ' ἀριστοφάνους, οὐχ ὅπως ἠγανάκτησεν, ἀλλὰ καὶ ἐντυχὼν ἠξίου αὐτὸν, εἰ καὶ πρὸς ἄλλο τι τοιοῦτον βούλοιτο χρῆσθαι αὐτῷ. ταχύ γ' ἂν ἐκεῖνος ἐν ὀλόγοις λοιδορούμενος ἐχαλέπηνεν, ὃς οὐδὲ ἐν θεάτρῳ λοιδορηθεὶς ἠγανάκτει.

Φωκίων δὲ ὁ χρηστὸς, τῆς γυναικὸς αὐτοῦ προπηλακισθείσης πρός τινος, τοσοῦτον ἐδέησεν ἐγκαλεῖν τῷ προπηλακίσαντι, ὥστε ἀποδείσας ἐκεῖνος, προσῆλθέ τε καὶ συγγνώμην ἔχειν ἠξίου τὸν φωκίωνα φάσκων ἠγνοηκέναι, ὅτι ἦν ἐκείνου γυνὴ, ἧς ἦν ἐπλημμέλει. ἀλλ' ἥ γε ἐμὴ γυνὴ οὐδὲν ἔφη, ὑπὸ σοῦ πέπονθεν· ἑτέρα δέ τις ἴσως, ὥστε οὐδὲ χρὴ ἐμοί γε ἀπολογεῖσθαι. καὶ ἄλλους δὲ παλαιοὺς ἄνδρας ἔχοι μ' ἂν λέγειν πειραθέντας ὕβρεως, τοὺς μὲν ἔκ τινων γλώσσῃ πλημμελήσαντας, οὔτε ἄλλον τρόπον ἐξελθόντες, ἀλλὰ πάνυ πράως ἐνεγκόντες τὴν ἀδικίαν αὐτῶν. καὶ γὰρ δὴ τὸ μὲν σκοπεῖν, ὅπως ἀντιδήξεταί τις τὸν δάκνοντα, καὶ ἀντιποιήσῃ κακῶς τὸν ὑπάρξοντα, θηρίου τινὸς οὐκ ἀνθρώπου ἐστὶν, ὃς οὐδὲ τοῦτο λογίσασθαι δύναται ὅτι τὰ πολλὰ τῶν ἁμαρτανομένων, ὑπ' ἀγνοίας τε καὶ ἀμαθίας τοῖς ἀνθρώποις ἁμαρτάνεται, ὧν ὁ μεταδιδαχθεὶς, εὐθὺς παύεται. τὸ δὲ δέχεσθαι τὰς ἁμαρτίας, μὴ ἀγρίως, μηδὲ ἀνήμερον εἶναι τοῖς πλημμελήσασιν, ἀλλὰ τίμιον εἶναι αὐτοῖς ἐλπίδος χρηστῆς, ἡμέρου τρόπου καὶ φιλανθρώπου ἐστί. πόσῳ δὲ κρεῖττον οὕτως ἔχοντα φαίνεσθαι τὸν φιλόσοφον, ὥστε συγγνώμης ἀξιοῦν, εἴ τις πλημμελήσειεν εἰς αὐτὸν, ἢ δοκεῖν μὲν ἀμύνειν ἑαυτῷ δικαζόμενον καὶ ἐγκαλοῦντα, τῇ δὲ ἀληθείᾳ ἀσχημονεῖν, ἀνακόλουθα τοῖς ἑαυ-

Ayuntamiento de Madrid

τοῦ ἔχεις πράττοντα. οἵγε λέγει μὲν, ὡς οὐκ ἂν ἀδικηθείη ποτὲ ὁ ἀγαθὸς ἀνὴρ ὑπὸ κακοῦ ἀνδρός. ἐγκαλεῖ δ' ὡς ἀδικούμενος ὑπὸ ἀνθρώπων πονηρῶν, ἀξιῶν ἀγαθὸς εἶναι.

Δίωνι τῷ ἀκαδημιακῷ ἀπὸ συμποσίου ἀναστρέφοντι, παρεπόμενος, καὶ κακῶς τις ἔλεγε, καὶ βλασφημίας οὐδὲν ἀπελίμπανεν, ὁ δ' ἡσύχας εἶχεν, ὡς δὲ καὶ ἐπὶ τὴν οἰκίαν ἦλθε, μέλλοντι αὐτῷ εἰσιέναι ὁ λοιδορῶν, τί δαὶ ἔφη. πρὸς ὃν εἶπεν ὁ Δίων, οὐδὲ γρῦ.

Ξενοφῶντος ἐκ τοῦ συμποσίου. Ὁ δ' αὖ Σωκράτης εἶπεν. ἀλλὰ πίνειν μὲν ὧδε κἀμοὶ πάνυ δοκεῖ. τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς, τὰς μὲν λύπας ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους κοιμίζει, τὰς δὲ φιλοφροσύνας, ὥσπερ ἔλαιον φλόγα ἐγείρει. δοκεῖ γε μέντοι μοι, καὶ τὰ τῶν ἀνδρῶν συμπόσια ταὐτὰ πάσχειν, ἅπερ καὶ τὰ τῶν ἐν τῇ γῇ φυομένων, καὶ γὰρ ἐκεῖνα, ὅταν μὲν ἄδην ὁ θεὸς ἀθρόας ποτίζῃ, οὐ δύναται ὀρθοῦσθαι, οὐδὲ ταῖς αὔραις διαπνεῖσθαι. ὅταν δὲ ὅσῳ ἥδεται τοσοῦτον πίνῃ, καὶ μάλα ὀρθά τε αὔξεται, καὶ θάλλοντα ἀφικνεῖται εἰς τὴν καρπογονίαν. οὕτω δὲ καὶ ἡμεῖς, ἢν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, ταχὺ ἡμῶν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφάλλονται, καὶ οὐδὲ ἀναπνεῖν, μὴ ὅτι λέγειν τι δυνησόμεθα. ἢν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι πυκνὰ ἐπιψεκάζωσιν, ἵνα καὶ ἐγὼ ἐν Γοργίοις ῥήμασιν εἴπω, οὕτως οὐ βιαζόμενοι μεθύειν ὑπὸ τοῦ οἴνου, ἀλλ' ἀναπειθόμενοι πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα. ξεῖνε ἀσαρπάτα. ὀνείδεα καπόντα ἀνθρώπῳ, φιλέει ἀπανάγειν τὸν θυμόν. σὺ μέν τοι ἀποδεξάμενος ὑβρίσματα ἐν τῷ λόγῳ, οὔ μ' ἔπεισας ἀχήμονα ἐν τῇ ἀμοιβῇ γενέσθαι.

## ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΟΡΓΗΣ

### ΛΟΓΟΣ ΙΗʹ.

Θεόγνιδος
Οὐδὲν κύρν' ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

Εὐήνου.
Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
κρυπτόμενον μανίας πολὺ χειρότερον.

Μενάνδρου
Ὀργὴ παραλογισμὸς ποτ' οὐδὲ εἷς φύεται.
αὕτη κρατεῖ νοῦ. ἂν δὲ μικρὸν παρακμάσῃ.

Φιλήμονος
Κατόψεταί τι μᾶλλον εἰς τὸ συμφέρον,



Ayuntamiento de Madrid

μαινόμεθα πάντες, ὁπόταν ὀργιζώμεθα.
τὸ γὰρ κατασχεῖν δεῖ τῆς ὀργῆς πόνος.
Ἅπανθ' ὅσ' ὀργιζόμενος ἄνθρωπος ποιεῖ, — Μενάνδρου
ταῦθ' ὕστερον λάβοις ἂν ἡμαρτημένα.
Ἐπίσχου ὀργιζόμενος, ἀλλὰ βούλομαι.
οὐδεὶς γὰρ ὀργῆς χάριν ἀπείληφεν πάτερ.
Ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται. κακῶς τελευτᾷ. — Εὐριπίδου
πλεῖστα γὰρ σφάλλει βροτούς.
Μὴ ἐπὶ μικροῖς αὐτὸς αὑτὸν, ὀξύθυμον δείκνυε. — Ἐπιχάρμου
Ἐπιπολάζειν οὔτι χρὴ τὸν θυμὸν ἀλλὰ τὸν νόμον.
Οὐθεὶς οὐδὲν μετ' ὀργῆς βουλεύεται. — Εὐριπίδου
πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας, ὤλεσε βροτῶν.
ἥ τ' ἀσυνεσία· δύω κακὼ τοῖς χρωμένοις.
Ὀργῇ δὲ φαύλῃ, πόλλ' ἔνεστιν ἀσχήμονα,
ἔξω γὰρ ὀργῆς, πᾶς ἀνὴρ σοφώτατος.
πόλλ' ἔστιν ὀργῆς, ἐξ ἀπαιδεύτου κακά.
Ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι. — Αἰσχύλου.
Αὐθάδεια τοι σκαιότητ' ὀφλισκάνει. — Σοφοκλέους.
Ἧς οὐδ' ἐν ὀργῇ πάντα γίνεσθαι κακά.
Ὀργὴ δὲ πολλοὺς δρᾶν ἀναγκάζει κακά. — Χαιρήμονος.
Ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ,
οὕτω προσήκει, μὴ δὲ τὴν ὀργὴν ἔχειν ἀθάνατον, — Εὐριπίδου
ὅστις σωφρονεῖν ἐπίσταται.
Νῦν σοι πρὸς ὄψιν θυμὸς ἡ βάτω γέρον. — Σωσιφάνους
νυνὶ δεῖ γ' ὀργὴν ἡνίκ' ἂν δέῃς λαβεῖν.
Ὅσον τὸ κατέχειν ἐστὶ τὴν ὀργὴν πόνος. — Μενάνδρου
Οὐκ ἔστιν ὀργῆς ὡς ἔοικε φάρμακον.
ἀλλ' ἢ λόγος σπουδαῖος ἀνθρώπου φίλου.
Βὶ καὶ σφόδρ' ἀλγεῖς μηδὲν ἠρεθισμένος,
πράξεις τί προπετῶς, ὀργῆς γὰρ ἀλόγιστον.
κρατεῖν ἐν ταῖς ταραχαῖς μάλιστα τὸν φρονοῦντα δεῖ.
Τὸ δ' ὀξύθυμον τοῦτο καὶ λίαν πικρὸν,
δεῖγμ' ἐστὶν εὐθὺς πᾶσι μικροψυχίας. — Θεοκρίτου
Οὐ θέμις ὦ ποιμὰν τὸ μεσαμβρινὸν, οὐ θέμις ἄμμιν

Ayuntamiento de Madrid

συρίσδεν. τὸν πᾶνα δεδοίκαμεν· ἦ γὰρ ἀπ' ἄγρας
τανίκα κεκμακὼς ἀμπαύεται, ἔστι δὲ πικρός·
καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥῖνα κάθηται.

Ὁμήρου. Μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι πίμπλαντο.

Εὐριπίδου. Τῷ γὰρ βιαίῳ κἀγρίῳ τὸ μαλθακὸν
εἰς ταὐτὸν ἐλθὸν, τοῦ λίαν παρείλετο.

Ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο,
δειναὶ, πλάνος τε καρδίας προσίσταται.

Σοφοκλέους. Ὦ μωρέ· θυμὸς ἐν κακοῖς οὐ σύμφορος.

Ἀρχιλόχου. Θυμὲ θύμ' ἀμηχάνοισι κήδεσι κικώμενε·
ἐν δ' ἄλευ· δυσμενῶν δ' ἀλέξευ προσβαλὼν
ἐναντίον, στέρνον ἐν δοκοῖς ἐχθρῶν πλησίον,
κατασταθεὶς ἀσφαλέως·
καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο,
μηδὲ νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο,
ἀλλὰ χαρτοῖσί τε χαῖρε, καὶ κακοῖσιν
ἄχαλλε μὴ λίην· γίγνωσκε δ' οἷος
ῥυσμὸς ἀνθρώπους ἔχει.

Σοφοκλέους. Πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ.
Ἀνοῦς ἐκεῖνος αἱ δὲ, ἀνοῦστερ' ἔτι
ἐκεῖνον ἠμύνατο καρτερόν.

Ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν
μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον,
ἰατρός ἐστιν οὐκ ἐπιστήμων κακῶν.

Νεόφρονος. Εἶεν· τί δράσεις θυμὲ, βούλευσαι καλῶς,
πρὶν ἢ ἐξαμαρτεῖν καὶ τὰ προσφιλέστατα,
ἔχθιστα θέσθαι· ποῖ ποτ' ἐξῇξαι τάλας.
κάτισχε λῆμα καὶ σθένος θεοστυγές.
καὶ πρὸς τί ταῦτα ὀδύρομαι ψυχὴν ἐμὴν,
ὁρῶσα ἔρημον καὶ παρημελημένην,
πρὸς ὧν ἐχρῆν ἥκιστα· μαλθακοὶ δὲ δὴ
τοιαῦτα γιγνόμεθα πάσχοντες κακά.
οὐ μὴ προδώσῃς θυμὲ σαυτὸν ἐν κακοῖς.
οἴμοι δέδοκται· παῖδες ἐκτὸς ὀμμάτων·

ἀπέχθετε

Ayuntamiento de Madrid

ἀπέχθεται. ἤδη γάρ με φοινία μέγαν
δέδυκε λύσσα θυμόν, ὦ χέρι χέρος
πρὸς οἷον ἔργον ἐξοπλιζόμεθα φόνου.
τάλαινα τόλμης, ἢ πολὺν πόνον βραχεῖ
διαφέρουσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ.
Οὐ νῦν κατεῖδον πρῶτον ἀλλὰ πολλάκις
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον φέρειν.
Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει, Εὐριπίδου
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.
Ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν.
Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.
Ὁ θυμὸς ἀλγῶν, ἀσφάλειαν οὐκ ἔχει.
Ἐν τοῖς κακοῖσι γὰρ ἡ συνήθεια ὅταν παρῇ,
τραχεῖα καὶ ὀξύθυμος, ἀμαθίαν ἔχει.
Ἀλλ' ἀχιλεῦ, δάμασον θυμὸν μέγαν, οὐδέ τί σε χρὴ Ὁμήρου.
νηλεὲς ἦτορ ἔχειν. στρεπτοὶ δέ γε καὶ θεοὶ αὐτοί.
Οὕτω γὰρ αἴ τοι γαιήοχε κυανοχαῖτα
τόνδε φέρω διὶ μῦθον ἀπηνέα τε, κρατερόν τε.
ἤ τι μεταστρέψεις, στρεπταὶ μέν τε φρένες ἐσθλῶν.
Πλάτων ὀργισθείς ποτε τινὶ τῶν δούλων, χάριν ἔχειν τοῖς θεοῖς ἐκέλευσεν ὅτι ὀργίζεται, κολασθῆναι γὰρ ἂν πάντως εἰ μὴ ὀργίζετο.

Οὐκ ἔστιν ὅ, τι ἂν ὀργιζόμενος ἄνθρωπος εὖ γνοίη, ἀλλὸ γὰρ ὃ βούλεται, τὴν γνώμην διαφθείρει τοῦ ἀνθρώπου. Ἀντιφῶντος.

Ὡς ὦν τοῖσιν ὦσι τῶν ἀνθρώπων οἰκέει ὁ θυμός, χρηστὰ μὲν ἀκούσας, τέρψιος ἐμπίπλη τὸ σῶμα, ὑπεναντία δὲ τουτέοισιν ἀκούσας, ἀνοιδαίνει. Ἡροδότου

Ἢ οὐχ ὁρᾷς, ὅτι τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων ὁ λογισμὸς ἀποδημεῖ φεύγων τὸν θυμόν, ὡς πικρὸν τύραννον. Ἀριστοτέλους.

Μεγαλόθυμοι πρᾴως εἰσί τινες ἡσυχῇ καὶ οἷον ἀοργήτως πράττοντες, ὅσα καὶ οἱ σφόδρα τῷ θυμῷ φερόμενοι. φυλακτέον οὖν καὶ τὸ τούτων ἁμάρτημα. ὡς πολὺ χεῖρον ὂν τοῦ διατεινόμενον ὀργίζεσθαι. οὗτοι μὲν γάρ, ταχὺ κόρον τῆς τιμωρίας λαμβάνουσιν. οἱ δέ, ὡς μακρὸν παρατείνουσιν, ὡς οἱ λεπτῶς πυρέττοντες. Ἀρριανοῦ.

Τῆς ὀξυθυμίας τὸ ἄνθος, μανία. Ἀπολλωνίου μακεδόνος.

Τὸ τῆς ὀργῆς πάθος μὴ καθομιλούμενον, μὴ δὲ θεραπευόμενον, φυσικὴ νόσος γίνεται.

Ὁ ὑπὲρ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος, οὐκ ἐᾷ διαγνῶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον, καὶ πότε μεῖζον ἠδίκησεν.

Διονυσίου ἁλικαρνασέως. Ὅτι μεγάλου καὶ δυνησῶτος εἶναι, καὶ ὄντος τοῦ κρατεῖν ὀργῆς, ἡ πρόνοια καὶ φυλακὴ τοῦ μὴ πειρασθῆναι, μείζων.

Σχτίωνος. Τοῖς δὲ σοφοῖς ἀντὶ ὀργῆς, ἡρακλείτῳ μὲν δάκρυα, δημοκρίτῳ δὲ γέλως ἐπήει.

Ὥσπερ δὲ πλοῖα οὐχ ὅσα ἐν εὐδίᾳ πλεῖ, ἀλλ' ὅσα πρὸς χειμῶνα ἀντέχει, καὶ σώζεται, οὕτω καὶ ἄνθρωποι ὀργῇ καὶ κινήσει ἀντέχοντες, μεγάλοι καὶ ἀνδρεῖοι ὑποκείσθωσαν· μὲν οὖν καὶ μὴ ὀργιζομένοις ὑποκειναμένοις ὀργὴν συνενήνεχεν· οἱ δὲ σπουδαῖοι ἄνδρες, οὐδ' ἐὰν ὡς ἀληθῶς ὀργίζωνται, οὕτω χρῶνται τῷ σχήματι.

Ἀριστοτέλους. Ὥσπερ ὁ καπνὸς ἐπιδάκνων τὰς ὄψεις οὐκ ἐᾷ βλέπειν τὸ κείμενον ἐν τοῖς ποσὶν, οὕτως ὁ θυμὸς ἐπαιρόμενος, τῷ λογισμῷ ἐπισκοτεῖ. καὶ τὸ συμβησόμενον ἐξ αὐτοῦ ἄτοπον οὐκ ἀφίησι τῇ διανοίᾳ προσλαβεῖν.

Δημοκρίτου. Θυμῷ μάχεσθαι μὲν, χαλεπόν. ἀνδρὸς δὲ τὸ κρατεῖν εὐλογίστου.

Πλάτων ὀργιζόμενος ποτὲ τῷ οἰκέτῃ, ἐπιστάντος ξενοκράτους, λαβὼν ἔφη τοῦτον μαστίγωσον. ἐγὼ γὰρ ὀργίζομαι.

Πλουτάρχου. Ἀριστοτέλης φησι, σατύρου τοῦ σαμίου τοὺς φίλους φράξαι τὰ ὦτα κηρῷ, δίκην ἔχοντας, ὅπως μὴ συγχέῃ τὸ πρᾶγμα διὰ θυμὸν ὑπὸ τῶν ἐχθρῶν λοιδορούμενος.

Οἱ νεώνητοι δοῦλοι, οὐκ εἰ δεισιδαίμων, ἢ φθονερὸς πυνθάνονται ὁ δεσπότης, ἀλλ' εἰ ὀργίλος.

Ῥούφου ἐκ τῶν ἐπικτήτου περὶ φιλίας. Ἀλλὰ παντὸς μᾶλλον τῆς μὲν φύσεως ἐκεῖνο τὸ ἔργον συνδῆσαι, καὶ συναρμόσαι τὴν ὁρμὴν τῆς τοῦ προσήκοντος καὶ ὠφελίμου φαντασίας.

Τὸ δὲ οἴεσθαι εὐκαταφρονήτοις τοῖς ἄλλοις ἔσεσθαι, ἐὰν μὴ τοὺς πρώτους ἐχθροὺς παντὶ τρόπῳ βλάψωμεν, σφόδρα ἀγεννῶν καὶ ἀνοήτων ἀνθρώπων. φαμὲν γὰρ τὸν εὐκαταφρόνητον, νοεῖσθαι μὲν καὶ κατὰ τὸ δυνατὸν εἶναι βλάψαι. ἀλλὰ πολὺ μᾶλλον νοεῖται, κατὰ τὸ δυνατὸν εἶναι ὠφελεῖν.

Δημοκρίτου. Φιλονεικίη πᾶσα ἀνόητος, τὸ γὰρ κατὰ τοῦ δυσμενοῦς βλαβερὸν θεωροῦσα, τὸ ἴδιον συμφέρον οὐ βλέπει.

Ἀρίστιππος κυρηναῖος φιλόσοφος θεασάμενός τινα ὀργιζόμενον, καὶ διὰ τῶν λόγων χαλεπαίνοντα, ἔφη μὴ τοὺς λόγους δι' ὀργῆς ἄγωμεν, ἀλλὰ τὴν

Ayuntamiento de Madrid

ὀργὴν διὰ τῶν λόγων καταπαύωμεν.

Ναυκράτης ὁ σοφὸς, τοὺς ὀξυθύμους ἔφη παραπλήσιον τοῖς λύχνοις πάσχειν, καὶ γὰρ τούτους πλείονι ἐλαίῳ ἐκκαίεσθαι.

Ὁ θυμός ἐστι πάθος θηριῶδες μὲν ἐν τῇ διαθέσει, σκληρὸν δὲ καὶ βίαιον, τῇ διώξει, φόνων αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργὸν, ἀτιμίας, καὶ χρημάτων ἀπώλεια, ἔτι δὲ καὶ φθορᾶς ἀρχηγόν. Ἀριστοτέλους.

Ὅστις δὲ ἰὼν ἐπὶ τὸν πλησίον κακῶς ποιήσων, διαμαίνει μὴ ἃ θέλει ποιῆσαι ἁμαρτῶν τούτων, ἃ μὴ θέλει ἀπενέγκηται σωφρονέστερος. ἐν ᾧ γὰρ διαμαίνει, μέλλει. ἐν ᾧ δὲ μέλλει, πολλάκις ὁ διὰ μέσου χρόνος, ἀπέστρεψε τὸν νόον τῶν θελημάτων. καὶ ἐν μὲν τῷ γεγενῆσθαι, οὐκ ἔνεστιν. ἐν δὲ τῷ μέλλειν, ἐνδέχεται γενέσθαι. ὅστις δὲ δράσειν μὲν οἴεται τοὺς πέλας κακῶς πείσεσθαι δ' ἂν οὐ σωφρονεῖ. ἐλπίδες δ' οὐ πανταχοῦ ἀγαθὸν, πολλοὺς γὰρ τοιαῦται ἐλπίδες κατέβαλον εἰς ἀνηκέστους συμφορὰς, ἃ δ' ἐδόκουν τοῖς πέλας ποιήσειν, παθόντες ταῦτα, ἀνεφαίνησαν αὐτοί. σωφροσύνην δὲ ἀνδρὸς, οὐκ ἂν ἄλλος ὀρθότερόν τις κρίνειεν. ἢ ὅστις τὰς θυμοῦ τὰς παραχρῆμα ἡδονὰς ἐμφράσσει αὐτὸς ἑαυτόν. κρατεῖν τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν, ὃς δὲ θέλει χαρίσασθαι τῷ θυμῷ, παραχρῆμα θέλει τὰ κακίω ἀντὶ τῶν ἀμεινόνων. Ἀντιφῶντος.

Ὅτῳ μετὰ ἀναστάσεως καὶ ἀπειλῆς ἐπιχειρεῖς, μέμνησο προλέγειν ὅτι ἥμερος εἶ, καὶ οὐδὲν ἄγριον δράσας ἀμετανόητος, καὶ ἀνεύθυνος διαγενήσῃ. Ἐπικτήτου

Τὸν ὀργιζόμενον νόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν. Κάτωνος

Τὴν κακολογίαν ἡ ὀργὴ φαίνεται ἀπογεννῶσα, ὥστε ἡ μήτηρ οὐκ ἀστεία. πρεσβυτέρου.

Ὅσα δὲ ὀργῇ χρώμενοι πράττουσιν ἄνθρωποι, ταῦτα ἀνάγκη τυφλὰ εἶναι, καὶ ἀνόητα, καὶ τοῦ παντὸς ἁμαρτάνειν, οὐ γὰρ οἷόν τε ὀργῇ χρώμενον, λογισμῷ χρῆσθαι, τὸ δὲ ἄνευ λογισμοῦ ποιούμενον, πᾶν ἄτεχνόν τε, καὶ διεστραμμένον. λόγον οὖν ἡγεμόνα χρὴ ποιησάμενον, οὕτως ἐπιχειρεῖν τοῖς κατὰ τὸν βίον ἔργοις, τὰς ἑκάστοτε προσπιπτούσας ὀργὰς διορθουμένον, καὶ διανεύοντα, ὥσπερ οἱ κυβερνῆται τὰ κύματα προσφερόμενα, ἔστι γοῦν οὐκ ἔλαττον τὸ δέος ὀργῆς ἀντιπρῴρου κυλινδουμένης, αὐτήν τε καὶ σύμπαν οἶκον ἐστὶν ἄρδην ἀπολέσαι, καὶ ἀναστρέψαι μὴ διαπλεύσαντα δεξιῶς, οὐ μὴν ἀλλ' ἐπιμελείας εἰς αὐτὰ δεῖ καὶ μελέτης, ᾗ καὶ μάλιστα ἁλίσκονται κατάκρας οἱ παραδεξάμενοι τὸν θυμὸν ὡς σύμμαχον ἀρετῆς ἀπολαύοντες ὅσον αὐτοῦ χρήσιμόν ἐστιν, ἔν τε πολέμῳ, καὶ νὴ δία ἐν πολιτείαις. τὸ πολὺ δὲ αὐτοῦ καὶ τὸ ἐπιπόλαιον ἐκκρίνειν καὶ ἐκβάλλειν τῆς ψυχῆς, Ἀρίστωνος Πλουτάρχου.



Ayuntamiento de Madrid

ὅπερ ὀργή τε καὶ πικρία δι' ὀξυθυμίαν λέγεται νομίσματα, ἥκιστα ταῖς ἀνδρείαις ψυχαῖς πρέποντα. τίς οὖν ἐν τῇ ἡλικίᾳ τούτων γίγνεται μελέτη. ἐμοὶ μὲν δοκεῖ μάλιστ' ἂν ὧδε γίγνεσθαι, πόῤῥωθεν ἡμῶν προμελετώντων, καὶ προαπλούντων πλεῖστον. οἷον, ἐν οἰκέταις τε καὶ πρὸς γυναῖκας τὰς γαμετάς, ὁ γὰρ οἴκοι πρᾶος, καὶ δημοσίᾳ πρᾶος, πολὺ μᾶλλον ἔσται τοιοῦτος ἔνδοθεν, καὶ ὑπὸ τῶν οἴκοι πεποιημένος αὐτῷ τῆς αὐτοῦ ψυχῆς εἶναι ἀγαθός.

## ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΤΟΥ ΓΝΩΘΙ ΣΑΥΤΟΝ.

### ΛΟΓΟΣ ΙΘ'.

Φιλήμονος. — Ἄνθρωπος ὢν τοῦτ' ἴσθι καὶ μέμνησ' ἀεί.

Μενάνδρου. — Τὸ γνῶθι σαυτὸν ἐστὶν, ἂν τὰ πράγματα
ἴδῃς τὰ ἑαυτοῦ, καὶ τί σοι ποιητέον.

Διφίλου. — Ἂν γνῷς τί ἐστὶν ἄνθρωπος, ἡδίων ἔσῃ.

Ἀντιφῶντος. — Εἰ θνητὸς εἶ βέλτιστε, θνητὰ καὶ φρόνει.
Κατὰ πολλ' ἄρ' ἐστὶν οὐ καλῶς εἰρημένον
τὸ γνῶθι σαυτὸν, χρησιμώτερον γὰρ ἦν,
τὸ γνῶθι τοὺς ἄλλους.

Ἐκ τῶν Αἰλιανοῦ ἱστορίας. — Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους ἡνίκα ἐνίκησεν ὁ Φίλιππος ἐπαρθεὶς τῇ εὐπραγίᾳ, ὅμως λογισμοῦ ἐκράτησε, καὶ οὐχ ὕβρισε, καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι, ὑπό τινος τῶν παίδων ἕωθεν ὅτι ἄνθρωπός ἐστιν.

Ἐκ τῶν Ἀρίστωνος. — Ἡράκλειτος νέος ὤν, πάντων γέγονε σοφώτερος· ὅτι ᾔδει ἑαυτὸν μηδὲν εἰδότα.

Δημῶναξ ἐρωτηθεὶς πότε ἤρξατο φιλοσοφεῖν· ὅτε καταγιγνώσκειν ἔφη ἐμαυτοῦ ἠρξάμην.

Σωκράτης

Ayuntamiento de Madrid

Σωκράτης ἐρωτηθεὶς, διὰ τί οὐ συγγράφει, ὅτι εἶπεν ὁρῶ τὰ χαρτία πολὺ τῶν γραφησομένων τιμιώτερα.

Θεόκριτος ἐρωτηθεὶς, διατί οὐ συγγράφει, ὅτι εἶπεν ὡς μὲν βούλομαι οὐ δύναμαι, ὡς δὲ δύναμαι οὐ βούλομαι.

Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις, ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δὲ αἰσχρὰς καλύπτῃς.

Γνῶθι σαυτὸν, ὡς παροιμία λαμβάνεται, μαρτυρεῖ Θεόφραστος ἐν τῷ περὶ παροιμιῶν, οἱ πολλοὶ δὲ Χίλωνος εἶναι τὸ ἀπόφθεγμα. Κλέαρχος δὲ, ὑπὸ τοῦ θεοῦ λεχθῆναι Χίλωνι.

Βίαντος. παροιμία

Χίλων ἐρωτηθεὶς τί χαλεπώτατον. τὸ γινώσκειν ἑαυτὸν ἔφη, πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι.

Ἀλέξανδρος νοσήσας μακρὰν νόσον, ὡς ἀνέῤῥωσεν, οὐδὲν ἔφη διατεθεῖσθαι χεῖρον, ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος, μὴ μέγα φρονεῖν, ὡς θνητοὺς ὄντας.

Καὶ μὴν οἶνός τε, καὶ σαρκῶν ἐμφορήσεις, σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ, καὶ χρημάτων ἐπιμέλεια μὲν συνεχὴς καὶ τήρησις, αὔξει πλοῦτον, ἀνυπεροψία δὲ καὶ σωφροσύνη, μέγα πρὸς φιλοσοφίαν ἐφόδιον, ὥστε οὐ πάντα παντί ἐστιν, ἀλλὰ δεῖ τῷ πυθικῷ γράμματι πειθόμενον, αὐτὸν καταμαθεῖν, εἶτα χρῆσθαι πρὸς ἓν ὃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίον ζῆλον ἕλκειν, καὶ παραβιάζεσθαι τὴν φύσιν.

Πλουτάρχου

Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν ὅτι καλός εἰμι, ἀνεκτὸν ἦν. σὺ δ' ὅταν λέγῃς, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐφ' ἵππῳ ἀγαθῷ μέγα φρονεῖς. τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν, ἣν ὅταν κατὰ φύσιν ἔχῃς, τότε ἐπάρθητι, τότε γὰρ ἐπὶ τῷ σῷ πλεονεκτήματι ἐπαρθήσῃ.

Ἐκ τῶν Ἐπικτήτου.

Καὶ τἀγαθὰ μὲν προσδοκᾶν, καὶ τοῖς θεοῖς εὔχεσθαι διδόναι, πάντα δ' ἀνθρώπινα ἡγεῖσθαι.

Δημοσθένους.

Ἀλλ' οἶμαι τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον, καὶ μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίγνονται, διὸ δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις, καὶ προορωμένοις τὸ μέλλον φαίνεσθαι.

Τί δ' ἐπειδὰν ἄνθρωπος ὤν τις ἀγνοῇ τοὺς χρηστοὺς καὶ τοὺς μοχθηροὺς ἀνθρώπους, ἆρ' οὖν καὶ ἄλλον ἀγνοεῖ πότερον χρηστός ἐστιν ἢ μοχθηρὸς, ἐπειδὴ καὶ ἄλλος ἄνθρωπός ἐστι; συνεχώρει. τὸ δὲ ἄλλον ἀγνοεῖν, σωφρονεῖν, ἢ οὐ σωφρονεῖν ἐστιν. οὐ σωφρονεῖν. τὸ ἑαυτὸν ἄρα γινώσκειν, ἐστὶ σωφρονεῖν; φημὶ ἔφη. τοῦτο ἄρα ὡς ἔοικε καὶ τὸ ἐν Δελφοῖς γράμμα παρακελεύεται, σω-

Πλάτωνος ἐκ τῶν ἀντεραστῶν.



Ayuntamiento de Madrid

φροσύνην ἀσκεῖν καὶ δικαιοσύνην; ἔοικε. τῇ αὐτῇ δὲ ταύτῃ καὶ κολάζειν ὀρθῶς ἐπιστάμεθα; φημί. οὐκοῦν, ᾗ μὲν κολάζειν ὀρθῶς ἐπιστάμεθα, δικαιοσύνη αὕτη ἐστίν, ᾗ δὲ γιγνώσκειν καὶ ἑαυτὸν καὶ ἄλλους σωφροσύνη; ἔοικεν ἔφη. ταυτὸν ἄρα ἐστὶ δικαιοσύνη σωφροσύνη; φαίνεται. καὶ μὴν οὕτω γε καὶ αἱ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ ἀδικοῦντες δίκην διδῶσιν, ἀληθῆ λέγεις.

Ξενοφῶντος.

Καὶ ὁ σωκράτης· εἰπέ μοι ἔφη ὦ εὐθύδημε. εἰς δελφοὺς δὲ ἤδη πώποτε ἀφίκου; καὶ δίς γε νὴ δία ἔφη. κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον γνῶθι σαυτόν; ἔγωγε. πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε, καὶ ἐπεχείρησας σεαυτὸν ἐπισκοπεῖν ὅστις εἴης. μὰ δί' οὐ δῆτα ἔφη. καὶ γὰρ δὴ τοῦτο πάνυ ᾤμην εἰδέναι, σχολῇ γὰρ ἂν ἄλλο τι ᾔδειν. εἴ γε μηδ' ἐμαυτὸν ἐγίνωσκον, πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτόν, ὅστις τοὔνομα μόνον τὸ ἑαυτοῦ οἶδεν, ἢ ὅστις ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι, οὐ πρότερον οἴονται γιγνώσκειν, ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται, πότερον εὐπειθής ἐστιν, ἢ δυσπειθής, καὶ πότερον ἰσχυρὸς, ἢ ἀσθενής, καὶ πότερον ταχὺς, ἢ βραδὺς, καὶ τἆλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια ὅπως ἔχει, οὕτως ἑαυτὸν ἐπισκεψάμενος ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν ἑαυτοῦ δύναμιν, οὕτως ἔμοιγε δοκεῖ ἔφη, ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν, ἀγνοεῖν ἑαυτόν. ἐκεῖνο δὲ οὐ φανερὸν ἔφη, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς, πλεῖστα ἀγαθὰ ἴσχουσιν ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν, πλεῖστα κακά. οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς, τὰ ἐπιτήδεια ἑαυτοῖς ἴσασι καὶ διαγιγνώσκουσιν, ἅτε δύνανται, καὶ ἃ μή, καὶ ἃ μὲν ἐπίστανται πράττοντες, πορίζονταί τε ὧν δέονται, καὶ εὖ πράττουσιν, ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι, ἀναμάρτητοι γίγνονται, καὶ διαφεύγουσι τὸ κακῶς πράττειν, διὰ τὸ αὐτὸ δὲ καὶ τοὺς ἄλλους δυνάμενοι δοκιμάζειν, καὶ διὰ τῆς τῶν ἄλλων χρείας, τά τε ἀγαθὰ πορίζονται καὶ τὰ κακὰ φυλάττονται. οἱ δὲ μὴ εἰδότες ἀλλὰ διεψευσμένοι τῆς αὐτῶν δυνάμεως, πρός τε τοὺς ἄλλους ἀνθρώπους, καὶ τἆλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν, οὔτε ὅ, τι πράττουσιν, οὔτε οἷς χρῶνται, ἀλλὰ πάντα τούτων διαμαρτάνοντες, τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι, καὶ τοῖς κακοῖς περιπίπτουσι, καὶ οἱ μὲν εἰδότες ὅτι ποιοῦσιν ἐπιτυγχάνοντες ὡς πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται, καὶ οἵ τε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων ἐπιθυμοῦσι, καὶ ἐλπίδας τῶν ἀγαθῶν

Ayuntamiento de Madrid

ἐν τούτοις ἔχουσι, καὶ διὰ ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν. οἱ δὲ μὴ εἰδότες τί ποιοῦσι, κακῶς τε αἱρούμενοι καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ ἀδοξοῦσι, διὰ ταῦτα καὶ, καταγέλαστοι γίγνονται καὶ καταφρονούμενοι, καὶ ἀτιμαζόμενοι ζῶσιν. ὁρᾷς δὲ καὶ τῶν πόλεων, ὅτι ὅσαι ἂν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν, αἱ δὲ, ἀνάστατοι γίγνονται, αἱ δὲ, ἐξ ἐλευθέρων δοῦλοι; καὶ ὁ εὐθύδημος· ὡς πάνυ μοι δοκοῦν ὦ σώκρατες ἔφη περὶ πολλοῦ ποιητέον εἶναι, τὸ ἑαυτὸν γιγνώσκειν. οὕτως ἴσθι. ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτόν, τοῦτο πρὸς σὲ ἀποβλέπω, εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι. οὐκοῦν ἔφη ὁ σωκράτης. τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ ὁποῖά ἐστι, πάντως που γιγνώσκεις; νὴ δί' ἔφη. εἰ γὰρ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην. ἴθι δὴ ἔφη καὶ ἐμοὶ ἐξήγησαι ταῦτα. ἀλλ' οὐ χαλεπὸν ἔφη. πρῶτον μὲν γὰρ τὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν κακόν. ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν, καὶ ποτὰ, καὶ βρωτὰ, καὶ ἐπιτηδεύματα. τὰ μὲν, πρὸς τὸ ὑγιαίνειν φέροντα, ἀγαθὰ, τὰ δὲ, πρὸς τὸ νοσεῖν, κακά. οὐκοῦν ἔφη μὴ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά. πότε δ' ἂν ἔφη τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν, ἀγαθοῦ. ὅταν νὴ δί' ἔφη στρατιᾶς τε αἰσχρᾶς, καὶ ναυτιλίας βλαβερᾶς, καὶ ἄλλων πολλῶν τοιούτων. οἱ μὲν, διὰ ῥώμην μετασχόντες ἀπόλωνται. οἱ δὲ, δι' ἀσθένειαν ἀπολειφθέντες σώζωνται. ἀληθῆ λέγεις. ἀλλ' ὁρᾷς ἔφη ὅτι καὶ τῶν ὠφελίμων, οἱ μὲν, διὰ ῥώμην μετέχουσιν, οἱ δὲ, δι' ἀσθένειαν ἀπολείπονται. τὰ οὖν ἔφη ποτὲ μὲν ὠφελοῦντα ποτὲ δὲ βλάπτοντα, τί μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν. οὐδὲν μὰ δία φαίνεται κατά γε τοῦτον τὸν λόγον. ἀλλ' ἥγε τοι σοφία ὦ σώκρατες ἀναμφισβητήτως ἀγαθόν ἐστιν, ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον πράττοι σοφὸς ὢν ἢ ἀμαθής. τί δαί. τὸν δαίδαλον ἔφη οὐκ ἀκήκοας, ὅτι ληφθεὶς ὑπὸ μίνω διὰ τὴν σοφίαν ἠναγκάζετο ἐκείνῳ δουλεύειν, καὶ τῆς τε πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη, καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ, τόν τε παῖδα ἀπώλεσε, καὶ αὐτὸς οὐκ ἠδυνήθη σωθῆναι, ἀλλ' ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους, πάλιν ἐκεῖ ἐδούλευε. λέγεται νὴ δί' ἔφη ταῦτα. τὰ δὲ παλαμήδους οὐκ ἀκήκοας πάθη, τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν, ὡς διὰ σοφίαν φθονηθεὶς, ὑπὸ τοῦ ὀδυσσέως ἀπόλλυται; λέγεται



Ayuntamiento de Madrid

καὶ ταῦτα ἔφη. ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν ἀναρπάστους πρὸς βασιλέα γεγονέναι καὶ ἐκεῖ δουλεύειν. κινδυνεύει ἔφη ὦ σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. εἴγε μή τις αὐτὸ ἔφη ὦ εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθεῖ. τί δ' ἂν ἔφη τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη, οὐδὲν, εἴγε μὴ προσθήσομεν αὐτῷ κάλλος, ἢ ἰσχὺν, ἢ πλοῦτον, ἢ δόξαν, ἢ καί τι ἄλλο τῶν τοιούτων, ἀλλὰ νὴ δία προσθήσομεν ἔφη. πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαίμων εἴη. νὴ δί' ἔφη προσθήσομεν; ἄρα ἐξ ὧν πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις. πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινημένων διαφθείρονται. πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες, οὐ μικροῖς κακοῖς περιπίπτουσι. πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι, ἀπόλλυνται, πολλοὶ δὲ διὰ δόξαν καὶ πολιτικὴν δύναμιν, μεγάλα κακὰ πεπόνθασιν. ἀλλὰ μὴν ἔφη, εἴγε μηδὲ τὸ εὐδαιμονεῖν ἐπαινῶν ὀρθῶς λέγω. ὁμολογῶ. μηδὲ ὅ τι πρὸς τοὺς θεοὺς εὔχεσθαι χρὴ εἰδέναι. ἀλλὰ ταῦτα μὲν ἔφη ὁ σωκράτης, ἴσως διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι, οὐ διέσκεψαι.

Πλάτωνος ἐκ τοῦ φιλήβου.

Τῆς δ' αὖ πάσης πονηρείας ἐστὶ, τοὐναντίον πάθος ἔχον. ἢ τὸ λεγόμενον ὑπὸ τῶν ἐν δελφοῖς γραμμάτων, τὸ γνῶναι σαυτὸν λέγεις ὦ σώκρατες; ἔγωγε. τοὐναντίον μὴν ἐκεῖνο δηλονότι, τὸ μηδαμῇ γινώσκειν αὐτὸν λεγόμενον ὑπὸ τοῦ γράμματος ἂν εἴη. τί μὴν ὦ πρώταρχε. πειρῶ δὲ αὐτὸ τοῦτο τριχῇ τέμνειν. πῇ φῇς, οὐ γὰρ μὴ δυνατὸς ὦ. λέγεις δὴ δεῖν ἐμὲ τοῦτο διελέσθαι τὰ νῦν. λέγω καὶ, δέομαί γε πρὸς τὸ λέγειν. ἆρ' οὖν οὐ τῶν ἀγνοούντων αὐτοὺς κατὰ τρία ἀνάγκη τοῦτο τὸ πάθος πάσχειν ἕκαστον. πῶς. πρῶτον μὲν κατὰ χρήματα δοξάζειν εἶναι πλουσιώτερον, ἢ κατὰ τὴν αὐτῶν οὐσίαν, πολλοὶ γοῦν εἰσὶ τοῦτο τὸ πάθος ἔχοντες. πλείους δέ γε ἢ μείζους, καὶ καλλίους αὐτοὺς δοξάζουσι, καὶ πάντα ὅσα κατὰ τὸ σῶμα εἶναι διαφερόντως, τῆς οὔσης αὐτοῖς ἀληθείας; πάνυ γε. πολὺ δὲ πλεῖστοί γε οἶμαι, περὶ τὸ τρίτον εἶδος τούτων ἐν ταῖς ψυχαῖς διημαρτήκασιν ἀρετῇ δοξάζοντες βελτίους ἑαυτοὺς οὐκ ὄντες; σφόδρα μὲν οὖν. τῶν ἀρετῶν δ' ἆρα, οὐ σοφίας πέρι τὸ πλῆθος πάντως ἀντεχόμενον, μεστὸν ἐρίδων. καὶ δοξοσοφίας ἐστὶ ψευδοῦς; πῶς δ' οὔ. κακὸν μὲν δὴ πᾶν ἄν τις τὸ τοιοῦτον εἰπὼν, ὀρθῶς ἂν εἴποι πάθος. σφόδρα γε.

Πλάτωνος ἀλκιβιάδου.

Φέρε δὴ τί ἐστι τὸ ἑαυτοῦ ἐπιμελεῖσθαι, μὴ πολλάκις λάθωμεν οὐχ ἡμῶν αὐτῶν ἐπιμελούμενοι. οἰόμενοι δὲ, καὶ πότερον αὐτὸ ποιεῖ ἄνθρωπος. ἆρ' ὅταν τῶν ἑαυτοῦ ἐπιμελῆται τότε καὶ αὐτοῦ; ἐμοὶ γοῦν δοκεῖ. τί δαί.

Ayuntamiento de Madrid

ποδῶν ἄνθρωπος πότε ἐπιμελεῖται. ἆρ' ὅταν ἐκείνων ἐπιμελῆται ἅ ἐστι τῶν ποδῶν; οὐ μανθάνω. καλεῖς δέ τι [illegible] ἂν ἄλλου τῶν τοῦ ἀνθρώπου φαίης, ἢ δακτύλου. οὐ δῆτα. οὐκοῦν καὶ ποδὸς ὑπόδημα τὸν αὐτὸν τρόπον; ναί. καὶ ἱμάτια καὶ στρώματα τοῦ ἄλλου σώματος ὁμοίως; ναί. ἆρ' οὖν ὅταν ὑποδημάτων ἐπιμελώμεθα, τότε ποδῶν ἐπιμελούμεθα; οὐ πάνυ μανθάνω ὦ σώκρατες. τί δαὶ ὦ ἀλκιβιάδη. ὀρθῶς ἐπιμελεῖσθαι καλεῖς τι ὁτουοῦν πράγματος; ἔγωγε. ἆρ' οὖν ὅταν τίς βέλτιον ποιῇ, τότε ὀρθὴν λέγεις ἐπιμέλειαν; ναί. τίς οὖν τέχνη ὑποδήματα βελτίω ποιεῖ. σκυτική. σκυτικῇ ἄρα ὑποδημάτων ἐπιμελούμεθα; ναί. ἦ καὶ ποδὸς σκυτικῇ, ἢ ἐκείνῃ, ᾗ πόδας βελτίους ποιοῦμεν. ἐκείνῃ βελτίους δὴ πόδας οὐχί περ καὶ τὸ ἄλλο σῶμα; ἔμοιγε δοκεῖ. αὕτη δ' οὐ γυμναστική; μάλιστα. γυμναστικῇ μὲν ἄρα ποδὸς ἐπιμελούμεθα, σκυτικῇ δὲ τῶν τοῦ ποδὸς; πάνυ γε. καὶ γυμναστικῇ μὲν, χειρῶν. δακτυλογλυφίᾳ δὲ τῶν τῆς χειρός; ναί. καὶ γυμναστικῇ μὲν σώματος. ὑφαντικῇ δὲ καὶ ταῖς ἄλλαις τῶν τοῦ σώματος; παντάπασι. ἄλλῃ μὲν ἄρα τέχνῃ αὐτοῦ ἑκάστου ἐπιμελούμεθα, ἄλλῃ δὲ τῶν ἑαυτοῦ; φαίνεται. οὐκ ἄρα ὅταν τῶν ἑαυτοῦ ἐπιμελῇ, σαυτοῦ ἐπιμελῇ; οὐδαμῶς. οὐ γὰρ ἡ αὐτὴ τέχνη ὡς ἔοικεν, ᾗ τίς ἂν αὐτοῦ τε ἐπιμελοῖτο καὶ τῶν αὐτοῦ; οὐ φαίνεται. φέρε δὴ ποίᾳ ποτ' ἂν ἡμῶν αὐτῶν ἐπιμεληθεῖμεν. οὐκ ἔχω λέγειν, ἀλλὰ τοσόνδε γε ὡμολόγηται. ὅτι, οὐχ ᾗ ἂν τῶν ἡμετέρων, καὶ ὁποιοῦν βέλτιον ποιῶμεν, καὶ ἡμᾶς αὐτούς; ἀληθῆ λέγεις. ἦ οὖν ἔγνωμεν ἄν ποτε τίς τέχνη ὑποδήματα βέλτιον ποιῇ μὴ εἰδότες ὑπόδημα; ἀδύνατον. οὐδέ γε τίς τέχνη δακτυλίους βελτίους ποιῇ ἀγνοοῦντες δακτύλιον; ἀληθῆ. τί δὲ τίς τέχνη βελτίω ποιεῖ αὐτῶν ἆρ' ἄν ποτε γνοῖμεν ἀγνοοῦντες τί ποτ' ἐσμὲν αὐτοί; ἀδύνατον. πότερον οὖν ῥᾴδιον τυγχάνει τὸ γνῶναι ἑαυτὸν, καὶ τίς ἦν φαῦλος ὁ τοῦτο ἀναθεὶς εἰς τὸν ἐν πυθοῖ νεὼν, ἢ χαλεπόν τι, καὶ οὐχὶ παντός. ἐμοὶ μὲν ὦ σώκρατες πολλάκις μὲν ἔδοξε παντὸς εἶναι, πολλάκις δὲ, παγχάλεπον. ἀλλ' ὦ ἀλκιβιάδη. εἴτε ῥᾴδιον εἴτε μή ἐστιν, ὅμως γε ἡμῖν ὧδ' ἔχει. γνόντες μὲν αὐτὸ τάχ' ἂν γνοῖμεν τὴν ἐπιμέλειαν ἡμῶν αὐτῶν, ἀγνοοῦντες δὲ, οὐκ ἄν ποτε. ἔστι ταῦτα. φέρε δή. τίν' ἂν τρόπον εὑρεθείη αὐτὸ τοῦτο, οὕτω μὲν γὰρ ἂν τάχ' εὕροιμεν, τί ποτ' ἐσμὲν αὐτοί. τούτου δ' ἔτι ὄντες ἐν ἀγνοίᾳ, ἀδύνατόν που. ἔχε οὖν πρὸς διός, τῷ διαλέγῃ σὺ, ἄλλῳ τῳ ἢ ἐμοί. ναί. οὐκοῦν καὶ ἐγὼ σοί; ναί. σωκράτης ἄρ' ἐστὶν ὁ διαλεγόμενος; πάνυ γε. ἀλκιβιά-

Ayuntamiento de Madrid

δῆς δ' ὁ ἀκούων; ναί. οὐκοῦν λόγῳ διαλέγεται ὁ σωκράτης. τί μήν. τὸ
δὲ διαλέγεσθαι καὶ τὸ λόγῳ χρῆσθαι ταὐτόν που καλεῖς. πάνυ γε. ὁ δὲ
χρώμενος καὶ ᾧ χρῆται οὐκ ἄλλο; πῶς λέγεις. ὥσπερ σκυτοτόμος τέμνει που
τομῇ καὶ σμίλῃ καὶ ἄλλοις ὀργάνοις; ναί. οὐκοῦν ἄλλος μὲν ὁ τέμνων,
καὶ χρώμενος, ἀλλὰ δὲ οἷς τέμνων χρῆται; πῶς γὰρ οὔ. ἆρ' οὖν οὕτως
καὶ οἷς ὁ κιθαριστὴς κιθαρίζει, καὶ αὐτὸς ὁ κιθαριστὴς ἄλλο ἂν εἴη; ναί. τοῦ-
το τοίνυν ἄρτι ὡς ἠρώτων, εἰ ὁ χρώμενός τε καὶ ᾧ χρῆται ἀεὶ δοκεῖ ἕτε-
ρον εἶναι. δοκεῖ. τί οὖν φῶμεν τὸν σκυτοτόμον. τέμνειν ὀργάνοις μό-
νον, καὶ χερσί. καὶ χερσί. χρῆται ἄρα καὶ ταύταις; ναί. ἦ καὶ τοῖς
ὀφθαλμοῖς χρώμενος σκυτοτομεῖ; ναί. τὸν δὲ χρώμενον καὶ οἷς χρῆται
ἕτερα; ὁμολογοῦμεν. ἕτερον ἄρα σκυτοτόμος, καὶ κιθαριστὴς χειρῶν
καὶ ὀφθαλμῶν οἷς ἐργάζονται. φαίνεται. οὐκοῦν καὶ παντὶ τῷ σώματι
χρῆται ἄνθρωπος; πάνυ γε. ἕτερον δ' ἦν τό τε χρώμενον, καὶ ᾧ χρῆται;
ναί. ἕτερον ἄρ' ἄνθρωπός ἐστι τοῦ ἑαυτοῦ σώματος. ἔοικε. τί ποτ' οὖν ἐστὶν
ἄνθρωπος, οὐκ ἔχω λέγειν. ἔχεις μὲν οὖν ὅτι γε τῷ σώματι χρώμενον;
ναί. ἦ οὖν ἄλλό τι χρῆται αὐτῷ ἢ ψυχή; οὐκ ἄλλο. οὐκοῦν ἄρχουσα;
ναί. καὶ μὴν τόδε γ' οἶμαι. οὐδένα ἂν ἄλλως οἰηθῆναι. τὸ ποῖον. μὴ οὐ
τριῶν ἕν γέ τι εἶναι τὸν ἄνθρωπον. τίνων. ψυχήν, ἢ σῶμα. ἢ συναμφότε-
ρον τὸ ὅλον τοῦτο, τί μήν. ἀλλὰ μὴν οὔ τί γε τοῦ σώματος ἄρχον ὡμολο-
γήσαμεν ἄνθρωπον εἶναι; ὡμολογήσαμεν. ἆρ' οὖν σῶμα αὐτὸ αὑτοῦ ἄρ-
χει; οὐδαμῶς. ἄρχεσθαι γὰρ αὐτὸ εἴπομεν. οὐκ ἂν δὴ τοῦτό γε εἴη τὸ ζη-
τούμενον; οὐκ ἔοικεν, ἀλλὰ τὸ συναμφότερον τοῦ σώματος ἄρχει, καὶ ἔστι
δὴ τοῦτο ὁ ἄνθρωπος. ἴσως δῆτα πάντων γε ἥκιστα. μὴ γὰρ συναρχοντος
τοῦ ἑτέρου, οὐδεμία που μηχανὴ τὸ συναμφότερον ἄρχειν ὀρθῶς. ἐπει-
δὴ δὲ οὔτε τὸ σῶμα οὔτε τὸ συναμφότερόν ἐστιν ἄνθρωπος. λείπεται οἶ-
μαι, ἢ μηδὲν αὐτὸ εἶναι, ἢ εἴπερ τί ἐστι, μηδὲν ἄλλο ἄνθρωπον συμβαί-
νειν, ἢ ψυχήν, κομιδῇ μὲν οὖν. ἔτι οὖν σαφέστερον δεῖ ἀποδειχθῆναί
σοι. ὅτι ψυχή ἐστιν ἄνθρωπος. μὰ Δί' ἀλλ' ἱκανῶς μοι δοκεῖ ἔχειν. εἰ δέ γε
μὴ ἀκριβῶς, ἀλλὰ καὶ μετρίως ἐξαρκεῖ ἡμῖν. ἀκριβῶς μὲν γὰρ εἰσόμεθα
τότε, ὅταν εὕρωμεν. ὃ νῦν δὴ παρήλθομεν διὰ τὸ πολλῆς εἶναι σκέψεως
τί τοῦτο. ὃ ἄρτι οὕτω πως ἐρρήθη. ὅτι πρῶτον σκεπτέον, εἴη αὐτὸ τὸ αὐτοῦ.
νῦν δὲ ἀντὶ τοῦ αὐτοῦ, αὐτὸν ἕκαστον ἐσκέμμεθα ὅτι ἐστί. καὶ ἴσως ἐξαρκέσει.
οὐ γάρ που κυριώτερόν γε οὐδὲν ἂν ἡμῶν αὐτῶν φήσαιμεν, ἢ τὴν ψυχήν, οὐ
δῆτα. οὐκοῦν καλῶς ἔχει οὕτω νομίζειν ἐμὲ καὶ σὲ προσομιλεῖν ἀλλή-

Ayuntamiento de Madrid

λοις τοῖς λόγοις χρωμένους τῇ ψυχῇ πρὸς τὴν ψυχήν. πάνυ μὲν οὖν. τοῦτο δ' ἄρα ἦν, ὃ ἔγωγε καὶ ὀλίγῳ ἔμπροσθεν εἶπον. ὅτι σωκράτης ἀλκιβιάδῃ διαλέγεται λόγῳ χρώμενος, οὐ πρὸς τὸ σὸν πρόσωπον ὡς ἔοικεν, ἀλλὰ πρὸς τὸν ἀλκιβιάδην ποιούμενος τοὺς λόγους. τοῦτο δ' ἐστὶ ψυχή. ἔμοιγ' οὖν δοκεῖ. ψυχὴν ἄρα ἡμᾶς κελεύει γνωρίζειν, καὶ ὁ ἐπιτάττων γνῶναι ἑαυτόν. ἔοικεν. ὅστις ἄρα τῶν τοῦ σώματός τι γιγνώσκει, τὰ αὐτοῦ, ἀλλ' οὐχ ἑαυτὸν ἔγνωκεν. οὕτως. οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γινώσκει καθόσον ἰατρός, οὐδὲ τῶν παιδοτριβῶν, καθ' ὅσον παιδοτρίβης. οὐκ ἔοικε. πολλοῦ ἄρα δέουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ γιγνώσκειν ἑαυτούς, οὔτε γὰρ τὰ ἑαυτῶν οὗτοί γε ὡς ἔοικε γιγνώσκουσιν, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτῶν, κατά γε τὰς τέχνας ἃς ἔχουσι, τὰ γὰρ τοῦ σώματος γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται. ἀληθῆ λέγεις, εἰ ἄρα σωφροσύνης ἐστὶ τὸ ἑαυτὸν γιγνώσκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην. οὔ μοι δοκεῖ. διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι, καὶ οὐκ ἀνδρὸς ἀγαθοῦ μαθήματα. πάνυ μὲν οὖν, οὐκοῦν πάλιν ὅστις αὖ σῶμα θεραπεύει τὸ ἑαυτοῦ, ἀλλ' οὐχ ἑαυτὸν θεραπεύει. κινδυνεύει. ὅστις δέ γε τὰ χρήματα, οὔτε ἑαυτόν, οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτοῦ. ἔμοιγε δοκεῖ. οὐ τὰ αὑτοῦ ἄρα πράττει ὁ χρηματιστής. ὀρθῶς. εἰ δ' ἄρα τις γέγονεν ἐραστὴς τοῦ ἀλκιβιάδου σώματος, οὐκ ἀλκιβιάδου ἠράσθη, ἀλλά τινος τοῦ ἀλκιβιάδου; ἀληθῆ λέγεις. ὅστις δέ σου τῆς ψυχῆς ἐρᾷ ἀνάγκη, φαίνεται ἐκ τοῦ λόγου. οὐκοῦν ὁ μὲν τοῦ σώματός σου ἐρῶν, ἐπειδὴ λήγει ἀνθοῦν, ἀπιὼν οἴχεται φαίνεται. ὁ δὲ τῆς ψυχῆς ἐρῶν, οὐκ ἄπεισιν ἕως ἂν ἐπὶ τὸ βέλτιον ἴῃ. εἰκός γε. οὐκοῦν ἐγώ εἰμι ὁ οὐκ ἀπιών, ἀλλὰ παραμένων λήγοντος τοῦ σώματος, τῶν ἄλλων ἀπεληλυθότων.

E Εὖ μοι δοκεῖς λέγειν ὦ σώκρατες, ἀλλὰ πειρῶ ἐξηγεῖσθαι ὅντινα τρόπον ἐπιμεληθείημεν ἡμῶν αὐτῶν. οὐκοῦν τοσοῦτον μὲν ἡμῖν ἐς τὸ πρόσθεν πεπέρανται, ὃ γὰρ ἐσμὲν ἐπιεικῶς ὡμολόγηται. ἐφοβούμεθα δὲ μὴ τούτου σφαλέντες λάθωμεν ἑτέρου τινὸς ἐπιμελόμενοι, ἀλλ' οὐχ ἡμῶν. ἔστι ταῦτα. καὶ μετὰ τοῦτο δὴ ὅτι ψυχῆς ἐπιμελητέον, καὶ ἐς τοῦτο βλεπτέον. δῆλον. σωμάτων δὲ καὶ χρημάτων τὴν ἐπιμέλειαν ἑτέροις παραδοτέον; τί μήν. τίν' οὖν ἂν τρόπον γνοίημεν αὐτὸ ἐναργέστατα. ἐπειδὴ τοῦτο γνόντες ὡς ἔοικεν, ἡμᾶς αὐτοὺς γνωσόμεθα. ἆρα πρὸς θεῶν εὖ λέγοντός του, νῦν δὴ ἐμνήσθημεν τοῦ δελφικοῦ γράμματος οὐ ξυνίεμεν. τὸ ποῖόν τι διανοούμενος λέγεις ὦ σώκρατες, ἐγώ σοι φράσω, Εν ταυτῷ

Ayuntamiento de Madrid

ὅ γε ὑποπτεύω λέγειν, καὶ συμβουλεύειν ἡμῖν τοῦτο τὸ γράμμα, κινδυνεύει γὰρ οὐ δὲ πολλαχοῦ εἶναι παραδείγματα αὐτοῦ, ἀλλὰ κατὰ τὴν ὄψιν μόνον. πῶς τοῦτο λέγεις; σκόπει καὶ σύ. εἰ ἡμῶν τῷ ὄμματι ὥσπερ ἀνθρώπῳ συμβουλεῦον εἶπεν ἴδε ἑαυτὸν, πῶς ἂν ὑπελάβομεν τί παραινεῖ. ἆρ' οὐχὶ εἰς τοῦτο βλέπειν, εἰς ὃ βλέπων ὀφθαλμὸς ἔμελλεν αὐτὸν ἰδεῖν. δῆλον. ἐννοῶμεν δὴ εἰς τί βλέποντες τῶν ὄντων, ἐκεῖνό τε ὁρῶμεν ἅμα ἂν καὶ ἡμᾶς αὐτούς; δῆλον δὴ ὦ σώκρατες. ὅτι εἰς κάτοπτρά τε καὶ τὰ τοιαῦτα; ὀρθῶς λέγεις. οὐκοῦν καὶ τῷ ὀφθαλμῷ ᾧ ὁρῶμεν ἔνεστι τῶν τοιούτων; πάνυ γε. ἐννενόηκας οὖν ὅτι τοῦ ἐμβλέποντος εἰς τὸν ὀφθαλμὸν ἐμφαίνεται ἐν τῇ τοῦ καταντικρὺ ὄψει, ὥσπερ ἐν κατόπτρῳ, ὃ δὴ καὶ κόρην καλοῦμεν, εἴδωλον ὄν τι τοῦ ἐμβλέποντος; ἀληθῆ λέγεις. ὀφθαλμὸς ἄρ' ὀφθαλμὸν θεώμενος, καὶ ἐμβλέπων εἰς τουτὶ, ὅπερ βέλτιστον αὐτοῦ, καὶ ᾧ ὁρᾷ οὕτω ἂν αὐτὸν ἴδοι; φαίνεται. εἰ δέ γ' εἰς ἄλλο τῶν τοῦ ἀνθρώπου βλέποι, ἤ τι τῶν ὄντων πλὴν εἰς ἐκεῖνο, ᾧ τυγχάνει ὅμοιον οὐχὶ ὄψεται αὐτόν; ἀληθῆ λέγεις. ὀφθαλμὸς ἄρ' εἰ μέλλει ἰδεῖν αὐτὸν, εἰς ὀφθαλμὸν αὐτῷ βλεπτέον. καὶ τοῦ ὄμματος εἰς ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τυγχάνει ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ ἐγγιγνομένη. ἔστι δὲ τοῦτό που ὄψις; οὕτως. ἆρ' οὖν ὦ ἀλκιβιάδη, καὶ ψυχὴ εἰ μέλλει γνώσεσθαι αὐτὴν, εἰς ψυχὴν αὐτῇ βλεπτέον. καὶ μάλιστα εἰς τοῦτον αὐτῆς τὸν τόπον, ἐν ᾧ ἐγγίγνεται ἡ ψυχῆς ἀρετὴ σοφία, καὶ εἰς ἄλλο ᾧ τοῦτο τυγχάνει ὅμοιον ὄν; ἔμοιγε δοκεῖ ὦ σώκρατες. ἔχομεν οὖν εἰπεῖν, ὅτι ἐστὶ τῆς ψυχῆς θειότερον, ἢ τοῦτο περὶ ὃ τὸ εἰδέναι καὶ φρονεῖν ἐστὶν, οὐκ ἔχομεν, τῷ θεῷ ἄρα τοῦτ' ἔοικεν αὐτῆς. καί τις εἰς τοῦτο βλέπων καὶ πᾶν τὸ θεῖον γνοὺς θεόν τε, καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν γνοίη μάλιστα; φαίνεται. τὸ δὲ γιγνώσκειν αὐτὸν ὡμολογοῦμεν σωφροσύνην εἶναι; πάνυ γε. ἆρ' ὥσπερ κάτοπτρα σαφέστερά ἐστι τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου καὶ καθαρώτερά τε καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίστου, καθαρώτερόν τε, καὶ λαμπρότερον τυγχάνει ὄν; ἔοικέ γε ὦ σώκρατες. εἰς τὸν θεὸν ἄρα βλέποντες ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρῴμεθ' ἄν. καὶ τῶν ἀνθρωπίνων εἰς τὴν ψυχῆς ἀρετήν. καὶ οὕτως ἂν μάλιστα ὁρῶμεν καὶ γιγνώσκοιμεν ἡμᾶς αὐτούς. ναί; τὸ δὲ γιγνώσκειν αὐτὸν ὁμολογοῦμεν σωφροσύνην εἶναι; πάνυ γε. ἆρ' οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς, μὴ δὲ σώφρονες ὄντες. δυναίμεθα εἰδέναι τὰ ἡμέτερα αὐτῶν κακά τε καὶ ἀγαθά; καὶ πῶς ἂν τοῦτο γένοιτο ὦ σώκρατες. ἀδύνατον ἴσως σοι φαίνεται

Ayuntamiento de Madrid

μὴ γιγνώσκοντες Ἀλκιβιάδην, τὰ Ἀλκιβιάδου γιγνώσκειν, ὅτι Ἀλκιβιάδου ἐστίν. ἀδύνατον μέν τοι νὴ Δία. οὐδ' ἄρα τὰ ἡμέτερα ὅτι ἡμέτερα. εἰ μὴ δ' ἡμᾶς αὐτούς. πῶς γάρ; εἰ δ' ἄρα μὴ δὲ τὰ ἡμέτερα, οὐδὲ τὰ τῶν ἡμετέρων; οὐ φαίνεται. οὐκ ἄρα πάνυ τι ὀρθῶς ὡμολογοῦμεν ὁμολογοῦντες ἄρτι εἶναί τινας, οἳ ἑαυτοὺς μὲν οὐ γιγνώσκουσι, τὰ δὲ αὐτῶν. ἄλλοις δὲ τὰ τῶν ἑαυτῶν. ἔοικε γὰρ πάντα ταῦτ' εἶναι κατιδεῖν ἑνός τε καὶ μιᾶς τέχνης. ἑαυτόν, τὰ αὐτοῦ, τὰ τῶν ἑαυτοῦ. κινδυνεύει. ὅστις δὲ τὰ αὐτοῦ ἀγνοεῖ, καὶ τὰ τῶν ἄλλων που ἀγνοεῖ κατὰ ταῦτα. τί μήν. οὐκοῦν εἰ τὰ τῶν ἄλλων καὶ τὰ τῶν πόλεων ἀγνοήσει; ἀνάγκη. οὐκ ἄρα ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός; οὐ δῆτα. οὐ μὴν οὐδὲ οἰκονομικός γε; οὐ δῆτα. οὐδέ γ' εἴσεται ὅ, τι πράττει; οὐ γὰρ οὖν. ὁ δὲ μὴ εἰδὼς τί πράττει οὐχ ἁμαρτήσεται; πάνυ γε. ἐξαμαρτάνων δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ; πῶς δ' οὔ. κακῶς δὲ πράττων, οὐκ ἄθλιος; σφόδρα γε. τίς δ' οἷς οὗτος πράττει. καὶ οὗτος. οὐκ ἄρα οἷόν τε ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς, ἢ εὐδαίμονα εἶναι; οὐχ οἷόν τε. οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων ἄθλιοι; σφόδρα γε. οὐκ ἄρα οὐδὲ ὁ πλουτήσας ἀθλιότητος ἀπαλλάττεται. γε. ἀλλ' ὁ σωφρονήσας; φαίνεται.

Πλάτωνος ἐκ τοῦ Χαρμίδου.

Καὶ οὐκ ἂν αἰσχυνθείην μὴ οὐχὶ ὀρθῶς φάναι ποτὲ, ἢ τοῦτο συγχωρῆσαι μὴ ἂν ἀγνοοῦντα ἄνθρωπον αὐτὸν ἑαυτὸν σωφρονεῖν. σχεδὸν γάρ τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύνην. τὸ γιγνώσκειν ἑαυτὸν, καὶ συμφέρομαι τῷ ἐν Δελφοῖς ἀναθέντι τὸ τοιοῦτον γράμμα. καὶ γὰρ τοῦτο οὕτω μοι δοκεῖ τὸ γράμμα ἀνακεῖσθαι, ὡς δὴ πρόσρησις οὖσα τοῦ θεοῦ τῶν εἰσιόντων, ἀντὶ τοῦ χαῖρε, ὡς τούτου μὲν οὐκ ὀρθοῦ ὄντος τοῦ προσρήματος τοῦ χαίρειν, οὐδὲ δεῖν τοῦτο παρακελεύεσθαι ἀλλήλοις, ἀλλὰ σωφρονεῖν. τούτων οὖν δὴ ὁ θεὸς προσαγορεύει τοὺς εἰσιόντας εἰς τὸ ἱερὸν διαφέροντος ἢ οἱ ἄνθρωποι, ὡς διανοούμενος ἀνέθηκεν, ἀναθεὶς ὥς ἐμοὶ δοκεῖ καὶ λέγει πρὸς τὸν ἀεὶ εἰσιόντα οὐκ ἄλλό τι, ἢ σωφρονεῖν φησιν, αἰνιγματωδέστερον δὲ δὴ, ὡς μάντις λέγει. τὸ γὰρ γνῶθι σαυτὸν, καὶ τὸ σωφρόνει, ἔστι μὲν ταυτὸν, ὡς τὰ γράμματά φησι καὶ ἐγώ. τάχα δ' ἄν τις οἰηθείη ἄλλο εἶναι, ὃ δή μοι δοκοῦσι παθεῖν, καὶ οἱ τὰ ὕστερα γράμματα ἀναθέντες, τό, τε μηδὲν ἄγαν. καὶ τὸ ἐγγύη πάρα δ' ἄτα. καὶ γὰρ οὗτοι συμβουλὴν ᾠήθησαν εἶναι τὸ γνῶθι σαυτὸν, ἀλλ' οὐ τῶν εἰσιόντων ἕνεκεν ὑπὸ τοῦ θεοῦ πρόσρησιν, ἵνα δὴ καὶ αὐτοὶ μηδὲν ἧττον χρησίμους συμβουλὰς ἀναθεῖεν, ταῦτα γράψαντες, ἀνέθεσαν.

Πορφυρίου.

Τί ποτε ἦν ἄρα, καὶ τίνος τὸ ἱερὸν πρόσταγμα τὸ ἐν Πυθοῖ, ὃ γνῶναι ἑαυτὸν τοῖς τοῦ θεοῦ δεομένοις προσαγορεύει, μήτε γάρ τι μῆσαι θεὸν τὰ προσή-

Ayuntamiento de Madrid

κοντα, μὴ δ' ἂν τυχεῖν τοῦ θεοῦ δεηθέντα, τὴν ἄγνοιαν τῇ ἑαυτοῦ συνεχόμενον παραγγέλλειν ἔοικεν. ἀλλ' εἴτε φημονόη αὐτὴ πάντα λυσιτελοῦντα ἀνθρώποις τοῦτο ἐθέσπισεν, δι' ἧς πρώτης ὁ πύθιος λέγεται τοὺς εἰς ἀνθρώπους διαδοῦναι χάριτας. εἴτε φανοθέα ἡ δελφοῦ, εἴτε καὶ βίαντος, ἢ θάλου, ἢ χίλωνος τὸ ἀνάθημα ὁρμηθὲν ἀπό τινος θείας ἐπιπνοίας, εἴτε κλεάρχῳ προσακτέον μᾶλλον τοῦ μὲν πυθίου φράζοντι εἶναι παράγγελμα, χρησθῆναι δὲ χίλωνι τὸ ἄριστον ἀνθρώποις μαθεῖν πυνθανομένῳ. εἴτε καὶ περὶ χίλωνος τὸ ἐπ' ἀνάγραπτον ἐν τῷ ἱδρυθέντι νεῷ μετὰ τὸν πτέρινόν τε, καὶ χαλκοῦν, καθάπερ ἀριστοτέλης ἐν τοῖς περὶ φιλοσοφίας εἴρηκε, τὸ μὲν, ὅτῳ ἂν εἴη ἰαμβλίχῳ, ἀμφισβητήσιμον ἔστω, πάντως δὲ ὅτι ὑπὸ θεοῦ, ἢ οὐκ ἀθέου ἐρρήθη, ἐξ αὐτοῦ φαίνοιτ' ἂν τοῦ ἐν τοῖς πυθίοις αὐτὸ κεῖσθαι ἀμφήριστον. τί ποτε δ' ἐστὶν ὃ φράζει, καὶ πρό γε τῶν περὶ ῥαιστείων προσπελάσθαι τῷ θεῷ ἐπιτρέπει, ἀναγκαῖον ἂν εἴη γνῶναι.

Εν ταυτῷ

Ἀλλὰ μή ποτε σωφρόνει. ἔνεστιν ἀκοῦσαι λέγοντος, ἀντὶ τοῦ σῷζε τὴν φρόνησιν, καὶ γὰρ σωφροσύνη σαοφροσύνη τίς. οὕτω δὲ πρὸς τὸ φρονοῦν καὶ τὸ φρονεῖν, αἴτιον διαλέγοιτ' ἂν σῴζειν ἑαυτὸν παρακελευόμενος. τοῦτο δ' ἂν εἴη ὁ νοῦς. ἀλλ' εἰ τοῦτο, δεῖ πάλιν γνῶναι τὴν οὐσίαν ἡμῶν ἥτις ἐστίν. ἄλλοι γε μὴν μικρὸν διάκοσμον καλῶς εἰρῆσθαι φάμενοι τὸν ἄνθρωπον, παρακελεύεσθαι μὲν φασὶν τὸ γράμμα γνῶναι τὸν ἄνθρωπον. ὄντως δὲ μικροῦ διακόσμου τοῦ ἀνθρώπου, οὐδὲν ἄλλο κελεύειν, ἢ φιλοσοφεῖν. εἴπερ οὖν ἀπαύστως φιλοσοφεῖν σπουδάζομεν, προθυμώμεθα γνῶναι ἑαυτούς, καὶ ἔσται ἡμῖν τεῦξις ὀρθῆς φιλοσοφίας, ἐκ τῆς ἡμετέρας κατανοήσεως ἀναβαίνουσα ἐπὶ τὴν τοῦ παντὸς θεωρίαν. ἀλλ' ὅτι μὲν ἀπὸ τῶν ἐν ἡμῖν συλλογιζόμεθα, καὶ περὶ τῶν ἐν τῷ ὅλῳ καὶ ἡμᾶς ἐτάζοντες, καὶ εὑρίσκοντες, ῥᾷον μεταβαίνομεν ἐπὶ τὴν τοῦ παντὸς θεωρίαν. λέγεται ὀρθῶς. μή ποτε δὲ τὴν ἑαυτοῦ θεωρίαν οὐ φιλοσοφίας ἕνεκα θεὸς πείθεσθαι παρακελεύεται, ἀλλ' οὐδὲ τινος μείζονος ἕνεκα. διὸ καὶ φιλοσοφία παρελήφθη, φιλοσοφία μὲν γὰρ ἐπιτηδεύεται, ἐκ προσπαθείας ἡμῶν τῆς πρὸς τὸ σοφὸν, καὶ τῆς πρὸς τὴν θεωρητικὴν σοφίαν ἀγαπήσεως. ἡ δὲ σπουδὴ τῆς πρὸς τὸ γνῶναι ἑαυτὸν παρακελεύσεως. ἐς τεῦξιν τῆς ἀληθινῆς εὐδαιμονίας ἀποτείνεται, ἥτις συνίσταται ἐκ τῆς κατὰ σοφίαν διαθέσεως, καὶ κατὰ κτῆσιν τῆς σοφίας, θεωρία τοῦ ἀγαθοῦ, καὶ τῶν ὄντως ὄντων γνώσεως. θεωρεῖν οὖν καὶ μανθάνειν παρακελεύεσθαι τοὺς ὄντως ἑαυτούς, οὐχ ἵνα φιλοσοφήσωμεν, ἀλλ' ἵνα σοφοὶ γενόμενοι, εὐδαιμονήσωμεν, ἡ γὰρ τεῦξις τῆς ὄντως οὔσης οὐσίας

Ayuntamiento de Madrid

ἡμῶν, καὶ ἡ ταύτης ἀληθὴς γνῶσις, σοφίας ἦν τοῦ ἕξις· εἴγε σοφίας ἴδιον, ἡ τῆς ὄντως οὐσίας τῶν πραγμάτων ἀληθὴς ἐπιστήμη, διὰ σοφίας δὲ ἡ τῆς τελέας εὐδαιμονίας γίνεται κτῆσις.

Τοῦ αὐτοῦ ἐκ τοῦ τετάρτου.

Ἐπεὶ δὲ ἦν τις κατάβασις ἡμῖν εἰς τὰ τῇδε, καὶ τὸν ἐκτὸς περικειμένοις ἄνθρωπον καὶ ἠπατημένοις τε ὅτι τοῦτό ἐσμεν τὸ ὁρώμενον, παραίνεσις οἰκεία εἰς τὴν γνῶσιν τῆς ἑαυτοῦ δυνάμεως, ὃ γὰρ δὴ Πλάτων ἐν τῷ Φιλήβῳ μνησθεὶς τοῦ γνῶθι σαυτὸν, τριχῇ διαιρεῖται τὴν ἄγνοιαν, πανταχοῦ τοίνυν ἡ ἑαυτοῦ ἄγνοια πονηρὸν, ἤντε κατὰ τὸ εἴσω τὸ μέγεθος τῆς ἀξίας ἀγνοήσας τις ταπεινώσῃ τὸ θεῖον, ἄντε κατὰ τὸ ἔξω ἀγνοήσας τὸ φύσει προσὸν αὐτῷ ταπεινὸν ἐπαίρηται ἐπ᾽ αὐτῷ· ἢ οὐ πᾶν γε τὸ θνητὸν ἄντικρυς ὡς ὅτε τις ψάμαθον παῖς ἄγχι θαλάσσης, ὅστ᾽ ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν ἂψ αὖθις συνέχευε ποσὶ καὶ χερσὶν ἀθύρων. πᾶς οὖν ἀγνοίᾳ ἑαυτοῦ τὰ καθ᾽ αὑτὸν ἐπαίρων, ἁλίσκεται ὑπὲρ τῆς δημιουργησάσης αὐτὸν φύσεως πλεῖον, ἢ ἐκείνη βεβούληται, τὰ αὐτῆς ὡς σεμνὰ θαυμάζων παίγνια, ἣ δὲ, τηρεῖν ἔοικεν ἐν πᾶσι τῆς ἀξίας τὸ πρέπον, οὐδὲν τοῖς ἐπαίρουσι συνεξαπατωμένη. τὸ γνῶθι οὖν σαυτὸν διήκει εἰς πᾶσαν ὑπόληψιν τῆς προσούσης δυνάμεως παραγγέλλον γιγνώσκειν τὰ μέτρα περὶ πάντων, τὸ μὲν οὖν γιγνώσκειν ἑαυτόν. τὴν ἀναφορὰν ἔοικεν ἔχειν περὶ τὸ γιγνώσκειν δεῖν τὴν ψυχὴν καὶ τὸν νοῦν. ὡς ἐν τούτῳ ἡμῶν οὐσιωμένων. τὸ δὲ πάντῃ γιγνώσκειν ἑαυτὸν, συμπεριλαμβάνειν ἔοικεν ἡμᾶς καὶ τὰ ἡμέτερα καὶ τὰ τῶν ἡμετέρων. τοιαύτη μὲν καὶ ἡ ἐν τούτοις τοῦ Πλάτωνος ἀκρίβεια· φιλοτιμηθέντος ἐκτὸς τῶν ἄλλων, καὶ δίχα τῶν περὶ ἡμᾶς ἁπάντων γνῶναι ἑαυτὸν, καὶ πάλιν πάντῃ γνῶναι ἑαυτὸν, ἵνα καὶ ὁ ἐντὸς ἀθάνατος γνωσθῇ ἄνθρωπος, καὶ ὁ ἐκτὸς εἰκονικὸς μὴ ἀγνοηθῇ, καὶ τὰ τούτοις διαφέροντα γνώρισμα γένηται, διαφέρει μὲν γὰρ τῷ ἐντὸς, παντέλειος νοῦς, ἐν ᾧ αὐτὸς ἄνθρωπος, οὐκ εἰκὼν, ἕκαστος ἡμῶν. διαφέρει δὲ τῷ ἐκτὸς εἰδώλῳ τὰ περὶ τὸ σῶμα καὶ τὰς κτήσεις, ὧν δεῖ καὶ τὰς δυνάμεις γιγνώσκειν. καὶ τὸ ἄχρι τινὸς τούτων φροντιστέον, ἵνα μήτε τὴν τῆς ἀθανάτου ἀξίαν περιτιθέντες τῷ φθαρτῷ καὶ γηΐνῳ, καταγέλαστον αὐτὸν ποιῶμεν, καὶ πάλιν ἄξιον δακρύων ἐν τῇ κωμῳδοτραγῳδίᾳ τῇ τῶν ἀνοήτων βίων ἐνεχόμενον, μήτε τὴν τοῦ θνητοῦ ταπεινότητα τῷ ἀθανάτῳ προσάπτοντες, ἐλεεινοὶ ὦμεν καὶ διὰ πάντων ἄδικοι τῇ τοῦ κατ᾽ ἀξίαν ἀγνοίᾳ.

Ayuntamiento de Madrid

# ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

## ΠΕΡΙ ΥΠΕΡΟΨΙΑΣ

## ΛΟΓΟΣ. κʹ.

Εὐριπίδου. Κ Αρὺ τὸ φρόνημ᾽ ὄγκησις ἀνθρώπων κακόν.
Ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ᾽ ἀνήρ,
φίλοις τ᾽ ἄμικτός ἐστι καὶ πάσῃ πόλει.

Σωσιφάνους. Ὡς δυστυχεῖς μὲν πολλά, παῦρα δ᾽ ὄλβιοι
βροτοί, τί σεμνύνεσθε ταῖς ἐξουσίαις,
ἃς οὔτ᾽ ἔδωκε φέγγος, οὔτ᾽ ἀφείλετο.
ἂν δ᾽ εὐτυχῆτε μηδὲν ὄντες, εὐθέως
ἴσ᾽ οὐρανῷ φρονεῖτε, τὸν δὲ κύριον
καὶ δὴ παρεστῶτ᾽ οὐχ ὁρᾶτε πλούσιον.

Φιλήμονος. Τὸ γνῶθι σαυτὸν οὐ μάτην εὖ ἴσθ᾽ ὅτι
τὸ ῥῆμα τοῦτο δόξαν ἐνδελφοῖς ἔχει.

Εὐριπίδου. Ὅταν ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ
λαμπρῶς τε πλούτῳ, καὶ γένει γαυρούμενον,
ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα,
τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα.
Κ εἶναί τις αὐτὸν ἄνθρωπον τί ποτε μέγαν,
ὃν ἐξαλείφει πρόφασις ἡ τυχοῦσ᾽ ὅλον.
Γ οἶ. πῶς δὲ λήσει. τίς δὲ νῶν πιστὸς φίλος.
ζητῶμεν. ἡ δόκησις ἀνθρώποις κακόν.
καὶ τοὐπιχειρεῖν ἐξαμαρτάνειν φιλεῖ.
Β ροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους.
θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν.

Μενάνδρου. Ο ἱ τὰς ὀφρῦς αἴροντες ὡς ἀβέλτεροι.
καὶ σκέψομαι. λέγοντες, ἄνθρωπος γὰρ ὤν.

σκέψη

Ayuntamiento de Madrid

σκέψῃ σὺ περί του δυστυχὴς ὅταν τύχῃ.
αὐτόματα γὰρ τὰ πράγματ' ἐπὶ τὸ συμφέρον
ῥεῖ καθευδήσῃ πάλιν τἀναντία.

Ολως τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα. Χαιρήμο.

Ω τρισάθλιοι ἅπαντες οἱ φυσῶντες ἐφ' ἑαυτοῖς μέγα, Μενάνδρου
ἄλλοι γὰρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν.

Πᾶς ὁ μὴ φρονῶν, ἀλαζονείᾳ καὶ ψόφοις ἁλίσκεται.

Ορᾶτε τὸν τύραννον, ὡς ἄπαις γέρων· φεύγει Εὐριπίδου
φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα.

Σιγᾶν φρονοῦντα κρεῖσσον, ἢ εἰς ὁμιλίαν
πεσόντα, τούτῳ δ' ἀνδρὶ μήτ' εἴην φίλος,
μήτε ξυνείην, ὅστις αὐτάρκη φρονεῖν
πέποιθε, δούλους τοὺς φίλους ἡγούμενος.

Οἱ γὰρ πνέοντες μεγάλα τοῖς κρείσσοσι λόγοις
πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο.

Θνητοὶ γεγῶτες, μὴ φρονεῖθ' ὑπὲρ θεούς. Δημόνακτος.

Τὸ σοφὸν οὐ σοφία, τό τε μὴ θνητὰ φρονεῖν Εὐριπίδου.
βραχὺς αἰών· ἐπὶ τούτῳ δέ τις ἂν μεγάλα
διώκων τὰ παρόντ' οὐχὶ φέρει.
μαινομένων δ' οἵδε τρόποι καὶ
κακοβούλων παρ' ἐμοί γε φωτῶν.

Οξὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.

Τὸ ἀργύριον εἶναι μακάριόν σοι φαίνεται Μενάνδρου
οὐ τῶν ἀναγκαίων καθ' ἡμέραν μόνον
τιμὴν παρασχεῖν δυνατὸν ἄρτων, ἀλφίτων,
ὄξους, ἐλαίου, μείζονος ἄλλου τινός.
ἀθανασίας δ' οὐκ ἔστιν, οὐδ' ἂν συναγάγῃς
τὰ Ταντάλου τάλαντα ἱκανὰ λεγόμενα.
ἀλλ' ἂν ἀποθάνῃς, ταῦτα καταλείψεις τισίν,
τί οὖν λέγω, μηδ' αὐτὸς εἰ σφόδρ' εὐπορεῖς
πίστευε τούτῳ, μήτε τῶν πτωχῶν πάλιν
ἡμῶν καταφρόνει, τοῦ δ' εὐτυχεῖν ἀεὶ
πάρεχε σαυτὸν τοῖς ὁρῶσιν ἄξιον.

Ορῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο, πλὴν Σοφοκλέους.



Ayuntamiento de Madrid

εἴδωλα, ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν.
τοιαῦτα τοίνυν εἰσορῶν, ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς αὐτὸς ἐς θεοὺς ἔπος.
μηδ' ὄγκον ἄρῃ μηδένα, εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις, ἢ μακροῦ πλούτου βάθει.
Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
ἔφασκ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν
βλαστὼν ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ.
Θνητὰ φρονεῖν χρὴ τὴν θνητὴν φύσιν, τοῦτο
κατειδότας, ὡς οὐκ ἔστι πλὴν Διὸς οὐδεὶς
τῶν μελλόντων ταμίας ὅ,τι χρὴ τετελέσθαι.
Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα.
Εὐριπίδου. Ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας
λέγειν. ἐς ὄγκον οὐκ ἄνω βλέπειν τύχης.
Ἱπποθέ. Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.
Σωτάδου. Εἰ καὶ βασιλεὺς πέφυκας, ὡς θνητὸς ἄκουσον.
ἂν μακρὰ πτύῃς, φλέγματι ὧ κρατεῖ περισσῷ.
ἂν εὐημερῇς, ταῦτα πρό σου πρόβατον εἶχεν,
ἂν χρυσοφορῇς, τοῦτο τύχης ἐστὶν ἔπαρμα,
ἂν πλούσιος ᾖς, τοῦτο χρόνου ἄδηλος ἰσχύς.
ἂν ἀλαζονῇς, τοῦτ' ἀνοίας ἐστὶ φρύαγμα.
ἂν δὲ σωφρονῇς, τοῦτο θεῶν δῶρον ὑπάρχει.
ἡ σωφροσύνη πάρεστιν ἐὰν μετρῇς σεαυτόν.
Ἰσιδώρου. Θνητὸς πεφυκὼς, τὰ ὀπίσω πρόσω βλέπειν.
Μενάνδρου. Ἐφ' ᾧ φρονεῖς μέγιστον, ἀπολεῖ τοῦτό σε,
τὸ δοκεῖν τιν' εἶναι, καὶ γὰρ ἄλλους μυρίους.
Τὸ σὸν ταπεινὸν ἂν οὐ σεμνύνῃ, καλὸν
ἔξω φανεῖται φίλ' ἄνερ, ἂν δ' αὐτὸς ποιῇς,
ταπεινὸν αὐτὸ καὶ τίθῃς ἐν μηδενὶ,
οἰκεῖος οὗτος καταγέλως νομίζεται.
Τὸ γὰρ προθύμως μὴ πονῆσαι δυστύχησιν.
Εὐριπίδου. Εὐδαιμονία εἴωθεν ὑπερηφανίας ποιεῖν.
Σὺ δ' εἶκε ἀνάγκῃ, καὶ θεοῖσι μὴ μάχου.

Ayuntamiento de Madrid

τόλμα δὲ προσβλέπειν με, καὶ φρονήματος
χάλα. τὰ τοι μέγιστα πολλάκις θεὸς,
ταπεῖν᾿ ἔθηκε καὶ συνέστειλεν πάλιν.

Ὁρῶν ὁ σωκράτης τὸν ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ, καὶ μέγα φρονοῦντα ἐπὶ τῇ περιουσίᾳ καὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν εἴς τινα τῆς πόλεως τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τῷ ἀλκιβιάδῃ, τὴν ἀττικὴν ἐνταῦθα ἀναζητεῖν, ὡς δ᾿ εὗρε, προσέταξε καὶ τοὺς ἰδίους ἀγροὺς αὐτοῦ διαθρῆσαι, τοῦ δὲ, εἰπόντος, ἀλλ᾿ οὐδαμοῦ γεγραμμένοι εἰσὶν, ἐπὶ τούτοις οὖν εἶπε μέγα φρονεῖς, οἳ περὶ οὐδὲν μέρος τῆς γῆς εἰσίν; Αἰλιανοῦ ἐξ ἱστορίας

Ἡ δεισιδαιμονία καθάπερ πατρὶ τῷ τύφῳ πείθεται. Σωκράτους

Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διΐστησι, τοὺς δὲ ἀνοήτους τὸ οἴημα.

Σωκράτης ἐρωτηθεὶς, τίνες βάναυσοι, οἱ τῶν ὁμοίων ἔφη καταφρονοῦντες.

Φρονήσης μὲν οὖν μηδέποτε ἐπὶ σεαυτῷ μέγα. ἀλλὰ μὴ δὲ καταφρονήσῃς σεαυτοῦ. Φαβωρίνου

Τῆς ἀλαζονείας καθάπερ τῶν κεχρυσωμένων ὅπλων, οὐχ ὅμοιά ἐστι τὰ ἐντὸς τοῖς ἐκτός. Διογένους

Ὁ τύφος ὥσπερ ποιμὴν, οὗ θέλει τοὺς πολλοὺς ἄγει.

Τελευτᾷ γὰρ εἰς κακοδοξίαν κακὴν, ὁ παρεκτεινόμενος τῷ κρείσσονι.

Δημοκράτης ἀναβαίνων εἰς τὴν ἀκρόπολιν ἐν γήρᾳ, καὶ πνευστιῶν, ποιεῖν ἔφη ὅπερ καὶ ξύμπασα ἡ ἀθηναίων πόλις, πνεῖν μὲν γὰρ μέγα ἰσχύειν δὲ μικρόν.

Ὁ μὲν γὰρ ἀλαζὼν ἔμοιγε δοκεῖ ὄνομα κεῖσθαι ἐπὶ τοῖς προσποιουμένοις καὶ πλουσιωτέροις εἶναι ἢ εἰσὶ, καὶ ἀνδρειοτέροις. καὶ ποιήσειν, ἃ μὴ ἱκανοί εἰσιν ὑπισχνουμένοις. καὶ ταῦτα φανεροῖς γιγνομένοις, ὅτι τοῦ λαβεῖν τι ἕνεκα καὶ κερδαίνειν ποιοῦσιν. οἱ δὲ μηχανώμενοι γέλωτα τοῖς συνοῦσι, μήτε ἐπὶ τῷ αὐτῶν κέρδει, μήτε ἐπὶ ζημίᾳ τῶν ἀκουόντων, μήτ᾿ ἐπὶ βλάβῃ μηδεμιᾷ. πῶς οὐχ οὗτοι ἀστεῖοι ἂν καὶ εὐχάριστοι ὀνομάζοιντο δικαιότερον, ἢ ἀλαζόνες. Ξενοφῶντος.

Δοκεῖ δέ μοι ὦ κύριε χαλεπώτερον εἶναι. εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς, ἢ τὰ κακὰ φέροντα, τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς. τὰ δὲ, σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ.

Ὁρᾷς τὰ ὑπερέχοντα ζῶα ὡς κεραυνοῖ ὁ θεὸς, οὐδ᾿ ἐᾷ φαντάζεσθαι. τὰ δὲ σμι- Ἡροδότου



Ayuntamiento de Madrid

κρᾷ οὐδέν μιν κνίζει· ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ μέγιστα αἰεὶ, καὶ δένδρεα τὰ τοιαῦτα ἀποσκήπτει βέλεα· φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν, οὕτω δὲ καὶ στρατὸς πολλὸς ἀπ' ὀλίγου διαφθείρεται κατὰ τοιόνδε· ἐπεάν σφιν ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ, ἢ βροντὴν δι' ὧν ἐφθάρησαν ἀξίως ἑωυτῶν, οὐ γὰρ φρονέειν ὁ θεὸς μέγα ἄλλον, ἢ ἑωυτόν.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΦΙΛΑΥΤΙΑ.

### ΛΟΓΟΣ ΚΑ'.

Εὐριπίδου. Δεινὸν δ' ὅταν τις μὴ φρονῶν δοκεῖ φρονεῖν.

Σωσικρά. Ἀγαθοὶ δὲ τὸ κακὸν ἐσμὲν ἐφ' ἑτέροις ἰδεῖν·
αὐτοὶ δ' ὅταν ποιῶμεν, οὐ γινώσκομεν.

Μενάνδρου. Οὐδεὶς ἐπ' αὐτοῦ τὰ κακὰ συνορᾷ πάμφιλε
σαφῶς· ἑτέρου δ' ἀσχημονοῦντος ὄψεται.

Ὁ βούλεται γὰρ μόνον ὁρῶν καὶ προσδοκῶν.

Εὐριπίδου. ἀλόγιστός ἐστι τῆς ἀληθείας κριτής.

Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,
αὐτοὶ δ' ὅταν σφάλωμεν οὐ γινώσκομεν.

Αἴσωπος ἔφη· δύο πήρας ἕκαστον ἡμῶν φέρειν· τὴν μὲν, ἔμπροσθεν· τὴν δὲ ὄπισθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν, ἀποτιθέναι τὰ τῶν ἄλλων ἁμαρτήματα· εἰς δὲ τὴν ὄπισθεν, τὰ ἑαυτῶν, διὸ οὐδὲ καθορῶμεν αὐτά.

Ἐκ τῶν Ἀριστωνύμου. Οὕτως ἔνιοι αὐτοῖς δοκοῦσι φιλοσοφεῖν,
ὡς καὶ νήφειν οἱ μεθύοντες.

Σωκράτης ἔλεγεν· εἴ τις ἐν θεάτρῳ ὑποκηρύττοι ἀνίστασθαι τοὺς σκυτοτόμους, ἐκείνους μόνους ἀναστήσεσθαι, ὁμοίως δὲ τοὺς χαλκοτύπους, τοὺς ὑφάντας, τοὺς ἄλλους κατὰ γένος· εἰ δὲ τοὺς φρονίμους ἢ δικαίους, πάντας ἀναστήσεσθαι, καὶ ἔστιν ἐν βίῳ βλάπτον μάλιστα, τὸ ἀνοήτους ὄντας τοὺς πολλοὺς οἴεσθαι φρονίμους εἶναι.

Διόπερ

Ayuntamiento de Madrid

Διόπερ ῥᾷστόν ἐστιν ἁπάντων ἑαυτὸν ἐξαπατᾶν, ὃ γὰρ βούλεται τοῦθ' ἕκαστος καὶ οἴεται· τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκε. Δημοσθένους.

Διογένης ἔφη τῶν ἀνθρώπων ἐνίους τὰ δέοντα λέγοντας, ἑαυτῶν οὐκ ἀκούειν ὥσπερ καὶ τὰς λύρας καλὸν φθεγγομένας, οὐκ αἰσθάνεσθαι.

Εἰ γάρ τις προθείη πᾶσι ἀνθρώποισι ἐκλέξασθαι κελεύων νόμους τοὺς καλλίστους, ἐκ τῶν πάντων νόμων διασκεψάμενοι ἂν ἑλοίατο ἕκαστος τοὺς ἑαυτῶν· οὕτω νομίζουσι πολύ τι καλλίστους τοὺς ἑαυτῶν νόμους ἕκαστοι εἶναι. Ἡροδότου

Ἡ φιλοτιμίη, κτῆμα σκαιόν· μὴ τῷ κακῷ τὸ καλὸν ἰῶ. πολλοὶ τῶν δικαίων τὰ ἐπιεικέστερα προτιθέασι· πολλοὶ δὲ ἤδη τὰ μητρῷα διζήμενοι, τὰ πατρῷα ἀπέβαλον.

Πλάτων συνεβούλευεν, ὅτε καταγελάσωμέν τινων, ἐπιστρέφειν ἐφ' ἑαυτοὺς καὶ σκοπεῖν, μὴ καὶ ἄλλοι τοῖς ἄλλοις ἐσμὲν ἔνοχοι· πολλὰ γὰρ τὸ φίλαυτον ἐπικρύπτει, καὶ περιβάλλει παρὰ τῷ μᾶλλον καταγελῶντι.

Οἱ πολλοὶ τῶν ἀνθρώπων· τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται, τῶν δὲ ἀλλοτρίων, κατήγοροι. Ἀπολλωνίου

Πολλοὶ δοκέοντες ἑωυτοὺς φιλέειν, οὐ φιλέουσιν ἀληθέως, πάντα γοῦν αὐτοῦ τούτου εἵνεκα εἴκοντες ἑωυτοῖς, καὶ παρὰ τὸ ἀρεκὲς χαριζόμενοι ἄλλοις, τοῖς ἐναντιωτάτοις περιπίπτουσι. Εὐσεβίου.

Πολλοὶ βουλόμενοι δοκέειν εἶναι εὐβουλότατοι, πρὸς τῶν δικαιοτάτων καὶ εὖ φρονεόντων ἀναποδιζόμενοι, οὐκ ἀξιοῦσι ἀπὸ τῶν δοξάντων ἅπαξ ἀναχωρέειν, ἀλλ' ὅκως μὴ ἐλεγχοίατο, ὡς ἀπὸ ἡμαρτημένης ἀφιστάμενοι, ἐμμένουσι τῇ ἀνάγκῃ, ἐς ὃ δὴ καὶ τοῖς ἀπ' ἄλλης κακοῖς ἐγκυρήσωσι.

Τὸ ἐξαπατᾶσθαι αὐτὸν ὑφ' αὑτοῦ, πάντων χαλεπώτατον· ὅταν γὰρ μηδὲ σμικρὸν ἀποστατῇ, ἀλλ' ἀεὶ παρῇ ὁ ἐξαπατήσων, πῶς οὐ δεινόν. Πλάτωνος

Πάντων δὲ μέγιστον κακῶν ἀνθρώποις τοῖς πολλοῖς ἔμφυτον ἐν ταῖς ψυχαῖς ἐστιν, οὗ πᾶς αὑτῷ ξυγγνώμην ἔχων, ἀποφυγὴν οὐδεμίαν μηχανᾶται· τοῦτο δ' ἐστὶν ὃ λέγουσιν, ὡς φίλος αὑτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι καὶ ὀρθῶς ἔχει τὸ δεῖν εἶναι τοιοῦτον, τὸ δὲ ἀληθείᾳ γε πάντων ἁμαρτημάτων, διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν αἴτιον ἑκάστῳ γίγνεται ἑκάστοτε, τυφλοῦται γὰρ παρὰ τὸ φιλούμενον ὁ φιλῶν, ὥστε τὰ δίκαια, καὶ τὰ ἀγαθά, καὶ τὰ καλὰ κακῶς κρίνει, τὸ αὑτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾶν δεῖν ἡγούμενος, οὔτε γὰρ ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ χρὴ τὸν μέγαν ἄνδρα ἐσόμενον στέργειν, ἀλλὰ τὰ δίκαια· ἐάν τε παρ' αὑτῷ, ἐάν τε παρ' ἄλλῳ μᾶλλον τυγχάνῃ πραττόμενα· ἐκ ταὐτοῦ δὲ ἁμαρτήματος τούτου, καὶ τὸ τὴν ἀμαθίαν τὴν παρ' Τοῦ αὐτοῦ ἐκ τῶν νόμων. έ.



Ayuntamiento de Madrid

αὐτῷ δοκεῖ σοφίαν εἶναι γεγονέναι πᾶσιν, ὅθεν οὐκ εἰδότες ὡς ἔπος εἰπεῖν οὐδὲν οἰόμεθα τὰ πάντα εἰδέναι, οὐκ ἐπιτρέποντες δὲ ἄλλοις ἃ μὴ ἐπιστάμεθα πράττειν, ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοὶ πράττοντες, διὸ πάντα ἄνθρωπον χρὴ φεύγειν τὸ σφόδρα φιλεῖν αὑτόν, τὸ δὲ αὑτοῦ βέλτιον διώκειν δεῖ, μηδεμίαν αἰσχύνην ἐπὶ τῷ τοιούτῳ πρόσθεν ποιούμενον.

## ΠΕΡΙ ΤΟΥ ΣΥΝΕΙΔΟΤΟΣ

### ΛΟΓΟΣ. ΚΒ'.

Διφίλου. Ὅστις γὰρ αὐτὸς αὑτὸν οὐκ αἰσχύνεται,
συνειδόθ' αὑτῷ φαῦλα διαπεπραγμένῳ,
πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται.

Πυθαγόρου. Πάντων δὲ μάλιστα αἰσχύνεο σαυτόν.

Ὁ συνιστορῶν αὑτῷ τι, κἂν ᾖ θρασύτατος,
ἡ σύνεσις αὐτὸν δειλότατον εἶναι ποιεῖ.

Σοφοκλέους. Κλέπτων δ' ὅταν τις ἐμφανῶς ἐφευρεθῇ,
σιγᾶν ἀνάγκη κἂν καλὸν φέρῃ στόμα.

Εὐριπίδου. Ὀρέστα τλῆμον, τίς σ' ἀπόλλυσι νόσος.
ἡ σύνεσις ὅτι σύνοιδα δεῖν' εἰργασμένος.

Σοφοκλέ. Ἡ δεινὸν ἆρ' ἦν ἡνίκ' ἄν τις ἐσθλὸς ὢν αὑτῷ συνειδῇ.

Ἀντιφῶν. Τὸ μὴ συνειδέναι γὰρ αὑτοῦ τῷ βίῳ, ἀδίκημα μηδὲν ἡδονὴν πολλὴν ἔχει.

Πυθαγόρου. Καὶ μείζω πάσχει διὰ τοῦ συνειδότος ὁ ἀδικῶν βασανιζόμενος, ἢ ὁ τῷ σώματι καὶ ταῖς πληγαῖς μαστιγούμενος.

Ἰσοκράτους. Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν, καὶ γὰρ ἂν τοὺς ἄλλους λήσῃς, ἑαυτῷ συνειδήσεις.

Μηδὲν ἀποκρύπτεσθε, μήθ' ὧν κέκτησθε, μήθ' ὧν ποιεῖτε, μήθ' ὧν μέλλετε πράττειν, εἰδότες ὅτι περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων, ἀναγκαῖον

Ayuntamiento de Madrid

ἐστι. πολλοὺς φόβους γίγνεσθαι.

Βίας ἐρωτηθεὶς, τί ἂν εἴη τῶν κατὰ τὸν βίον ἄφοβον, εἶπεν ὀρθὴ συνείδησις.

Περίανδρος ἐρωτηθεὶς, τί ἐστιν ἐλευθερία, εἶπεν· ἀγαθὴ συνείδησις.

Σωκράτης ἐρωτηθεὶς, τίνες ἀταράχως ζῶσιν· εἶπεν· οἱ μηδὲν ἑαυτοῖς ἄτοπον συνειδότες.

Τίς γὰρ ἂν ἧττον φοβοῖτό τι, ἢ θαρσοίη μάλιστα, ἢ ὅστις αὑτῷ μηδὲν συνειδείη κακόν. Διογένους.

Τὸ γὰρ συνειδὸς, οἷον ἕλκος ἐν σαρκὶ τῆς ψυχῆς τὴν μεταμέλειαν αἱμάσσουσαν ἀεὶ καὶ νύσσουσαν ἐναπολείπει, τὰς μὲν γὰρ ἄλλας ἀναιρεῖ λύπας ὁ λόγος, τὴν δὲ μετάνοιαν αὐτὸς ἐργάζεται δακνομένην σὺν αἰσχύνῃ, καὶ κολαζομένην ὑφ' αὑτῆς. ὡς γὰρ οἱ ῥιγοῦντες καὶ πυρετοῖς διακαιόμενοι τῶν ταῦτα πασχόντων ἔξωθεν ὑπὸ καύματος, ἢ κρύους μᾶλλον ἐνοχλοῦνται καὶ κάκιον ἔχουσιν, οὕτως ἐλαφροτέρας ἔχει τὰς τυχηρὰς τὰς λύπας ὥσπερ ἔξωθεν ἐπιφερομένας· τὸ δὲ οὔτις ἐμοὶ τῶν ἄλλων ἐπαίτιος· ἀλλ' ἐγὼ αὐτὸς ἐπιθρηνούμενον τοῖς ἁμαρτανομένοις ἔνδοθεν ἐξ αὐτοῦ, βαρύτερον ποιεῖ τῷ αἰσχρῷ τὸ ἀλγεινόν. Πλουτάρχου

Ζηλοῦτε, μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν, σφίσιν αὐτοῖς συνειδότας, μετὰ γὰρ τῆς τοιαύτης τύχης ἥδιστα ἄν τις δύναιτο τὸν βίον διαγαγεῖν.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΜΝΗΜΗΣ

## ΛΟΓΟΣ ΚΓ'.

Ὥσπερ γὰρ ἐκ τῶν ἐνεργειῶν καὶ τὰς ἄλλας κατελαβόμεθα, οὕτως ἀναθεωροῦντες κατὰ συναναφορὰν γιγνομένην καὶ μνήμην, τῶν ἢ δι' αἰσθήσεως καταληφθέντων, ἢ διὰ λόγου ἐθέμεθα. καὶ ταύτης ψυχῆς δύναμιν, ἢ τῇ συναναφορᾷ καλεῖται μνήμη, ἣν ἀφορίζεται ἀριστοτέλης, κατοχὴν φαντάσματος, ὡς εἰκόνος οὗ φαντάσματα εἰκών. οἷον ὅταν γένηται ἡ αἴσθησις ἀνελθοῦσα ἐπὶ τὴν φανταστικὴν κατασκευὴν τὸ γενόμενον. ἐν ᾗ φανταστικὴ τὸ πάθος ὅτι δή ποτε ὄν, καλεῖται φάντασμα. ἔτι οὖν καὶ ἀρθέντος τοῦ αἰσθητικοῦ ἐκ τῆς αἰσθήσεως, τὸ προσπίπτον ἐν τῇ εἰκόνι τοῦ

Ἐκ τοῦ πορφυρίου περὶ ψυχῆς.



Ayuntamiento de Madrid

αἰσθητοῦ ἀφ' οὗ συνέστηκε τὸ φάντασμα. ἄλλος λόγον ἔχειν πρὸς τὸ φανταστόν. οἷον γὰρ ἀκούοντος ἐγένετο ἐν τῇ φανταστικῇ τοῦ ὑποπεσόντος ὑπὸ τὴν αἴσθησιν. ὅταν οὖν γένηται κατοχὴ περὶ τὴν φανταστικὴν τοῦ φαντάσματος, καλεῖται μνήμη. τοῦτο μὲν οὖν κοινὸν καὶ ἐν τοῖς ἀλόγοις ζώοις, ἡ δὲ διηρθρωμένη, καθ' ἣν καὶ ἀναμιμνησκόμεθα, ἐν μόνοις ἐστὶ τοῖς λογικοῖς, ἴδιον γὰρ λογισμοῦ, τὸ διηρθρωμένον, διὸ καὶ φασὶν οἱ περὶ τὸν ἀριστοτέλην τὰ ἄλογα ζῶα, μεμνῆσθαι μὲν, ἀναμιμνήσκεσθαι δὲ μή. τὸν δὲ μόνον ἄνθρωπον καὶ μνημονεύειν καὶ ἀναμιμνήσκεσθαι.

Πλάτωνος. Ἡ μνήμη παντί που μηνύει, ὅτι μονή ἐστιν ἐν τῇ ψυχῇ, ἀλλ' οὐ φορά.

Ἀριστοτέλους. Τὴν δὲ κατοχὴν τῶν φαντασμάτων, μνήμην ἐπονομάζεσθαι, τὴν δ' ἀναπόληψιν τούτων, ἀνάμνησιν. οὐ τοὺς αὐτοὺς δ' εἶναι μνημονικούς τε καὶ ἀναμνηστικούς, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ μνημονικωτέρους μὲν ὑπάρχειν τοὺς βραδεῖς, ἀναμνηστικωτέρους δὲ, τοὺς ταχεῖς καὶ εὐμαθεῖς, διαφέρειν δὲ τῆς φαντασίας τὴν μνήμην· ὅτι ἡ μὲν, κίνησίς ἐστιν αἰσθήσεως ἐνεργούσης, ἢ διανοίας φαντάσματα γὰρ ἄμφω λέγειν ὁμοίως ἡμᾶς. ἡ δ' οἷον ζωγράφημά τι τῆς ψυχῆς, τὴν γὰρ γινομένην κίνησιν τῆς αἰσθήσεως σημαίνεσθαί τινα τρόπον ἐν αὐτῇ παραπλησίως τοῖς σφραγιζομένοις διὰ τῶν δακτυλίων, διὸ καὶ τοῖς μὲν ἐν κινήσει πολλῇ διὰ πάθος, ἢ δι' ἡλικίαν οὖσιν, οὐ γίγνεσθαι, καθάπερ εἰς ὕδωρ ῥέον ἐμπιπτούσης τῆς κινήσεως, καὶ τῆς σφραγίδος. τοῖς δὲ, διαψύχεσθαι καθάπερ καὶ τὰ παλαιὰ τῶν οἰκοδομημάτων, καὶ διὰ σκληρότητα δὲ τοῦ δεχομένου τὸ πάθος οὐ γίνεσθαι τοὺς τύπους. διόπερ τούς τε νέους σφόδρα καὶ τοὺς γέροντας ἀμνήμονας εἶναι, ὑπορρεῖν γὰρ, τῶν μὲν, διὰ τὴν αὔξησιν. τῶν δὲ, διὰ τὴν φθίσιν. ὁμοίως δὲ καὶ διὰ τοὺς λίαν ταχεῖς, ἢ βραδεῖς· οὐδετέρους γὰρ τούτων φαίνεσθαι μνημονεύοντας, τοὺς μὲν γὰρ, ὑγροτέρους εἶναι τοῦ δέοντος. τοὺς δὲ, σκληροτέρους, παρ' ὃ καὶ τῶν μὲν, οὐ μένειν ἐν τῇ ψυχῇ τὸ φάντασμα, τῶν δ' οὐχ ἅπτεται τὸ παράπαν.

Μεγίστη δὲ φυλακή, τὸ μὴ γράφειν, ἀλλ' ἐκμανθάνειν. οὐ γάρ ἐστι τὰ γραφέντα μὴ οὐκ ἐκπεσεῖν. διὰ ταῦτ' οὐδὲν πώποτ' ἐγὼ περὶ τούτων γέγραφα, οὐδ' ἔστι πλάτωνος σύγγραμμα οὐδέν. οὐδ' ἔσται. τὰ δὲ νῦν λεγόμενα, σωκράτους ἐστὶ καλοῦ καὶ νέου γεγονότος.

Πλάτωνος. Τὸ δ' ἐν ἑνὶ πάθει τῆς ψυχῆς, καὶ τὸ σῶμα κοινῇ γιγνόμενον, κοινῇ καὶ κινεῖσθαι. ταύτην δὴ τὴν κίνησιν ὀνομάζων αἴσθησιν, οὐκ ἀπὸ τρόπου φθέγγοι' ἄν. ἀληθέστατα λέγεις. οὐκοῦν ἤδη μανθάνομεν, ὃ βουλόμεθα καλεῖν τὴν αἴσθησιν; τί μήν. σωτηρίαν τοίνυν αἰσθήσεως τὴν μνήμην λέγων, ὀρθῶς ἂν

λέγοι

Ayuntamiento de Madrid

λέγοι, κατά γε τὴν ἐμὴν γνώμην· ὀρθῶς γὰρ οὖν. μνήμης δὲ ἀνάμνησιν ἆρ' οὐ διαφέρουσαν ἔγνωμεν; ἴσως ἆρ' οὖν τόδε; τὸ ποῖον. ὅταν ἃ μετὰ τοῦ σώματος ἔπασχε πάθη ψυχὴ, ταῦτα ἄνευ σώματος αὐτὴ ἐν ἑαυτῇ ὅτι μάλιστα ἀναλαμβάνῃ· τότε ἀναμιμνήσκεσθαί που λέγομεν. ἦ γάρ. πάνυ μὲν οὖν. καὶ μὴν καὶ ὅταν ἀπολέσασα μνήμην, εἴτ' αἰσθήσεως, εἴτ' αὖ μαθήματος, αὖθις ταύτην ἀναπολήσῃ πάλιν αὐτὴ ἐν ἑαυτῇ· καὶ ταῦτα ξύμπαντα, ἀναμνήσεις καὶ μνήμας που λέγομεν; ὀρθῶς λέγεις.

Τούτων οὖν τῶν κοινοτάτων δυνάμεων, ἔστι καὶ ἄλλαι τῆς ψυχῆς δυνάμεις, κατ' ἄλλην μὲν, οὐ μὴν συμπληρωτικαὶ αὐτῆς, ὥς ἡ μνήμη κατοχὴ οὖσα φαντάσματος. Ιαμβλίχου

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΛΗΘΗΣ

### ΛΟΓΟΣ ΚΔʹ.

Σοφοκλέους.

Λάθα Πιερίδων στυγερὰ καὶ ἀνάρετος.
ὦ δυνάσαις θανάτοις εὐπιτμένα τε.
μελέων ἀνέχουσα βίον βραχὺν ἴσθμεν.
Ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφή, Εὐριπίδου
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.

Λήθην τε τὴν πάντ' ἀποστερημένην, κωφὴν ἄναυδον. Σοφοκλέους.

Ὡς τοῖς κακῶς πράσσουσιν ἡδὺ καὶ βραχὺν
χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν.

Ἐστὶ γὰρ λήθη, μνήμης ἔξοδος.

Ὃ γὰρ καλεῖται μελετᾶν, ὡς ἐξιούσης ἐστὶ τῆς ἐπιστήμης, λήθη γὰρ ἐπιστήμης ἔξοδος. Πλάτωνος

Ayuntamiento de Madrid

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΟΡΚΟΥ,

## ΛΟΓΟΣ ΚΕʹ.

Χοιρίλου. Ὅρκον δ' οὔτ' ἄδικον χρεὼν ἔμμεναι, οὔτε δίκαιον.

Ἀλέξιδος. Οὐκ ἀνδρῶν ὅρκοι πίστεις, ἀλλ' ὅρκων ἀνήρ.
Ὅρκος βέβαιός ἐστιν, ἂν νεύσω μόνον.

Ἀμφίδος. Ὅστις γὰρ ὀμνύοντι μηδὲν πείθεται,
αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.

Ἀντιφάνους. Δέσποιν', ὅταν τὶς ὀμνύοντος καταφρονῇ,
ᾧ μὴ σύνοιδε πρότερον ἐπιορκηκότι,
οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ.
καὶ πρότερον ὀμόσας αὐτὸς ἐπιορκηκέναι.

Σοφοκλέους. Ὅρκου δὲ προστεθέντος ἐπιμελεστέρα
ψυχὴ κατέστη, δισσὰ γὰρ φυλάσσεται
φίλων τε μέμψιν κεἰς θεοὺς ἁμαρτάνειν.

Ἀπολλοδ. Μάστιγος οὔσης, ὅρκον οὐκέτι δίδως

Ἀντιφῶντος. Ὁ διδοὺς τὸν ὅρκον τῷ πονηρῷ, μαίνεται, τοὐναντίον γὰρ νῦν ποιοῦσιν οἱ θεοί. ἐὰν ἐπιορκήσῃ τίς, αὐτὸς εὐθέως ὁ δοὺς τὸν ὅρκον, ἐγένετ' ἐμβρόντητος, οἴμαι δικαίως ὅτι τε πίστευκε τινί.

Ἀλέξιδος. Οὐ τοῖς γὰρ ὀμνύουσι τὸν φρονοῦντα δεῖ, τοῖς πράγμασι δ' αὐτοῖς πιστεύειν ἀεί.

Λυκούργου. Δεῖ φίλοις καὶ τοῖς οἰκείοις βοηθεῖν· ἄχρι τοῦ μὴ ἐπιορκεῖν.

Ἰσοκράτους. Ὅρκον ἐπακτὸν προσδέχου, διὰ δύο προφάσεις. ἢ σαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασώζων. ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς· μηδ' ἂν εὐορκεῖν μέλλῃς. δόξεις γὰρ τοῖς μὲν, ἐπιορκεῖν. τοῖς δὲ, φιλοχρημάτως ἔχειν.

Εὐσεβίου. Ὅρκον παραιτήσαι, ἢ μὲν οἷόν τε, ὡς ἅπαν. ἢ δὲ μὴ, ἐκ τῶν ἐνόντων.
Οἱ πολλοὶ τοὺς ἀνθρώπους, τὸ εὐόρκους εἶναι, αὐτοῖς παραινέουσιν, ἐγὼ δὲ, καὶ τὸ ἀρχὴν μηδ' εὐπετέως ὀμνύναι ὅσιον ἀποφαίνομαι.

Ayuntamiento de Madrid

Ἔλεξέ σφιν Λευτυχίδης τάδε. ὦ ἀθηναῖοι, ποιέετε μὲν ὁκότερα βούλεσθε αὐτοί, καὶ γὰρ ἀποδιδόντες, ποιέετε ὅσια, καὶ μὴ ἀποδιδόντες, τὰ ἐναντία τούτων. ὁποῖον μέντοι τι ἐν τῇ σπάρτῃ συνηνέχθη γενέσθαι περὶ παραθήκης, βούλομαι ὑμῖν εἰπεῖν λέγομεν ἡμεῖς οἱ σπαρτιῆται, μὴ γενέσθαι ἐν λακεδαίμονι κατὰ τρίτην γενεὴν τὴν ἀπ' ἐμέο γλαῦκον ἐπικύδεος παῖδα, τοῦτον τὸν ἄνδρα φαμὲν τά τε ἄλλα πάντα περιήκειν τὰ πρῶτα, καὶ δὴ ἀκούειν ἄριστα δικαιοσύνης πέρι πάντων, ὅσοι παρὰ λακεδαίμονας τοῦτον τὸν χρόνον οἴκεον, συνενεχθῆναι δέ οἱ χρόνῳ ἱκνευμένῳ τάδε. λέγομεν ἄνδρα μιλήσιον ἀπικόμενον ἐς σπάρτην βούλεσθαί οἱ ἐλθεῖν ἐς λόγους προϊσχόμενον τοιάδε. εἰμὶ μὲν μιλήσιος. ἥκω δὲ τῆς σῆς γλαῦκε δικαιοσύνης βουλόμενος ἀπολαῦσαι, ἔδοξέ μοι οὖν τὰ ἡμίσεα τῆς οὐσίας ἐξαργυρώσαντα θέσθαι παρὰ σέ. χρόνου δὲ διελθόντος, ἦλθον ἐς σπάρτην τοῦ παραθεμένου τὰ χρήματα οἱ παῖδες, ἐλθόντες δὲ ἐς λόγους τῷ γλαύκῳ, ἀπῄτεον τὰ χρήματα, ὁ δέ, διωθέετο. οἱ μὲν μιλήσιοι συμφορὴν ποιεύμενοι, ἀπηλλάσσοντο, γλαῦκος δ' ἐπορεύετο ἐς δελφούς, χρησόμενος τῷ χρηστηρίῳ, ἐπειρωτῶντα δὲ αὐτόν, εἰ ὅρκῳ τὰ χρήματα ληΐσεται, ἡ πυθίη μετέρχεται τοῖς δὲ τοῖς ἔπεσι. Ἡροδότου

Γλαῦκ' ἐπικυδείδη. τὸ μὲν αὐτίκα κέρδιον, οὕτω. Χρησμὸς
Ὅρκῳ νικῆσαι καὶ χρήματα ληΐσσασθαι. πρὸς γλαῦ
Ὄμνυ' ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα. κον.
Ἀλλ' ὅρκου παῖς ἐστὶν ἀνώνυμος, οὐδ' ἔπι χεῖρες.
Οὐδὲ πόδες κραιπνῶς δὲ μετέρχεται: εἰσόκε πᾶσαν
Συμμάρψας ὀλέσῃ γενεὴν καὶ οἶκον ἅπαντα.
Ἀνδρὸς δ' εὐόρκου γενεὴ κατόπισθεν, ἀμείνων.

Ταῦτα ἀκούσας ὁ γλαῦκος, συγγνώμην τὸν θεὸν παραιτέετο αὐτῷ ἴσχειν τῶν ῥηθέντων, ἡ δὲ πυθίη, ἔφη. τὸ πειρηθῆναι τοῦ θεοῦ καὶ ποιῆσαι, ἴσον δύναται. γλαῦκος μὲν δὴ μεταπεμψάμενος τοὺς μιλησίους ξείνους, ἀποδίδωσί σφιν τὰ χρήματα. τοῦ δὲ εἵνεκα ὁ λόγος ὅδε ὦ ἀθηναῖοι ὡρμήθη λέγεσθαι ἐς ὑμέας, ἐρήσεται. γλαύκου νῦν, οὔκετι ἀπόγονόν ἐστιν οὐδέν. οὔτε ἱστίη οὐδεμία νομιζομένη εἶναι γλαύκου, ἐκτέτριπταί τε πρόρριζος ἐκ σπάρτης, οὕτως ἀγαθὸν μὴ δὲ διανοέεσθαι, περὶ παραθήκης ἄλλο γε ἢ ἀπαιτεόντων ἀποδιδόναι.

Ayuntamiento de Madrid

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΕΠΙΟΡΚΙΑΣ

### ΛΟΓΟΣ ΚϚ'.

Σοφοκλέους. Ὅρκοισι γάρ τοι καὶ γυνὴ φεύγει πικρὰν
ὠδῖνα παίδων, ἀλλ' ἐπὰν λήξῃ κακοῦ,
ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται,
πρὸς τοῦ παρόντος ἱμέρου νικωμένη.

Καλλιμάχου. Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος.
Ὤμοσεν ἀλλὰ λέγουσιν, ἀλλὰ θεάσαι τοὺς ἐν ἔρωτι ὅρκους
μὴ δύειν οὔατ' ἐς ἀθανάτων.

Διφίλου. Ὅρκος ἑταίρας ταυτὸ καὶ δημηγόρου,
ἑκάτερος αὐτῶν ὀμνύει πρὸς ὃν λαλεῖ.

Σοφοκλέ. Ὅρκου γὰρ οὐδεὶς αἰδεῖ φιλήτῃ βαρύς.

Εὐριπίδου. Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

Μενάνδρου. Συγκέχυκε νῦν τὴν πίστιν ὁ καθ' ἡμᾶς βίος.

Ἡσιόδου. Ὅρκον τ' ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσῃ.

Δημοκρίτου. Ὅρκους, οὓς ποιέονται ἐν ἀναγκαίῃσιν ἐόντες, οὐ τηρέουσιν οἱ φλαῦροι, ἐπὴν
διαφύγωσιν.

Εὐριπίδου. Οὐ γὰρ ἀσύνετον τὸ θεῖον, ἀλλ' ἔχει
συνιέναι τοὺς κακῶς παγέντας
ὅρκους καὶ κατηναγκασμένους.

Εὔφρονος. Καινοὺς πόριζε πρός με θεῶν θεούς,
ἵνα τοὺς παλαιοὺς μὴ ἐπιορκῇς πολλάκις.

Εὐριπίδου. Συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖ,
ἐάν τις ὅρκοις θάνατον ἐκφυγεῖν θέλῃ,
ἢ δεσμὸν ἢ βίαια πολεμίων κακά.

Εὐσεβίου. Φημὶ πάντα τὸν προαίρεσιν τοῦ ἐπιορκῆσαι ἀναδεξάμενον καὶ ἐπιορκήσοντα ἐπὶ τὸν ὅρκον, ἢ καὶ μὴ πλάσει τὸ ἔργον τῆς ἐπιορκίης τύχῃ τινί, ἢ καὶ τὸ μὴ βουληθῆναι τὸν ἀπαιτέοντα, ὅμως αὐτὸν ἔχειν γνώμην τὴν τοῦ ψευδόρκου, καὶ εἶναι τῆς ἐπὶ τῇ ἐπιορκίῃ ἀμαρτάδος τῆς ὀφειλομένης κατὰ τὸν καὶ ἔργῳ ἐπιορκησάντων ἐνόχων τιμωρίης.

Ayuntamiento de Madrid

Χρύσιππος διαφέρειν ἔφη τὸ ἀληθορκεῖν τοῦ εὐορκεῖν, καὶ τὸ ἐπιορκεῖν, τοῦ ψευδορκεῖν. τὸν μὲν ὀμνύοντα καθ' ὃν ὀμνύει καιρὸν, πάντως ἢ ἀληθορκεῖν, ἢ ψευδορκεῖν, τὸ γὰρ ὀμνύμενον ὑπ' αὐτοῦ, ἢ ἀληθές ἐστιν, ἢ ψεῦδος, ἐπειδὴ ἀξίωμα τυγχάνει ὄν, τὸν δὲ ὀμνύοντα μὴ πάντως καθ' ὃν ὀμνύει χρόνον, ἢ εὐορκεῖν, ἢ ἐπιορκεῖν. ὅτε μὴ πάρεστιν ὁ χρόνος, εἰς ὃν ἡ ἀναφορὰ τῶν ὅρκων ἐγίγνετο, ὃν τρόπον γὰρ λέγεσθαί τινα εὖ συνθετεῖν ἢ ἀσυνθετεῖν, οὐχ ὅτε συντίθεται, ἀλλ' ὅτε οἱ χρόνοι ἐνίστανται τῶν κατὰ τὰς ὁμολογίας, οὕτω καὶ εὐορκεῖν τις καὶ ἐπιορκεῖν ῥηθήσεται, ὅταν οἱ καιροὶ παραστῶσι, καθ' οὓς ὡμολόγησεν ἐπιτελέσειν τὰ κατὰ τοὺς ὅρκους.

Ξενοφῶντος.

ρῶτον μὲν γὰρ καὶ μέγιστον οἱ θεῶν ὅρκοι κωλύουσιν ἡμᾶς πολεμίους εἶναι ἀλλήλοις. ὅστις δὲ τούτων σύνοιδε παρημεληκὼς, τοῦτον οὔποτ' ἂν ἐγὼ εὐδαιμονήσαιμι, τὸν γὰρ θεῶν πόλεμον, οὐκ οἶδα οὔτε ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφεύγοι, οὔτε εἰς ὅποιον ἂν σκότος ἀποδραίη, οὔτε ὅπως ἂν εἰς ὀχυρὸν χωρίον ἀποσταίη, πάντῃ γὰρ πάντα τοῖς θεοῖς ὕποχα, καὶ πάντῃ πάντων ἴσον οἱ θεοὶ κρατοῦσι.

Ἡροδότου

Ανευ γὰρ ἀναγκαίης ἰσχυρῆς πίστιες ἰσχυραὶ, οὐκ ἐθέλουσι συμμένειν.

Τοῦ αὐτοῦ

Χρυσὸν μὲν ἄνθρωποι βασάνῳ τέχνῃ προσβάλλοντες, ἔγνωσαν τὸ κρήγυον, ἄνδρα δὲ οὐκ ἔστι δεξιὸν γνώμῃ σταθμησάμενον ἀθρῆσαι. τίνη δέ τις τὸ παλαιὸν ἡμέας ἐκ θεῶν συνέστησε μοῖρα. χρὴ δὲ πίστιν ἐν φιλίῃ τίθεσθαι κραδίῃ μὴ διπλῇ πεφυρμένοις, μὴ δ' ὅρκον ἐπιορκίης προσφιλέστερον ἡγεομένοις, ὁ τοιόσδε τῶν ἀνδρῶν, τὴν μὲν ἐκ θεῶν ἀναβάλλεται τιμωρίην, ἐπὶ δὲ τοῦ καθεστῶτος πικρὴν ψυχαγωγίην ἔχων, τέρπεται μωρὸς ἐών, τίς γὰρ οὐκ οἶδεν, ὡς μένει τὸ κακὸν δίκη. εἰ δ' οὐ παρὰ πόδα τιμωρίης ἔτυχεν, ἀλλ' ἐν χρόνῳ κέρδος, ἡγεῖσθαι τοὺς δεσπότας ἠλίους, οὓς πρὸ τῶν ἐκτὸς ἀμηρύτους ὁ θεὸς παρεπιδημεῖν εἶχεν ἐν ζώοις. ὡς δ' οὐ νωθρὴν ἔχει τὸ δαιμόνιον ἀνθρώπων ἐπίσκεψιν, ἐξ ἔργων ἀληθείης εὐορκτόν ἐστι, λέγεται γὰρ ἐν τενέδῳ παρεπιδημίαν ποιησάμενον ἀρχέτιμον ἐξ ἐρυθραίης τῶν ἰώνων πόλεως ἐπὶ ξένῳ θέσθαι κυλίκη, χρυσοῦ δ' ἠλισμένην οὐκ ὀλίγην ἐμπολλὴν ἔχοντα, ταύτην δὲ παραθέσθαι κυλίκην οὕτως, ἔχοντα, ὥς οὐδὲν ἂν βίαιον ἐξ ἀνδρὸς πάθοι. δοκέοντός γε δὴ, ὡς τὰ πρὸς ἑωυτὸν ἀρτίως ἐν φιλίῃ συγκεκρῆσθαι, ἔνθα κυλίκη κακὴν βουλὴν ἐσφρένας ἐμβάλλει φιλοκερδίη, ἀπαιδευόμενος γὰρ τὸν δοθέντα χρυσὸν ἐν παραθέσει, σκληρὴν ἄρνησιν ἐποιήσατο. τῶν δ' ἐς ἀμφιβολίην πιπτόντων, τέλος ἔδοξεν ὅρκῳ κυρῶσαι. κυλίκης μὲν οὖν ἐς τρίτην ἡμέρην βουλόμενος κυρῶσαι πίστιν τοῖς

Ayuntamiento de Madrid

θεοῖς ἐπιστρεφθεῖσαν, ἀπελθὼν ἐς οἶκον, μηχανὴν τοιάνδε ἔθετο, νάρθηκα γὰρ κοιλώσας, παντὸς χρυσοῦ φόρτον εἰς αὐτὸν ἥρμοσε. πρὸς δὲ χειρὸς αὐτίληψιν, εἴληκα μέρης ἐδέσμευσε πάντοθεν, ὡς ἂν κρύπτοι τὴν κατεσκευασμένην πρόφασιν. ἐπειδὴ ἡ τεταγμένη παρῆν ἡμέρη, νωθρὰν πορείης ἔκλυσιν ποιούμενος, αἴρει δὲ τὸν νάρθηκα νοσοῦντι ἐπιφέρων σώματι. καταστὰς δὲ ἐναντίον τοῦ νεὼ, ὅν περ ἔμελλε συνίστορα ποιεῖσθαι. δίδωσι κυδίνης ἀρχετίμῳ νάρθηκα, τὸν αὐτὸς ἀδικίαν πᾶσαν κεύθοντα, μέχρι περ τελευτήσει τὸν τεταγμένον ὅρκον, αἰτήσας δὲ τῶν ἑῶν χερῶν φορὰν εἶπεν, ὡς λάβοι μὲν παρ' ἀρχετίμου παραθήκην, ἀποδοίη δὲ ταύτην ὅπερ ἦν ἐκ τέχνης πεπλασμένον ψεῦδος, βαρυνθεὶς ἐπὶ τῶν λελεγμένων ἀρχέτιμος, ῥίψασα πρὸς ἔδαφος νάρθηκα πληγῇ βαρείῃ. τοῦ δὲ ἀραχθέντος, ἐκτὸς ἔρρευ παραθήκης ὄγκος, ἀρχέτιμος μὲν οὖν ἐκ θεῶν προνοίης τοίησδε ἔτυχε, κυδίνης δὲ λέγεται κακὴν βίου καταστροφὴν γενέσθαι, εἰς ἃ δὴ βλέποντας μὴ καταφρόνησιν ποιέεσθαι πρὸς πίστιν ὅρκων δέοντας ἀνθρώπους, οἷς ἐπισφαλὴς ὅπη δὴ παντοίη τύχη φορὴ πνεύματος αἰωρουμένη.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΦΙΛΟΠΟΝΙΑΣ ΚΑΙ ΜΕΛΕΤΗΣ, ΚΑΙ ΟΤΙ ΑΣΥΜΦΟΡΟΝ ΤΟ ΟΚΝΕΙΝ.

### ΛΟΓΟΣ. ΚΖʹ.

Σοφοκλέους.

ΩΣ νῦν τάχος στείχωμεν, οὐ γὰρ ἔσθ' ὅπως
σπουδῆς δικαίας μῶμος ἅπτεταί ποτε.

Ἡσιόδου.

Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον, ὃς σπεύδει μὲν ἀρόμεναι ἠδὲ φυτεύειν.
οἶκόν τ' εὖ θέσθαι. ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενος σπεύδονθ', ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.
Ἐξ ἔργων τ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε.

Ayuntamiento de Madrid

καί τ᾽ ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν.
ἔργον δ᾽ οὐδὲν ὄνειδος, ἀεργίη δέ τ᾽ ὄνειδος.
εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς,
πλουτεῦντα, πλούτῳ δ᾽ ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
Αἰδὼς δ᾽ οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
αἰδὼς ἥ τ᾽ ἄνδρας μέγα σίνεται, ἥ δ᾽ ὀνίνησιν,
αἰδώς τοι πρὸς ἀνολβίην, θάρσος δὲ, πρὸς ὄλβον.
Χρήματα δ᾽ οὐχ ἁρπακτὰ θεόσδοτα, πολλὸν ἀμείνω.
Α δ᾽ ἀρετὰ βαίνει διὰ μόχθων.
Τοὺς πόνους γὰρ ἀγαθοὶ τολμῶσι, δειλοὶ δ᾽ εἰσὶν οὐδὲν οὐδαμοῦ. Εὐριπίδου
Πόνος γὰρ ὡς λέγουσιν εὐκλείας πατήρ.
Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγαθὰ οἱ θεοί. Ἐπιχάρμου
Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν. Κριτίου.
Ἐκ μελέτης πλέους, ἢ φύσεως ἀγαθοί.
Ἐκ τῶν πόνων τοι τἀγαθ᾽ αὔξεται βροτοῖς. Εὐριπίδου
Τὸ συνεχὲς ἔργον, παντὸς εὑρίσκει τέλος.
Σοὶ δ᾽ εἶπον ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων
θηρᾶν, ὁρᾷς γὰρ σὸν πατέρα τιμώμενον.
Οὐκ ἔστιν ὅστις ἡδέως ζῶν τὸν βίον,
εὔκλειαν εἰσεκτήσατ᾽, ἀλλὰ χρὴ πονεῖν.
Τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον
τιμῶμεν, ἄνδρας τ᾽ ἐν πόλει νομίζομεν.
ὀκνῶ δὲ μόχθων τῶν πρὶν ἐκχέας χάριν.
Δεῖ τοὺς γινομένους μέχρι ἂν ζῶσιν πονεῖν. Μενάνδρου
ἀπραξία γὰρ λιτὸν οὐ τρέφει βίον.
Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο. Ἡσιόδου.
καὶ θαμὰ τοῦτ᾽ ἔρδοις, τάχα κε μέγα καὶ τὸ γένοιτο.
Ῥᾷστα γὰρ τοῖς ἐντελεχέως καταπονεῖται πράγματα Μενάνδρου
εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων.
Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός. Εὐριπίδου
Ἐκ τῶν πόνων τοι τἀγαθ᾽ αὔξεται βροτοῖς.
ὁ δ᾽ ἡδὺς αἰὼν ἡ κακή τ᾽ ἀτολμία,
οὔτ᾽ οἶκον οὔτε βίοτον οὐδὲν ὠφελεῖ.
Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν

αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν.

Αἰσχύλου. Καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφά.

Σοφοκλέους. Οὔτοι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνον,
μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίνεται.
ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόθος.

Φιλήμονος. Πάντ' ἐστὶν εὑρεῖν, ἐὰν μὴ τὸν πόνον φύγῃ τις.
ὃς πρόσεστι τοῖς ζητουμένοις.
ἐκ τοῦ φιλοπονεῖν γίνεθ' ὧν θέλεις κρατεῖν.

Ὡς ἡδέως μοι γέγονε τὰ πρότερα κακά,
εἰ μὴ τότ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.

Εὐριπίδου. Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο,
οὐδεὶς γὰρ ὢν ῥάθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν.

Τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει.

Ἀλέξιδος. Ὅτι πάντα τὰ ζητούμενα ἐξευρίσκεται, ἂν μὴ προαποστῇς, μηδὲ τὸν πόνον φύγῃς, ὅπου γὰρ εὑρήκασιν ἄνθρωποί τινες μέρος τι τῶν θείων, τοσούτῳ τῷ τόπῳ ἀπέχοντες, ἄστρων ἐπιτολάς· δύσεις· τροπάς· ἔκλειψιν ἡλίου τί τῶν κοινῶν καὶ συγγενικῶν, δύναιτ' ἂν ἄνθρωπον φυγεῖν.

Θεοδέκτου. Πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς, ῥαθυμία δὲ τὴν παραυτίχ' ἡδονὴν λαβοῦσα, λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ.

Εὐριπίδου. Ἄνευ τύχης γὰρ ὥσπερ ἡ παροιμία, πόνος μονωθεὶς, οὐκέτ' ἀλγύνει βροτούς.

Σοφοκλέους. Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.
Πόνου μεταλλαχθέντες, οἱ πόνοι γλυκεῖς.

Ἀγάθωνος. Ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις.

Φιλίσκου. Οὐκ ἔστιν ὦ μάταιε σὺν ῥαθυμίᾳ,
τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν.

Ξενοφῶντος. Οὔτοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς ἐπέδειξαν, ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσ' ἄμεινον.

Ἱππώνα. Χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός.

Ἀπολλοδώρου. Χρόνον γὰρ εἰς τὰ πράγματα ἐὰν λάβῃς,
ἅπαντα λήξει καὶ κατασταλήσεται.

Εὐριπίδου. Σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις.

Μενάνδρου. Οὐδενὸς χρὴ πράγματος τὸν εὖ ποιοῦνθ' ὅλως

ἀπογνῶναι

Ayuntamiento de Madrid

ἀπογνῶναι ποτέ.

Ἁλωτὰ γίγνετ' ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα.

Γ αὐτὰ τὰ ζητούμενα δεῖσθαι μερίμνης φασὶν οἱ σοφώτεροι.

Τὸ ζητούμενον ἁλωτόν, ἐκφεύγει δ' ἀμελούμενον. Σοφοκλ.

Ρ επόντων πόνων, πωλοῦσιν ἁμῖν πάντα τ' ἀγάθ' οἱ θεοί. Ἐπιχάρμου

Σ ἡ πατρίς, ἐν γὰρ τοῖς πόνοισιν αὔξεται.
αἱ δ' ἥσυχοι σκοτεινὰ πράσσουσιν πόλεις.
σκοτεινὰ καὶ βλέπουσιν εὐλαβούμεναι.

Τῆς ἐπιμελείας δοῦλα πάντα γίνεται. ἀντιφάνους

Ἐκ θαμινῆς ῥαθάμιγγος ὧ κῶς λέγες
αἰὲ ἐσσοίσας, χἀ λίθος ἐς ῥωχμὸν κοιλαίνεται. Σμυρναίου βουκολικοῦ

Οὐ καλὸν ὦ φίλε πάντα λέγον ποτὶ τέκτονα φοιτῆν,
μηδ' ἐπὶ πάντ' ἄλλω χρέος ἰσχέμεν, ἀλλὰ καὶ αὐτὸς
τεχνᾶσθαι σύριγγα πέλει δ' ἔτι τοι εὐμαρὲς ἔργον.

Ἁ δὲ μελέτα, φύσιος ἀγαθᾶς πλεῦνα δωρεῖται φίλοις. Ἐπιχάρμου

Οὐ γὰρ ὁ δυαστεὺς ἐστὶν αἰ μύλος μόνος, Εὐριπίδου
χρεία διδάσκει κἂν βραδύς τις ᾖ σοφόν.

Οὐκ αἰσχρὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.
ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων.

Σόλων ὁ ἀθηναῖος ὁ ἐξηκέστου παρὰ πότον τοῦ ἀδελφιδοῦ αὐτοῦ μέλος τι σαπφοῦς ᾄσαντος· ἥσθη τῷ μέλει, καὶ προσέταξε τῷ μειρακίῳ διδάξαι αὐτόν, ἐρωτήσαντος δέ τινος, διὰ ποίαν αἰτίαν τοῦτο ἐσπούδασεν, ὁ δέ, ἔφη· ἵνα μαθὼν αὐτὸ ἀποθάνω. Αἰλιανοῦ.

Ρ ᾷον οἱ ἑκούσιοι πόνοισι τοῖς μετὰ ταῦτα ἀναγκαίοις, ὥστε αὐτοὺς εὐπετεστέρους παρασκευάσθαι προπονέονται. Εὐσεβίου.

Δημοσθένης ὁ δημοσθένους, εἰ ἔμελε τῆς ὑστεραίας ἔσεσθαι ἐκκλησίας. ἀλλὰ ἐκεῖνός γε διὰ τῆς νυκτὸς ἠγρύπνει πάσης διαφροντίζων δηλονότι, καὶ ἐκμανθάνων ταῦτα, ἃ ἔμελλεν εὑρεῖν, ὅ τοίνυν πυθέας ἐκ τούτων ἐμοὶ δοκεῖν ἀπέσκωπτεν εἰς αὐτὸν ἐπιλέγων αὐτοῦ τὰ ἐνθυμήματα ἐλλυχνίων ὄζειν. Αἰλιανοῦ.

Φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν, τὰ τῶν ἀμελούντων. Δημοσθένους.

Ἔργων ἐκ πολλοῦ μελέτη πλεῖον σώζει, ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθέντων παραίνεσις. Θουκυδίδου

Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν, ἐλαφροτέραν παρασκευάζουσι. Δημοσθ.

Ayuntamiento de Madrid

Πόνος συνεχὴς, ἐλαφρότερος ἑαυτοῦ τῇ συνηθείᾳ γίνεται.

Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων.

Δημοκρίτου. Πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γίγνονται, ἢ ἀπὸ φύσιος.

Τὸ αἰεὶ μέλλειν, ἀτελέας ποιεῖ τὰς πρήξιας.

Φαβωρίνου. Παῦντινά φασι μόσχον μικρὸν ἀραμένην, καὶ τοῦτο καθ' ἡμέραν ποιοῦσαν, λαθεῖν βοῦν φέρουσαν.

Τάσος ἑρμονεὺς ἐρωτηθείς· τί εἴη σοφώτερον, πεῖραν ἔφη.

Ξενοφάνης δόξης δ' οὐδεμιᾶς ἤρα, ἧς οὐκ ἐξεπονεῖτο.

Ξενοφῶντος. Οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι, εἰς τὸ μὴ ποιεῖν, ἃ ἡττῷτο· ἀλλ' ἐκυλινδεῖτο, ἐν τῷ πειρᾶσθαι αὖθις ἄμεινον ποιεῖν.

Κῦρος ἐστὶ βασιλέως καὶ ἀδελφιδοῦς καὶ υἱὸς, καὶ ἀρχεῖ πολλῆς χώρας, κἀκεῖνος οὔτ' ἂν ἀριστήσειεν, οὔτε δειπνήσειεν, πρὶν ἱδρῶσαι.

Καίτοι ἔγωγε οἶμαι, οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἀγαθοὶ γενόμενοι τῶν πονηρῶν, ἀλλ' οἵ γε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι, οὐχ ἵνα μηδέποτ' εὐφρανθῶσι τοῦτο πράττουσιν, ἀλλ' ὅπως διὰ ταύτην τὴν ἐγκράτειαν, πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφραίνωνται οὕτω παρασκευάζονται· οἵ τε λέγειν προθυμούμενοι δεινοὶ γενέσθαι, οὐχ ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ, πείθοντες πολλοὺς ἀνθρώπους, μεγάλα ἀγαθὰ διαπράξασθαι. οἵ τ' αὖ τὰ πολεμικὰ ἀσκοῦντες, οὐχ ὡς μαχόμενοι μηδέποτε παύσωνται τοῦτ' ἐκπονοῦνται, ἀλλὰ νομίζουσι καὶ οὗτοι τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι, πολὺν μὲν ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ τῇ πόλει καὶ αὑτοῖς περιάψειν. εἰ δέ τινες ταῦτα ἐκπονήσαντες πρίν τινα ἀπ' αὐτῶν καρπὸν κομίσασθαι, ἀδυνάτοις γενομένοις, ὅμοιον ἔμοιγε δοκοῦσι πεπονθέναι, οἷον εἴ τις γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι, καὶ εὖ σπείρων, καὶ εὖ φυτεύων, ὅτε ἀποκαρποῦσθαι ταῦτα δέοι, ἐῴη τὸν καρπὸν ἀσυγκόμιστον, εἰς τὴν γῆν πάλιν καταρρεῖν, καὶ εἴ τις ἀθλητὴς πολλὰ πονήσας, καὶ ἀξιόνικος γενόμενος, ἀναγώνιστος διατελέσειεν, οὐδ' ἂν οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφροσύνης.

Μουσωνίου. Πρὸς δὲ τὸ ῥᾷον καὶ προθυμότερον ὑφίστασθαι τῶν πόνων ἐκείνους, οὓς ἂν ὑπὲρ ἀρετῆς, καὶ καλοκαγαθίας μέλλομεν ποιεῖν, ταῦτα λελογίσθαι χρήσιμα· πόσα μὲν πονοῦσιν ἔνιοι δι' ἐπιθυμίας κακὰς, ὥσπερ οἱ ἐρῶντες ἀκολάστως· πόσα δ' ὑπομένουσιν οἱ ἄλλοι τοῦ κερδαίνειν χάριν· πόσα δ' αὖ κακοπαθοῦσιν ἔνιοι θηρώμενοι δόξαν. καὶ ὅτι οὗτοι πάντες ὑπομένουσιν αὐ-

Ayuntamiento de Madrid

θαίρεται πᾶσαν ταλαιπωρίαν, ἆρ' οὖν οὐχὶ δεινὸν, ἐκείνους μὲν ὑπὲρ οὐδενὸς τῶν καλῶν ἀνέχεσθαι ταῦτα πάσχοντας, ἡμᾶς δ' ὑπὲρ καλοκαγαθίας, καὶ τὴν κακίαν μὲν ἐκφυγεῖν τὴν λυμαινομένην ἡμῶν τὸν βίον. κτήσασθαι δὲ ἀρετὴν, ἥτις ἁπάντων τῶν ἀγαθῶν ἐστὶ χορηγὸς, μὴ πάντα πόνον ἑτοίμως ὑφίστασθαι. καίτοι οὐδ' ἂν εἴποι τὶς ὅσῳ κρεῖττον, ἀντὶ μὲν τοῦ πονεῖν, ἵνα τύχῃ τὶς γυναικὸς ἀλλοτρίας τὸ πονεῖν, ἵνα παιδαγωγήσῃ τὰς ἐπιθυμίας τὰς ἑαυτοῦ, ἀντὶ δὲ τοῦ περὶ χρημάτων ταλαιπωρεῖν, τὸ ἀσκεῖν, ὥστε ὀλίγων δεῖσθαι. πρὸ δὲ τοῦ πράγματος ἔχειν ὑπὲρ δόξης τὸ πραγματεύεσθαι, ὅπως μὴ δοξοκόπος εἴη, πρὸ δέ γε τοῦ ζητεῖν, ὅπως ᾧ φθονεῖ τὶς κακοποιήσῃ, τοῦτον τὸ σκοπεῖν ὅπως μηδὲν φθονήσῃ μηδενὶ, καὶ πρό γε τοῦ δουλεύειν τισὶ καλουμένοις φίλοις, ὥσπερ οἱ κόλακες, τὸ κακοπαθεῖν, ἵνα κτήσηται φίλους, ἀληθινούς. καθόλου δὲ τοῦ πονεῖν πᾶσιν ἀνθρώποις ἀναγκαίου ὄντος, τοῖς τε τῶν κρειττόνων ὀρεγομένοις, καὶ τοῖς τῶν χειρόνων, τῷ μὴ πολλῷ εἶναι προθυμοτέρους πονεῖν τοὺς τὰ κρείττω μετιόντας, οἷς ἐλπίδες μικραὶ τῶν πόνων εἰσὶν ἀτοπώτατον. ἀλλ' οἱ μὲν ἄρα θαυματοποιοὶ δύσκολα οὕτως ὑφίστανται πράγματα, καὶ τὴν ζωὴν παραβάλλονται τὴν ἑαυτῶν, οἱ μὲν, εἰς μαχαίρας κυβιστῶντες, οἱ δ' ἐπὶ κάλων μετέωροι βαδίζοντες, οἱ δ' ὥσπερ ὄρνεα πετόμενοι διὰ τοῦ ἀέρος, ὧν τὸ σφάλμα θάνατός ἐστι, καὶ ταῦτα πάντα δρῶσι, μικροῦ χάριν μισθοῦ, ἡμεῖς δ' οὐκ ἀνεξόμεθα ταλαιπωρεῖν ὑπὲρ εὐδαιμονίας ὅλης; οὐ γὰρ ἄλλο τί γε τέλος ἐστὶ τοῦ γενέσθαι ἀγαθὸν, ἢ τὸ εὐδαιμονεῖν, καὶ ζῆν μακαρίως εἰς τὸ λοιπόν. εἰκότως δ' ἄν τις λογίζοιτο, καὶ τὸ τῶν ζώων ἐνίων, ὁποῖόν ἐστι πάνυ τι δυνάμενον ἐντρέπειν ἡμᾶς φιλοπόνους εἶναι, οἱ γοῦν ὄρτυγες καὶ ἀλεκτρυόνες, οὔτ' ἀρετῆς ἐπαΐοντες οὐδὲν ὥσπερ ὁ ἄνθρωπος, οὔτε τὸ καλὸν καὶ δίκαιον εἰδότες, οὐδ' ὑπὲρ τοιούτου πονοῦντες οὐδενὸς, ὅμως μαχόμενοι πρὸς ἀλλήλους, καὶ πηρούμενοι ἀνέχονται, καὶ μέχρι θανάτου καρτεροῦσιν, ὥστε μὴ ἡττᾶσθαι θατέρου ὁ ἕτερος, πόσῳ δὴ μᾶλλον εἰκὸς ἡμᾶς ἀνέχεσθαί τε καὶ καρτερεῖν, ὅταν ἐφιστώμεθα διά τι τῶν καλῶν κακοπαθοῦντες, ἢ ἵνα φίλοις βοηθήσωμεν, ἢ πόλιν ὠφελήσωμεν, ἢ ἵνα γυναικῶν ἢ τέκνων ὑπερμαχήσωμεν, τὸ δὲ μέγιστον καὶ κυριώτατον, ἵνα ἀγαθοὶ ὦμεν καὶ δίκαιοι, καὶ σώφρονες, ὃ δίχα πόνων, οὐ παραγίνεται οὐδενί. ὅθεν ἔπεισί μοι λέγειν, ὡς ὁ μὴ θέλων πονεῖν, σχεδὸν καταδικάζει αὐτὸς αὑτοῦ. μηδενὸς εἶναι ἀγαθοῦ ἄξιος. ὅτι τὰ ἀγαθὰ πάντα, πόνῳ κτώμεθα ταῦτα μὲν καὶ τοιαῦθ' ἕτερα εἶπε τότε, ἐπιχειρῶν



Ayuntamiento de Madrid

καὶ παρορμῶν τοὺς παρόντας, πόνου μὴ καταφρονεῖν.

Ξενοφῶντος. Περὶ μὲν οὖν τῶν πράξεων τῶν ἐν τοῖς κυνηγεσίοις εἴρηται, ὠφελήσονται δ' οἱ ἐπιθυμήσαντες τούτου τοῦ ἔργου πολλά, ὑγίειάν τε γὰρ τοῖς σώμασι παρασκευάζει, καὶ ὁρᾶν καὶ ἀκούειν μᾶλλον, γηράσκειν δὲ ἧττον, τὰ δὲ πρὸς τὸν πόλεμον μάλιστα παιδεύει, πρῶτον μὲν γὰρ τὰ ὅπλα ὅταν ἔχοντες πορεύωνται ὁδοὺς χαλεπὰς οὐκ ἀποροῦσιν, ὑφέξονται γὰρ τοὺς πόνους, διὰ τὸ εἰθίσθαι μετὰ τούτων αἱρεῖν τὰ θηρία, ἔπειτα εὐνάζεσθαί τε σκληρῶς δυνατοὶ ἔσονται καὶ φύλακες εἶναι ἀγαθοὶ τοῦ ἐπιταττομένου, ἐν δὲ ταῖς προσόδοις ταῖς πρὸς τοὺς πολεμίους, ἅμ' οἷοί τε ἔσονται ἐπιέναι. καὶ τὰ παραγγελλόμενα ποιεῖν, διὰ τὸ οὕτω καὶ αὐτοὶ αἱρεῖν τὰς ἄγρας, τεταγμένοι δὲ ἐν τῷ πρόσθεν, οὐ λείψουσι τὰς τάξεις, διὰ τὸ καρτερεῖν δύνασθαι, ἐν φυγῇ δὲ τῶν πολεμίων, ὀρθῶς καὶ ἀσφαλῶς διώξονται τοὺς ἐναντίους ἐν παντὶ χωρίῳ διὰ συνήθειαν, δυστυχήσαντος δὲ οἰκείου στρατοπέδου ἐν χωρίοις ὑλώδεσι καὶ ἀποκρήμνοις, ἢ ἄλλως χαλεποῖς, οἷοί τ' ἔσονταί τε καὶ αὐτοὶ σώζεσθαι μὴ αἰσχρῶς, καὶ ἑτέρους σώζειν, ἡ γὰρ συνήθεια τοῦ ἔργου, παρέξει αὐτοῖς πλέον τι εἰδέναι, καὶ ἤδη τινὲς τῶν τοιούτων πολλοῦ ὄχλου συμμάχων τρεφθέντος τῇ αὐτῶν εὐταξίᾳ, καὶ θράσει, διὰ δυσχωρίαν ἁμαρτῶντας τοὺς πολεμίους νενικηκότας, ἀναμαχόμενοι ἐτρέψαντο, αἰεὶ γὰρ ἔξεστι τοῖς τὰ σώματα, καὶ τὰς ψυχὰς εὖ ἔχουσιν, ἐγγὺς τὸ εὐτυχεῖν. λέγουσι δέ τινες ὡς οὐ χρὴ ἐρᾶν κυνηγεσίων, ἵνα μὴ τῶν οἰκείων ἀμελῶσιν, οὐκ εἰδότες ὅτι οἱ τὰς πόλεις καὶ τοὺς φίλους εὖ ποιοῦντες πάντες τῶν οἰκείων ἐπιμελέστεροί εἰσιν. εἰ οὖν οἱ φιλοκυνηγέται παρασκευάζουσιν αὐτοὺς τῇ πατρίδι χρησίμους εἶναι εἰς τὰ μέγιστα, οὐδ' αὖ τὰ ἴδια ἀργοί εἰσι, σὺν γὰρ τῇ πόλει, καὶ σώζεται καὶ ἀπόλλυται τὰ ἑκάστου οἰκεῖα, ὥστε πρὸς τοῖς αὐτῶν, καὶ τὰ τῶν ἄλλων ἰδιωτῶν οἱ τοιοῦτοι σώζουσι, πολλοὶ δὲ ὑπὸ φθόνου ἀλόγιστοι τῶν ταῦτα λεγόντων αἱροῦνται διὰ τὴν αὑτῶν κακίαν ἀπολέσθαι μᾶλλον, ἢ ἑτέρων ἀρετῇ σώζεσθαι, αἱ γὰρ ἡδοναί, πολλαὶ καὶ κακαί, ὧν ἡττώμενοι, λέγειν ἢ πράττειν ἐπαίρονται τὰ χείρω. εἶτα ἐκ μὲν τῶν ματαίων λόγων, ἔχθρας ἀναιροῦνται, ἐκ δὲ τῶν κακῶν ἔργων, νόσους καὶ ζημίας καὶ θανάτους, καὶ αὐτῶν καὶ παίδων καὶ φίλων, ἀναισθήτως μὲν τῶν κακῶν ἔχοντες. τῶν δὲ ἡδονῶν πλέον τῶν πολλῶν αἰσθανόμενοι.

Μουσωνίου. Παρώρμα δὲ πρὸς ἄσκησιν τοὺς συνόντας ἐντεταμένως ἀεί, τοιοῖσδέ τισι λόγοις χρώμενος. ἡ ἀρετὴ ἔφη, ἐπιστήμη ἐστίν. οὐ θεωρητικὴ μόνον, ἀλλὰ καὶ πρακτική, καθάπερ ἥ τε ἰατρική, καὶ ἡ μουσική, δεῖ οὖν ὥσπερ τὸν ἰατρὸν

καὶ

Ayuntamiento de Madrid

καὶ τὸν μουσικὸν μὴ μόνον ἀνειληφέναι τὰ θεωρήματα τῆς αὐτοῦ τέχνης ἑκάτερον, ἀλλὰ καὶ γεγυμνάσθαι πράττειν καὶ τὰ θεωρήματα, οὕτω καὶ τὸν ἐσόμενον ἀγαθὸν ἄνδρα, μὴ μόνον ἐκμανθάνειν ὅσα μαθήματα φέρει πρὸς ἀρετήν, ἀλλὰ καὶ γυμνάζεσθαι κατὰ ταῦτα φιλοτίμως, καὶ φιλοπόνως, ἐπεὶ πῶς μὲν ἂν εὐθὺς γένοιτό τις σώφρων, εἰ μόνον εἰδείη ὅτι οὐ χρὴ ἡττᾶσθαι ἡδονῶν, ἀγύμναστος δ' εἴη ἀντέχειν ταῖς ἡδοναῖς, πῶς δ' ἂν δίκαιός τις γένοιτο μεμαθηκὼς μὲν ὅτι χρὴ τὸ ἴσον ἀγαπᾶν, μὴ μεμελετηκὼς δὲ φεύγειν τὸ πλεονεκτεῖν, πῶς δ' ἂν ἀνδρείαν κτησαίμεθα τὸ μὲν ὅτι μὴ φοβερὰ τὰ δοκοῦντα τοῖς πολλοῖς δεινὰ κατανενοηκότες, ἄφοβοι δ' εἶναι ἐς αὐτὰ μὴ μεμελετηκότες, πῶς δ' ἂν φρόνιμοι γενοίμεθα, τὰ μὲν ὡς ἀληθῶς ἀγαθὰ, καὶ κακὰ τίνα ἐστὶν ἐγνωκότες, μὴ γεγυμνασμένοι δὲ καταφρονεῖν τῶν δοκούντων ἀγαθῶν, διὸ χρὴ τῇ μαθήσει τῶν προσηκόντων ἀρετῇ ἑκάστῃ μαθημάτων, καὶ τὴν ἄσκησιν ἐπακολουθεῖν πάντως. εἴ γε μέλλει καὶ αὐτῆς τῆς μαθήσεως ὄφελός τι γενήσεσθαι ἡμῖν, καὶ τοσούτῳ γε χρὴ μᾶλλον ἀσκεῖν τὸν φιλοσοφεῖν ἀξιοῦντα, ἤπερ τὸν ἰατρικῆς, ἤ τινος τέχνης ὁμοίως ἐφιέμενον, ὅσῳ μεῖζον καὶ δυσκατεργαστότερον φιλοσοφία παντὸς ἐπιτηδεύματος ἑτέρου. καὶ γὰρ οὖν, ἐπὶ μὲν τὰς ἄλλας τέχνας εἶναι οἱ ἐφιέμενοι αὐτῶν, οὐ προδιεφθαρμένοι τὰς ψυχάς, οὐδ' ἐναντία μεμαθηκότες οἷς μαθήσεσθαι μέλλουσιν· οἱ δὲ φιλοσοφεῖν ἐπιχειροῦντες, ἐν διαφθορᾷ γεγενημένοι πρότερον πολλῇ καὶ ἐμπεπλησμένοι κακίας, οὕτω μετίασι τὴν ἀρετήν, ὥστε καὶ ταύτῃ πλείονος δεῖσθαι τῆς ἀσκήσεως· πῶς οὖν καὶ τίνα τρόπον τούτοις ἀσκητέον, ἐπεὶ τὸν ἄνθρωπον οὔτε ψυχὴν εἶναι μόνον συμβέβηκεν, οὔτε σῶμα μόνον, ἀλλά τι σύνθετον ἐκ τοῖν δυοῖν τούτων, ἀνάγκη τὸν ἀσκοῦντα ἀμφοῖν ἐπιμελεῖσθαι, τοῦ μὲν κρείττονος, μᾶλλον· ὥσπερ ἄξιον τουτέστι τῆς ψυχῆς, καὶ θατέρου δὲ εἴ γε μέλλει μηδὲν ἐνδεῶς ἔχειν τοῦ ἀνθρώπου μέρος, δεῖ γὰρ δὴ καὶ τὸ σῶμα παρεσκευάσθαι καλῶς πρὸς τὰ σώματος ἔργα τὸ τοῦ φιλοσοφοῦντος, ὅτι πολλάκις αἱ ἀρεταὶ καταχρῶνται τούτῳ ὄντι ὀργάνῳ ἀναγκαίῳ πρὸς τὰς τοῦ βίου πράξεις. τῆς οὖν ἀσκήσεως, ἡ μὲν τις διὰ τῆς ψυχῆς μόνης γένοιτ' ἂν ὀρθῶς, ἡ δέ τις κοινὴ ταύτης τε καὶ τοῦ σώματος. κοινὴ μὲν οὖν ἄσκησις ἀμφοῖν γενήσεται, συνεθιζομένων ἡμῶν, ῥίγει, θάλπει, δίψει, λιμῷ, τροφῆς λιτότητι, κοίτης σκληρότητι, ἀποχῇ τῶν ἡδέων, ὑπομονῇ τῶν ἐπιπόνων, διὰ γὰρ τούτων καὶ τῶν τοιούτων, ῥώννυται μὲν τὸ σῶμα, καὶ γίνεται δυσπαθές τε, καὶ στερεόν, καὶ χρήσιμον πρὸς ἅπαν ἔργον,



Ayuntamiento de Madrid

ῥώννυται δὲ ἡ ψυχὴ γυμναζομένη, διὰ μὲν τῆς ὑπομονῆς τῶν ἐπιπόνων πρὸς ἀνδρείαν, διὰ δὲ τῆς ἀποχῆς τῶν ἡδέων, πρὸς σωφροσύνην, διὰ δὲ τῆς ψυχῆς ἄσκησίς ἐστι, πρῶτον μὲν τὰς ἀποδείξεις προχείρους ποιεῖσθαι, τάς τε περὶ τῶν ἀγαθῶν τῶν δοκούντων ὡς οὐκ ἀγαθά, καὶ τὰς περὶ τῶν κακῶν, τῶν δοκούντων ὡς οὐ κακά, καὶ τὰ ἀληθῶς ἀγαθὰ γνωρίζειν τε, καὶ διακρίνειν ἀπὸ τῶν μὴ ἀληθῶν ἐθίζεσθαι· εἶτα δὲ μελετᾶν μήτε φεύγειν μηδὲν τῶν δοκούντων κακῶν, μήτε διώκειν μηδὲν τῶν δοκούντων ἀγαθῶν, καὶ τὰ μὲν ἀληθῶς κακά, πάσῃ μηχανῇ, ἐκτρέπεσθαι, τὰ δὲ ἀληθῶς ἀγαθὰ παντὶ τρόπῳ μετέρχεσθαι. ἐν κεφαλαίῳ μὲν οὖν σχεδὸν εἴρηται, ὁποῖος ἑκάτερος τρόπος ἀσκήσεως, οὐ μὴν ἀλλὰ καὶ κατὰ μέρος ὡς ποιητέον ἕκαστα, πειράσομαι εἰπεῖν, οὐ διακρίνων, οὐδὲ χωρίζων οὐκέτι τά τε κοινὰ τῆς ψυχῆς, καὶ τοῦ σώματος ἀσκήματα, καὶ τὰ ἴδια τῆς ψυχῆς, ἀλλ' ἀναμὶξ τὰ ἑκατέρου μέρους διεξιών. οὐκοῦν ἐπειδὴ πάντες μὲν τυγχάνομεν ἀκηκοότες τε καὶ ὑπειληφότες, ὅσοι γε φιλοσόφου διατριβῆς μετεσχήκαμεν, ὡς οὔτε πόνος, οὔτε θάνατος, οὔτε πενία κακόν οὐδαμῶς ἐστιν, οὐδ' ἄλλο ὅτι τῶν κακίας ἀπηλλαγμένων, οὐδ' αὖ πάλιν ἀγαθὸν πλοῦτος, ζωή, ἡδονή, ὅτι ἕτερον τῶν μὴ μετεχόντων ἀρετῆς, ὅμως δὲ καὶ ταῦθ' ὑπειληφότες διὰ τῶν ἀπὸ παίδων εὐθὺς γεγονυῖαν ἡμῖν διαφθορὰν, καὶ τὴν ὑπὸ τῆς διαφθορᾶς συνήθειαν πονηρὰν, πόνου μὲν προσερχομένου, κακὸν ἡγούμεθα προσέρχεσθαι ἑαυτοῖς, ἡδονῆς δὲ παραγινομένης, ἀγαθὸν ἡγούμεθα παραγίνεσθαι ἡμῖν, καὶ τὸν μὲν θάνατον ὡς ἐσχάτην συμφορὰν πεφρίκαμεν, τὴν δὲ ζωὴν ὡς τῶν ἀγαθῶν μέγιστον ἀσπαζόμεθα, καὶ διδόντες μὲν ἀργύριον ὡς βλαπτόμενοι, λυπούμεθα, λαμβάνοντες δέ, ὡς ὠφελούμενοι χαίρομεν· παραπλησίως δὲ καὶ ἐπὶ πλειόνων ἄλλων, οὐκ ἀκολούθως ταῖς ὀρθαῖς ὑπολήψεσι τοῖς πράγμασι χρώμεθα, τῷ δὲ φαύλῳ ἔθει μᾶλλον ἀκολουθοῦμεν. ἐπεὶ οὖν ταῦτά φημι ταύτῃ ἔχειν, δεῖ τὸν ἀσκοῦντα ζητεῖν περιγίγνεσθαι ἑαυτῷ, τῇ μὲν ἡδονῇ, μὴ ἀσμενίζειν· τὸν πόνον δὲ μὴ ἐκτρέπεσθαι, καὶ τὸ μὲν ζῆν, μὴ φιληδεῖν· τὸν δὲ θάνατον, μὴ δεδιέναι, καὶ ἐπὶ χρημάτων μὴ προτιμᾶν τοῦ προΐεσθαι τὸ λαμβάνειν·

Πλουτάρχου. Ὁ μὲν οὖν εἰπὼν ὅτι δεῖ τὸν εὐθυμεῖσθαι μέλλοντα μὴ πολλὰ πρήσσειν μήτε ἰδίῃ μήτε ξυνῇ, πρῶτον μὲν ἡμῖν πολυτελῆ τὴν εὐθυμίαν καθίστησι γινομένην ὤνιον ἀπραξίας· οἷον ἀρρώστῳ παραινῶν ἑκάστῳ· μένε ὦ ταλαίπωρε ἀτρέμας σοῖς ἐν δεμνίοις. καίτοι κακὸν μὲν ἀναισθησία σώματι φάρμακον ἀπονοίας. οὐδὲν δὲ βελτίων ψυχῆς ἰατρός, ὁ ῥαθυμίᾳ καὶ μαλακίᾳ καὶ προδοσίᾳ

Ayuntamiento de Madrid

φίλων καὶ οἰκείων καὶ πατρίδος ἐξαίρων τὸ ταραχῶδες αὐτῆς καὶ λυπηρόν.

Ο ὅθεν οὐδὲ ἐπίκουρος οἴεται δεῖν ἡσυχάζειν, ἀλλὰ τῇ φύσει χρῆσθαι πολιτευομένους, καὶ πράσσοντας τὰ κοινά, τοῖς φιλοτίμοις καὶ φιλοδόξοις, ὡς μᾶλλον ὑπὸ ἀπραγμοσύνης ταράττεσθαι καὶ κακοῦσθαι πεφυκότας, ἂν ὧν ὀρέγωνται μὴ τυγχάνωσιν, ἀλλ᾽ ἐκεῖνος μὲν ἄτοπος, οὐ τοὺς δυναμένους τὰ κοινὰ πράττειν προτρεπόμενος, ἀλλὰ τοὺς ἡσυχίαν ἄγειν μὴ δυναμένους. δεῖ δὲ μὴ πλήθει, μηδὲ ὀλιγότητι πραγμάτων, ἀλλὰ τῷ καλῷ, καὶ τῷ αἰσχρῷ τὸ εὔθυμον ὁρίζειν, καὶ τὸ δύσθυμον, τῶν γὰρ καλῶν παράλειψις, οὐκ ἧττον, ἢ τῶν βλαβερῶν ἡ πρᾶξις ἀνιαρόν ἐστι καὶ ταραχῶδες.

Π ρωταγόρας ἔλεγε, μηδὲν εἶναι μήτε τέχνην ἄνευ μελέτης, μήτε μελέτην ἄνευ τέχνης.

Π ρῶτον μὲν φιλοπονίᾳ οὐ χωλὸν δεῖ εἶναι τὸν ἁψάμενον. τὰ μὲν ἡμίσεα φιλόπονον. τὰ δὲ ἡμίσεα, ἄπονον. ἔστι δὲ τοῦτο, ὅταν τις φιλογυμναστὴς μὲν ᾖ καὶ φιλόθηρος, καὶ πάντα τὰ διὰ τοῦ σώματος διαπονῇ. φιλομαθὴς δὲ μὴ δὲ φιλήκοος, μηδὲ ζητητικός. ἀλλ᾽ ἐν πᾶσι τούτοις μισοπονῇ. χωλὸς δέ, καὶ ὁ τἀναντία τούτου μεταβεβληκὼς τὴν φιλοπονίαν. Πλάτωνος

Τ ὸ μὴ γενέσθαι, οὐδέν, τὸ δὲ γενέσθαι πόνος. Ἀπολλώ-

Ε ἰδέναι χρή, ὅτι οὐ ῥᾴδιον δόγμα παραγενέσθαι ἀνθρώπῳ, ἂν μὴ καθ᾽ ἑκάστην ἡμέραν τὰ αὐτὰ καὶ λέγῃ τις, καὶ ἀκούῃ, καὶ ἅμα χρῷτο πρὸς τὸν βίον. νιος Δίωνι ἐπικτήτῳ.

Ν ικίας οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐρωτᾶν τοὺς οἰκέτας εἰ λέλουκε καὶ εἰ ἠρίστηκεν.

Ε ρχιμήδην δὲ τῇ σανίδι προσκείμενον, ἀποσπῶντες βίᾳ οἱ θεράποντες ἤλειφον, ὁ δέ, ἐπὶ τοῦ σώματος ἀληλιμμένου διέγραφε τὰ σχήματα.

Λ άμπις ὁ ναύκληρος ἐρωτηθεὶς, πῶς ἐκτήσατο τὸν πλοῦτον, οὐ χαλεπῶς ἔφη τὸν μέγαν, τὸν δὲ βραχὺν, ἐπιπόνως.

Τ ῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες. ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν, ἢ εἰδῶσι κύρσοντες. ἐν δὲ ἀήσσῃ τῇ ἐπιτυχίῃ. τὸ πᾶν ὁμοίως ἀνιηρὸν καὶ ταλαίπωρον. Δημοκρίτου.

Α ἰσχύλος ἐν Ἰσθμῷ ἀγῶνα ὁρῶν πύκτην, καὶ ἐπὶ τῇ πληγῇ τοῦ θεάτρου ἐκβοήσαντος, ἔφη. ὁρᾷς οἷόν ἐστιν ἡ ἄσκησις; ὁ πεπληγὼς σιωπᾷ, οἱ δὲ θεώμενοι βοῶσιν.

Δ ημοσθένης ἐρωτηθεὶς, πῶς τῆς ῥητορικῆς περιεγένου, πλέον ἔφη ἔλαιον οἴνου δαπανήσας.

Δ ημάδης ἐρωτηθεὶς, τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη, τὸ τῶν Ἀθηναίων ἔφη βῆμα, ἐμφαίνων ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία, κρεῖττον πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.



Ayuntamiento de Madrid

Ὁ Διογένης ἔλεγε τὴν Μήδειαν σοφὴν, ἀλλ' οὐ φαρμακίδα γενέσθαι· λαμβάνουσα γὰρ μαλακοὺς ἀνθρώπους, καὶ τὰ σώματα διεφθαρμένους ὑπὸ τρυφῆς ἐν τοῖς γυμνασίοις, καὶ τοῖς πυριατηρίοις διαπονεῖν, καὶ ἰσχυροὺς ποιεῖν σφριγῶντας, ὅθεν περὶ αὐτῆς ῥυῆναι τὴν δόξαν ὅτι τὰ κρέα ἕψουσα νέους ἐποίει.

Πλάτωνος. Τίς οὖν ὁ τρόπος τοῦ καλῶς τε καὶ μὴ γράφειν, δεόμεθά τι ὦ Φαῖδρε, Λυσίαν τε περὶ τούτων ἐξετάσαι, τίνος μὲν οὖν ἕνεκά τις ὡς εἰπεῖν ζώη, ἀλλ' ἢ τῶν τοιούτων ἡδονῶν ἕνεκα· οὐ γάρ που ἐκείνων γε ὧν προλυπηθῆναι δεῖ, ἢ μὴ ἡσθῆναι, ὃ δὴ ὀλίγου πᾶσαι αἱ περὶ τὸ σῶμα ἡδοναὶ ἔχουσι, διὸ καὶ δικαίως ἀνδραποδώδεις κέκληνται.

Ξενοφῶντος. Σωκράτης ἐπιδιωμολογήσατο τὸ μὲν ἐργάτην εἶναι, ὠφέλιμόν τε ἀνθρώπῳ, καὶ ἀγαθόν· τὸ δὲ ἀργὸν, βλαβερόν τε καὶ κακόν· καὶ τὸ μὲν ἐργάζεσθαι, ἀγαθόν· τὸ δὲ, ἀργεῖν, κακόν· τοὺς μὲν ἀγαθόν τι ποιοῦντας ἐργάζεσθαι ἔφη, καὶ ἐργάτας ἀγαθοὺς εἶναι, τοὺς δὲ κυβεύοντας, ἢ ἄλλο τι πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας, ἀργοὺς ἀπεκάλει. ἐκ δὲ τούτων, ὀρθῶς ἂν ἔχοι, ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.

Τοῦ αὐτοῦ Ξενοφῶντος. Ἴσως οὖν εἴποιεν ἂν πολλοὶ τῶν φασκόντων φιλοσοφεῖν, ὅτι οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος γένοιτο, οὐδὲ ὁ σώφρων ὑβριστὴς, οὐδὲ ἄλλο οὐδὲν, ὧν μάθησίς ἐστιν, ὁ μαθὼν, ἀνεπιστήμων ἄν ποτε γένοιτο. ἐγὼ δὲ περὶ τούτων οὐχ οὕτω γιγνώσκω, ὁρῶ γὰρ, ὥσπερ τὰ τοῦ σώματος ἔργα, τοὺς μὴ τὰ τοῦ σώματος ἀσκοῦντας οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους, οὔτε γὰρ ἃ δεῖ πράττειν, οὔτε ὧν δεῖ ἀπέχεσθαι δύνανται, διὸ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων εἴργουσιν, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν, ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν κατάλυσιν, μαρτυ-
» ρεῖ δὲ καὶ τῶν ποιητῶν, ὅ, τε λέγων· ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι.
» ἢν δὲ κακοῖσι συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον· καὶ ὁ λέγων αὐτὰρ
» ἀνὴρ ἀγαθὸς, τοτὲ μὲν κακὸς, ἄλλοτε δ' ἐσθλός. κἀγὼ δὲ μαρτυρῶ τούτοις

γε· ὁρῶ γὰρ ὥσπερ τῶν ἐν μέτρῳ πεποιημένων ἐπῶν τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι λήθην ἐπιγιγνομένην. ὅταν δὲ τῶν νομοθετικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπεθύμει, τούτων δ' ἐπιλαθόμενον, οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι. ὁρῶ δὲ καὶ τοὺς εἰς φιλοποσίαν προαχθέντας, καὶ τοὺς εἰς ἔρωτας ἐγκυλισθέντας, ἧττον δυναμένους τῶν τε δεόντων ἐπιμελεῖσθαι, καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι, πολλοὶ

Ayuntamiento de Madrid

γὰρ καὶ χρημάτων δυνάμενοι φείδεσθαι πρὶν ἐρᾶν, ἐρασθέντες, οὐκέτι δύνανται, καὶ τὰ χρήματα καταναλώσαντες ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται. πῶς οὖν οὐκ ἐνδέχεται σωφρονήσαντα τὸ πρόσθεν, αὖθις μὴ σωφρονεῖν. καὶ δίκαια δυνηθέντα πράττειν, αὖθις ἀδυνατεῖν. πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ, ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη, ἐν τῷ γὰρ αὐτῷ σώματι συμπεφυτευμέναι τῇ ψυχῇ, αἱ ἡδοναὶ πείθουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην ἑαυτοῖς τε καὶ τῷ σώματι χαρίζεσθαι.

Σ υβαρίτης ἐπιδημήσας Λακεδαίμονι, καὶ τὰ ἔθη ἰδὼν, καὶ τὰς καρτερήσεις, οἷς ἐκ παίδων ἀναφέρονται, οὐδὲν ἔφη θαυμαστὸν αὐτοὺς ποιεῖν, ῥαδίως ἐν τοῖς πολεμίοις ἀποθνήσκοντας, ὑπὲρ τοῦ μὴ οὕτω ζῆν. Ἐκ τῶν σερίνου.

Η τῶν σωμάτων ἕξις, ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας, διόλλυται. ὑπὸ γυμνασίων δὲ καὶ κινήσεων, ὡς ἐπὶ τὸ πολὺ σώζεται. ἡ δ' ἐν τῇ ψυχῇ ἕξις, ὑπὸ μαθήσεως μὲν καὶ μελέτης κινήσεων οὐσῶν, κατὰ τὰ μαθήματα, καὶ σώζεται καὶ γίνεται βελτίων. ὑπὸ δὲ ἡσυχίας, ἀμελετησίας τε καὶ ἀμαθίας οὔσης, οὔτε τι μανθάνει, οὔτε ἂν μάθῃ ἐπιλανθάνεται. Πλάτωνος

Κ ηφισόδωρος ἔλεγεν, ὅτι οὐδεὶς οὐσίαν, ἣν αὐτὸς ἐκτήσατο κατέφαγεν, ἣν δὲ παρ' ἄλλου παρέλαβε.

Π υθαγόρας παρῄνει τοὺς ἑταίρους αἱρεῖσθαι βίον τὸν ἄριστον, καὶ γὰρ εἰ ὁ ἐπιπονώτατος εἴη, ἀλλὰ τῇ συνηθείᾳ, ἡδὺν αὐτὸν ποιήσειν.

Δ ιονύσιος λακωνικὸν μάγειρον πριάμενος, ἐκέλευσεν αὐτὸν σκευάσαι τὸν λακωνικὸν ζωμόν. καὶ σκευάσαντος, οὐκ ἤσθιεν, ἤρετο δὲ, κατὰ τί αὐτῷ ἥδονται ἀηδεστάτῳ ὄντι οἱ λάκωνες. ὁ δὲ, οὐκ ἔχειν ἔφη τοῦτο τὰ ἡδύσματα, ἃ ἐκεῖνος ἔχει, διὰ τοῦτο αὐτῷ μὴ ἀρέσαι. καὶ ὃς ἐπύθετο, τίνα εἴη ταῦτα αὐτὸν γὰρ κελεῦσαι τῷ ταμίᾳ πάντα ἐκπλέα αὐτῷ δοῦναι. ὁ δ' εἶπεν. ἃ μὴ ἔστι παρὰ σοὶ πρὸ τοῦ δείπνου, πόνοι. καὶ τὸ ἐν τῷ ἱδρῶτι λουτρόν.

Κ αὶ οὐδὲν οἶμαι κακὸν εἶναι τὸ ὑπομιμνήσκεσθαι, ὅτι μὴ καλῶς ἢ πεποιήκαμεν ἢ ποιοῦμεν, ἀλλ' εἰς τὸν ἔπειτα βίον προμηθέστερον ἀνάγκη τὸν ταῦτα εἶναι μὴ φεύγοντα, ἀλλ' ἐθέλοντα κατὰ τὸ τοῦ σόλωνος, καὶ ἀξιοῦντα μανθάνειν ἕως ἂν ζῇ, καὶ μὴ οἰόμενον αὐτῷ τὸ γῆρας νοῦν ἔχον προσιέναι. Πλάτωνος ἐκ τοῦ λάχητος.

Π ολλάκις ἀκήκοά σου λέγοντος, ὅτι ταυτὰ ἀγαθὸς ἕκαστος ἡμῶν, ἅπερ σοφός. ἃ δὲ ἀμαθὴς, ταῦτα δὲ κακός.

Σ χολὴ μὲν δὴ ὡς ἔοικε καὶ ἅμα μοι δοκοῦσιν ἐν τῷ πνίγει, ὑπὲρ κεφαλῆς ἡμῶν οἱ τέττιγες ᾄδοντες, καὶ ἀλλήλοις διαλεγόμενοι καθορᾶν καὶ ἡμᾶς. Πλάτωνος

Ayuntamiento de Madrid

εἰ οὖν ἴδοιεν καὶ νὼ καθάπερ τοὺς πολλοὺς ἐν μεσημβρίᾳ μὴ διαλεγομένους, ἀλλὰ νυστάζοντας, καὶ κηλουμένους ὑφ' αὑτῶν δι' ἀργίαν τῆς διανοίας, δικαίως ἂν καταγελῷεν· ἡγούμενοι ἀνδράποδ' ἄττα σφίσιν ἐλθόντα εἰς τὸ καταγώγιον, ὥσπερ προβάτια μεσημβριάζοντα περὶ τὴν κρήνην εὕδειν. ἐὰν δὲ ὁρῶσι διαλεγομένους, καὶ παραπλέοντας σφᾶς ὥσπερ σειρῆνας ἀκηλήτους, ὃ γέρας παρὰ θεῶν ἔχουσιν ἀνθρώποις διδόναι, τάχ' ἂν δοῖεν ἀγασθέντες, ἔχουσι δὲ δή τι τοῦτο, ἀνήκοος γὰρ ὡς ἔοικε τυγχάνω ὤν, οὐ μὲν δὴ πρέπει γε φιλόμουσον ἄνδρα τῶν τοιούτων ἀνήκοον εἶναι. λέγεται δ' ὥς ποτ' ἦσαν οὗτοι ἄνθρωποι τῶν πρὶν μούσας γεγονέναι. γενομένων δὲ μουσῶν, καὶ φανείσης ᾠδῆς, οὕτως ἄρα τινὲς τῶν τότε ἐξεπλάγησαν ὑφ' ἡδονῆς, ὥστε ᾄδοντες ἠμέλησαν σίτων τε καὶ ποτῶν, καὶ ἔλαθον τελευτήσαντες αὑτούς, ἐξ ὧν τὸ τεττίγων γένος μετ' ἐκείνων φύεται, γέρας τοῦτο παρὰ μουσῶν λαβόν, μηδὲν τροφῆς δεῖσθαι γενόμενον, ἀλλ' ἄσιτόν τε καὶ ἄποτον εὐθὺς ᾄδειν, ἕως ἂν τελευτήσῃ, καὶ μετὰ ταῦτα ἐλθὸν παρὰ μούσας ἀπαγγέλλειν, τίς τίνα αὐτῶν τιμᾷ τῶν ἐνθάδε. Τερψιχόρᾳ μὲν οὖν τοὺς ἐν τοῖς χοροῖς τετιμηκότας αὐτὴν ἀπαγγέλλοντες, ποιοῦσι προσφιλεστέρους. τῇ δὲ Ἐρατοῖ, τοὺς ἐν τοῖς ἐρωτικοῖς, καὶ ταῖς ἄλλαις οὕτω κατὰ τὸ εἶδος ἑκάστης τιμῆς, τῇ δὲ πρεσβυτάτῃ Καλλιόπῃ, καὶ τῇ μετ' αὐτὴν Οὐρανίᾳ, τοὺς ἐν φιλοσοφίᾳ διάγοντάς τε καὶ τιμῶντας τὴν ἐκείνων μουσικὴν ἀγγέλλουσιν· αἳ δὴ μάλιστα τῶν μουσῶν, περί τε οὐρανὸν καὶ λόγους οὖσαι θείους τε καὶ ἀνθρωπίνους, ἱᾶσι καλλίστην φωνήν.

## ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ
## ΠΕΡΙ ΑΡΓΙΑΣ

### ΛΟΓΟΣ. ΚΗ'.

Εὐριπίδου.

Ἀνὴρ γὰρ ὅστις εὖ βίον κεκτημένος,
τὰ μὲν κατ' οἴκους, ἀμελείᾳ παρεάσῃ,
μολπαῖσι δ' ἡσθεὶς, τοῦτ' ἀεὶ θηρεύεται.
ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται,
φίλοισι δ' οὐδείς, ἡ φύσις γὰρ οἴχεται.
ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.

Τὰ χρήστ' ἐπιστάμεσθα καὶ γινώσκομεν.
οὐκ ἐκπονοῦμεν δ', οἱ μὲν, ἀργίας ὕπο,

Ayuntamiento de Madrid

οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
ἄλλην τιν', εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίον,
μακραὶ δὲ λέσχαι καὶ σχολὴ τερπνὸν κακόν.

Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι πόνων,
φέρει μέν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ,
θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος
ἢ ζῶν, τὸ γὰρ ἐν κακοῖς, πόνος μέγας.

Ὦ Κλέων. παῦσαι φλυαρῶν, ἂν ὀκνῇς τὸ μανθάνειν, ἀνεπικούρητον σεαυτοῦ τὸν βίον λήσῃ ποιῶν, οὔτε γὰρ ναυαγός, ἂν μὴ γῆς λάβηται φερόμενος, οὔποτ' ἂν σώσειεν αὐτόν, οὔτ' ἀνὴρ πένης γεγώς, μὴ οὐ τέχνην μαθών, δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον, ἀλλὰ χρήματ' ἔστιν ἡμῖν, ἄγε τάχις ἀπόλλυται, κτήματα, οἰκίαι, τύχης δὲ μεταβολάς, οὐκ ἀγνοεῖς, ὅτι τὸν εὔπορον τίθησι πτωχὸν εἰς τὴν αὔριον. κἂν μὲν ὁρμισθῇ τις ἡμῶν εἰς λιμένα τῆς τύχης, ἐβάλετ' ἄγκυραν καθάψας ἀσφαλείας ἕνεκεν, ἂν δ' ἀπαιδεύτου μετάσχῃ πνεύματος φορούμενος τῆς ἀπορίας εἰς τὸ γῆρας οὐκ ἔχει σωτηρίαν, ἀλλ' ἑταῖροι καὶ φίλοι σοι καὶ συνήθεις μὴ δία ἔρανον εἰσοίσουσιν, εὔχου μὴ λαβεῖν πεῖραν φίλων. ἂν δὲ μή, γνώσῃ σεαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν. Φιλήμονος

Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅστι ἀεργὸς Ἡσιόδου.
ζώῃ, κηφήνεσσι κοθούροις ἴκελος ὁρμήν,
οἵ τε μελισσάων κάματον νήποινον ἔδουσι,

Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή. Σοφοκλέ
θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται. ους.

Ἀργὸς δ' ὑγιαίνων, τοῦ πυρέττοντος πολὺ Μενάνδρου
ἔστ' ἀθλιώτερος, διπλάσια γοῦν ἐσθίει μάτην.

Ὅστις ἥδεται γὰρ ἐσθίων ὁσημέραι ἀεὶ καὶ ποιεῖν τὸ σιτίον ἐπάξιόν τι μηδέν, Ἀλέξιδος.
πεινοσεῖν δὲ σχολὴν ἄγοντα τῷ ζῆν πολεμιώτατον κακόν.

Πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακόν, Εὐριπίδου.
γνώμῃ φρονοῦντες, οὐ θέλουσ' ὑπηρετεῖν,
ψυχῇ τὰ πολλὰ πρὸς φίλων νικώμενοι.

Πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων Ἡσιόδου.
χρηΐζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.
ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει.
ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.

Ἀργὸς πολίτης κεῖνος, ὡς κακός γ' ἀνήρ. Εὐριπίδου.

Ayuntamiento de Madrid

ἀργὸς γὰρ οὐδεὶς, θεοὺς ἔχων ἀνὰ στόμα
βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνων.

Α νάξαρχος ἔλεγεν, εἰ μέν τινι τὶς καταράσαιτο ἀχρήστους αὐτῷ γενέσθαι τὰς χεῖρας καὶ τοὺς πόδας, ὀργίζεσθαι δ' ἂν αὐτόν· τοὺς δὲ πλουσίους ἔργῳ ἀχρήστους τούς τε πόδας καὶ τὰς χεῖρας ποιοῦντας αὐτοὺς, μακαρίζειν σφᾶς ἐπὶ τούτων.

Δημοσθένους. Π ρὸς θεῶν τίς οὕτως εὐήθης ὑμῶν, ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρ' ἥξοντα, ἂν ἀμελήσωμεν. ἀλλὰ μὴν εἰ τοῦτο γενήσεται, δέδοικα ὦ ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις, μικρὸν εὐπορήσαντες χρόνον, ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν, οὕτω καὶ ἡμεῖς, ἂν ἐπὶ πολὺ φανῶμεν ἐρρᾳθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ ὧν ἐβουλόμεθα ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ.

Εὐσεβίου. Σ ῶμα ἀργίη τήκει, ψυχὴν δὲ, ἀμελετησίη ἀσκήσιος τῶν αὐτὴν ἀειρόντων πρὸς τὸ θεοειδέστατον.

Ξενοφῶντος. Σ χολὴν δὲ σκοπῶν τί εἴη, ποιοῦντας μέν τι τοὺς πλείστους εὑρίσκειν ἔφη, καὶ γὰρ τοὺς πεττεύοντας καὶ τοὺς γελωτοποιοῦντας ποιεῖν τι, πάντας δὲ τούτους ἔφη σχολάζειν· ἰέναι πράξοντας τὰ βελτίω τούτων· ἀπὸ μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω ἰέναι, οὐδένα σχολάζειν· εἰ δέ τις ἴοι, τοῦτον ἀσχολίας αὐτῷ οὔσης, τοῦτο πράττειν.

Πλάτωνος. Τ ὸ γὰρ ὅλην διατελεῖν ἡντινοῦν νύκτα καθεύδοντα, καὶ ὀντινοῦν τῶν πολιτῶν καὶ μὴ φανερὸν εἶναι πᾶσι τοῖς οἰκέταις ἐγειρόμενόν τε, καὶ ἐξανιστάμενον ἀεὶ πρῶτον, τοῦτ' αἰσχρὸν δεῖ δεδόχθαι πᾶσι, καὶ οὐκ ἐλευθέρου, εἴτ' οὖν νόμον, εἴτ' ἐπιτήδευμα τὸ τοιοῦτον καλεῖν δεῖ χρεών. καὶ δέσποιναν ἐν οἰκίᾳ ὑπὸ θεραπαινίδων ἐγείρεσθαί τινων; καὶ μὴ πρώτην αὐτὴν ἐγείρειν τὰς ἄλλας, αἰσχρὸν λέγειν χρὴ πρὸς αὐτοὺς δοῦλον τε καὶ δούλην καὶ παῖδα, καὶ εἴπως οἷόν τε ὅλην καὶ πᾶσαν τὴν οἰκίαν. ἐξεγειρομένους δὲ νύκτωρ, δεῖ πάντας πράττειν τῶν τε πολιτικῶν ἡμέρας πολλὰ, καὶ τῶν οἰκονομικῶν. ἄρχοντας μὲν κατὰ πόλιν. δεσποίνας δὲ καὶ δεσπότας ἐν οἰκίαις ἰδίαις, ὕπνος γὰρ δὴ πολὺς οὔτε τοῖς σώμασιν, οὔτε ταῖς ψυχαῖς ἡμῶν, οὐδ' αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα ἁρμόττων ἐστὶ κατὰ φύσιν, καθεύδων γὰρ, οὐδεὶς οὐδενὸς ἄξιος, οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος, ἀλλ' ὅστις τοῦ ζῆν ἡμῶν καὶ τοῦ φρονεῖν μάλιστα κήδεται, ἐγρήγορε χρόνον ὡς πλεῖστον, τὸ πρὸς ὑγίειαν αὐτοῦ φυλάττων μόνον χρήσιμον. ἔστι δὲ τοῦτο οὐ πολὺ νύκτωρ· φοβεροὶ μὲν κακοῖς, πολεμίοις ἅμα καὶ πολίταις, ἀγαστοὶ δὲ καὶ τίμιοι, τοῖς δικαίοις τε καὶ σώφροσιν, ὠφέλιμοι δὲ αὐτοῖς τε καὶ ξυμπάσῃ τῇ πόλει.

Ayuntamiento de Madrid

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΑΙΔΟΥΣ

## ΛΟΓΟΣ ΚΘ΄.

Αἰδὼς γὰρ ὀργῆς πλεῖον ὠφελεῖ βροτούς. — Εὐριπίδου

Βούλομαί σ' εἰπεῖν κακῶς εὖ βραχέα, μὴ λίαν
ἄνω βλέφαρα πρός τ' ἀναιδὲς ἀγαγών.
ἀλλὰ σωφρονεστέρως ὡς ἀδελφὸν ὄντα,
ἀνὴρ γὰρ χρηστὸς χρηστὸν αἰδεῖσθαι φιλεῖ.

Ὦ πότνια αἰδὼς εἴθε τοῖς πᾶσι βροτοῖς
συνοῦσα τἀναίσχυντον ἐξῄρου φρενῶν.

Αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν. — Ἡσιόδου.

Πᾶς ἐρυθριῶν, χρηστὸς εἶναί μοι δοκεῖ. — Μουσωνίου.

Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον σαυτὸν αἰδεῖσθαι.

Φαῦλον κἂν μόνος ἧς μήτε λέξῃς μήτ' ἐργάσῃ· μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι. — Δημοκρί-του.

Πυθιὰς ἡ Ἀριστοτέλους τοῦ φιλοσόφου θυγάτηρ ἐρωτηθεῖσα ποῖον κάλλιστον χρῶμα, ἔφη· τὸ διὰ τὴν αἰδῶ τοῖς ἐλευθέροις ἐπιγιγνόμενον.

Τοιαῦτα δ' ἂν εἴη καὶ τὰ τῆς αἰδοῦς ἀντεχόμενα, τιμῶντα δὲ τὰ χρηστὰ ἤθη, δι' ἣν τῶν αἰσχρῶν πάντων ἀπεχόμεθα, τὴν ἀναίδειαν ἐξορίζοντα τῆς ψυχῆς, δι' ἣν ὑπὸ τῶν αἰσχρῶν οἱ πολλοὶ ἁλίσκονται. — Ἰαμβλίχου

Αἰδοῦ σαυτόν, καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ. — Θεοφράστου

Μάλιστα δὲ νόμιζε δεῖν ἕκαστον αἰδεῖσθαι ἑαυτόν, μηδὲν γὰρ ἑαυτοῦ μηδέποτε χωρὶς εἶναι. — Κάτωνος.

Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν, οὐκ ἐθέλεις εἰπεῖν. ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. — Στασίμου.

Αἰδοῖός τέ μοί ἐσσι φίλ' ἑκυρὲ δεινός τε. — Ὁμήρου.

Αἰδὼς δ' ἐν ὀφθαλμοῖσι γίγνεται τέκνον. — Εὐριπίδου

Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι Κύρνε δίδως. — Θεόγνιδος

Ἀδικεῖν νομίζων, ὄψιν αἰδοῦμαι φίλων. — Ἀγάθωνος

Ἐγὼ γὰρ δὴ τὸ ἐναντίον, ἢ ὅπη ἐποίησεν ὁ ποιήσας, Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντα ἐφύτευσεν, οὐκ ἐθέλεις εἰπεῖν, ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ, εἴπω σοι ὅπη; πάνυ γε. οὐ δοκεῖ μοι — Πλάτωνος

Ayuntamiento de Madrid

εἶναι ἵνα δέος ἔνθα καὶ αἰδὼς, πολλοὶ γάρ μοι δοκοῦσι καὶ νόσους καὶ πενίας, καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιέναι μὲν, αἰδεῖσθαι δὲ μηδὲν ταῦτα ἃ δεδίασιν, οὐ καὶ σοὶ δοκεῖ; πάνυ γε, ἀλλ' ἵνα γε αἰδὼς, ἔνθα καὶ δέος εἶναι, ἐπεὶ ἔστιν ὅστις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος, οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας· δέδοικε μὲν οὖν· οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν, ἵνα γὰρ δέος ἔνθα καὶ αἰδὼς, ἀλλ' ἵνα τὲ αἰδὼς, ἔνθα καὶ δέος· οὐ μέντοι γε ἵνα γε δέος πανταχοῦ αἰδὼς, ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς, μόριον γὰρ αἰδὼς δέους, ὥσπερ ἀριθμοῦ περιττόν· ὥστε οὐχ ἵναπερ ἀριθμὸς, ἔνθα καὶ περιττόν· ἵνα δὲ καὶ περιττὸν, ἔνθα καὶ ἀριθμός·

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΑΝΑΙΔΕΙΑΣ

### ΛΟΓΟΣ λʹ.

Μενάνδρου  Ἀπ' ἐρυθριᾷ πᾶς, ἐρυθριᾷ δ' οὐδεὶς ἔτι.
ὃς δ' οὔτ' ἐρυθριᾶν ἐπίσταται οὔτε δεδιέναι,
τὰ πρῶτα πάσης τῆς ἀναιδείας ἔχει.

Διφίλου·  Οὐκ ἔστιν ἀναιδοῦς ζῷον εὐθαρσέστερον.
κακὴ γὰρ αἰδὼς, ἔνθα γ' ἀναιδὲς κρατεῖ·

Θεόγνιδος  Ἡ δὴ νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
αὐτὰρ ἀναιδείη γαῖαν ἐπέρχεθ' ὁμῶς.

Ευριπίδου.  Οὔτοι θράσος τόδ' ἐστὶν οὐδ' εὐτολμία.
φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν,
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν ἀναίδεια. εὖ δ' ἐποίησας μολών·

Θεοδέκτου.  Ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ,
καὶ πρὸς τελευτὴν ἔρχεται τὴν τοῦ χρόνου,
πλὴν ὡς ἔοικε τῆς ἀναιδείας μόνον.
αὕτη δ' ὅσῳ περ αὔξεται θνητῶν γένος,
τοσῷδε μείζων γίγνεται καθ' ἡμέραν.

Μενάνδρου  Ὦ μεγίστη τῶν θεῶν νῦν οὖσ' ἀναίδεια, εἰ θεὸν καλεῖν σε δεῖ. δεῖ δὲ, τὸ κρατοῦν γὰρ νῦν νομίζεται θεὸς, ἐφ' ὅσον βαδίζεις. ἐφ' ὅσον ἥξειν μοι δοκεῖς.

Ηροδότου.  Ἅμα δὲ κιτῶνι ἐκδυομένῳ ἐκδύεται καὶ τὴν αἰδῶ γυνή.

Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ, ἀναισχυντία, καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ὡς ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών.

Ayuntamiento de Madrid

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΣΙΩΠΗΣ

### ΛΟΓΟΣ ΛΑ'.

Πολλοῖς γὰρ ἀνθρώποισι φάρμακον κακῶν, Καρκίνου.
σιγή, μάλιστα δ' ἐστὶ σώφρονος τρόπου.
Οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον, Μενάνδρου.
Ὦ παῖ σιώπα· πόλλ' ἔχει σιωπὴ καλά.
Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν. Χάρητος.
ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει,
ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη.
Ἔστι καὶ τὸ σιγῆς ἀκίνδυνον γέρας. Ἀθηνοδώ.
Οὐκ ἔστι κρεῖττον τοῦ σιωπᾶν οὐδὲ ἕν. Ἀμφιδος.
Κρεῖττον σιωπᾶν ἐστίν, ἢ λαλεῖν μάτην. Φιλωνίδου.

Σιωπῶντος τοῦ Κλεάνθους, ἐπεί τις ἔφη· τί σιγᾷς, καὶ μὴν ἡδὺ τοῖς φίλοις ὁμιλεῖν; ἡδὺ ἔφη, ἀλλ' ὅσον ἥδιον, τοσῷδε μᾶλλον αὐτοῦ τοῖς φίλοις παραχωρητέον. Κλεάνθους.

Ζήνων, Ἀντιγόνου πρέσβεις Ἀθήναζε πέμψαντος, κληθεὶς ὑπ' αὐτῶν σὺν ἄλλοις φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὐτῶν ἕξιν, αὐτὸς ἐσίγα. τῶν δὲ πρέσβεων ζητούντων τί ἀπαγγείλωσι περὶ αὐτοῦ πρὸς Ἀντίγονον, τοῦτ' αὐτὸ ἔφη ὃ βλέπετε. δυσκρατέστατον γὰρ πάντων ὁ λόγος.

Ξενοκράτης διαιρῶν ἕκαστον μέρος τῆς ἡμέρας εἰς πρᾶξίν τινα, καὶ τῇ σιωπῇ μέρος ἀπένεμε.

Σιμωνίδης ἔλεγε· μηδέποτε αὐτῷ μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ, πολλάκις.

Πολλὴν ἐπιμέλειαν ποιεῖσθαι, περὶ τοῦ μὴ λέγειν ἃ μὴ δεῖ, παντελῶς γὰρ ἀπαιδεύτου τινός ἐστι τὸ μὴ δύνασθαι σιωπᾶν, ἀλλ' ἐκλαλεῖν τὰ μὴ καλῶς ἔχοντα.

Διογένης, πρὸς τὸν φιλόσοφον εἶναι φήσαντα, ἐρωτῶντα δὲ ἐριστικῶς, κακόδαιμον ἔφη, τὸ βέλτιστον τῶν ἐν τῷ βίῳ τοῦ φιλοσόφου λυμαινόμενος τῷ λόγῳ φιλοσοφεῖν φῄς.

Θεόκριτος ἐρωτηθεὶς ὑπὸ ἀδολέσχου, ὅπου αὐτὸν αὔριον ὄψοιτο, ὅπου ἔφη ἐγώ σε οὐκ ὄψομαι.

Μὴ νομίσητέ με ὦ Ἀθηναῖοι ἀγνοεῖν, ὅτι ἀσφαλὲς τὸ σιγᾶν ἐστί. Δίωνος.

Ayuntamiento de Madrid

## ΠΕΡΙ ΣΙΩΠΗΣ

Πλουτάρχου. Περὶ τῆς καθ' Ὅμηρον ἐχεμυθίας. διὰ τούτου σαφῶς δείκνυται, λέγει γάρ· Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής, ἴσχεο· μηδ' ἔθελ' οἶος ἐριζέμεναι βασιλεῦσι. καὶ τοῦ Τηλεμάχου εἰπόντος, ἦ μάλα τις θεῶν ἔνδον οἳ οὐρανὸν εὐρὺν ἔχουσιν, ὑπολαμβανόμενος ὁ πατὴρ, ἔφη· σίγα, καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε· αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσι. τοῦτο δ' ἐχε[illegible] οἱ Πυθαγορικοὶ καλοῦντες, οὐδὲν ἀπεκρίνοντο τῶν περὶ θεῶν, ὅτε τύχοιεν ἰταμῶς καὶ εὐχερῶς ἐρωτῶσι.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ ΕΥΚΑΙΡΩΣ ΛΕΓΕΙΝ

### ΛΟΓΟΣ ΛΒ'.

Εὐριπίδου. Ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.

Ἁπλοῦς ὁ μῦθος· μὴ λέγε, τὸ γὰρ λέγειν
εὖ, δεινόν ἐστιν εἰ φέροι τινὰ βλάβην.

Εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά.

Ἀντιλόχου. Οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτε ὁ λέγων ὑποτέμνει τὰ πράγματα.

Αἰσχύλου. Πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα.

Ἰσοκράτους. Δύο καιροὺς ποιοῦ τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν, ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιωπῆς κρείττων. ἐν δὲ τοῖς ἄλλοις, ἄμεινον σιγᾶν, ἢ λέγειν.

Πυθαγόρου. Ἔλεγεν ὁ Πυθαγόρας χρὴ σιγᾶν, ἢ κρείσσονα σιγῆς λέγειν.

Ἢ σιγὴν καίριον, ἢ λόγον ὠφέλιμον ἔχε.

Σόλωνος. Σφραγίζου τοὺς μὲν λόγους, σιγῇ, τὴν δὲ σιγὴν καιρῷ.

Αἰσχίνης ὁ σωκρατικὸς ἐπιπληχθεὶς, ὅτι Σωκράτει ἐσχολακὼς σιωπᾷ, οὐ γὰρ μόνον εἶπε λέγειν ἔμαθον παρὰ Σωκράτει, ἀλλὰ καὶ σιωπᾶν.

Πυθαγόρου. Αἱρετώτερόν σοι ἔστω λίθον εἰκῇ βάλλειν, ἢ λόγον ἀργόν.

Σιγᾷς; σιωπῇ δ' ἄπορος, ἑρμηνεὺς λόγων.

Θεόγνιδος. Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν,
καὶ σιγᾶν αἰεὶ, τοῦτο γὰρ οὐ δυνατόν.

Ἐκ τῶν Ἐπικτήτου. Τάξον τινὰ ἤδη σεαυτῷ χαρακτῆρα καὶ τύπον ὃν φυλάξεις. ἐπί τε σαυτοῦ ὢν καὶ ἑτέροισιν ἐντυγχάνων σιωπὴ τὰ πολλὰ ἔστω. ἢ λαλείσθω τὰ ἀναγκαῖα καὶ δι' ὀλίγων. σπανίως δέ ποτε καιροῦ καλοῦντος, ἐπὶ τὸ λέγειν τε ἥξομεν,

Ayuntamiento de Madrid

ἤξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν δικαίων μὴ περὶ ἀθλητῶν ἢ μονομάχων, ἢ περὶ ἵππων, ἢ βρωμάτων, ἢ πομάτων τῶν ἑκασταχοῦ· μὴ περὶ ἀνθρώπων ψέγοντα, ἢ ἐπαινοῦντα· ἢ συγκρίνοντα. λοιπὸν ἐκείνου ἔχου, τοῦ μὴ καθιέναι εἰς ὁμιλίας ἰδιωτικάς, ἀλλὰ ἂν οἷός τε ᾖς, μέταγε τοὺς λόγους ὧδε τὸ προσῆκον, εἰ δὲ μή, ἀπόλειπε σιωπᾶν.

Σόλων ἐρωτηθεὶς ὑπὸ περιάνδρου παρὰ πότον, ἐπεὶ σιωπῶν ἐτύγχανε· πότερα διὰ λόγων ἀπορίαν, ἢ διὰ μωρίαν σιωπᾷ· ἀλλ' οὐδεὶς ἂν εἶπε μωρὸς σιωπᾶν ἐν συμποσίῳ δύναται.

Τῶν συνόντων τις μειρακίων Διογένει, ἐρωτώμενος ὑπ' αὐτοῦ, ἐσιώπα· ὁ δὲ ἔφη· οὐκ εἴη τοῦ αὐτοῦ εἶναι, εἰδέναι τί ἃ λεκτέον, καὶ πότε, καὶ τίνα σιωπητέον, καὶ πρὸς τίνα. — Ἐκ τῶν Δίωνος χρειῶν.

Κλεόστρατος πρὸς τὸν εἰπόντα· οὐκ αἰσχύνῃ μεθύων; σὺ δὲ οὐκ αἰσχύνῃ ἔφη μεθύοντα νουθετῶν;

Τῷ γελοίῳ καθάπερ ἁλὶ πεφεισμένως δεῖ χρῆσθαι. — Σωκράτ.

Πολυμαθίη κάρτα μὲν ὠφελέει, κάρτα δὲ βλάπτει τὸν ἔχοντα. ὠφελέει μὲν τὸν δεξιὸν ἄνδρα, βλάπτει δὲ τὸν ῥηιδίως φωνεῦντα πᾶν ἔπος, καὶ ἐν παντὶ δήμῳ. χρὴ δὲ καιροῦ μέτρα εἰδέναι, σοφίης γὰρ οὗτος ὅρος. οἱ δὲ ἔξω καιροῦ ῥῆσιν μουσικὴν πεπνυμένως ἀείσωσιν, οὐ παραδέχονται ἐν ἀργίῃ γνώμην, αἰτίην δὲ ἔχουσι μωρίας. — Ἀναξάρχου.

## ΠΕΡΙ ΒΡΑΧΥΛΟΓΙΑΣ

## ΛΟΓΟΣ ΛΓ΄.

Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος — Ἡσιόδου.
φειδωλῆς· πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.

Καὶ τοῦ μὲν κύκλῳ γε παύσομαι λέγων, — Εὐπόλιδος.
φράσω δὲ τὸ προοῖκα διὰ τῶν χωρίων.

Παῖδες, σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ. — Εὐριπίδου.
πολλοὺς λόγους οἷός τε συντέμνειν καλῶς.

Βραχεῖ λόγῳ δὲ πολλὰ πρόσκειται σοφά. — Σοφοκλ.

Τοῖς ἂν ἀναιδέσι βοηθεῖ γὰρ λόγοις τοῦτ' ἓν μόνον. — Μενάνδρου.
ἂν βραχεῖς αὐτοὺς ποιῇ τις, τόν τε καιρὸν συλλάβῃ.

Ἅπαντ' ἐρείξας καὶ συνιεὶς οὐδὲ ἕν, — Φιλωνίδου



Ayuntamiento de Madrid

γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα νοῦν ἔχειν,
οὐκ ἄν τις εἴπῃ πολλὰ θαυμασθήσεται.
ὁ μικρὰ δ' εἰπὼν μᾶλλον, ἂν ᾖ χρήσιμα.

Πυθαγόρου. Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ' ἐν ὀλίγοις, πολλά.

Λυκοῦργος πρὸς τὸν εἰπόντα, διὰ τί Λακεδαιμόνιοι τὴν βραχυλογίαν ἀσκοῦσιν, εἶπεν· ὅτι ἐγγύς ἐστι τοῦ σιγᾶν.

Ἐκ τ̃ ἀδηκτίτου, Μηδενὸς οὕτως ἐν παντὶ προνόει, ὡς τοῦ ἀσφαλοῦς, ἀσφαλέστερον γὰρ τοῦ λέγειν τὸ σιγᾶν. ἐὰν δὲ τὸ λέγειν, ὅσα δίχα ἐστὶ νοῦ, καὶ ψόγου. ἀπέστω δὲ τὸ πολὺ καὶ αὐτοῦ τινων ἔργων μεμνῆσθαι, ἢ κινδύνων, οὐ γὰρ ὡς σοὶ ἐστὶ τὸ τῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι, τὸ τῶν συμβαινόντων ἀκούειν.

Πλάτωνος νόμων α. Τὴν πόλιν ἅπαντες ἡμῶν Ἕλληνες ὑπολαμβάνουσιν· ὡς φιλόλογός τε ἐστὶ καὶ πολύλογος, Λακεδαίμονα δὲ καὶ Κρήτην· τὴν μὲν βραχύλογον, τὴν δὲ, πολύνοιαν μᾶλλον, ἢ πολυλογίαν ἀσκοῦσαν.

## ΠΕΡΙ ΑΔΟΛΕΣΧΙΑΣ.

### ΛΟΓΟΣ ΛΔ'.

Θεόγνιδος. Πολλοῖς ἀνθρώπων γλώσσῃ θύραι οὐκ ἐπίκειται.
ἁρμόδιαι, καί σφιν πόλλ' ἀλάλητα μέλει,
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδοθεν ἦλθεν.
ἐσθλὸν δ' ἐξελθεῖν λῷον, ἢ τὸ κακόν.

Εὐριπίδου. Γλώσσῃ γὰρ οὐδὲν πιστόν· ἡ θυραῖα μὲν
φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίσταμαι.
αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖστα κέκτηται κακά.

Μηδείας. Οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις Κρέον
ἔβλαψε γλῶσσα, μεγάλα τ' εἴργασται κακά.

Ἀστυδάμαντος. Γλώσσης περίπατός ἐστιν ἀδολεσχία.
ληρεῖς ἐν οὐ δέοντι καιρῷ φιλοσοφῶν.

Ὁμήρου. Καί ποτέ τις προέηκεν, ὅπερ ἄρρητον τ' ἄμεινον.
ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι, οὐδέ τί σε χρή.
λαβραγόρην τ' ἔμμεναι.

Νικοστράτου. Εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν, ἦν τοῦ φρονεῖν παράσημον, αἱ

Ayuntamiento de Madrid

χελιδόνες ἐλέγοντ᾽ ἂν ἡμῶν σωφρονέστεραι πολύ.

Σὺ δ᾽ εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις, Εὐριπίδου
ἐν τοῖς λόγοισι δ᾽ οὐκ ἔνεισί σοι φρένες.

Κόσμος δὲ σιγῆς στέφανος ἀνδρὸς οὐ κακοῦ.
τὸ δ᾽ ἐκλαλοῦν, οὐθ᾽ ἡδονῆς μὲν ἅπτεται,
κακὸν δ᾽ ὁμίλημ᾽ ἀσθενὲς δὲ καὶ πόλει.

Τί ταῦτα πολλῶν ῥημάτων ἔτ᾽ ἐστί σοι, Σοφοκλέους.
τὰ γὰρ περισσὰ πανταχοῦ λυπηρὰ ἔπη.

Αἰσχρόν γ᾽ ὅταν τις ἰδίᾳ γλώσσῃ φυγάς. Μενάνδρου
γλώσσῃ ματαίοις ἐξακοντίσῃ λόγους.

Ἀχαλίνων στομάτων, ἀνόμου δ᾽ ἀφροσύνας Εὐριπίδου
τὸ τέλος δυστυχία.

Οὔτ᾽ ἐκ χερὸς μεθέντα καρτερὸν λίθον Μενάνδρου
ῥᾷον κατασχεῖν, οὔτ᾽ ἀπὸ γλώσσης λόγον.

Τυραννικόν τι πόλλ᾽ ἐπίστασθαι λέγειν.

Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται. Αἰσχύλου.

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἕν, Φιλήμονος.
μακρὸν νόμιζε, κἂν δύ᾽ εἴπῃ συλλαβάς.
τὸν δ᾽ εὖ λέγοντα, μὴ νόμιζ᾽ εἶναι μακρόν,
μηδ᾽ ἂν σφόδρ᾽ εἴπῃ πολλὰ καὶ πολὺν χρόνον.
τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε.
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει.
ἀλλ᾽ οὐδὲ εἷς Ὅμηρον εἴρηκε μακρόν.

Ζήνων πρὸς τὸν πλείω λαλεῖν θέλοντα ἢ ἀκούειν, νεανίσκε εἶπεν· ἡ φύσις ἡμῖν, γλῶτταν μὲν μίαν, δύο δὲ ὦτα παρέσχε, ἵνα διπλάσιον ὧν λέγομεν, ἀκούωμεν.

Θεόκριτος ἀναξιμένους λέγειν μέλλοντος, ἄρχεται εἶπε, λέξεων μὲν ποταμὸς, νοῦ δὲ σταλαγμός.

Διογένης ᾔτησε ποτὲ Πλάτωνα τῶν ἐκ τοῦ κήπου ἰσχάδων, τρεῖς· ὡς δ᾽ ἐκεῖνος μέδιμνον ἀπέστειλεν, οὕτως ἔφη καὶ ἀποκρίνῃ ἐρωτηθεὶς μυρία.

Πλάτων Ἀντισθένους ἐν τῇ διατριβῇ ποτε μακρολογήσαντος, ἀγνοεῖς εἶπεν, ὅτι τοῦ λόγου μέτρον ἐστὶν, οὐχ ὁ λέγων, ἀλλ᾽ ὁ ἀκούων.

Τῶν τις ἐν ἀκαδημίᾳ νεανίσκων, περὶ ἰδίων τινῶν δογμάτων διελέγετο ἀφρόνως, ὁ δὲ Ζήνων, ἐὰν μὴ τὴν γλῶσσαν ἔφη εἰς νοῦν ἀποβρέξας διαλέγῃ,



Ayuntamiento de Madrid

πολὺ πλέω ἔτι καὶ ἐν τοῖς λόγοις πλημμελήσας.

Δημοκράτους. Πλεονεξίη, τὸ πάντα λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν.

Ἰσοκράτης ὁ ῥήτωρ, καρεῶνος ὄντος λάλου, καὶ σχολάζειν αὐτῷ βουλομένου διττοὺς ᾔτησε μισθούς. τοῦ δὲ τὴν αἰτίαν πυθομένου, ἕνα ἔφη μὲν, ἵνα λαλεῖν μάθῃ, τὸν δ᾽ ἕτερον, ἵνα σιγᾶν.

Ζήνων τῶν μαθητῶν ἔφασκε τοὺς μὲν φιλολόγους εἶναι, τοὺς δὲ λογοφίλους.

Ἐρετρικοῦ ἀνδρὸς ἐρωτῶντος αὐτὸν, εἰ ἡ ἀρετὴ ὠφέλιμος, ἀνέδυσεν, οὐ βουλόμενος παρασχεῖν αὐτῷ ἐκ τῆς ἀποκρίσεως ἀφορμὴν εἰς ἔριν.

Ἀπολλωνίου. Πολυλογία πολλὰ σφάλματα ἔχει. τὸ δὲ σιγᾶν, ἀσφαλές.

Οἱ κράτιστοι τῶν ἀνθρώπων, βραχυλογώτατοι. οἱ οὖν ἀδολέσχαι εἰ ᾤοντο ὡς ἀνιῶσιν, οὐκ ἂν ἐμακρηγόρουν.

Εὐσεβίου. Ἄνθρωποι λόγων κούφων μέγα ὀδόντων ἕρκος ἐκπέασσι, ἀλλὰ γὰρ ἤδη πάντες νόου χρήιζομεν, ἐπεὶ ἂν οὔτις μὴ καπηλεύῃ ἀλλὰ τὰ ἔπεα, πρὶν βουλευθῆναι ἐκφθέγγῃ πολλάκις. καὶ κατηλογήσαντα τοσούτου ἕρκεος ἄκειτα προεκθρώσκει.

Ξενοφῶντος. Ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι, πολλὰ μὲν αὐτὸς τοὺς παρόντας ἀνηρώτα πῶς ἔχοντα τυγχάνοι, καὶ ὅσα αὐτὸς ὑπ᾽ ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι ταχὺ ἀπεκρίνατο, ὥστ᾽ ἐκ πάντων τούτων πολυλογία συνελέγετο αὐτῷ, ἀλλ᾽ ὥσπερ ἐν σώμασιν ὅσοι νέοι ὄντες, μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεταί τι αὐτοῖς νεαρὸν, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν, οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας, οὐ θράσος διεφαίνετο, ἀλλὰ πρᾳότης τις καὶ φιλοστοργία, ὥστ᾽ ἐπεθύμει ἄν τις ἔτι πλείω ἀκούειν αὐτοῦ, ἢ σιωπῶντι παρεῖναι.

## ΠΕΡΙ ΧΡΗΣΤΟΤΗΤΟΣ.

### ΛΟΓΟΣ. ΛΕ΄.

Οὐθεὶς πονηρὸν πρᾶγμα, χρηστὸς ὢν ποιεῖ.
Ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη.

Θεογνίδος. Κύρν᾽ ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
Τολμᾷ δ᾽ ἔν τ᾽ ἀγαθοῖς κείμενος, ἔν τε κακοῖς.
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσῃ,
ἀφραίνων βίοτον οὐ δύναται κατέχειν.

Σοφοκλ. Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς, εὔκλειαν αἰσχῦναι θέλει.



Ayuntamiento de Madrid

Σὺ μὲν παραινεῖς ταῦτα ὅσα σοι πρέπει, — Μενάνδρου
ἐμὲ δὲ ποιεῖν τὸ καθῆκον οὐχ ὁ σὸς λόγος.
εὖ ἴσθ᾽ ἀκριβῶς, ὁ δ᾽ ἴδιος πείθει τρόπος.

Ὁ χρηστὸς ἐστὶ πολλαχοῦ σωτήριος.

Τὸ χρηστὰ πράττειν, ἔργον ἐστ᾽ ἐλευθέρου.

Ὦ μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ. — Διφίλου.

Χρηστοὺς νομιζομένοις ἐφόδιον ἀσφαλὲς,
ἐς πάντα καιρὸν, καὶ τύχης ῥοπὴν πᾶσαν.

Ἀλλὰ τῶν χρηστῶν ἔχει τὴν ἐπιμέλειαν καὶ θεὸς,
κἂν ταῖς ἀπορίαις ἐσθ᾽ ὁ χρυσὸς χρήσιμον.

Τρόπος δίκαιος, κτῆμα τιμιώτατον. — Ἀντιφάν.

Διὰ τὴν τέχνην μὲν γνωρίμους ἐκτησάμην — Ποσιδίππου.
πολλοὺς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους φίλους.

Τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου, — Πειρίθου.
τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ,
ῥήτωρ δύναιτο, τὸν δ᾽ ἄνω τε καὶ κάτω
λόγοις ταράσσων, πολλάκις λυμαίνεται.

Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς· — Θεόγνιδος
οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.

Νὴ τὴν Ἀθηνᾶν, μακάριον ἡ χρηστότης, — Μενάνδρου
πρὸς πάντα καὶ θαυμαστὸν ἐφόδιον τῷ βίῳ
τούτῳ λαλήσας ἡμέρας σμικρὸν μέρος
εὔνους ἐγὼ νῦν εἰμι πιστικὸν λόγος,
πρὸς τοῦτ᾽ ἂν εἴποι τις μάλιστα τῶν σοφῶν.
τί οὖν ἑτέρους λαλοῦντας εὖ βδελύττομαι.
τρόπος ἐσθ᾽ ὁ πείθων τοῦ λέγοντος οὐ λόγος.

Τὸ δ᾽ ἐπιεικὲς ὠφελεῖ τὰς ξυμφοράς. — Εὐριπίδου

Ὀλίγων οἱ ἀγαθοὶ νόμοι δέονται, οὐ γὰρ τὰ πράγματα πρὸς τοὺς νόμους. ἀλλ᾽ οἱ νόμοι πρὸς τὰ πράγματα τίθενται. — Θεοφράστου.

Πολλῶν χρημάτων, τὸ χρηστὸν εἶναι λυσιτελέστερόν ἐστιν. — Δημοσθ.

Ἀγαθὸν ἢ εἶναι χρεὼν, ἢ μιμέεσθαι. — Δημοκρίτου.

Λυκοῦργος ὁ νομοθέτης εἶπε. τὸ μὲν ἀξιόχρεων τῶν ἀνθρώπων ἐν τῇ οὐσίᾳ κεῖσθαι, τὸ δὲ ἀξιόπιστον, ἐν τῷ τρόπῳ.

Αἴσωπος ἐρωτηθεὶς τί θαυμαστόν ἐστιν ἐν τῷ βίῳ, ἄνθρωπος ἐπιεικὴς εἶπε καὶ



Ayuntamiento de Madrid

μέτριος, ὅτι ἐν πολλοῖς ὑπάρχων μοχθηροῖς, οὐ διέστραπται.

Δημοκρίτου. Οἷσιν ὁ τρόπος ἐστὶν εὔτακτος, τουτέοισι καὶ βίος συντέτακται.

Ἡ μὲν ἐσθὴς, τὴν εὐρυθμίαν· ἡ δὲ εὔνοια, τὴν ἁμαρτίαν περιστέλλει.

Ξενοφῶντος. Τί οὖν ἔφη ὁ σωκράτης ὦ κριτόβουλε· ἐάν σοι ἐξ ἀρχῆς διηγήσωμαι, ὡς συνεγενόμην ποτὲ ἀνδρὶ, ὃς ἐμοὶ ἐδόκει εἶναι τῷ ὄντι τούτων τῶν ἀνδρῶν, ἐφ' οἷς τοῦτο τοὔνομα δικαίως ἐστὶν, ὃ καλεῖται καλός τε καὶ ἀγαθὸς ἀνήρ. πάνυ ἂν ἔφη βουλοίμην ὁ κριτόβουλος, οὕτως σου ἀκούειν, ὡς καὶ ἔγωγε ἐρῶ τούτου τοῦ ὀνόματος ἄξιος γενέσθαι, λέξω τοίνυν ἔφη σοι ὁ σώκρατης, ὡς καὶ ἦλθον ἐπὶ τὴν σκέψιν αὐτοῦ, τοὺς μὲν γὰρ ἀγαθοὺς τέκτονας, ἀγαθοὺς χαλκεῖς, ἀγαθοὺς ζωγράφους, ἀγαθοὺς ἀνδρειαντοποιούς· καὶ πάντα τὰ τοιαῦτα. πάνυ ὀλίγος μοι χρόνος ἐγένετο περιελθεῖν τε καὶ θεάσασθαι τὰ δεδοκιμασμένα καλὰ ἔργα αὐτῶν εἶναι. ὅπως δὲ δὴ καὶ τοὺς ἔχοντας τὸ σεμνὸν ὄνομα τοῦτο καλός τε καὶ ἀγαθὸς ἐπισκεψαίμην. τί ποτε ἐργαζόμενοι τοῦτο ἀξιοῦνται καλεῖσθαι, πάνυ μοι ἡ ψυχὴ ἐπεθύμει αὐτῶν τινὶ συγγενέσθαι, καὶ πρῶτον μὲν, ὅτι προσέκειτο ὁ καλὸς τῷ ἀγαθῷ, ὅν τινα ἴδοιμι καλὸν τούτῳ προσῄειν, καὶ ἐπειρώμην καταμανθάνειν, εἴπου ἴδοιμι προσηρτημένον τῷ καλῷ τὸ ἀγαθὸν, ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως, ἀλλ' ἐνίους ἐδόκουν καταμανθάνειν τῶν καλῶν τὰς μορφάς· πάνυ μοχθηροὺς ὄντας τὰς ψυχὰς, ἔδοξεν οὖν μοι ἀφέμενον τῆς καλῆς ὄψεως, ἐπ' αὐτῶν τινὰ ἐλθεῖν τῶν καλουμένων καλῶν τε καὶ ἀγαθῶν, τὰ γὰρ καλὰ καὶ ἀγαθὰ ἔφην ἐγὼ, οὐ διὰ τὰς ὡραιότητας, ἀλλὰ διὰ τὰς ἐν τῷ βίῳ ἀρετὰς τοῖς ἀνθρώποις ἐπαύξεται·

Θεμιστοκλῆς χωρίον πωλῶν, ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει.

Σόλωνος. Τρόπον καλοκαγαθίαν, ὅρκου πιστοτέραν ἔχε.

Ἀριστοτέλης ὁ φιλόσοφος αἰτηθεὶς ποτὲ ἔρανον ὑπὸ μοχθηροῦ, καὶ παρασχόμενος, ἐπειδὴ ἐλάβετό τις αὐτοῦ ὅτι τοιούτῳ ἔδωκεν, οὐ τῷ ἀνθρώπῳ ἔφη, ἀλλὰ τῷ ἀνθρωπίνῳ.

Ἰαμβλίχου. Ἀγαθὸς νομιζέσθω, ὁ τὴν πλησιοτάτην κατὰ τὸ χωριστὸν νοῦ ἐνέργειαν διασώζων, καὶ τὴν μετουσίαν τοῦ νοητοῦ καὶ ἄλλοις παραδεχόμενος, καὶ τῆς τοῦ θεοῦ οὐσίας καὶ δυνάμεως μέτοχος.

Δημοσθένης λέγων ποτὲ ἐπ' ἐκκλησίας, καὶ φωκίωνα ἰδὼν ἐρχόμενον, εἶπεν. ἡ τῶν ἐμῶν λόγων σφύρα καὶ κοπὶς ἔρχεται, οὕτως οὐ τοσοῦτον ὁ λόγος, ὅσον ὁ τρόπος πείθειν δύναται.

Ayuntamiento de Madrid

Ο σκηπίων τὸ πολυβίου παράγγελμα διαφυλάττων, ἐπειρᾶτο μὴ πρότερον ἐξ ἀγορᾶς ἀπελθεῖν, ἢ ποιήσασθαί τινα συνήθη καὶ φίλον.

Βίας ἔφη. οἱ ἀγαθοὶ εὐαπάτητοι.

Αλεξάνδρου ἑκατὸν τάλαντα δωρεὰν τῷ φωκίωνι πέμψαντος, ἠρώτησε τοὺς κομίσαντας. τί δὴ πολλῶν ὄντων ἀθηναίων, αὐτῷ μόνῳ ταῦτα δίδωσιν. ὅτι μόνον αὐτὸν ἔφασαν ἡγεῖται καλόν τε κἀγαθὸν, οὐκοῦν ἔφη ἐασάτω με καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον.

Τραύσιοι τοὺς ἀσυγγενεῖς ἐὰν λιμῷ πιεσθῶσι, τρέφουσι. θεῶσι τοὺς ναυαγοὺς φιλανθρώποις δεχόμενοι, φίλοις ποιοῦνται. τῶν δὲ ξένων τοὺς μὲν ἑκουσίως ἐλθόντας, σφόδρα τιμῶσι, τοὺς δ' ἀκουσίως κολάζουσιν. Εκ τῶν νικολάου.

## ΠΕΡΙ ΦΘΟΝΟΥ

## ΛΟΓΟΣ. λϛ'.

Φιλήμονος

Ο φθόνος ἐν ἑαυτῷ τοῦθ' ἓν ἀστεῖον ποιεῖ.
τὸν ἐρεθιστὴν ὄντα τῶν ἄλλου τρόπων,
λυμαίνεται μάλιστα διὰ παντὸς συνών.

Διονισίου.

Ἔπειτα δ' οὐδὲ τοῦτο γινώσκεις, ὅτι τοῖς οὐδὲν οὖσιν, οὐδὲ εἷς ὅλως φθονεῖ; ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται φθόνον. ἅπαν τὸ λίαν συνετὸν ἔστ' ἐπίφθονον.

Χάρητος.

Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός. ἀδικώτατον πρᾶγμ' ἐστὶν τῶν πάντων φθόνος. ἐγὼ δ' ἐν ἀνθρώποισι μέχρι τοῦ δοκῶ εὖ πράττειν, μέχρις ἂν φθονεῖσθαί μοι δοκῶ.

Διογένους.

Λιτὸς γενόμενος, τοῖς ἔχουσι μὴ φθόνει. ἔτι τινὲς νῦν. οὓς τὸ βασκαίνειν τρέφει. ὄλοιθ' ὁ τοῖς ἔχουσι τἀγαθὰ φθονῶν.

Εὐριπίδου

Τίς ἆρα μήτηρ, ἢ πατὴρ κακὸν μέγα
βροτοῖς ἔφυσε τὸν δυσώνυμον φθόνον.
ποῦ καὶ ποτ' οἰκεῖ σώματος λαχὼν μέρος,
ἐν χερσὶν, ἢ σπλάγχνοισιν, ἢ παρ' ὄμματα
ἔσθ' ἡμῖν, ὡς ἦν μόχθος ἰατροῖς μέγας
τομαῖς ἀφαιρεῖν, ἢ ποτοῖς, ἢ φαρμάκοις.
πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων.
Ο φθόνος δ' ὁ πολλῶν φρένας διαφθείρων βροτῶν,
ἀπώλεσ' αὐτὸν, κἀμὲ συνδιώλεσεν.

Νικομάχου

Ἐργῶδές ἐστιν ἐν βίῳ βεβιωκότα,



Ayuntamiento de Madrid

τοὺς τῶν φθονούντων πάντας ὀφθαλμοὺς λαθεῖν.

Μενάνδρου. Ὁ φθονερὸς, αὑτῷ πολέμιος καθίσταται,
αὐθαιρέτοις γὰρ συνέχεται λύπαις ἀεί.

Ἀγάθωνος. Οὐκ ἦν ἂν ἀνθρώποισιν ἐν βίῳ φθόνος,
εἰ πάντες ἦμεν ἐξ ἴσου πεφυκότες.
εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ.

Εὐριπίδου. Φθόνον οὐ σέβω, φθονεῖσθαι δὲ θέλοι μ' ἂν ἐπ' ἐσθλοῖς.

Ἱπποθόωντος. Φθόνος κάκιστος κἀδικώτατος θεός.
κακοῖς τε χαίρει κἀγαθοῖς ἀλγύνεται.
οὐδεὶς ἂν εἴποι κεῖνον ἀνθρώπων κακῶς.
οὐδ' ἂν φθόνου γένοιτο δυσμενέστερος.
χρὴ δ' ἢ λέγειν τι χρηστὸν, ἢ λέγουσιν εὖ,
μὴ δυσμεναίνειν τῷ φθόνῳ νικώμενον.

Καρκίνου. Χαίρω σ' ὁρῶν φθονοῦντα, τοῦτ' εἰδὼς ὅτι.
ἓν δρᾷ μόνον ἴδιον ὧν ποιεῖ φθόνος,
λυπεῖ γὰρ αὐτὸ τὸ κτῆμα τοὺς κεκτημένους.

Εὐριπίδου. Ἤδη γὰρ εἶδον καὶ δίκης παραστάτας
ἐσθλοὺς πονηρῷ τῷ φθόνῳ νικωμένους.
Οἴμοι θανοῦμαι διὰ τὸ χρήσιμον φρενῶν,
ὃ τοῖσιν ἄλλοις γίγνεται σωτηρία.

Ἐπιχάρμου. Τίς ἐγκαλοίη γενέσθαι μὴ φθονούμενος φίλος.
δῆλον ὡς ἀνὴρ γὰρ οὐδείς ἐσθ' ὃ μὴ φθονούμενος.
τυφλὸν ἠλέησ' ἰδών τις, ἐφθόνησε δ' οὐδὲ εἷς.

Πινδάρου. Κρέσσον γὰρ οἰκτισμοῦ φθόνος.

Ἀγάθωνος. Σοφίας φθονῆσαι μᾶλλον, ἢ πλούτου καλόν.

Φιλήμονος. Πολλά με διδάσκεις ἀφθόνως διὰ φθόνον,
ὅπως ἀκούων πολλὰ, μηδὲ ἓν μάθω.

Ἡσιόδου. Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων.
Καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.

Σοφοκλέους. Οὔτε γὰρ γάμον ὦ φίλε, οὔτ' ἂν ὄλβον ἔκμετρον.
εὔδηλον εὐξαίμην ἂν ἔχειν, φθονεραὶ γὰρ ὁδοί.
Φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις
νικᾶν ἐπ' αἰσχροῖς, ἢ 'πὶ τοῖς καλοῖς πλέον.
παύροισι γὰρ ἀνδρῶν ἐστὶ συγγενὲς τόδε.

φίλον

Ayuntamiento de Madrid

φίλον τὸν εὐτυχοῦντα αὐτοῦ ψόγον σέβειν.

Θεόφραστος ἔφη τοὺς μοχθηροὺς τῶν ἀνθρώπων, οὐχ οὕτως ἥδεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς.

Ἀράκιον οὔ μοι κατανοεῖν δοκεῖς, ὅτι Μενάνδρου
ὑπὸ τῆς ἰδίας ἕκαστα κακίας σήπεται,
καὶ πάντα τὰ λυμαινόμεν' ἔνδοθέν ἐστιν.
οἷον, ὁ μὲν ἰὸς, ἂν σκοπῇς τὸν σίδηρον.
τὸ δ' ἱμάτιον, οἱ σῆτες· ἡ δὲ θρὶψ, τὸ ξύλον.
ὁ δὲ τὸ κάκιστον τῶν κακῶν πάντων φθόνος,
φθισικὸν πεποίηκε καὶ ποιήσει καὶ ποεῖ,
ψυχῆς πονηρᾶς δυσσεβεῖς παραστάσεις. Πλουτάρχου

Τὸν φθόνον ἔνιοι τῷ καπνῷ εἰκάζουσι, πολὺς γὰρ ἐν τῷ ἀρχομένῳ ὢν, ὅταν ἐκλαμφθῶσιν, ἀφανίζεται, ἥκιστα γοῦν τοῖς πρεσβυτέροις φθονοῦσιν.

Ἱππίας λέγει δύο εἶναι φθόνους· τὸν μὲν δίκαιον, ὅταν τὶς τοῖς κακοῖς φθονῇ τιμωμένοις· τὸν δὲ ἄδικον, ὅταν τοῖς ἀγαθοῖς, καὶ διπλῶ τῶν ἄλλων οἱ φθονεροὶ κακοῦνται, οὐ γὰρ μόνον τοῖς οἰκείοις κακοῖς ἄχθονται ὥσπερ ἐκεῖνοι, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς.

Ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος. Πλάτωνος

Τὸ τῆς δόξης κάλλος ὥσπερ ὑπὸ νόσου τοῦ φθόνου ταχὺ μαραίνεται. Σωκράτους.

Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις, ἕπεται κατ' ἀνάγκην σκιὰ, τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν, ἀκολουθεῖ φθόνος. Ἐκ τῶν ἀριστωνύμου.

Ὁ φθόνος ὥσπερ φαῦλον δημαγωγὸς, τοῖς καλοῖς ἀντιπολιτεύεται πράξεσιν.

Οὐχ ἡ λύπη μέγιστον κακὸν ἀκολουθεῖ τῷ φθόνῳ, ἀλλὰ πολὺ μεῖζον, τὸ καὶ πρὸς τοὺς γνωρίμους γίνεσθαι, τῷ γὰρ αἰσχρῷ καὶ φαύλῳ τὴν ὑπεροχὴν δοτέον οὐ τῇ λύπῃ. Ἐκ τῶν κοινῶν ἀριστο. φιβῶν.

Ἀνδρὶ ἀγαθῷ εὖ πρήσσοντι φθονέων τὶς, καὶ πατρίδι, καὶ παντὶ τῷ κοινῷ, καὶ ἑωυτῷ φθονέει. Εὐσεβίου.

Ἀνὴρ ἀγαθὸς γὰρ εὖ πρήσσων, πόλιος καὶ παντὸς τοῦ δυναμένου τῆς εὐμοιρίης αὐτοῦ μεταλαγχάνειν, κοινὴ εὐδαιμονίη.

Φθόνος ὁ κατὰ τῶν εὐδαιμονούντων ἐπὶ τοῖς καλλίστοις ἀργῶν καὶ ἀπράκτων, τῶν δὲ ἀγαθῶν, καὶ οἷόν τε τεκεῖν τὶ παρ' ἑωυτῷ χρηστὸν οὐχ ἅπτεται.

Μὴ φθονεῖ τοῖς παρ' ἐμοὶ πρωτεύουσιν, ἀλλ' ἁμιλλᾶσθε, χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντες, καὶ ἐξισοῦσθε τοῖς προέχουσι. Ἰσοκράτους.

Φθόνος τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον· τὸ δὲ μὴ ἐμποδὼν, ἀνανταγωνίστῳ εὐ- Θεοφρά.

Ayuntamiento de Madrid

νοίας τετίμηται.

Θεοφράστου. Τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ τοῦτο μόνον ἀγαθὸν πρόσεστιν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσιν ἐστί.

Εὐαγόρου. Τοσοῦτον δὲ εἰσὶν οἱ φθονεροὶ δυστυχέστεροι τῶν ἄλλων, ὅσον οἱ μὲν ἐπὶ ταῖς αὐτῶν συμφοραῖς ἀλγοῦσιν, οἱ δὲ φθονοῦντες περὶ τοῖς ἑαυτῶν κακοῖς, καὶ ἐπὶ τοῖς τῶν ἄλλων ἀγαθοῖς λυπούμενοι διατελοῦσιν.

Ἀναξιμέ. Οἱ γὰρ μετὰ φθόνου κρίνοντες, τὰ πρωτεῖα ἀπονέμουσι τοῖς χείροσιν, οὐ τοῖς βελτίστοις.

Ὅσοι γὰρ τὰ καλῶς ῥηθέντα, ἢ πραχθέντα διὰ φθόνον οὐκ ἐπαινοῦνται, πῶς οὗτοι ἂν τοῖς ἔργοις ὠφελήσαιεν.

Δημοκρά. Μωμεομένων φλαύρων, ὁ ἀγαθὸς οὐ ποιέεται λόγον.

Ὁ φθονέων, ἑωυτὸν ὡς ἐχθρὸν λυπέει.

Σωκράτης τὸν φθόνον εἶπεν, ἕλκος εἶναι τῆς ψυχῆς.

Πλάτωνος. Εἰρήνης δὲ γενομένης, καὶ τῆς πόλεως τιμωμένης, ἦλθεν ἐπ' αὐτὴν, ὃ δὴ φιλεῖ ἐκ τῶν ἀνθρώπων τοῖς εὖ πράττουσι προσπίπτειν. πρῶτον μὲν ζῆλος, ἀπὸ ζήλου δὲ φθόνος.

Βίων ἰδὼν φθονερὸν σφόδρα κεκυφότα, εἶπεν. ἢ τούτῳ μέγα κακὸν συμβέβηκεν, ἢ ἄλλῳ μέγα ἀγαθόν.

Κάτωνος πρεσβυτ. Ἥκιστα φθονεῖσθαι ἔλεγε τοὺς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καὶ μετρίως. οὐ γὰρ ἡμῖν, ἀλλὰ τοῖς περὶ ἡμᾶς φθονοῦσι.

Ἐκ τῶν Νικολάου ἐθῶν. Τελχῖνες ἄνθρωποι ὀνομαζόμενοι τὸ ἀνέκαθεν Κρήτης οἰκήσαντές τε καὶ ἐν Κύπρῳ, μεταναστάντες δὲ εἰς Ῥόδον, καὶ πρῶτοι τὴν νῆσον κατασχόντες, βάσκανοί τε σφόδρα ἦσαν καὶ φθονεροί, τεχνῖται δὲ ὄντες, καὶ τὰ τῶν προτέρων ἔργα μιμησάμενοι, Ἀθηνᾶς Τελχινίας ἄγαλμα πρῶτοι ἱδρύσαντο, ὥσπερ εἴ τις λέγοι Ἀθηνᾶς βασκαίνου.

Δημοκρίτου. Οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο, φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.

Ἀπολλωνίου τῷ ἀδελφῷ. Ἀνὴρ πολλὰ ἔχων χρηστὰ μαθήματα, ἔπειτα γνώμῃ πονηρῇ διαχρεόμενος, καὶ μὴ βουλόμενος τοῖς μεταποιουμένοις ὑπὸ φθόνου μεταδιδόναι, ἔοικεν ἀγγείῳ πονηρῷ πολλὰ, καὶ χρηστὰ ἔχοντι ἐν ἑωυτῷ ἀποκείμενα, καὶ τὰ ἐνεόντα πρὶν φαυλῶσαι διαφθείροντι.

Ξενοφῶν. Φθόνον δὲ σκοπῶν ὅ, τι εἴη, λύπην μέν τινα ἐξηύρισκεν αὐτὸν ὄντα. οὔτε μέντοι τὴν ἐπὶ φίλων ἀτυχίαις, οὔτε τὴν ἐπ' ἐχθρῶν εὐτυχίαις γιγνομένην, ἀλλὰ μόνους ἔφη φθονεῖν τοὺς ἐπὶ ταῖς τῶν φίλων εὐπραξίαις ἀνιωμέ-

Ayuntamiento de Madrid

νοις, θαυμαζόντων δέ τινων, εἴ τις φιλῶν τινα ἐπὶ τῇ εὐπραξίᾳ αὐτοῦ λυποῖτο, ὑπεμίμνησκεν ὅτι, πολλοὶ οὕτω πρός τινας ἔχουσιν, ὥστε κακῶς μὲν πράττοντας, μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν, εὐτυχούντων δὲ, λυπεῖσθαι. τοῦτο μέν τοι φρονίμῳ μὲν ἀνδρὶ οὐκ ἂν συμβαίη, τοὺς ἠλιθίους δὲ πάσχειν αὐτό.

Ὅτι πολιήτης μὲν πολιήτῃ εὖ πρήσσοντι φθονέει, καὶ ἔστι δυσμενὴς τῇ σιγῇ. οὐδ' ἂν συμβουλευομένου τοῦ ἀστοῦ, πολιήτης ἀνὴρ τὰ ἄριστά οἱ δοκέοντα ὑποθέοιτο, εἰ μὴ πρόσω ἀρετῆς ἀνήκοι. σπάνιοι δὲ εἰσὶν οἱ τοιοῦτοι. ξεῖνος δὲ ξείνῳ εὖ πρήσσοντι ἐστὶν εὐμενέστατον πάντων. συμβουλευομένου τε ἂν, συμβουλεύσειε τὰ ἄριστα. — Ἡροδότου ἱστορίων.

Ἀλλὰ μὴν ὁ φθονῶν γε, ἐπὶ κακοῖς τοῖς τῶν πέλας ἡδόμενος ἀναφανήσεται σφόδρα γε. — Πλάτωνος

## ΠΕΡΙ ΠΑΤΡΙΔΟΣ

## ΛΟΓΟΣ ΛΖ'.

Εὐριπίδου.

Εἰκὸς δὲ παντὶ καὶ λόγῳ καὶ μηχανῇ
πατρίδος ἐρῶντας, ἐκπορεῖν σωτηρίαν,
μὴ κάμνε πατρίδα σὴν λαβεῖν πειρώμενος.
Ἡ πατρίς ὡς ἔοικε φίλτατον βροτοῖς.
οὐδ' ὀνομάσαι δύναιμ' ἂν ὡς ἔστι φίλον.
Πολλοῦ γὰρ χρυσοῦ καὶ πλούτου κρείσσων πάτρα
σωφρονιαῖσιν, τὸ δὲ σύντροφον ἀδύ τι θνητοῖς ἐν βίῳ χωρεῖ.
Ἀλλ' ὅμως οἰκτρός τις αἰὼν πατρίδος ἐκλιπεῖν ὅρους.
Τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός,
εἰδ' ἦσθα μὴ κάκιστος, οὔποτ' ἂν πόλιν
τὴν σὴν ἀτίζων τὴν δ' ἂν εὐλόγεις πάτραν.
Ὡς σύ γέ μοι κείνοιτ' ἂν οὐ καλῶς φρονεῖν,
ὅστις πατρῴας γῆς ἀτιμάζων ὅρους
ἄλλην ἐπαινεῖ, καὶ τρόποισιν ἥδεται.
Σὺ δ' ὦ πατρῴα χθὼν ἐμὴ γεννητόρων.
χαῖρε, ἀνδρεῖ γάρ τοι κἂν ὑπερβάλλῃ

κοινοῖς, οὐκ ἔστι τοῦ θρέψαντος ἴδιον πέδον.
Σπάρτην ἔλαχες, κείνην κόσμει.
τὰς δὲ Μυκήνας ἡμεῖς ἰδίᾳ.
Οἴκοι μένειν χρὴ καὶ μένειν ἐλεύθερον,
ἢ μηκέτ' εἶναι τὸν καλῶς εὐδαίμονα.

Σοφοκλέους. Πολλά σε ζηλῶ βίον, κάλλιστα δ' εἶναι
γῆς μὴ πεπείρασαι ξένης.
Μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει.

Θεόγνιδος. Πατρίδα κοσμήσω λιπαρὴν πόλιν.
οὔτ' ἐπὶ δήμῳ τρέψας, οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

Σοφοκλέους. Οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ τοῦτο γιγνώσκων ὅτι,
ἥδ' ἐστὶν ἡ σώζουσα καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς τοὺς λόγους ποιούμεθα,
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν.

Εὐριπίδου. Τί τὸ στέρεσθαι πατρίδος ἢ κακὸν μέγα.
μέγιστον ἔργῳ δ' ἐστὶ μεῖζον ἢ λόγῳ.
τίς ὁ τρόπος αὐτοῦ, τί φυγάσιν τὸ δυσχερές.
ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.

Ὁμήρου. Τεθνάτω, οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης,
αὐτὰρ Ὀδυσσεὺς ἱμείρετο ἧς γαίης καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι.

Εὐριπίδου. Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος, ἠδὲ τοκήων.
Μὴ πρὸ φρονῶν εὖ κοὐ φρονῶν ἀφικόμην.
ἐχθροὺς ἐς ἄνδρας· ἀλλ' ἀναγκαίως ἔχει
πατρίδος ἐρᾶν πάντας, ὃς δ' ἄλλως λέγει,
λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.

Πλάτωνος. Ἢ οὕτως εἶ σοφὸς, ὥστε λέληθέ σε τὸ μητρός τε, καὶ πατρὸς, καὶ τῶν ἄλλων προγόνων ἁπάντων, τιμιώτερον πατρίς· καὶ σεμνότερον καὶ ἁγιώτερον, καὶ ἐν μείζονι μοίρᾳ, καὶ παρὰ θεοῖς, καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ, καὶ μᾶλλον ὑπείκειν, καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν, ἢ πατέρα καὶ μητέρα, καὶ ἢ πείθειν, ἢ ποιεῖν, ἃ ἂν κελεύῃ, καὶ πάσχειν, ἄν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον, ἢ ἀποθανούμενον, ποιητέα ταῦτα· καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχ ὑπεικτέον, οὐδ' ἀναχωρητέον,

Ayuntamiento de Madrid

οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ, καὶ ἐν δικαστηρίῳ, καὶ πανταχοῦ ποιητέον, ὃ ἂν κελεύει ἡ πόλις, καὶ ἡ πατρίς· ἢ καὶ πείθειν αὐτὴν δίκαιον πέφυκε, βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα, οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα.

Πατράσι παῖδας ἐπιζώειν εὐτυχὲς, καὶ χρὴ τοῦτο παρὰ τῆς τύχης αἰτέειν, καὶ τοὺς μετὰ ταῦτα διαδεξομένους, καὶ ὅμως καὶ αὐτῶν ἕκαστοι τάξει τῇ εἰρημένῃ, τοὺς πρὸ ἑωυτῶν διαδεχοίατο, κοινὴ δὲ εὐχὴ δικαιοτάτη αὕτη, ἂν παρὰ πάντων φυλαχθείη ἐπιτηδεία μούνη τοῦ μηκίστου τὴν ἀποδεχομένην ἑκάστοτε, καὶ ἐκτρέφουσαν πάντας πατρίδα, καὶ δοῦσαν τοὺς προηγησαμένους αὐτήν τε καὶ θεῶν τῶν ἐγχωρίων, τὰς καθεστώσας τιμὰς, τῷ πλεῦνι αἰεὶ ὑπερβάλλειν. Εὐσεβίου.

Πυθαγόρας ἐρωτηθεὶς πῶς δεῖ ἀγνωμονούσῃ πατρίδι προσφέρεσθαι, εἶπεν, ὡς μητρί.

Τιμόθεος ὁ τῶν ἀθηναίων στρατηγὸς ἀκούσας τινὸς τῶν συστρατηγούντων αὐτῷ λέγοντος, ἆρά γε τιμόθεε ἡ πατρὶς ἡμῶν χάριτας ἀποδώσει. ἔφη. ἀλλ' ἡμῖν γένοιτο τὰς ἀξίας ἀποδοῦναι.

Οἱ λάκωνες οἱ ἐπὶ τῷ ὑποσχεῖν δίκας ὑπὲρ τῶν κηρύκων ὡς τὸν πέρσην ἐλθόντες· ἀφείθησάν τε καὶ διὰ τὴν ἀρετὴν ἠξίουν αὐτοὺς παρ' αὐτῷ μένειν. καὶ πῶς ἔφασαν ἂν δυναίμεθα τοιαύτην πατρίδα καταλιπεῖν, ὑπὲρ ἧς τοσαύτην ὁδὸν ἤλθομεν ἀποθανούμενοι. Ἐκ τῶν σε-
είνου.

Ἀριστείδης ἐρωτώμενος· τί μάλιστα αὐτὸν ἐν τῇ φυγῇ ἐλύπει τὸ τῆς πατρίδος ὄνειδος ἔφη· καὶ κακῶς ἀκουούσης ἐπὶ τῇ αὐτοῦ φυγῇ.

Σερίφιος· ὀνειδιζόμενος ὑπὸ ἀθηναίων τῇ μικροπολιτείᾳ, ἐμοὶ μὲν ἔφη ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῇ πατρίδι.

Ἡ γυνὴ τῷ ἀριστείδῃ περὶ τὰ πολιτικὰ διατρίβοντι, εἴθε ἔφη, τὰ μὲν ἴδια κοινὰ ἐνόμισας, τὰ δὲ κοινὰ, ἴδια.

Περσῶν τὴν ἑλλάδα λεηλατούντων, καὶ πάντων τῶν ἐγχωρίων συγκεχυμένων, παυσανίας ὁ τῶν λακεδαιμονίων στρατηγὸς, ἀπὸ ξέρξου πεντακόσια τάλαντα χρυσίου λαβὼν, ἔμελλε προδιδόναι τὴν σπάρτην, τῶν δὲ ἐπιστολῶν μεσολαβηθεισῶν, ἡγησίλαος ὁ πατὴρ τοῦ προειρημένου παρὰ τῶν συμβεβηκότων ἀκούσας τὸν υἱὸν μέχρι τοῦ ναοῦ τῆς χαλκιοίκου συνεδίωξεν ἀθηνᾶς, καὶ τὰς θύρας τοῦ τεμένους πλίνθοις ἐμφράξας, μετὰ τῆς γυναικὸς τὴν εἴσοδον ἐφρούρησε. καὶ λιμῷ τὸν προδότην ἀνεῖλεν, ὃν ἡ μήτηρ ἀείρασα ὑπὲρ τοὺς ὅρους ἔρριψεν. Χρυσέρμου ἐν δευτέρᾳ περσικῶν.

Ayuntamiento de Madrid

Δημαράτου.

Τεγεατῶν πρὸς φανέας πόλεμον ἐχόντων, καὶ χρονίου τῆς παρατάξεως ὑπαρχούσης, συνεφώνησε τοῖς δήμοις διδύμους ἀδελφοὺς πέμψαι τοὺς μαχισομένους ὑπὲρ τῆς νίκης, ἀρέσαντος δὲ τοῦ δόγματος, ἔπεμψαν τεγεᾶται μὲν, τοὺς ῥηξιμάχου παῖδας, φανεᾶται δὲ τοὺς δημοστράτου συμβληθείσης τῆς παρατάξεως, ἐφονεύθησαν ἐκ τῶν ῥηξιμάχου, δύο. ὁ δὲ τρίτος τοὔνομα κριτόλαος, στρατηγήματι τῶν ἀντιπάλων περιεγένετο, προσποιητὴν γὰρ σκεψάμενος φυγὴν, καθ' ἕνα τῶν ἐπιδιωκόντων ἀνεῖλε, καὶ ἐγκρατὴς γενόμενος τῆς νίκης, περιχαρὴς πρὸς τοὺς οἰκείους ἔδραμε, πάντων δ' αὐτῷ περιπλοκὰς συμπαθεῖς διδόντων, οὐ συνεχάρη μόνῳ τῷ προειρημένῳ ἡ ἀδελφὴ δημοδίκη, πεφονεύκει γὰρ αὐτῆς τὸν κατηγγυημένον ἄνδρα δημόδικον, ἀναξιοπαθήσας δ' ἐπὶ τούτοις ὁ νέος, τὴν παρθένον ἀποκτείνει, καὶ ὑπὸ τῆς μητρὸς φόνου κριθεὶς, ἀπελύθη τοῦ ἐγκλήματος.

Δημαράτου.

Ἀθηναίων πρὸς εὔμολπον τῶν θρακῶν βασιλέα πόλεμον ἐχόντων, ἐρεχθεὺς ὁ τῆς ἀττικῆς προϊστάμενος, χρησμὸν ἔλαβεν ὅτι νικήσει τοὺς ἐχθροὺς, ἐὰν τὴν πρεσβυτάτην τῶν θυγατέρων περσεφόνῃ θύσῃ περιγενόμενος. ὁ δ' ἐς ἀθήνας θρασυθέᾳ τῇ γυναικὶ τὴν πυθόχρηστον μαντείαν ἀπήγγειλεν, εἶθ' οὕτω τὴν κόρην προσαγαγὼν τοῖς βωμοῖς ἀνεῖλε, καὶ συμβαλὼν τὸν πόλεμον, ἐγκρατὴς ἐγένετο τῆς νίκης.

Ἱεροκλέους

Μετὰ τὸν περὶ θεῶν λόγον, εὐλογώτατόν ἐστιν ὑποθέσθαι, πῶς πατρίδι χρηστέον, ἔστι γὰρ ὡσανεὶ δεύτερός τις θεὸς αὕτη νὴ δία. πρῶτιν καὶ μείζων γονεὺς παρ' ὃ δὴ καὶ ὁ τοὔνομα τὸ πρᾶγμα τιθέμενος, οὐκ ἀφυῶς ἔθετο, παρασχηματίσας μὲν τῷ πατρὶ, θηλυκῶς δ' ἐξενεγκὼν, ἵν' οἷον μῖγμα τυγχάνοι, τῆς τε τοῦ πατρὸς καὶ τῆς μητρῴας. καὶ δὴ οὗτος μὲν ὁ λόγος ὑπαγορεύει πατρίδα τιμᾶν, ἐπίσης τοῖς δυσὶ γονεῦσι τὴν μίαν, ὥστε θατέρους μὲν τῶν γινομένων ὁποτερουοῦν. καὶ δὴ προκρίνειν τὴν πατρίδα, προτιμᾶν δ' αὐτῆς μὴ δ' ἅμα τοὺς δύο, δι' ἴσης δὲ μοίρας ἄγειν, ἀλλ' ἕτερος αὖ λόγος ἐστὶν, ὃς παρακαλεῖ καὶ προτιμᾶν αὐτὴν τῶν γονέων, ἀλλὰ τῶν δυεῖν καὶ οὐ τοι μόνων τούτων, ἀλλὰ καὶ γυναικὸς σὺν αὐτοῖς καὶ τέκνων καὶ φίλων, καὶ ἁπαξαπλῶς μετὰ θεοὺς τῶν ἄλλων ἁπάντων.

Ὥσπερ οὖν ἀνόητος μὲν ὁ τῶν πέντε δακτύλων τὸν ἕνα προκρίνων, εὐλόγιστος δὲ ὁ τοὺς πέντε τοῦ ἑνὸς, ὁ μὲν γὰρ, ἀτιμάζει καὶ τὸν προκείμενον. ὁ δ' ἐν τοῖς πέντε, καὶ τὸν ἕνα περισώζει. τοῦτον δ' αὖ τὸν τρόπον, καὶ ὁ μὲν ἑαυτὸν τῆς πατρίδος πλέον σώζειν βουλόμενος, πρὸς τῷ δρᾶν ἀθέμιτα, καὶ ἄλλως ἀνόητος ἱμείρων ἀδυνάτων, ὁ δὲ ἑαυτοῦ προτιμῶν τὴν πατρίδα, θεο-

Ayuntamiento de Madrid

φιλῆς τε καὶ τοῖς λογισμοῖς ἀραρώς. εἴρηται δ' ὅμως, ὡς κἂν εἰ μὴ συναριθμῶν τις τῷ συστήματι, κατ' ἰδίαν δὲ ἐξετάζοιτο, καθήκειν τῆς ἑαυτοῦ σωτηρίας τὴν τοῦ συστήματος προκρίνειν, ὅτι τὴν ὡς πολίτου σωτηρίαν ἀνύπαρκτον ἀπέφηνεν ἡ τῆς πόλεως ἀπώλεια, καθάπερ καὶ τὴν ὡς δακτύλου, ὡς μέρους χειρὸς, ἡ τῆς χειρὸς ἀναίρεσις. καὶ δὴ κατὰ τούτων ἡμῖν συγκεφαλαιώσθω· διότι χρὴ τὸ κοινὸν, ἢ συμφέρον τοῦ μὴ ἰδίᾳ χωρίζειν, ἀλλ' ἓν ἡγεῖσθαι καὶ ταυτὸν, τό, τε γὰρ τῇ πατρίδι συμφέρον, κοινόν ἐστι, καὶ τῶν κατὰ μέρος ἑκάστῳ, τὸ γὰρ ὅλον δίχα τῶν μερῶν ἔστιν οὐδὲν, τό, τε τὸ πολίτῃ συμφέρον, προσήκει καὶ τῇ πόλει, ἐάν γε ὡς συμφέρον πολίτῃ λαμβάνηται, καὶ γὰρ τῷ χορευτῇ ὡς χορευτῇ, λυσιτελὲς, καὶ τῷ ὅλῳ κερδαλέον ἂν εἴη, τοῦτον οὖν τὸν λόγον ἐνθέμενοι πάντα ταῖς διανοίαις, πολὺ φῶς ἕξομεν ἐν τοῖς κατὰ μέρος, ὥστε ἐν μηδενὶ παραλιπεῖν καιρῷ τὸ πρὸς τὴν πατρίδα καθῆκον.

Ὧν οὕνεκά φημι δεῖν ἀποικονομεῖσθαι πᾶν καὶ πάθος καὶ νόσημα τῆς ἑαυτοῦ ψυχῆς τὸν πατρίδι χρησόμενον καλῶς, δεῖ δὲ καὶ τοὺς νόμους τῆς πατρίδος καθάπερ τινὰς θεοὺς δευτέρους συντηρεῖν ἄλλον τελειότητα κατὰ τὴν τούτου ὑφήγησιν. κἂν εἰ παραβαίνειν τις ἄλλους. ἢ νεωχμοῖς ἐπιχειρῶν σπουδῇ πᾶσι κωλύοντα καὶ πάντα τρόπον ἐναντιούμενον, οὐ γὰρ ἀγαθὸν ἐπιτήδευμα πόλει. δι' ἀτιμίας ἀγόμενοι νόμοι. καὶ τὰ νέα ἀποκρινόμενα τῶν παλαιῶν. ὅθεν καὶ τῶν ψηφισμάτων, καὶ τῆς παραθέρμου ταύτης καινουργίας εἰρκτέον τοὺς αὐθαδέστερον ἐπὶ τοῦτ' ἰόντας. ἀποδέχομαι δ' οὖν ἔγωγε, καὶ τὸν τῶν Λοκρῶν νομοθέτην Ζάλευκον. ὃς ἐνομοθέτησε τὸν καινὸν εἰσοίσοντα νόμον. βρόχου περικειμένου τῷ τραχήλῳ τοῦτο ποιεῖν, ὡς ὁ καρὴς οἴχοιτο πνιγεὶς, εἰ μὴ μάλα σφόδρα λυσιτελῶς τῷ κοινῷ παραδιατάττοιτο, τὴν ἐξ ἀρχῆς τῆς πολιτείας κατάστασιν. οὐδὲν δ' ἧττον τῶν νόμων καὶ τὰ ἔθη φυλακτέον τά γε ὄντως πάτρια καὶ τάχα που πρεσβύτερα καὶ τῶν νόμων ἄλλων. εἰ τά τε χθιζὰ ταῦτα καὶ πρωϊζὰ τὰ νῦν εἰς ἅπασαν εἰσηγμένα πόλιν. οὔτε πάτρια ἡγητέον, καὶ τάχ' οὐδὲ ἔθη τὸ σύνολον. εἶτα τὸ μὲν ἔθος ἄγραφός τις εἶναι βούλεται νόμος, καλὸν ἐπιγεγραμμένος νομοθέτην, τὴν τῶν χρωμένων ἁπάντων συναρέστησιν, ἴσως δέ που καὶ τοῖς φύσει δικαίοις ἐπιβάλλων.

## ΠΕΡΙ ΞΕΝΗΣ ΛΟΓΟΣ ΛΗ'.

Εὐριπίδου

Πατρὶς καλῶς πράσσουσα τὸν εὐτυχοῦντ' ἀεὶ
μείζω τίθησι, δυστυχοῦντα δ' ἀσθενῆ.
ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

Ἐκ τῶν πλουτάρχου περὶ φυγῆς.

Ὅθεν εὖ μὲν ὁ ἡρακλῆς εἶπεν ἐρωτηθείς· ἀργεῖος εἶ, ἢ θηβαῖος, οὐ γὰρ εὔχομαι μιᾶς ἅπας μοι πύργος ἑλλήνων πατρίς. ἀλλ' ἡμᾶς ὥσπερ μύρμηκες ἢ μέλιτται, μυρμηκιᾶς μιᾶς, ἢ κυψέλης ἐκπεσόντες, ἀδημονοῦμεν, οὐκ εἰδότες οὐδὲ μεμαθηκότες οἰκεῖα τὰ πάντα ποιεῖσθαι, καὶ νομίζειν ὥσπερ ἔστιν. εἶτα ἐὰν ἀμφιγνοῶμεν ἐπὶ ξένης γενόμενοι, τὴν γῆν, τὴν θάλατταν, τὸν ἀέρα, τὸν οὐρανὸν, ὡς ἕτερα καὶ διαφέροντα τῶν συνήθων, ἡ μὲν γὰρ φύσις, ἐλευθέρους ἡμᾶς καὶ λελυμένους ἀφίησιν, αὐτοὶ δὲ ἡμεῖς συνδέομεν ἑαυτοὺς, στενοχωροῦμεν, πλοῦτον δὲ ἀποβάλλοντα ῥᾳδίως καὶ ταχέως, οὐκ ἔστιν ἄλλον συναγαγεῖν, πατρὶς δὲ γίνεται πᾶσα πόλις εὐθὺς ἀνθρώπῳ χρῆσθαι μεμαθηκότι, ἂν γὰρ σκοπῇς ἀπὸ κενῆς δόξης τὴν ἀλήθειαν, ὁμοίαν πόλιν ἔχων, ξένος ἐστὶ τῶν ἄλλων ἁπασῶν καὶ ἀλλότριος. ἀριστοτέλης ἦν ἐκ σταγείρων· θεόφραστος, ἐξ ἐρεσίου· στράτων, ἐκ λαμψάκου· γλαύκων δὲ, ἐκ τρωάδος· ἀρίστων, ἐκ κωπεοῦ· τούτοις ἐδίδαξεν οὐδεὶς, ἀλλ' αὐτοὶ διώκοντες ἡσυχίαν καὶ σπουδὴν, ἧς οὐ πάνυ μέτεστιν οἴκοι τοῖς ἐπὶ τινοῦν δόξαν ἢ δύναμιν ἔχουσι, τὰ μὲν ἄλλα λόγοις, τοῦτο δὲ ἡμᾶς ἔργῳ διδάσκουσι, καὶ γὰρ νῦν οἱ δοκιμώτατοι καὶ κράτιστοι ζῶσιν ἐπὶ ξένοις, οὐ μετασταθέντες, ἀλλὰ μεταστάντες.

Τὸ δὲ ἀμαθέστατον ἡ ψυχὴ φεύγει καὶ πλανᾶται, θείοις ἐλαυνομένη δόγμασι καὶ νόμοις, εἶτα ὥσπερ ἐν νήσῳ σάλον ἐχούσῃ, καθάπερ φησὶν ὁ πλάτων ὀστρέου τρόπον δεδεμένη τῷ σώματι, διὰ τὸ μὴ ἀναφέρειν μηδὲ μνημονεύειν, ἐξ οἵης τιμῆς τε καὶ ὅσου μήκεος ὄλβου μεθέστηκεν, οὐ σάρδεων ἀθήνας, οὐδὲ κορίνθου λῆμνον, ἀλλ' οὐρανοῦ καὶ σελήνης γῆν ἀμειψαμένη, καὶ τὸν ἐπὶ γῆς βίον. ἂν μικρὸν δὲ ἐνταῦθα τόπον ἐκ τόπου παραλλάξῃ, δυσανασχετεῖ καὶ ξενοπαθεῖ, καθάπερ φυτὸν ἀγεννὲς ἀπομαραινομένη. καίτοι φυτῷ μὲν, ἐστί τις χώρα μᾶλλον ἑτέρας ἑτέρα πρόσφορος, ἐν ᾗ

τρέφεται

Ayuntamiento de Madrid

φέρεται, καὶ βλαστάνει βέλτιον, ἀνθρώπου δὲ οὐδεὶς ἀφαιρεῖται τόπος εὐδαιμονίαν, ὥσπερ οὐδὲ ἀρετὴν, οὐδὲ φρόνησιν.

Ξενιτείη βίου αὐτάρκειαν διδάσκει, μᾶζα γὰρ καὶ στιβὰς, λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα. Δημοκρίτου.

Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατὴ, ψυχῆς γὰρ ἀγαθῆς, πατρὶς ὁ ξύμπας κόσμος.

Μήποτε πρὸς μὲν τὸν οἰόμενον ἀλογιστοτέρους τὴν φυγὴν ποιεῖν, ὀρθῶς ἂν παραβάλλοιτο τὰ ἤδη τῶν τεχνῶν. ὅτι ὃν τρόπον οὐδὲν αὐλεῖν, οὐδὲ ὑποκρίνεσθαι χεῖρον ἐστὶν ἤδη ξένης ὄντα, οὕτως οὐδὲ βουλεύεσθαι. πρὸς δὲ τὸν κατ᾽ ἄλλο τι ἡγούμενον τὴν φυγὴν βλαβερὸν εἶναι, μὴ οὐδὲν λέγητε πρὸς τὸ τοῦ Στίλπωνος, ὃ καὶ πρώην εἴποντι λέγειν φησί. καὶ τίνων ἡ φυγὴ, ποίων ἀγαθῶν στερίσκει τῶν περὶ ψυχὴν, ἢ τῶν περὶ τὸ σῶμα, ἢ τῶν ἐκτός. εὐλογιστίας; ὀρθοπραγίας; εὐπραγίας; ἡ φυγὴ στερίσκει; οὐ δῆ. ἀλλὰ μὴ ἀνδρείας, ἢ δικαιοσύνης, ἢ ἄλλης τινὸς ἀρετῆς; οὐδὲ τοῦτο. ἀλλὰ μὴ τῶν περὶ τὸ σῶμά τινος ἀγαθῶν, ἢ οὐχ ὁμοίως ἐστὶν ἤδη ξένης ὄντα ὑγιαίνειν, καὶ ἰσχύειν, καὶ ὀξὺ ὁρᾷν, καὶ ὀξὺ ἀκούειν, ἐνίοτε δὲ μᾶλλον ἐν τῇ ἰδίᾳ μένοντα. καὶ μάλα. ἀλλὰ μὴ τῶν ἐκτὸς στερίσκει ἡ φυγὴ, ἢ οὐ πολλοῖς ὤφθη τὰ πράγματα κατὰ τὴν τοιούτων ὕπαρξιν ἤδη φανέστερα γεγονότων φυγάδων γινομένων, ἢ οὐ Φοῖνιξ ἐκ Δολοπίας ἐκπεσὼν ὑπὸ Ἀμύντορος εἰς Θεσσαλίαν φεύγει, φθίαν γὰρ ἐξικόμην καί μ᾽ ἀφνειὸν ἔθηκε. πολὺν δέ μοι ὤπασε λαόν. Θεμιστοκλῆς ἐκεῖνος ὦ παῖ ἀπωλόμεθα, νῦν δὲ πολλὴ τῶν τοιούτων ἀφθονία. ποίων οὖν ἀγαθῶν ἡ φυγὴ στερίσκει, ἢ τίνος κακοῦ παραιτία ἐστίν. ἐγὼ γὰρ οὐχ ὁρῶ, ἀλλ᾽ ἡμεῖς πολλαχοῦ αὐτὰς κατορύττομεν, καὶ φυγάδες γινόμενοι καὶ ἐν τῇ ἰδίᾳ μένοντες, οὐκ ἄρχουσι φησιν; οὐ πιστεύονται; οὐ παρρησίαν ἔχουσιν; ἔνιοι δὲ καὶ φρουροῦσι τὰς πόλεις, παρὰ βασιλεῦσι καὶ ἔθνη πιστεύονται, καὶ δωρεὰς μεγάλας, καὶ συντάξεις λαμβάνουσι. Λυκῖνος ἐκεῖνος, οὐ παρ᾽ ἡμῖν ἐφρούρει φυγὰς ὢν ἐκ τῆς Ἰταλίας, πιστευόμενος παρ᾽ Ἀντιγόνῳ. καὶ τὸ προσταττόμενον ἐποιοῦμεν Λυκίνῳ ἡμεῖς ἐν τῇ ἰδίᾳ μένοντες; Ἱππομέδων ὁ Λακεδαιμόνιος ὁ νῦν ἐπὶ Θρᾴκης καθεσταμένος ὑπὸ Πτολεμαίου Χρεμωνίδης καὶ Γλαύκων οἱ Ἀθηναῖοι, οὐ πάρεδροι καὶ σύμβουλοι, ἵνα μὴ τὰ παλαιά σοι λέγω, ἀλλὰ τὰ καθ᾽ ἡμᾶς, καὶ τὸ τελευταῖον οὐκ ἤδη στόλου τηλικούτου ἐξαπεστάλη, καὶ χρημάτων τοσούτων πιστευόμενος, καὶ τὴν ἐξουσίαν ἔχων ὡς βούλοιτο χρῆσθαι, ἀλλ᾽ ἔν γε τῇ ἰδίᾳ οὐκ ἄρχουσιν οἱ φυγάδες, οἱ δὲ γὰρ αἱ γυναῖκες οἴκοι μένουσαι, οὐδ᾽ οἱ παῖδες, οὐδὲ τὰ μειράκια ταυτὶ, οὐδ᾽ οἱ ἔξωροι τῇ ἡλικίᾳ, ἀλλὰ

Τέλητος περὶ φυγῆς



Ayuntamiento de Madrid

μήτι δυσχερὲς αὐτοῖς εἴη ὠδυνῶντο ἐπὶ τούτῳ, οὐκ ἂν ἦσαν βάκηλοι; τί δὲ καὶ διαφέρει ἄρχειν ἢ ἰδιωτεύειν· ἢ πολλῶν, ἢ ὀλίγων, καὶ ἡβώντων βασιλεύσας. ἐγὼ δὲ ὀλίγων καὶ ἀνήβων παιδαγωγὸς γινόμενος, καὶ τὸ τελευταῖον ἐμαυτοῦ, τῇ γὰρ αὐτῇ ἐμπειρίᾳ χρώμενον, καὶ τοὺς πολλοὺς καὶ τὸν ἕνα, καὶ δημοσιεύοντα, καὶ κατοικίας ἐργολαβοῦντα, καὶ ἐπὶ ξένης ὄντα, καὶ ἐν τῇ ἰδίᾳ μένοντα, καὶ κατὰ τὴν αὑτοῦ εὐβουλίαν καὶ τῇ ἀρχῇ καλῶς, καὶ τῇ ἰδιωτείᾳ ἐστὶ χρῆσθαι. τί οὖν διοίσει μοι, εἰ μὴ ἄρξω, ἀλλὰ ἰδιωτεύσω, ἀλλ᾽ οὐδὲ ἐξουσίαν ἔξεστιν εἰσελθεῖν εἰς τὴν ἰδίαν, οὐδὲ γὰρ νῦν εἰς τὸ Θεσμοφόρειον ἐξουσίαν ἔχω, οὐδὲ γυναῖκες εἰς τὸ τοῦ ἐνυαλίου, οὐδ᾽ εἰς τὰ ἄβατα ἔξομεν. ἀλλὰ εἰ ἐπὶ τούτῳ ἄχθοιτό τις, οὐκ ἂν παιδαριώδης εἴη; οὐδὲ εἰς τὸ γυμνάσιον ἐνίοτε ἐξουσίαν ἔχω. ἀλλ᾽ ἀπελθὼν εἰς τὸ βαλανεῖον ἠλειψάμην τῇ αὐτῇ παλαιστρικῇ χρώμενος. ἢ καὶ πρὸ τοῦ ἐν τῷ γυμνασίῳ, οὕτω καὶ δεῦρο ἄβατον ἡγησάμενος τὴν ἰδίαν, μεταβὰς, ἀλλαχοῦ κατοικῶ. οὐκ ἔσω ἀκλήρημά τι καὶ ὄνειδος ἐμόν, εἰ μὴ μετὰ πονηρῶν οἰκήσω. δύναμαι δὲ μεταβὰς ὥσπερ ἐξ ἑτέρας νεὼς εἰς ἑτέραν ὁμοίως εὐπλοεῖν. οὕτως ἐξ ἑτέρας πόλεως εἰς ἑτέραν πόλιν ὁμοίως εὐδαιμονεῖν, ἢ ἐμὸν ὄνειδος. ἀλλὰ οὐ τῶν ἐμὲ ἐκβαλλόντων ἐπιεικῆ καὶ δίκαιον ὄντα. οὐκ ἀηδῶς Φιλήμων ἤσαν ἴσμεν. ὁ γάρ ποτε αὐτοῦ καὶ ἀπηλλαχότος ἀστείως συναντῶντές τινες, ὡς εὐημέρηκας, ἔφασαν Φιλῆμον. ἡμεῖς μὲν οὖν φησιν οἴεσθε οὕτω τεθεαμένοι. ἐγὼ μὲν γὰρ ἀεὶ ἀγαθὸς ὢν διατελῶ. τί οὖν ὑποχειρόνων φυγαδεύεσθαι. οὐ παροινία; σύ δ᾽ ἂν ἐβούλου φησὶν ὑπὸ καλῶν καὶ ἀγαθῶν; ἢ οὐχ οὕτω μὲν σὸν ἔγκλημα, οὐθένα γὰρ ἀγνωμόνως, καὶ ἀδίκως ἄνδρες ἀγαθοὶ φυγαδεύουσιν, οὐ γὰρ ἂν ἦσαν δίκαιοι· παρευδοκιμεῖσθαι οὖν ὑπὸ τῶν τοιούτων καὶ χειροτονίᾳ καὶ ψήφῳ οὐκ ὄνειδος; οὐ σόν γε, ἀλλὰ τῶν τούτοις χειροτονούντων, καὶ ψηφοφορούντων, ὥσπερ εἰ τὸν ἄριστον ἰατρὸν ἀφέντες, φαρμακοπώλην εἵλοντο, καὶ τούτῳ τὸ δημόσιον ἔργον ἐνεχείρισαν, πότερ᾽ ἂν τοῦ ἰατροῦ εἴη τις ἂν ὄνειδος, καὶ ἀκλήρημα τοῦτο, ἢ τῶν ἑλομένων, ἀλλὰ τοῦτό γε εὑρεθῆναι τὴν πατρίδα μοχθηρὰν καὶ ἀχάριστον οὖσαν, εἰς ἣν πολλά τις ἐπόνησε. πῶς οὐκ ἀκλήρημα, καὶ πῶς ἂν εἴη τοῦτο ἀκλήρημα. ἀλλ᾽ οὐκ ἤδη εἰπεῖν εὐκλήρημα, τὸ γνῶναι ποῖά τις πρότερον μὴ εἰδότα. ἀλλ᾽ εἰ μὲν τὴν γυναῖκα ᾔσθου πονηρὰν καὶ ἐπίβουλον οὖσαν, πρότερον μὴ εἰδὼς ἂν ἔχοις χάριν, καὶ εἰ τὸν οἰκέτην δραπέτην, καὶ κλέπτην, ἵνα φυλάττῃ. εἰ δὲ τὴν πατρίδα πονηρὰν καὶ ἀχάριστον ᾔσθου, ἀκληρεῖν ἡγῇ σύ. ἀλλ᾽ οὐ χάριν ἔχεις. ἀλλ᾽ ὅμως μέγα σοι δοκεῖ τὸ ἐν ᾗ ἐγένετό τις, καὶ ἐτράφη ἐν ταύτῃ καταγενέσθαι. πότερον καὶ

Ayuntamiento de Madrid

ἐν οἰκίᾳ ἐν ᾗ ἐτράφης καὶ ἐγένου ἐν ταύτῃ καταγενέσθαι κἂν ᾖ σαπρὰ,
καὶ ῥέουσα, καὶ καταπίπτουσα, καὶ ἐν νηὶ ἐν ᾗ ἐγένου, καὶ ἐκ παιδίου ἔ-
πλεις, ἐνταῦθα κἂν ἀκάτιοι· οὐ δεῖ καπηλατοῦντα ἀπορρήγνυσθαι δέοι,
εἰς τὴν ἀκόσορον μεταβάντες ἀσφαλῶς καὶ ἀκόπως. καὶ ὀνειδίζουσί με, ὅτι
κύπριος ὁ μυκώνιος. ὅμως δὲ μέγα τί φασι, τὸ, ἐν ᾗ ἐγένετό τις, καὶ τρά-
φῃ ἐν ταύτῃ καταβιῶναι· καὶ τὰς πλείους μὲν ἐξώλεις τῶν πόλεων, καὶ
τοὺς ἐνοικοῦντας ἀσεβεῖς, μέγα δὲ καὶ προσυνὲς τὴν πατρίδα, ὥσπερ καὶ
αὐλὴ, ἀλλὰ καὶ ὅτι μέτοικος. ὀνειδίζουσι δὲ πολλοὶ λέγοντες μέτοικε. σὺ
δ' εὐγενὴς ὢν τήνδε δουλώσας ἔχεις. καὶ κάδμον μὲν τὸν κτίσην θηβῶν θαυ-
μάζει. ἐμὲ δὲ εἰ μὴ πολίτης, ὀνειδίζει καὶ ἡρακλέα μὲν ὡς ἄριστον ἄνδρα
γεγονότα ἐπαινοῦμεν. τὸν δὲ, μέτοικον εἶναι, ὄνειδος ἡγούμεθα. ἡρακλῆς
δ' ἐξ ἄργους ἐκπεσὼν, θήβας κατῴκει. λακεδαιμόνιοι δὲ οὐδὲν τῶν τοι-
ούτων ὄνειδος ἡγοῦνται. ἀλλὰ τὸν μὲν μετασχόντα τῆς ἀγωγῆς καὶ ἐμ-
μείναντα, κἂν ξένος κἂν ἐξείλωτος, ὁμοίως τοῖς ἀρίστοις τιμῶσι. τὸν δὲ μὴ
ἐμμείναντα κἂν ἐξ αὐτοῦ τοῦ βασιλέως, εἰς τοὺς εἵλωτας ἀποστέλλουσι, καὶ
τῆς πολιτείας ὁ τοιοῦτος οὐ μετέχει. ἀλλὰ τό γε ἐν τῇ ἰδίᾳ μὴ ἐξεῖναι τα-
φῆναι, πῶς οὐκ ὄνειδος, καὶ πῶς μέλλει τοῦτο ὄνειδος εἶναι, ὃ τοῖς ἀρί-
στοις πολλάκις συνέβη. ἢ τίς τιμὴ αὕτη, ἥτις τοῖς κακίστοις περιγίνεται. καὶ
σωκράτην μὲν ἐπαινοῦσιν, ὅταν ἐπιλαμβανόμενος ἀθηναίων λέγῃ. οἱ μὲν
γὰρ στρατηγοὶ ἐφ' οἷς καλλωπίζονται, ὑπερόριοι τεθαμμένοι εἰσὶ, τὰ δὲ ὀ-
νείδη τῆς δημοκρατίας ἐν τοῖς δημοσίοις τάφοις. ὁμοίως δὲ καὶ τὸ μὲν
ἐπὶ ξένης ταφῆναι ὄνειδος, τὸ δ' ἐν τοῖς δημοσίοις τάφοις, τίμιον. ὅτι δὲ καὶ
διαφέρειν αὖ δόξῃ ἐπὶ ξένης ταφῆναι, ἢ ἐν τῇ ἰδίᾳ, οὐκ ἀηδῶς γάρ τις τῶν
τῶν ἀττικῶν φυγάδων, λοιδορουμένου τινὸς αὐτῷ, καὶ λέγοντος, ἀλλ' οὐ-
δὲ ταφήσῃ ἐν τῇ ἰδίᾳ, ἀλλ' ὥσπερ οἱ ἀσεβεῖς ἀθηναίων ἐν τῇ μεγαρικῇ. ὥς-
περ μὲν οὖν οἱ εὐσεβεῖς μεγαρέων ἐν τῇ μεγαρικῇ. τί γὰρ τὸ διάφορον, ἢ οὐ
πανταχόθεν φησὶν ὁ ἀρίστιππος ἴση καὶ ὁμοία ἡ εἰς ᾅδου ὁδὸς, ἢ τὴν ἀρ-
χὴν εἰ μὴ ταφήσῃ, τί σοι μέλει, ἀλλ' ἡ περὶ ταφῆς ἄγνοιά φησιν ὁ βίων,
πολλὰς ῥαψῳδίας ἐποίησεν. ὥσπερ καὶ ὁ πολυνείκης ἐντέλλεται. θά-
» ψον δὲ μ' ὦ τεκοῦσα, καὶ σὺ σύγγονε ἐν τῇ πατρῴᾳ, καὶ πόλιν θυμουμέ-
» νην παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω χθονὸς πατρῴας, κεἰ δόμους ἀπώ-
λεσα. εἰ δὲ μὴ τύχῃς χθονὸς πατρῴας. ἀλλ' ἐπὶ ξένης ταφήσῃ, τί ἔσται τὸ διά-
φορον. ἢ ἐκ θηβῶν μὲν εἰς ᾅδου ὁ χάρων πορθμεύει, καὶ γῆς φίλης ὄχθοισι
κρυφθεὶ καὶ τάφῳ. εἰ δὲ μὴ κρυφθείης, ἀλλὰ ἄταφος. τί τὸ δυσχερὲς, ἢ



Ayuntamiento de Madrid

τί διαφέρει, ὑπὸ πυρὸς κατακαυθῆναι, ἢ ὑπὸ κυνὸς καταβρωθῆναι, ἢ
ἐπάνω τῆς γῆς ὄντα ὑπὸ κοράκων, ἢ κατορυχθέντα ὑπὸ σκωλήκων. συναρ-
μόσον δέ μου βλέφαρα τῇ σῇ χειρὶ μήτηρ. ἂν δὲ μὴ συναρμόσῃς, ἀλλὰ
βλέπων καὶ κεχηνὼς ἀποθάνῃς, τί ἔσται τὸ χαλεπὸν, ἢ καὶ τῶν ἐν τῇ θαλάττῃ,
καὶ ἐν τοῖς πολέμοις ἀποθνησκόντων συναρμόζει τίς. ἀλλ' ἔμοιγε δοκεῖ
ταῦτα παιδιά τις ἡμετέρα εἶναι. καὶ ἡμᾶς μὲν καὶ ἰδεῖν καὶ ἅψασθαι ὀκνοῦμεν.
οἱ δὲ σκελετεύσαντες ἔνδον ἔχουσιν ὡς καλόν τι, καὶ ἐνέχυρα τοὺς νεκροὺς
λαμβάνουσιν, οὕτως ἀντίσπασται τῶν ἡμετέρων ὁ ἐκείνων τύπος.

Σουσωνίου ἐκ τοῦ ὅτι οὐ κακὸν ἡ φυγή.

φυγάδος δέ τινος ὀδυρομένου ὅτι φεύγει, οὕτω πῶς παρεμυθήσατο αὐτόν.
φυγὴν γὰρ ἔφη. πῶς ἄν τις μὴ ἀνόητος ὢν βαρύνοιτο. ἥτις ὕδατος μὲν καὶ
γῆς καὶ ἀέρος, ἔτι δὲ ἡλίου, καὶ τῶν ἄλλων ἄστρων, οὐκ ἀπείργει ἡμᾶς οὐ-
δαμῶς, ἀλλ' οὐδὲ ἀνθρώπων ὁμιλίας, ἁπανταχῇ γὰρ καὶ πάντῃ τούτων με-
τουσία ἐστίν. εἰ δὲ μέρους τῆς γῆς τινὸς ἀφαιρούμεθα, καί τινων ἀνθρώπων
συνουσίας, τί τοῦτο δεινόν. οὐδὲ γὰρ οἴκοι ὄντες, ἁπάσῃ τῇ γῇ ἐχρώμεθα, οὐ-
δὲ ἀνθρώποις ἅπασι συνῆμεν. τοῖς μέντοι φίλοις, καὶ νῦν συνεῖμεν ἄν, τοῖς
γε ἀληθινοῖς, καὶ ὧν προσήκει ποιεῖσθαί τινα λόγον, οὐ γὰρ ἂν οὗτοι προδοῖεν
ποτὲ ἡμᾶς, οὐδὲ ἐγκαταλίποιεν, εἰ δὲ τινὲς πλαστοὶ καὶ οὐκ ἀληθινοὶ φίλοι
εἰσὶ, τούτων ἀπηλλάχθαι κρεῖττον, ἢ συνεῖναι αὐτοῖς. τί δ' οὐχὶ κοινὴ πατρὶς
ἀνθρώπων ἁπάντων ὁ κόσμος ἐστὶν, ὥσπερ ἠξίου σωκράτης; ὥστε οὐ φεύγειν
τήν γε ἀληθείᾳ τὴν πατρίδα νομιστέον ἂν ἀπέλθῃς ἐντεῦθεν, ἔνθα ἔφυς τε,
καὶ ἐτράφης. πόλεως δὲ μόνον ἐστερῆσθαί τινος, ἄλλως τε κἂν ἄξιός τις εἶ-
ναι ἐπιεικὴς, ὁ γὰρ τοιοῦτος, χωρίον μὲν οὐδὲν οὔτε τιμᾷ, οὔτ' ἀτιμάζει οὕ-
τως ὡς εὐδαιμονίας αἴτιον, αὐτὸς δὲ ἐν αὐτῷ τίθεται τὸ πᾶν, καὶ νομί-
ζει εἶναι πολίτης τῆς τοῦ διὸς πόλεως, ἣ συνέστηκεν ἐξ ἀνθρώπων καὶ θεῶν.
» σύμφωνα δὲ τούτοις λέγει, καὶ εὐριπίδης ἐν οἷς φησιν, ἅπας μὲν ἀὴρ, ἀετῷ
» περάσιμος. ἅπασα δὲ χθὼν, ἀνδρὶ γενναίῳ πατρίς. ὥσπερ οὖν εἴ τις ἐν πα-
» τρίδι ὢν, καὶ ἑτέραν οἰκίαν οἰκῶν, οὐκ ἐν ᾗ ἐτέχθη δεινοπαθοίη, διὰ τοῦτο καὶ
ὀδύροιτο μάταιος ἂν εἴη καὶ καταγέλαστος, οὕτω καὶ ὅστις ἑτέραν πόλιν
οἰκῶν, οὐκ ἐν ᾗ τυγχάνει γεγονὼς συμφορὰν ἡγεῖται ὁ τοιοῦτος, δικαίως
ἂν ἄφρων νομίζοιτο καὶ ἀνόητος. καὶ μὴν πρός γε τὴν ἐπιμέλειαν τὴν ἑαυ-
τῶν καὶ πρὸς κτῆσιν ἀρετῆς, πῶς ἂν τὸ φεύγειν ἐνίσταιτο, ὁπότε γε μήτε
μαθήσεως μήτε ἀσκήσεως, καὶ ὧν χρὴ εἴργεταί τις διὰ τὴν φυγήν. πῶς
μὲν οὐκ ἂν ἡ φυγὴ καὶ συνεργοίη πρὸς τὸ τοιοῦτον, παρέχουσά γε σχολὴν,
καὶ ἐξουσίαν τοῦ μανθάνειν τε τὰ καλὰ, καὶ πράττειν μᾶλλον ἢ πρότερον.

ἅτε

Ayuntamiento de Madrid

ἅτε μήθ' ὑπὸ πατρίδος τῆς δεούσης περιειλημμένοις εἰς ὑπηρεσίας πολιτικάς, μήτε ὑπὸ φίλων τῶν δοκούντων, ἢ συγγενῶν ἐνοχλουμένοις, οἵ περ εὖ ἐμποδίσαι δεινοὶ καὶ ἀνασπάσαι τῆς ἐπὶ τὰ κρείττω ὁρμῆς. ἤδη δέ τισι καὶ παντάπασι τὸ φεύγειν συνήνεγκεν, ὥσπερ Διογένει, ὃς ἐκ μὲν ἰδιώτου, φιλόσοφος ἐγένετο φυγὼν, ἀντὶ δὲ τοῦ καθῆσθαι εἰς Σινώπην, διέτριψεν ἐν τῇ Ἑλλάδι, ἀσκήσει δὲ τῇ πρὸς ἀρετὴν, τῶν φιλοσόφων διήνεγκεν, ἄλλοις δέ γε κακῶς τὰ σώματα διακειμένοις ὑπὸ μαλακίας καὶ τρυφῆς, ἔρρωσεν ἡ φυγὴ, βιασθεῖσιν ἀνδρικώτερον διαιτᾶσθαι. καὶ ἴσμεν τινὰς χρονίων νοσημάτων ἐν τῷ φεύγειν ἀπολυθέντας, ὥσπερ ἀμέλει Σπαρτιατικὸς οὗτος ὁ Λακεδαιμόνιος, ὃς ἀπὸ πολλοῦ ἔχων τὸ πλευρὸν κακῶς, κἀκ τούτου πολλάκις νοσῶν, διὰ τὴν φυγὴν ἐπειδὴ ἐπαύσατο τρυφῶν, ἐπαύσατο καὶ νοσηλευόμενος. ἄλλους δέ γε τῶν ἁβροδιαίτων ποδάγρας ἀπολυθῆναί φασι, πάνυ δὴ καταπονουμένους πρότερον ὑπὸ τούτου τοῦ πάθους, ὡς ἡ φυγὴ σκληρότερον διαιτᾶσθαι συνεθίσασα, κατ' ἄλλο τι ὑγιεῖς γενέσθαι παρεσκεύασεν. οὕτως ἄρα τὸ διακεῖσθαι κρεῖττον ἑαυτοὺς ἑαυτῶν καὶ σῶμα καὶ ψυχὴν συνεργεῖ μᾶλλον, ἢ ἀντιπράττει ἡ φυγή. ἀλλ' οὐδ' ἀπορεῖν τῶν ἀναγκαίων πάντων ὑπάρχει τοῖς φεύγουσιν, ὅσοι μὲν γὰρ ἀργοὶ καὶ ἀμήχανοι, καὶ οὐκ οἷοί τε ἀνδρίζεσθαι, οὗτοι μὲν κἂν τῇ πατρίδι ὄντες, ἀποροῦσιν ὡς τὸ πολὺ καὶ ἀμηχανοῦσιν, οἱ δὲ γεννικοὶ, καὶ φιλόπονοι καὶ συνετοὶ κἂν ὁποίποτε ἔλθωσιν, εὐποροῦσι καὶ διάγουσιν ἀνενδεῶς, καὶ γὰρ, οὐδὲ δεόμεθα πολλῶν.
» ἂν μὴ βουλόμεθα τρυφᾶν, ἐπεί τι δεῖ βροτοῖσι, πλὴν δυοῖν μόνων. Δήμη-
» τρος ἀκτῆς πώματός θ' ὑδροχόου, ἅπερ πάρεστι καὶ πέφυχ' ἡμᾶς τρέφειν.
ἐγὼ δὲ τούς γε λόγου ἀξίους ἄνδρας, οὐ τῶν ἀναγκαιοτάτων μόνον πρὸς τὸν βίον ῥᾳδίως ἂν εὐπορεῖν ἔξω τῆς οἰκίας ὄντας, ἀλλὰ καὶ πολλὰ περιποιήσασθαι χρήματα πολλάκις. ὁ γοῦν Ὀδυσσεὺς, παντὸς φυγάδος ὡς ἄν τις εἴποι ἀθλιώτερον διακείμενος, καὶ μόνος ὢν καὶ γυμνὸς, καὶ ναυαγὸς, ὅμως ἀφικόμενος εἰς ἀνθρώπους ἀγνῶτας τοὺς Φαίακας, ἐδυνήθη χρηματίσασθαι ἀφθόνως. Θεμιστοκλῆς δὲ ἐπεὶ ἔφυγεν οἴκοθεν, οὐ παρὰ μὴ φίλοις μόνον, ἀλλὰ καὶ παρὰ πολεμίοις καὶ βαρβάροις ἐλθὼν τοὺς Πέρσας, τρεῖς ἔλαβε πόλεις δῶρον· Μυοῦντα, καὶ Μαγνησίαν, καὶ Λάμψακον, ὥστε ἀπὸ τούτων βιοῦν, Δίων δὲ ὁ Συρακούσιος, ἀφαιρεθεὶς ὑπὸ Διονυσίου τοῦ τυράννου, τὴν οὐσίαν πᾶσαν ὅτ' ἐξέπιπτε τῆς πατρίδος, οὕτως ἐν τῇ φυγῇ χρημάτων εὐπόρησεν, ὥστε καὶ ξενικὸν θρέψαι στράτευμα, μεθ' οὗ ἦλθεν ἐπὶ Σικελίαν, καὶ ἐλευθέρωσεν αὐτὴν ἀπὸ τοῦ τυράννου. τίς ἂν οὖν εὖ φρο-



Ayuntamiento de Madrid

νῶν· εἰς ταῦτ᾽ ἀφορῶν ἔπι τὴν φυγὴν ἀπειρείας αἰτίαν εἶναι πᾶσι τοῖς φεύγουσιν ὑπολαμβάνοι. ἀλλ᾽ οὐδὲ κακοδοξεῖν πάντως ἀνάγκη τοὺς φυγόντας διὰ τὴν φυγήν, γνωρίμου τε πᾶσιν ὄντος, ὅτι καὶ δίκαι πολλαὶ δικάζονται κακῶς, καὶ ἐκβάλλονται πολλοὶ τῆς πατρίδος ἀδίκως, καὶ ὅτι ἤδη τινὲς ἄνδρες ἀγαθοὶ ὄντες, ἐξηλάθησαν ὑπὸ τῶν πολιτῶν, ὥσπερ ἀθήνηθεν μὲν ἀριστείδης ὁ δίκαιος, ἐξ ἐφέσου δὲ, ἑρμόδωρος· ἐφ᾽ ᾧ καὶ ἡράκλειτος ὅτι ἔφυγεν, ἡβηδὸν ἐκέλευεν ἐφεσίους ἀπάγξασθαι. ἔνιοι δέ γε καὶ ἐνδοξότατοι φεύγοντες ἐγένοντο, καθάπερ διογένης ὁ σινωπεύς, καὶ κλέαρχος ὁ λακεδαιμόνιος, ὁ μετὰ ξέρξου στρατεύσας ἐπ᾽ ἀρταξέρξην, καὶ ἄλλους αὖ τις ἔχοι βουλόμενος λέγειν πολλούς. καί τοι πῶς ἂν εἴη τοῦτο κακοδοξίας αἴτιον. ἐν ᾧ τινες ἐνδοξότεροι γεγόνασιν, ἢ πρότερον ἦσαν. νὴ δί᾽ ἀλλ᾽ εὐριπίδης φησὶν, ἐλευθερίας στέρεσθαι τοὺς φυγάδας, ἐπεὶ καὶ παρρησίας, πεποίηκε γὰρ τὴν μὲν ἰοκάστην πυνθανομένην πολυνείκους τοῦ υἱέος· τίνα δυσχερῆ τῷ φεύγοντί ἐστιν. ὁ δ᾽ ἀποκρίνεται· ὅτι ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν. ἡ δ᾽ αὖ πρὸς αὐτὸν, δούλου τόδ᾽ εἶπας μὴ λέγειν ἅ τις φρονεῖ. ἐγὼ δὲ φαίην ἂν πρὸς τὸν εὐριπίδην, ὅτι ὦ εὐριπίδη, τοῦτο μὲν ὀρθῶς ὑπολαμβάνεις, ὡς δούλου ἐστὶν, ἃ φρονεῖ μὴ λέγειν, ὅταν γε δέῃ λέγειν, οὐ γὰρ ἀεὶ καὶ πανταχοῦ καὶ πρὸς ὁντινοῦν λεκτέον ἃ φρονοῦμεν, ἐκεῖνο δὲ, οὔ μοι δοκεῖς εἰρηκέναι, τὸ μὴ μετεῖναι τοῖς φεύγουσι παρρησίας, εἴπερ παρρησία σοι δοκεῖ τὸ μὴ σιγᾶν, ἃ φρονῶν τυγχάνει τίς, οὐ γάρ οἱ φεύγοντες ὀκνοῦσι λέγειν, ἃ φρονοῦσιν, ἀλλ᾽ οἱ δεδιότες, μὴ ἐκ τοῦ εἰπεῖν γένηται αὐτοῖς πόνος, ἢ θάνατος, ἢ ζημία, ἤ τι τοιοῦτον ἕτερον, τοῦτο δὲ τὸ δέος καὶ δειλία, οὐχ ἡ φυγὴ ποιεῖ, πολλοῖς γὰρ ὑπάρχει καὶ τῶν ἐν τῇ πατρίδι ὄντων, μᾶλλον δὲ τοῖς πλείστοις τὰ δοκοῦντα δεινὰ δεδιέναι, ὁ δὲ ἀνδρεῖος, οὐδὲν ἧττον φυγὰς ὢν, ἤπερ οἴκοι θαρρεῖ πρὸς ἅπαντα τὰ τοιαῦτα, διὸ καὶ λέγει ἃ φρονεῖ θαρρῶν οὐδὲν μᾶλλον, ἢ ὅταν ᾖ μὴ φυγάς, ὅταν φεύγων τύχῃ. ταῦτα μὲν πρὸς εὐριπίδην εἴποι τις ἄν, σὺ δ᾽ εἰπέ μοι ὦ ἑταῖρε. ὅτε διογένης φεύγων ἦν ἀθήνησιν, ἢ ὅτε πραθεὶς ὑπὸ τῶν λῃστῶν ἦλθεν εἰς κόρινθον, ἆρα τότε πλείω παρρησίαν ἄλλος τις ἐπεδείξατο διογένους, ἢ ἀθηναῖος, ἢ κορίνθιος; τί δ᾽ ἐλευθεριώτερος ἄλλος τίς, ἢ διογένης τῶν τότε ἀνθρώπων ἦν; ὃς καὶ ξενιάδου τοῦ πριαμένου αὐτὸν, ὡς δεσπότης δούλου ἦρχε. καὶ τί δεῖ τὰ πολλὰ λέγειν. ἀλλ᾽ ἐγώ σοι οὐ δοκῶ εἶναι φυγάς; ἆρ᾽ οὖν ἐστέρημαι παρρησίας; ἆρα ἀφῄρημαι τὴν ἐξουσίαν τοῦ ἃ φρονῶ λέγειν; ἤδη δέ με εἶδες ἢ σὺ ἢ ἕτερος ὑποπτήσσοντα τινά ὅτι φεύγω; ἢ χεῖρον ἔχειν τὰ πράγματα νομίζοντα νῦν, ἢ πρότερον; ἀλλ᾽ οὐδὲ μὰ δία

λυπούμενον ἢ ἀθυμοῦντα διὰ τὴν φυγὴν φαίης ἂν ἑωρακέναι με. καὶ γὰρ εἰ τὴν πατρίδα τίς ἡμᾶς ἀφῄρηται, τό γε δύνασθαι φέρειν φυγὴν οὐκ ἀφῄρηται, οἷς δὴ λογισμοῖς χρῶμαι πρὸς ἐμαυτὸν, ὥστε μὴ ἄχθεσθαι, τούτοις καὶ πρὸς σὲ εἴποιμι. δοκεῖ μοι ἡ φυγὴ στερίσκειν μὲν ἀνθρώπων οὐ πάντως. οὐδ᾽ ὧν οἱ πολλοὶ νομίζουσιν ἀγαθῶν, καθάπερ ἄρτι ἐδείκνυον. εἰ δ᾽ οὖν καὶ στερίσκοι ἤ τινος, ἢ πάντων τούτων, τῶν γε ἀληθῶς ἀγαθῶν οὐ στερίσκει, οὔτε γὰρ ἀνδρείαν, ἢ δικαιοσύνην ὁ φεύγων ἔχειν κωλύεται, διὸ φεύγει, οὔτε σωφροσύνην, ἢ φρόνησιν, οὐδ᾽ ἀρετὴν ἄλλην ἡντινοῦν, αἳ παροῦσαί τε κοσμεῖν καὶ ὠφελεῖν πεφύκασι τὸν ἄνθρωπον, καὶ ἐπαινετὸν ἀποφαίνειν καὶ εὐκλεῆ. ἀποῦσαί τε βλάπτειν καὶ καταισχύνειν, κακὸν ἀποφαίνουσαι καὶ ἀκλεῆ. τούτων δὲ ταύτῃ ἐχόντων, εἰ μὲν ἀγαθὸς εἶ οὗτος, καὶ τὰς ἀρετὰς ἔχεις, οὐκ ἄν σε βλάπτῃ ἡ φυγὴ, οὐδ᾽ ἂν ταπεινώῃ, παρόντος γε τοῦ ὠφελεῖν καὶ ἐπαίρειν μάλιστα δυναμένου. εἰ δὲ τυγχάνεις κακὸς ὢν, ἡ κακία σε βλάπτει καὶ οὐχ ἡ φυγὴ, καὶ τήν γε λύπην ἡ κακία σοι ἐπάγει οὐχ ἡ φυγή. διὸ ταύτης ἀπολυθῆναι δεῖ σε σπεύδειν μᾶλλον, ἢ τῆς φυγῆς. ταῦτα καὶ πρὸς ἐμαυτὸν ἔλεγον ἀεὶ, καὶ νῦν πρὸς σὲ λέγω. σὺ δ᾽ ἂν σωφρονῇς, οὐ τὴν φυγὴν δεινὸν ἡγήσῃ εἶναι ἥν γε φέρουσιν ἕτεροι εὐπετῶς, τὴν δὲ κακίαν, ἧς ἐνούσης, ἄθλιος πᾶς, ὅστις ἂν ἔχοι αὐτήν, καὶ γὰρ δυοῖν ἀνάγκη τὸ ἕτερον, ἢ ἀδίκως, ἢ δικαίως σε φεύγειν. εἰ μὲν δὴ δικαίως, πῶς ποτε ὀρθὸν ἢ προσῆκον, ἄχθεσθαι τοῖς δικαίοις. εἰ δ᾽ ἀδίκως τῶν ἐλασάντων, τοῦτ᾽ ἂν εἴη κακὸν οὐχ ἡμέτερον, εἴπερ νὴ Δία τὸ μὲν ἀδικεῖν, θεομισέστατόν ἐστιν, ὅπερ ἐν ἐκείνοις συμβέβηκε. τὸ δ᾽ ἀδικεῖσθαι, ὅπερ συμβέβηκεν ἡμῖν, καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις τοῖς ἐπιεικέσιν, ἐπιμελείας ἀλλ᾽ οὐχὶ μίσους ἄξιον εἶναι ὑπείληπται.

## ΠΕΡΙ ΑΠΟΡΡΗΤΩΝ

## ΛΟΓΟΣ ΛΘ΄.

Ἴστω δὲ μηδεὶς ταῦθ᾽ ἃ σιγᾶσθαι χρεών. Εὐριπίδου.
μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας
πρήσειεν ἄν τις, κἂν πρὸς ἕνα εἴποις ποτὲ
πύθοιντ᾽ ἂν ἀστοὶ πάντες, ἃ κρύπτειν χρεών.

Ὅστις λόγους γὰρ παρακαταθήκην λαβὼν, Ἀναξάνδ.



Ayuntamiento de Madrid

ἄδικός ἐστιν, ἢ ἀκρατὴς ἄγαν. ὁ μὲν διὰ κέρδος, ἄδικος.
ὁ δὲ τούτου δίχα, ἀκρατής. ἴσον δ' ἐστὶν ἀμφότεροι κακοῦ.

Σοφοκλ. Μ ή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος.
κλεῖθρον γὰρ οὐδὲν, ὡς δ' ἂν εὐπετὲς λάβοις.

Γ λώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται.

Μ ὴ πάντ' ἐρεύνα, πολλὰ καὶ λαλεῖν κακόν.

Σ ωκράτης ἔλεγεν, ὅτι ῥᾷον αὐτῆς διάπυρον ἄνθρακα
ἐπὶ τῆς γλώττης κατέχοι, ἢ λόγον ἀπόρρητον.

Ε ὐριπίδης ὀνειδίζοντος αὐτῷ τινός. ὅτι τὸ στόμα δυσῶδες ἦν, πολλὰ γὰρ εἶπεν
αὐτῷ ἀπόρρητα ἐγκατεσάπη.

Α ριστοτέλης ἐρωτηθεὶς, τί δυσκολώτατόν ἐστιν ἐν τῷ βίῳ.
εἶπε. τὸ σιωπᾶν, ἃ μὴ δεῖ λαλεῖν.

Πυθαγόρου Α ἔσω συνετοῖς, θύρας δ' ἐπίθεσθαι βέβηλοι.

Ἰσοκράτ. Μ ᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας,
δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας, τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρε-
χομένους.

## ΠΕΡΙ ΔΙΑΒΟΛΗΣ.

## ΛΟΓΟΣ Μ΄.

Μενάνδρου Ο Υ δεῖ διαβολῆς καταφρονεῖν, οὐδ' ἂν σφόδρα ᾖ ψευδής, ἐπίσταιτ' αὐ-
ξάνειν ἄλλην τινὸς δι' οὓς φυλάττεσθαι τὰ τοιαῦτ' ὀρθῶς ἔχειν.

Κλεάνθους Κ ακουργότερον οὐδὲν διαβολῆς ἐστι πω. λάθρα γὰρ ἀπατήσασα τὸν πεπει-
σμένον, μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.

Εὐριπίδου Α ναξ. διαβολαὶ, δεινὸν ἀνθρώποις κακόν.
εὐγλωσσία δὲ πολλάκις ληφθεὶς ἀνὴρ,
δίκαια λέξας, ἧσσον εὐγλώσσου φέρει.

Μενάνδρου Ο ὐδὲν διαβολῆς ἐστιν ἐπιπονώτερον.
τὴν ἑτέρου γὰρ κειμένην ἁμαρτίαν,
ἀεὶ μέμψιν ἰδίαν ἄλλον ἐπάναγκες λαβεῖν.

Τ ὸ δοκεῖν, διαβολὴν ἔχει μείζω τοῦ ποιεῖν.

Ο στις δὲ διαβολαῖσι πείθεται ταχὺ,

ἤτοι

Ayuntamiento de Madrid

ἤτοι πονηρὸς αὐτός ἐστι τοὺς τρόπους,
ἢ παντάπασι παιδαρείον γνώμην ἔχει.

Εὐλαβοῦ τὰς διαβολὰς κἂν ψευδεῖς ὦσιν, οἱ γὰρ πολλοί, τὴν μὲν ἀλήθειαν, ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσι. Ἰσοκράτους.

Διαβολὴ καιρῷ μὲν ἰσχυρὰν ἐργάζεται τοῖς ἀκούουσι τὴν ὑπόληψιν, χρόνῳ δὲ, πάντων ἀσθενεστέρα γίνεται. Δημοσθένους.

Διαβολὰς ἐν σώφρων οὔτε λέγειν πρὸς ἀλλήλους, οὔτε ἀκούοντας ἀποδέχεσθαι. Θουκυδίδου.

Ἱππίας φησὶν ὅτι δεινόν ἐστιν ἡ διαβολία, οὕτως ὀνομάζων ὅτι οὐδὲ τιμωρία τίς κατ᾽ αὐτῶν γέγραπται ἐν τοῖς νόμοις, ὥσπερ τῶν κλεπτῶν. καί τι ἄριστον ὂν κτῆμα τὴν φιλίαν κλέπτουσιν, ὥστε ἡ ὕβρις κακοῦργος οὖσα, δικαιοτέρα ἐστὶ τῆς διαβολῆς, διὰ τὸ ἀφανὴς εἶναι. Πλουτάρχου.

Πολλοὶ γοῦν ἤδη μείζω κακὰ πεπόνθασιν ὑπὸ τῶν διαβολῶν, ἢ τῶν πολεμίων. καὶ πολλοὶ ἤδη μείζω ἠδίκηνται, ὑπὸ τῆς τῶν ὤτων ἀσθενείας, ἢ ὑπὸ τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς. Ῥηγίνου.

Ἀρξόμεθα δὲ, ἀπὸ τοῦ μάλιστα ὠφελοῦντος οἰκίαν εἴη δ᾽ ἂν τοῦτο ἐπιτίμησις διαβολῆς, διαβολὴ γὰρ κακὸν καὶ ἐπιβουλότατον. Δίωνος.

Πελοπίδας. ἀνδρείου στρατιώτου διαβληθέντος αὐτῷ, ὡς βλασφημήσαντος αὐτόν, ἐγὼ τὰ μὲν ἔργα ἔφη αὐτοῦ βλέπω, τῶν δὲ λόγων, οὐκ ἤκουσα.

Διαβολὰς ἄνδρα τοιοῦτον εἰς προκλήσεις αἰσχράς, τὸ γὰρ ἔλεγξον καὶ τὸ, προσταχθείς, ταῦτα πάντα ἔρρωται μέν, τὸ δ᾽ ἀνδρὸς ἀρετῇ πρέπον οὐκ ἔχει. Φιλοκτήτου.

Τὸ νικᾶν τὰ τοιαῦτα, φέρει τινὰ αἰσχύνην τοῖς διαβληθεῖσιν, ἃ μὴ δὲ δοκεῖν ἔδει.

Διαβολὴ γάρ ἐστι δεινότατον. ἐν τῇ, δύο μέν εἰσιν οἱ ἀδικέοντες. εἷς δὲ ὁ ἀδικεόμενος, ὁ μὲν γὰρ διαβάλλων ἀδικέει, οὐ παρεόντι κατηγορέων, ὁ δὲ ἀδικέει ἀναπειθόμενος, πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ. ὁ δὲ δὴ ἀπεὼν τοῦ λόγου, τάδε ἐν αὐτοῖς ἀδικέεται, διαβληθείς τε ὑπὸ τοῦ ἑτέρου, καὶ νομισθεὶς πρὸς τοῦ ἑτέρου κακὸς εἶναι. Ἡροδότου.

Ayuntamiento de Madrid

## ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ

## ΛΟΓΟΣ. μα΄.

Εὐριπίδου. Εἰ γὰρ λαβὼν ἕκαστος ὅ,τι δύναιτό τις
χρηστὸν διέλθοι, τοῦτο κ᾽ εἰς κοινὸν φέροι
πατρίδι, κακῶς ἂν αἱ πόλεις ἐλασσόνων
πειρώμεναι, τὸ λοιπὸν εὐτυχοῖεν ἄν.
Ἐν τοῖσι μωροῖς τοῦτ᾽ ἐγὼ κρίνω βροτῶν,
ὅστις τῶν πατέρων παισὶ μὴ φρονοῦσιν εὖ,
ἢ καὶ πολίταις παραδίδως ἐξουσίαν.
ναῦν τοι μι᾽ ἄγκυρ᾽ οὐδαμῶς σώζειν φιλεῖ,
ὡς τρεῖς ἀφέντι· προστάτης θ᾽ ἁπλοῦς πόλει
σφαλερός, ὑπὼν δὲ καὶ ἄλλος οὐ κακὸν πόλει.

Σοφοκλέους. Οὐ γάρ ποτ᾽ ἂν γένοιτ᾽ ἂν ἀσφαλὴς πόλις,
ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα,
λάγδην πατεῖται, κατίλος δ᾽ ἀνὴρ λαβὼν
πανοῦργα χεροῖν κέντρα κηδεύει πόλιν.

Κ οὐκ οἶδ᾽ ὅ,τι χρὴ πρὸς ταῦτα λέγειν
ὅταν οἵ τ᾽ ἀγαθοὶ πρὸς τῶν ἀγεννῶν κατανικῶνται,
ποία πόλις ἂν τάδ᾽ ἐνέγκοι.

Ὅπου δὲ μὴ τὰ ῥᾶστα ἐλευθέρως λέγειν
ἔξεστι, νικᾷ δ᾽ ἐν πόλει τὰ χείρονα,
ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν.

Βίωνος βουκολικά. Μὴ δὲ λίπης μ᾽ ἀγέραστον ἐπὴν χὼ Φοῖβος ἀείδειν
μισθὸν ἔδωκε, τιμᾷ δὲ τὰ πράγματα κρέσσονα ποιεῖ.

Εὐπόλιδος. Κ αἲ μὴν ἐγὼ πολλῶν παρόντων, οὐκ ἔχω τί λέξω,
οὕτω σφόδρ᾽ ἀλγῶ τὴν πολιτείαν ὁρῶν
παρ᾽ ἡμῖν, ἡμεῖς γὰρ οὐχ οὕτω πως ᾠκοῦμεν

Ayuntamiento de Madrid

ὦ γέροντες, ἀλλ᾽ ἦσαν ἡμῖν τῇ πόλει,
πρῶτον μὲν οἱ στρατηγοὶ ἐκ τῶν μεγίστων
οἰκιῶν, πλούτῳ, γένει τε πρῶτοι.
οἷς ὥσπερεὶ θεοῖσιν ηὐχόμεσθα.
καὶ γὰρ ἦσαν, ὥστ᾽ ἀσφαλῶς ἐπράττομεν.
νῦν δ᾽ ὅποι τύχοιμεν στρατευόμεθ᾽,
αἱρούμενοι καθάρματα στρατηγούς.

Τρεῖς γὰρ πολιτῶν μερίδες· οἱ μὲν ὄλβιοι — Εὐριπίδου.
ἀνωφελεῖς τε, πλειόνων τ᾽ ἔρως ἀεί.
οἱ δ᾽ οὐκ ἔχοντες καὶ σπανίζοντες βίου,
δεινοὶ νέμοντες τῷ φθόνῳ πλεῖον μέρος,
ἐς τοὺς ἔχοντας κέντρ᾽ ἀφιᾶσι κακὰ
γλώσσῃ, πονηρῶν προστατῶν φηλούμενοι.
τριῶν δὲ μοιρῶν, ἡ μέση σώζει πόλιν.
κόσμον φυλάσσουσ᾽ ὅντιν᾽ ἂν δόξῃ πόλει.

Ὅπου γὰρ οἱ φυλάσσοντες ἡσσῶνται τέκνων, — Σοφοκλέ.
οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις.

Δεινὴ πόλις νοσοῦσ᾽ ἀνευρίσκειν κακά. — Εὐριπίδου.

Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον,
χρὴ γὰρ τύχας μὲν τὰς μάτην πλανωμένας
μηδὲν δύνασθαι, τἀμφανῆ δ᾽ ὑψηλ᾽ ἄγειν,
ὅστις κατ᾽ ἰσχὺν πρῶτος ὠνομάζετο,
ἢ τόξα πάλλων, ἢ μάχῃ δορὸς σθένων,
τούτων τυραννεῖν τῶν κακιόνων ἐχρῆν.

Καίτοι κακοῦ πρὸς ἀνδρὸς ἄνδρα δημότην,
μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν,
οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν ἐν πόλει νόμοι καλῶς
φέρειν τ᾽ ἄν, ἔνθα μὴ παρεστήκει δέος,
οὔτ᾽ ἂν στρατός τε σωφρόνως ἔχοιτ᾽ ἔτι,
μηδὲν φόβου πρόβλημα μηδ᾽ αἰδοῦς ἔχων.

Τρία γάρ ἐστι δέσποτα δι᾽ ὧν ἅπαντα γίνεται, ἢ κατὰ νόμους, ἢ τοῖς ἀνάγκαις, ἢ τρίτον ἔθει τινί. — Μενάνδρου

Ἀλλ᾽ οὔποτ᾽ αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν — Εὐριπίδου.
παραινέσαι μ᾽ ἂν παισὶ προσθεῖναι κράτη,

Ayuntamiento de Madrid

πρὶν ἂν κατ' ὄσσων τυγχάνῃ μὲ καὶ σκότος,
ἃ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον.

Σοφοκλέους. Ὅπου δ' ὑβρίζειν, δρᾶν θ' ἃ βούλεται παρῇ,
ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
ἐξ οὐρίας δραμοῦσαν, ἐς βυθὸν πεσεῖν,
ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον.
καὶ μὴ δοκῶμεν δρῶντες ἂν ἡδώμεθα,
οὐκ ἀντιτίσειν αὖθις ἂν λυπώμεθα
ἕρπει γὰρ παραλλὰξ ταῦτα·
Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει,
καίτοι σμικροὶ μεγάλων χωρὶς σφαλερὸν πύργου
ῥῦμα πέλονται· μετὰ γὰρ μεγάλων βαιὸς
ἄριστ' ἂν δράσειε, καὶ μέγας ὀρθοῖτο ὑπὸ σμικροτέρων.
ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους τούτων
γνώμας προδιδάσκειν.

Εὐριπίδου. Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνήρ,
μηδὲν φέρηται τῶν κακιόνων πλέον.
Δοκεῖτ' ἂν οἰκεῖν γαῖαν, εἰ πένης ἅπας
λαὸς πολιτεύοιτο πλουσίων ἄτερ,
οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά.
ἀλλ' ἔστι τις σύγκρασις ὥστ' ἔχειν καλῶς,
ἃ μὴ γάρ ἐστι τῷ πένηθ', ὁ πλούσιος
δίδωσιν, ἃ δ' οἱ πλουτοῦντες οὐ κεκτήμεθα,
τοῖσιν πένησι χρώμενοι τιμώμεθα.
Οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ
πόλεμος ἐν ἀστοῖς, ἢν διχοστατῇ πόλις.
Ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίου πέλει.

Μενάνδρου. Κοινὸν ἀγαθόν ἐστι τοῦτο, χρηστὸς εὐτυχῶν.
Τὸ καλῶς ἔχον που κρεῖττόν ἐστι καὶ νόμου.
Νόμοις ἕπεσθαι τοῖς ἐγχωρίοις, καλόν.

Σοφοκλέ. Ἀναρχίας δὲ, μεῖζον οὐκ ἔστι κακόν.

Ἡνιόχου. Ἐγὼ δ' ὄνομα τὸ μὲν καθ' ἑκάστην αὐτίκα λέξω.

Ayuntamiento de Madrid

σὺν ἅπασαι δ' εἰσὶ παντοδαπαὶ πόλεις,
αἳ νῦν ἀνοηταίνουσαι πολὺν ἤδη χρόνον.
τάχ' ἂν τις ὑποκρούσειεν, ὅ, τι ποτ' ἐνθάδε.
νῦν εἰσιν κἂν ἔροιτο παρ' ἐμοῦ πεύσεται,
τὸ χωρίον μὲν γὰρ τὸ δ' ἐστὶ πᾶν κύκλῳ
ὀλυμπία, τὴν δ' εἶδε τὴν σκηνὴν ἐκεῖ
σκηνὴν ὁρᾶν θεωρικὴν νομίζεται.
εἶεν. τί οὖν ἐνταῦθα δρῶσιν αἱ πόλεις.
ἐλευθερία ἀφίκοντο θύσουσαί ποτε,
ὅτε τῶν φόρων ἐγένοντ' ἐλεύθεραι σχεδὸν,
κἄπειτ' ἀπ' ἐκείνης τῆς. θυσίας διέφθορεν
ἄλλας ξενίζουσ' ἡμέραν ἐξ ἡμέρας
ἀβουλία κατέχουσα πολὺν ἤδη χρόνον.
γυναῖκε δ' ἄλλην δύ' ἐπαράττετόν τινε
ἀεὶ συνοῦσαι, δημοκρατία θατέρα
ὄνομ' ἐστὶ, τῇ δ' ἀριστοκρατία θατέρα,
δι' ἃς πεπαρῳνήκασιν ἤδη πολλάκις. Ἀριστοφάνους.
Τῶν πολιτῶν θ' οὓς μὲν ἴσμεν εὐγενεῖς, καὶ σώφρονας
ἄνδρας καὶ δικαίους καὶ καλούς τε κἀγαθοὺς,
καὶ τραφέντας ἐν παλαίστρᾳ, καὶ χοροῖς,
καὶ μουσικῇ, προυσελοῦμεν, τοῖς δὲ χαλκοῖς,
καὶ ξένοις, καὶ πυῤῥίαις, καὶ πονηροῖς κἀκ πονηρῶν,
εἰς ἅπαντα χρώμεθα ὑστάτοις ἀφιγμένοισιν,
οἷσιν ἡ πόλις πρὸ τοῦ, οὐδὲ φαρμακοῖσιν
εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν. ἀλλὰ καὶ νῦν ὦνόητοι
μεταβαλόντες τοὺς τρόπους, χρῆσθε
τοῖς χρηστοῖσιν αὖθις, καὶ κατορθώσασι γὰρ
εὔλογον, κἄν τι σφάλητ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου
ἤ τι καὶ πάσχητε, πάσχειν τῶν σοφῶν δοκήσετε.
Ρ αὗται, τὸ γὰρ συνέχον ἀνθρώπων πόλεις, Εὐριπίδου
τοῦτ' ἔσθ' ὅταν τις τοὺς νόμους σώζῃ καλῶς.
Εἴπερ τὸν ἀδικοῦντα μὲν ὡς ἠμύνετο, Μενάνδρου
ἕκαστος ἡμῶν καὶ συνήγαγεν ἴσως,
νομίζων ἴδιον εἶναι τὸ γεγονὸς ἀδίκημα.

Ayuntamiento de Madrid

καὶ συνέπεσθον ἀλλήλοις πικρῶς.
οὐκ ἂν ἐπὶ πλεῖον τὸ κακὸν ἡμῖν ἤρξατο,
τὸ τῶν πονηρῶν, ἀλλὰ παρατηρούμενοι,
καὶ τυγχάνοντες ἧς ἔδει τιμωρίας,
ἤτοι σπάνιοι σφόδρ' ἂν ἦσαν, ἢ πεπαυμένοι.

Αἰσχίνου. Τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα, καὶ τὰ κοινὰ τὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν.

Δημοκρίτου. Ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων. δύναται δὲ, ὅταν αὐτοὶ βούλωνται πάσχειν, τοῖσι γὰρ πειθομένοισι, τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται.

Στάσις ἐμφύλιος ἐς ἑκάτερα κακὸν, καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁμοίη φθορή.

Αἰσχίνου. Πονηρὰ φύσις μεγάλης ἐξουσίας λαβομένη, μεγάλας ἀπεργάζεται συμφοράς.

Δημοσθένους. Τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι, δεῖ τὸ τῆς πόλεως ἦθος μιμεῖσθαι, καὶ σώζειν ἡμῖν τοὺς τοιούτους ὦ Ἀθηναῖοι προσήκει, καὶ μισεῖν τοὺς, οἷός περ οὗτος. ὡς ἐκεῖνο εἰδόσι μὲν ἴσως, ὅμως δὲ ἐρῶ, ὁποίους τινὰς φαίνησθε ἀγαπῶντες καὶ σώζοντες, τούτοις ὅμοιοι δόξετε εἶναι.

Ξενοφῶντος. Βασιλείας δὲ καὶ τυραννίδας, ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι. διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε, τὴν μὲν γὰρ ἑκόντων τε τῶν ἀνθρώπων καὶ κατὰ τοὺς νόμους τῶν πόλεων ἀρχὴν, βασιλείαν ἡγεῖτο. τὴν δὲ ἀκόντων τε καὶ μὴ κατὰ νόμους, ἀλλ' ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα. καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύτην μὲν τὴν πολιτείαν, ἀριστοκρατίαν ἐνόμιζεν εἶναι· ὅπου δὲ ἐκ τιμημάτων, πλουτοκρατίαν· ὅπου δ' ἐκ πάντων, δημοκρατίαν.

Ἡροδότου. Δηλοῖ δ' οὐ καθ' ἓν μοῦνον, ἀλλὰ πανταχῇ ἡ ἰσηγορίη, ὡς ἔστι χρῆμα σπουδαῖον.

Φιλέει δέ κως προσημαίνειν, εὖτ' ἂν μέλλῃ μεγάλα κακὰ, ἢ πόλει ἢ ἔθνει ἔσεσθαι.

Δημοκρί. Ἀπὸ ὁμονοίης, τὰ μεγάλα ἔργα, καὶ ταῖς πόλεσι τοὺς πολέμους. δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ.

Πολυβίου. Οὐ γὰρ ἀγνοεῖς, ὡς ἐν τοῖς κοινοῖς κἂν τοὐλάχιστόν τις ἀφέληται, ἀφορμὴ τῆς τῶν πλειόνων ἀπωλείας γίνεται.

Ἡ ἐν δημοκρατίῃ πενίη, τῆς παρὰ τοῖς δυνατοῖσι καλεομένης εὐδαιμονίης, τοσοῦτόν ἐστιν αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.

Τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι, ὅκως αὔξεται εὖ. μήτε φιλονεικέοντα παρὰ τὸ ἐπιεικὲς, μήτε ἰσχὺν ἑαυτῷ περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ, πόλις γὰρ εὖ ἀγομένη, μεγίστη ὄρθωσίς ἐστι, καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σωζομένου, πάντα σώζεται, καὶ τούτου φθει-

Ayuntamiento de Madrid

ρομένου, τὰ πάντα διαφθείρεται.

Τοῖς χρηστοῖς οὐ συμφέρον ἀμελέοντας τῶν ἑαυτῶν, ἄλλα πρήσσειν, τὰ γὰρ ἴδια κακῶς ἔχει. εἰ δὲ ἀμελέοιτο τῶν δημοσίων, κακῶς ἀκούειν γίγνεται. καὶ ἢν μηδὲν μήτε κλέπτῃ, μήτε ἀδικῇ, ἐπεὶ καὶ ἀμελέοντι ἢ ἀδικέοντι, κίνδυνος κακῶς ἀκούειν, καὶ δεῖ καὶ παθεῖν τι. ἀνάγκη δὲ ἁμαρτάνειν, συγγνώσκεσθαι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές.

Οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς, ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀκηδέες γίγνονται, καὶ ἀφροσύνης καὶ θράσεος πίμπλανται.

Ὅταν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι, καὶ προτελεῖν τολμέωσι καὶ ὑπουργεῖν καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτείρειν ἔνεστι, καὶ μὴ ἐρήμους εἶναι, καὶ τὸ ἑταίρους γίγνεσθαι, καὶ τὸ ἀμύνειν ἀλλήλοισι, καὶ τοὺς πολίτας ὁμονόους εἶναι, καὶ ἄλλα ἀγαθὰ, ὅσα οὐδεὶς ἂν δύναιτο καταλέξαι.

Τῆς εὐτυχίας τῆς πολιτικῆς ὁμιλίας, κοινὴν εἶναι δεῖ τοῖς ἀξίοις τὴν ἀπόλαυσιν. — Σωκράτους.

Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερὰ, οὐδ' ἐγκαταλείψω τὸν παραστάτην, ὅτῳ ἂν στοιχήσω, ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν, καὶ ὑπὲρ ὁσίων, καὶ μόνος καὶ μετὰ πολλῶν. τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παραδώσω. πλείω δὲ καὶ ἀρείω, ὅσην ἂν παραδέξωμαι, καὶ εὐηκοήσω τῶν ἀεὶ κραινόντων ἐμφρόνως, καὶ τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, καὶ οὕς τινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως. καὶ ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς, ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω, ἀμυνῶ δὲ καὶ μόνος, καὶ μετὰ πάντων, καὶ ἱερὰ τὰ πάτρια τιμήσω. ἵστορες θεοὶ τούτων. — Ὅρκος τῶν ἀθήνησιν ἐφήβων.

Καθόλου δὲ ᾤοντο δεῖν ὑπολαμβάνειν μηδὲν εἶναι μεῖζον κακὸν ἀναρχίας, οὐ γὰρ πεφυκέναι τὸν ἄνθρωπον διασώζεσθαι μηδενὸς ἐπιστατοῦντος, περὶ δὲ ἀρχόντων καὶ ἀρχομένων, οὕτως ἐφρόνουν. τοὺς μὲν γὰρ ἄρχοντας ἔφασκον οὐ μόνον ἐπιστήμονας, οὐ μόνον πειθηνίους, ἀλλὰ καὶ φιλάρχοντας, ἐπιμελητέον δὲ πάσης ἡλικίας ἡγοῦντο, καὶ τοὺς μὲν παῖδας, ἐν γράμμασι καὶ τοῖς ἄλλοις μαθήμασιν ἀσκεῖσθαι, τοὺς δὲ νεανίσκους, τοῖς τῆς πόλεως ἔθεσί τε, καὶ νόμοις γυμνάζεσθαι. τοὺς δὲ ἄνδρας, ταῖς πράξεσί τε καὶ δημοσίαις λειτουργίαις προσέχειν. τοὺς δὲ πρεσβύτας, ἐνθυμήσεσι, καὶ κριτηρίοις, καὶ συμβουλίαις δεῖν ἀναστρέφεσθαι, πάσης ἐπιστήμης ὑπολαμβάνοντες, ὅπως μήτε οἱ παῖδες νηπιάζοιεν, μήτε οἱ νεανίσκοι παιδαριεύοιντο, μήτε ἄνδρες νεανιεύοιντο, μήτε οἱ γέροντες παραφρονοῖεν. δεῖν δὲ ἔφασκον εὐθὺς ἐκ παίδων, καὶ τὴν τροφὴν τεταγμένως προσφέρεσθαι. διδάσκουσαν ὡς ἡ μὲν τάξις, καὶ συμμετρία, αἰσχρά τε καὶ ἀσύμφορα. — Ἀριστοτέλους πυθαγορικῶν ἀποφθεγμάτων.

Ayuntamiento de Madrid

Ξενοφῶντος. Ὅτι μισεῖσθαι μὲν ἀνάγκη τὸν ἄρχοντα ὑπὸ τοῦ ἀρχομένου, ὃ ἰσχύουσιν οἱ πλούσιοι, καὶ ἰσχυροὶ ἐν ταῖς πόλεσιν, ὀλίγιστον χρόνον ἡ ἀρχὴ ἔσται τοῦ δήμου. διὰ ταῦτα τοὺς μὲν χρηστοὺς ἀτιμοῦσι, καὶ χρήματα ἀφαιροῦνται, καὶ ἐξελαύνουσι, καὶ ἀποκτείνουσι, τοὺς δὲ πονηροὺς αὔξουσι.

Δημοκρατίαν δ' ἐγὼ αὐτῷ μὲν τῷ δήμῳ συγγινώσκω, ἑαυτὸν μὲν γὰρ εὖ ποιεῖν, παντὶ συγγνώμη ἐστίν. ὅστις δὲ, μὴ ὢν τοῦ δήμου, εἵλετο ἐν δημοκρατουμένῃ πόλει οἰκεῖν μᾶλλον, ἢ ὀλιγαρχουμένῃ, ἀδικεῖν παρεσκευάσατο, καὶ ἔγνω ὅτι μᾶλλον οἷόν τε διαλαθεῖν κακῷ ὄντι ἐν δημοκρατουμένῃ πόλει, ἢ ἐν ὀλιγαρχουμένῃ.

Δημοσθένους. Ἔστι τοίνυν νὴ Δί' ἔφην ἐγὼ παντοδαπὰ εὑρημένα ταῖς πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα, καὶ τείχη καὶ τάφροι, καὶ τἆλλα ὅσα τοιαῦτα. καὶ ταῦτα μέν ἐστιν ἅπαντα χειροποίητα, καὶ δαπάνης πολλῆς προσδεῖται. ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μέν ἐστιν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους. τί οὖν ἐστι τοῦτο; ἀπιστία. ταύτην φυλάττετε, ταύτης ἀντέχεσθε, ἂν ταύτην σώζητε, οὐδὲν μὴ δεινὸν πάθητε.

Πρὸς μὲν δὴ τὸ μικρὸν, τέλος φήμ' ἔγωγε, ἀλλὰ τὸ ἔθος μέγα. ἔστι δὲ ὁ λόγος, οὐ περὶ τῆς ποσότητος, ἀλλὰ περὶ τοῦ δικαίου, καὶ πρόδηλον ὡς αἰεὶ τὰ πονηρὰ τῶν ἐθῶν, ἄρχεται μὲν ἀπὸ μικρῶν ἀμελούμενα δὲ, ἰσχὺν μείζω λαμβάνει.

Θουκυδίδου. Νῦν δὲ ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν, ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς ἄλλους ἐστίν. ἀνάγκη δὲ ὥσπερ τέχνης ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν, καὶ ἡσυχαζούσῃ μὲν πόλει, τὰ ἀκίνητα, νόμιμα ἄριστα, πρὸς πολλὰ δὲ ἀναγκαζομένοις ἰέναι, πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ.

Ἐκ τοῦ πολυδίκου. Οὐκ εἰδὼς ὅτι πᾶν τὸ νεωτεριζόμενον ἐν ταῖς πολιτείαις, ἀρχὴ δυνάμεως μείζονος γίνεται, ἄνδρας δὲ γεωργοὺς οὐκ ὀξεῖα τῶν κοινῶν ἀδικημάτων ἡ αἴσθησις εἰσέρχεται.

Ὑπὸ γοῦν τοῦ μηδὲν δεινότερα τούτων πάσχοντες, ἠνείχοντο, ἡ δὲ ἡμετέρα ἀρχὴ, χαλεπὴ δοκεῖ εἶναι εἰκότως, τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς ὑπηκόοις.

Αἰσχίνου. Αἱ γὰρ ἴδιαι, ἔχθραι, πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦσι.

Θουκυδίδου. Πάντων δὲ δεινότατον, εἰ βέβαιον ἡμῖν μηδὲν καθέστηκεν, ὧν ἂν δόξῃ πέρι, μηδὲ γνωσόμεθα, ὅτι χείροσι νόμοις, ἀκινήτοις χρωμένη πόλις κρείσσων ἐστὶν, ἢ καλῶς ἔχουσιν ἀκύροις, ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτερον, ἢ δεξιότης μετὰ ἀκολασίας.

Εἴτε

Ayuntamiento de Madrid

δεξιότης μετὰ ἀκολασίας.

Οἱ τε φαυλότατοι τῶν ἀνθρώπων, πρὸς τοὺς ξυνετωτέρους, ὡς ἐπὶ τὸ πλεῖστον ἄμεινον οἰκοῦσι τὰς πόλεις, οἱ μὲν γὰρ, τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι, τῶν τε ἀεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν πολλοῖς μείζοσιν οὐκ ἂν δηλώσαντες τὴν γνώμην, καὶ ἐκ τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις. οἱ δὲ, ἀπιστοῦντες τῇ ἑαυτῶν ξυνέσει, ἀμαθέστεροι μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι, ἀδυνατώτεροι δὲ, τὸν τοῦ καλῶς εἰπόντος μέμψασθαι λόγον, κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου μᾶλλον, ἢ ἀγωνισταὶ, διορθοῦνται τὰ πλείω.

Δημοσθ.

Τοιγάρτοι διεστηκότων εἰς δύο ταῦτα τῶν ἐν ταῖς πόλεσι, τῶν μὲν, εἰς τὸ μήτ᾽ ἄρχειν βίᾳ βούλεσθαι μηδενὸς, μήτε δουλεύειν, ἄλλῳ, ἀλλ᾽ ἐν ἐλευθερίᾳ, καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι, τῶν δ᾽ εἰς τὸ ἄρχειν μὲν τῶν πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ᾽ ὑπακούειν, δι᾽ ὅτου ποτ᾽ ἂν οἴωνται τοῦτο δυνήσεσθαι ποιῆσαι. οἱ τῆς ἐκείνου προαιρέσεως. οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, κεκρατήκασι πανταχοῦ.

Θουκυδίδου.

Νομίζω ὁμοίως ἀγαθὸν πολίτην εἶναι, ὃς ἂν καὶ τοῦ σώματός τι, καὶ τῆς οὐσίας προνοῆται, μάλιστα γὰρ ἂν ὁ τοιοῦτος καὶ τὰ τῆς πόλεως δι᾽ αὑτὸν βούλοιτο ὀρθοῦσθαι.

Αἰσχίνου.

Ὁμολογοῦνται τρεῖς εἶναι πολιτεῖαι ἐν ἅπασιν ἀνθρώποις. τυραννὶς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία, διοικοῦνται δ᾽ αἱ μὲν τυραννίδες, καὶ ὀλιγαρχίαι, τοῖς τρόποις τῶν ἐφεστηκότων. αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι, τοῖς νόμοις τοῖς κειμένοις.

Πλάτωνος

Ἆρ᾽ οὐ μοναρχία τῶν πολιτικῶν ἡμῖν ἀρχῶν ἐστὶ μία; ναί. καὶ μοναρχίαν εἴποι τις ἂν οἶμαι, τὴν ὑπὸ τῶν ὀλίγων δυναστείαν; πῶς δ᾽ οὔ. τρίτον δὲ σχῆμα πολιτείας, οὐχ ἡ τοῦ πλήθους ἀρχὴ, δημοκρατία τοὔνομα κληθεῖσα; καὶ πάνυ γε. τρεῖς δ᾽ οὖσαι, μῶν οὐ πέντε τρόπον τινὰ γίγνονται, δύο ἐξ αὑτῶν ἄλλα πρὸς αὑταῖς ὀνόματα τίκτουσαι, ποῖα δή. πρὸς τὸ βίαιόν που καὶ ἑκούσιον ἀποσκοποῦντες νῦν, καὶ πενίαν, καὶ πλοῦτον, καὶ νόμον, καὶ ἀνομίαν ἐν αὐταῖς γιγνόμενα, διπλῆν ἑκατέραν τοῖν δυοῖν διαιροῦντες, μοναρχίαν μὲν προσαγορεύουσιν, ὡς δύο παρεχομένην ἤδη, δυοῖν ὀνόμασιν. τὸ μὲν τυραννίδι. τὸ δὲ, βασιλικῇ; τί μήν. τὴν δὲ ὑπὸ ὀλίγων γε ἑκάστοτε κρατηθεῖσαν πόλιν, ἀριστοκρατίᾳ, καὶ ὀλιγαρχίᾳ; καὶ πάνυ γε. δημοκρατίᾳ γε μὴν, ἐάν τ᾽ οὖν βιαίως, ἐάν τε ἑκουσίως τῶν τὰς οὐσίας ἐχόντων, τὸ πλῆθος ἄρχῃ, καὶ ἐάν τε τοὺς νόμους ἀκριβῶς φυλάττον, ἐάν τε μὴ, πάντως τοὔνομα οὐδεὶς αὐτῆς εἴωθε μεταλλάττειν; ἀληθῆ.

Τοῦ αὐτοῦ ἐκ τοῦ Κριτίου.

Ἐγὼ δὲ ταῦτα τεκμαιρόμενος, ὅτι Κέκροπός τε καὶ Ἐρεχθέως, καὶ Ἐριχθονίου, καὶ Ἐρυσίχθονος, τῶν τε ἄλλων τὰ πλεῖστα ὅσα      καὶ      Θησέως τῶν

Ο

αὐτῷ περὶ τῶν ὀνομάτων ἑκάστων ἀπομνημονεύεται. τούτων ἐκείνοις τὰ πολλὰ ἐπονομάζοντας, ἐφεξῆς ὅλον τὸν τότε διηγεῖσθαι πόλεμον, καὶ τὰ τῶν γυναικῶν κατὰ ταῦτα, καὶ δὴ καὶ τὸ τῆς θεοῦ σχῆμα καὶ ἄγαλμα, ὡς κοινὰ τότε ἦν τὰ ἐπιτηδεύματα, ταῖς τε γυναιξὶ, καὶ τοῖς ἀνδράσι τὰ περὶ τὸν πόλεμον, οὕτω κατ᾽ ἐκεῖνον τὸν νόμον ὡπλισμένην τὴν θεὸν, ἀνάθημα θεῖναι τοῖς τότε· ἔνδειγμα, ὅτι πάνθ᾽ ὅσα ξύννομα ζῷα θήλεα, καὶ ὅσα ἄρρενα, τὴν προσήκουσαν ἀρετὴν ἑκάστῳ γένει πᾶν κοινῇ δυνατὸν ἐπιτηδεύειν πέφυκε.

Ισοκράτ. Περὶ μὲν οὖν τῶν πολιτειῶν, ἐντεῦθεν γὰρ ὑποθέμενος ἠρξάμην, οἶμαι πᾶσι δηλότατον μὲν εἶναι, τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς, δικαιότατον δὲ τὸ διορθώσασθαι περὶ τούτων, καὶ μὴ τοὺς ἀνομοίους, τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν.

Θουκυδίδου Ἐγὼ δέ φημι πρῶτα μὲν δῆμον ξύμπαν ὠνομάσθαι, ὀλιγαρχίαν δὲ μέρος, ἔπειτα φύλακας μὲν ἀρίστους εἶναι χρημάτων τοὺς πλουσίους, βουλεῦσαι δ᾽ ἂν βέλτιστα τοὺς ξυνετούς, κρῖναι δ᾽ ἂν ἀκούσαντας ἄριστα τοὺς πολλοὺς, καὶ ταῦτα ὁμοίως καὶ κατὰ μέρη, καὶ ξύμπαντα ἐν δημοκρατίᾳ ἰσομοιρεῖ, ὀλιγαρχία δὲ τῶν μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσι, τῶν δὲ ὠφελίμων, οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ σύμπαν ἀφελομένη ἔχει.

Δημοσθ. Οὐδέ γε μοι δοκεῖ δίκαιον τοῦτ᾽ εἶναι πολίτου, τοιαῦτα πολιτεύμαθ᾽ εὑρίσκειν, ἐξ ὧν ἐγὼ μὲν πρῶτος ὑμῶν ἔσομαι εὐθέως, ὑμεῖς δὲ τῶν ἄλλων ὕστατοι, ἀλλὰ συναυξάνεσθαι δεῖ τὴν πόλιν, τοῖς τῶν ἀγαθῶν πολιτῶν πολιτεύμασι, καὶ τὸ βέλτιστον αἰεὶ μὴ τὸ ῥᾷστον ἅπαντας λέγειν. ἐπ᾽ ἐκείνῳ μὲν γὰρ ἡ φύσις αὐτὴ βαδιεῖται, ἐπὶ τοῦτο δὲ τῷ λόγῳ δεῖ προάγεσθαι διδάσκοντα τὸν ἀγαθὸν πολίτην. ἤν ὑμῶν ἕκαστος ὦ ἄνδρες Ἀθηναῖοι τοῦτο γνῷ καὶ ἴδῃ, ὅτι ἡ καθ᾽ ἡμέραν ῥᾳστώνη καὶ ῥᾳθυμία, ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω καὶ ταῖς πόλεσιν, οὐκ εὐθέως, ἀλλ᾽ ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀπαντᾷ.

Ὥσπερ τοίνυν ἑνὸς ἡμῶν ἑκάστου τις εἰσὶ γονεῖς, οὕτω συμπάσης τῆς πόλεως κοινοὺς δεῖ τοὺς γονέας τοὺς σύμπαντας ἡγεῖσθαι, καὶ προσήκειν τούτοις, οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι, ἀλλ᾽ εἰ καὶ μηδὲν ἦν τούτων ἄλλοθεν σκοπεῖν, ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται.

Δεῖ γὰρ ὦ ἄνδρες Ἀθηναῖοι δικαίως ἀλλήλοις τῆς πολιτείας κοινωνεῖν, τοὺς μὲν εὐπόρους, εἰς μὲν τὸν βίον τὸν ἑαυτῶν, ἀσφαλῶς ἔχειν νομίζοντας, καὶ ὑπὲρ τούτου μὴ δεδοικότας. εἰς δὲ τοὺς κινδύνους, κοινὰ ὑπὲρ τῆς σωτηρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας, τοὺς δὲ λοιποὺς, τὰ μὲν κοινὰ, κοινὰ νομίζοντας, καὶ μετέχοντας τὸ μέρος· τὰ δὲ ἑκάστου ἴδια τοῦ κεκτημένου, οὕτω καὶ

Ayuntamiento de Madrid

ἢ μικρὰ πόλις, μεγάλη γίγνεται, καὶ μεγάλη σώζεται.

Ανδρὶ δὲ τυράννῳ, ἢ πόλει ἀρχὴν ἐχούσῃ, οὐδὲν ἄλογον ὅτι ξυμφέρον, οὐδ᾽ οἰκεῖον ὅτι μὴ πιστόν, πρὸς ἕκαστα δὲ δεῖ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι. Θουκυδίδου

Ομοίως ἀσφαλές, μαινομένῳ δοῦναι μάχαιραν, καὶ μοχθηρῷ δύναμιν. Ιαμβλίχου

Θεόφραστος ἐρωτηθείς, τί συνέχει τὸν τῶν ἀνθρώπων βίον, ἔφη· εὐεργεσία, καὶ τιμή, καὶ τιμωρία.

Χαρίλλος ὁ βασιλεὺς ἐρωτηθείς, διατί νόμους ὀλίγους ὁ Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο· τοὺς ὀλίγοις χρωμένους νόμοις μὴ δεῖσθαι νόμων.

Εθίζουσι δὲ ἔξω ἐν τῇσι ὁδοῖσι ὧδε λέγοντες· ὡς τὰ μὲν αἰσχρὰ ἀναγκαῖα δέ, ἐν ἀποκρύφῳ ἐστὶ ποιέειν χρεών· τὰ δὲ μὴ αἰσχρά, ἀναφανδόν. Ηροδότου

Εγὼ δ᾽ οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας, καὶ νομίζοντας ἱκανοὺς ἔσεσθαι, τὰ συμφέροντα διδάσκειν τοὺς πολίτας, ἥκιστα γίγνεσθαι βιαίους. εἰδότας ὅτι τῇ μὲν βίᾳ, πρόσεστιν ἔχθραι, καὶ κίνδυνος· διὰ δὲ τοῦ πείθειν, ἀκινδύνως τε καὶ μετὰ φιλίας ταῦτα γίγνεται, οἱ μὲν γὰρ βιασθέντες, ὡς ἀφαιρεθέντες μισοῦσιν, οἱ δὲ πεισθέντες, ὡς κεχαρισμένοι φιλοῦσιν· οὔκουν τῶν φρόνησιν ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων τὰ τοιαῦτα πράττειν ἐστίν, ἀλλὰ μὴν καὶ συμμάχων, ὁ μὲν βιάζεσθαι τολμῶν, δέοιτ᾽ ἂν οὐκ ὀλίγων· ὁ δὲ πείθειν δυνάμενος, οὐδενός, καὶ γὰρ μόνος ἡγοῖτ᾽ ἂν δύνασθαι πείθειν, καὶ φονεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει, τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ᾽ ἂν μᾶλλον, ἢ ζῶντι πειθομένῳ χρῆσθαι. Ξενοφῶντος

Σόλων ἐκείνην εἶπεν ἀρίστην τὴν πόλιν οἰκεῖσθαι, ἐν ᾗ τοὺς ἀγαθοὺς ἄνδρας συμβαίνει τιμᾶσθαι· καὶ τὸ ἐναντίον, ἐν ᾗ τοὺς κακοὺς ἀμύνεσθαι.

Σόλων ἐρωτηθείς· πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν πόλει, εἶπεν, εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις.

Περίανδρος ἐρωτηθείς, διὰ τί οὐκ ἀποτίθεται τὴν ἀρχήν, εἶπεν· ὅτι τῷ κατ᾽ ἀνάγκην ἄρχοντι, καὶ τὸ ἑκουσίως ἀποστῆναι, κίνδυνον φέρει.

Πυθαγόρας εἶπεν, εἰσιέναι εἰς τὰς πόλεις πρῶτον τρυφήν, ἔπειτα κόρον, εἶτα ὕβριν, μετὰ δὲ ταῦτα ὄλεθρον.

Ο αὐτὸς τῶν πόλεων ἐκείνων εἶπεν ἀρίστην, τὴν ἄνδρας ἀγαθοὺς ἔχουσαν.

Ο αὐτὸς τοῦτο ἔφη καθιστάναι ἄρχοντας, οἵτινες ἐκ παίδων καλῶς ἤχθησαν. καὶ εἰς ἡλικίαν ἐλθόντες, μὴ γεγόνασι προδόται τῆς αὐτῶν ἡλικίας, λήμματος χάριν.

Πολιτεία γάρ, ἀναστροφὴ αὐτῶν ἐστί· καλὴ μέν, ἀγαθῶν· μὴ καλὴ δὲ κακῶν. Πλάτωνος

Κἀκεῖνο ἐκλογίσασθε· ὅτι ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις, ἢ κατὰ τοὺς νόμους διδῶτε πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τοῖς βουλομένοις καὶ τοῖς Αἰσχίνου



Ayuntamiento de Madrid

διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθείρετε.

Ζ Ζήνων ἔφη δεῖν τὰς πόλεις κοσμεῖν, οὐκ ἀναθήμασιν ἀλλὰ ταῖς τῶν οἰκούντων ἀρεταῖς.

Σ Σόλων, πῶς ἄριστα αἱ πόλεις οἰκοῖντο ἐρωτηθείς, εἶπεν· ἐὰν μὲν οἱ πολῖται τοῖς ἄρχουσι πείθωνται· οἱ δὲ ἄρχοντες, τοῖς νόμοις.

Θουκυδίδου. Α Ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖς δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύουσιν.

Α Ἀρκεσίλαος ἔλεγεν, ὥσπερ ὅπου φάρμακα πολλὰ καὶ ἰατροὶ πολλοί, ἐνταῦθα νόσοι πλεῖσται, οὕτω δὲ καὶ ὅπου νόμοι πλεῖστοι, ἐκεῖ καὶ ἀδικίαν εἶναι μεγίστην.

Ἱπποδάμου Πυθαγόρου.

Φ Φαμὶ δ' ἐγὼ ἐς μοίρας τρεῖς διεστᾶσθαι τὰν σύμπασαν πολιτείαν. καὶ μίαν μὲν εἶναι μοῖραν τῶν ἀγαθῶν, κυβερνώντων τὰ κοινά. δευτέραν δὲ τῶν δυναμένων. τρίταν δὲ τῶν ἐκπλαρώσει, καὶ χορηγίᾳ τῶν ἀναγκαίων. ὀνομάνω δὲ τὸ μὲν πρᾶτον πλῆθος, βουλευτικόν. τὸ δὲ δεύτερον, ἐπίκουρον. τὸ δὲ τρίτον, βάναυσον. καὶ τὰ μὲν αὐτῶν ἐλευθέραν βιοτὰν ἐχόντων οἰκήια φαμὶ εἶμεν. τὸ δὲ τρίτον, τῶν βιοπόνων. καὶ τὸ μὲν βουλευτικόν, ἄριστον εἶμεν. τὸ δὲ βάναυσον, χερήϊον. τὸ δ' ἐπίκουρον, μέσον. καὶ τὸ μὲν βουλευτικόν, ἄρχειν δεῖ, τὸ δὲ βάναυσον, ἄρχεσθαι. τὸ δ' ἐπίκουρον, καὶ ἄρχεν καὶ ἄρχεσθαι. τὸ μὲν γὰρ καὶ τί δεῖ πράττειν προβουλεύει. τὸ δ' ἐπίκουρον. τῷ μὲν προπολεμεῖν, ἄρχει τῷ βαναύσω παντός. τῷ δὲ προβουλεύεσθαι, ἄρχεται.

Τ Τούτων δὲ τᾶν μοιρᾶν, ἑκάστα πάλιν ἐς τρία τέτακται. τῶ τε γὰρ βουλευτικῶ μέρος τὸ μέν, ἐστὶ πρόεδρον. τὸ δέ, ἀρχοντικόν. τὸ δέ, κοινοβουλευτικόν. πρόεδρον μέν, τὸ προσυνεδρεῦον, καὶ τὸ προβουλευόμενον περὶ τῶν πραγμάτων καὶ ὕστερον ἐπαναφέρον ἐπὶ τὰν βουλάν. ἀρχοντικὸν δέ, τὸ ἤτοι ἄρχον, ἢ γεγεναμένον ἀρχοντικόν. κοινοβουλευτικὸν δέ, τὸ ἄλλο πλῆθος τὸ περιδεχόμενον, τὰ προσυνιδρευμένα, καὶ ἐπιψαφιζόμενον καὶ ἐπικυροῦντα ἐπὶ κρίσει. ὡς δ' ἁπλῶς εἰπεῖν, δεῖ τοὺς μὲν προέδρους, ἐπὶ τὸ κοινοβουλευτικὸν ἀναφέρεν. τὸ δὲ κοινοβουλευτικόν, διὰ τῶν στρατηγῶν ἐπὶ τὰν ἐκκλησίαν. ὡσαύτως δὲ καὶ τῷ ἐπικούρῳ καὶ τῷ δυναμικῷ μέρος. τὸ μέν, τί ἐστιν ἀρχοντικόν, τὸ δέ, προμαχατικόν. τὸ δὲ λοιπὸν καὶ πλεῖον μέρος, ἀγελαῖον, καὶ στρατιωτικόν. ἀρχοντικὸν μὲν ὦν ἐστιν ἐξ ὧν στρατοπέδαρχαι, καὶ ταξίαρχαι, καὶ λοχαγοί, καὶ πρόμαχοι καθίστανται, καὶ καθόλου πάντες οἱ ἁγεμονίαν ἔχοντες. προμαχατικὸν δέ, τὸ τῶν ἀνδρεικωτάτων, καὶ θυμικωτάτων, καὶ τολματικωτάτων, τᾶν γένος ἀγελαῖον δὲ καὶ στρατιωτικόν, τὸ λοιπὸν πλῆθος. τῶν δὲ βαναύσω καὶ βιοπονατικῷ.

τὸ μὲν

Ayuntamiento de Madrid

τὸ μὲν δὴ γεώπονον, καὶ περὶ τὰν κατεργασίαν τᾶς χώρας κατασχολούμενον. τὸ δὲ τεχνατικὸν, ὄργανα καὶ ἐπιμαχανήματα τοῖς τῶ βίω πράγμασιν ἐκπορίζόμενον. τὸ δὲ, μεταβατικὸν καὶ ἐμπορικὸν, ὃ τὰ μὲν ἐν τῇ πόλει πλεονασιάζοντα ἐπὶ τὰν ξέναν διάγεται, τὰ δὲ, ἀπὸ τᾶς ξένας, ἐς τὰν πόλιν. τὰ μὲν οὖν συστάματα τᾶς πολιτικᾶς κοινωνίας, διὰ τοσούτων καὶ τοιῶνδε μερέων συντέτακται. ἔπειτα δὲ περὶ ἁρμογᾶς καὶ συνέσιος αὐτῶν, ῥητέον. ἐπεὶ δὲ πᾶσα πολιτικὰ κοινωνία λύρας παντελῆ ἀποτέοικε τῷ, ἐξαρτύσιός τε δέεσθαι καὶ συναρμογᾶς, καὶ τὸ τελευταῖον ἐπαφᾶς τινος καὶ προσχράσιος μωσικᾶς, περὶ μὲν τῶν ἐξαρτύσιος πολιτείας ἐκ τίνων καὶ πόσων συνέστηκεν, εἴρηταί μοι καὶ ἐν τοῖς ἔμπροσθεν, περὶ δὲ συναρμογᾶς καὶ ἐνώσιος αὐτῶν, πειρασοῦμαι νῦν λέγειν. φαμὶ δὲ ἔγωγε τρισὶ τούτοις συναρμόζεσθαι τὰν πολιτικὰν κοινωνίαν. λόγοις, ἐπιτηδεύμασιν ἐθῶν, νόμοις, καὶ διὰ τριῶν τούτων παιδεύεσθαι τὸν ἄνθρωπον, καὶ σπουδαιότερον γίγνεσθαι. οἱ μὲν γὰρ λόγοι διδάσκοντι, καὶ ἐπιθυμίας ἐμποιοῦντι, προτρεπόμενοι πρὸς ἀρετάν. τοὶ μὲν νόμοι τὰ μὲν, φόβοις κατέχοντες, ἀπερύκοντι. τὰ δὲ, τιμαῖς τε καὶ δωρεαῖς δελεάζοντες, ἐκκαλέονται. τὰ δὲ ἔθη, καὶ ἐπιτηδεύματα, πλάσσει καὶ κηροχυτεῖ τὰν ψυχὰν, φυσίωσιν ἐμποιοῦντα, διὰ τῆς συνεχέος ἐνεργείης. δεῖ δὲ τὰ τρία ταῦτα συντετάχθαι, ποτί τε τὸ καλὸν καὶ τὸ συμφέρον, καὶ τὸ δίκαιον, καὶ ἐν ἑκάστῳ αὐτῶν, εἰ μὲν δυνατὸν, στοχάζεσθαι πάντων, εἰ δὲ μή γε, δυοιώμενος, ὥστ' εἶναι καὶ τὸν λόγον καλὸν καὶ δίκαιον καὶ συμφέροντα, καὶ τὸ ἔθος καὶ τὸν νόμον, προτιμῆσθαι δὲ πρᾶτον τὸ καλόν. δεύτερον δὲ, τὸ δίκαιον. τρίτον τὸ συμφέρον. τὸ καθόλου τε πειρᾶσθαι διὰ τούτων, ὡς ὅτι μάλιστα ποιεῖν τὰν πόλιν, ὅπως ὁμολογήσῃ καὶ σύμφωνος τοῖς αὐτᾶς μέρεσιν, ἀλλὰ μὴ στασιάζουσα, καὶ διαμαχομένα. ἐσεῖται δὲ τοῦτο, αἴκα τὰ πάθεα τᾶς ψυχᾶς παιδεύηται τῶν νέων, καὶ ἐς τὸ μέτριον ἀγινῆται, τοῖς ἁδέσι τε καὶ λυπηροῖς, καὶ αἴκα περὶ τὰς οὐσίας μέτρια καὶ ἀπὸ γεωπονίας ἔχοντα τὰν πρόσοδον, καὶ αἴκα τὰς ἀρχὰς ἄρχοντι, τᾶς μὲν ἀρετᾶς δεομένας τοὶ ἀγαθοὶ, τᾶς δ' ἐμπειρείας τινος, τοὶ ἔμπειροι. τᾶς δὲ παροχᾶς τινας καὶ δαπάνας, τοὶ εὔποροι, καὶ τούτοις πᾶσι κατὰ τρόπον ἄρξασι τᾶς κατ' ἀξίας ἀρχᾶς διανέμοντι τὰς τιμάς. ἐπὶ δὲ τᾶς ἀρετᾶς, αἰτίαι τυγχάνοντι τρεῖς. φόβος, ἐπιθυμία, αἰδώς. δυνασεῖται τὸν μὲν φόβον, ὁ νόμος ἐμπαρασκευάζειν. τὰν δὲ αἰδῶ, τὰ ἔθεα. τοὶ γὰρ ἐθισθέντες καλῶς αἰδέονται τὰ αἰσχρὰ πράσσειν. ὁ δὲ λόγος, τὰν ἐπιθυμίαν, ἀγωγὸν γὰρ, τὰς αἰτίας



Ayuntamiento de Madrid

ἀπόδοσις ἅμα, καὶ ἐφελκυστικὸν τᾶς ψυχᾶς, ἄλλως τε δὴ καὶ γιγνόμενον μετὰ προτροπᾶς· διὸ φατρίας, καὶ συσσίτια, καὶ συσκανίας, καὶ συναγελισμούς, τὰ μὲν, στρατιωτικούς, τὰ δὲ, καὶ πολιτικοὺς ἐγκατασκευάζειν δεῖ ταῖς τῶν νέων ψυχαῖς, συναρμόζειν δὲ καὶ τὸ τῶν πρεσβυτέρων γένος αὐταῖς· ἐπειδήπερ τοὶ μὲν νέοι, δέονται σωφρονισμῶ, καὶ καταρτύσιος· τοὶ δὲ πρεσβύτεροι, φιλοφροσύνας, καὶ διαγωγᾶς ἀλύπω.

Ἐπεὶ οὖν διὰ τριῶν ἐλέγομεν ἀποτελεῖσθαι τὸν ἄνθρωπον σπουδαῖον· διά τε τῶν ἐθέων, καὶ τοῦ νόμου, καὶ τῶ λόγου, σκοπάζεσθαι δεῖ, πῶς τε διαφθείρεσθαι πέφυκε τὰ ἔθεα, καὶ πῶς διαμένειν, εὑρήσομεν δὴ τὰ ἔθεα φθειρόμενα κατὰ δύο τρόπως, ἢ γὰρ δι' αὑτώς, ἢ διὰ τὼς ἐκτός· καὶ διὰ μὲν αὐτώς, ἤτοι διὰ τὸ φεύγειν τὰς λύπας, ἢ διὰ τὸ αἱρέεσθαι τὰς ἡδονάς, διὰ μὲν γὰρ τὸ φεύγειν τὰς λύπας, τὼς πόνως οὐχ ὑπομένοντι· διὰ δὲ τὸ διώκειν τὰς ἡδονάς, τὰ ἀγαθὰ τοὶ ἀποβάλλοντι, ἐργατεύοντι δὲ τοὶ μὲν πόνοι τὰ ἀγαθὰ τοῖς ἀνθρώποις· ταὶ δὲ ἁδοναί, τὰ κακά· ἀκρατέες ὢν καὶ μαλακοὶ γιγνόμενοι, θηλύτεροι γίγνονται ταῖς ψυχαῖς, καὶ ποτὶ τὰς ἀναλώσιας πολυδαπανώτεροι· διὰ δὲ τὼς ἐκτός, αἴκα ξενικὸς ἐπιδᾶμος ὄχλος γένηται εὐαμερείαις ἐμπορικαῖς καιρῶν· ἢ καί τοι ἀστυγείτονες φυλάδονοι καὶ τρύφακες ἐόντες, μεταδίδοντι τοῖς πλασιάζουσι τῶν παρ' αὑτοῖς ἐθέων· διὸ δεῖ τὼς νομοθέτας, καὶ τὼς ἀγελάρχας ἐπιμελῶς παρατηρεῖν, ᾇ ἐπιμελῶς παρασκευᾶται τὰ ἔθεα, καὶ ὁμαλῶς πορεύεται διὰ πάντων· ἔπειδ' εἰ τὸ γνάσιον, καὶ τὸ αὐθιγενὲς πλᾶθος τᾶς πολιτείας διαμένει ἀκέραιον, καὶ ἀπαράμικτον ὑπάρχον ἀπὸ τῶ ἄλλω γένεος, καὶ εἰ τὰ μεγέθεα τῶν βίων ἐν τοῖς αὐτοῖς διαμένει, καὶ οὐ παρὰ πολύ, ἅμα γὰρ τῷ τὰ περισσὰ κτᾶσθαι, καὶ τὰ περισσὰ μασεύοντι, καὶ τὰ μὲν ἔθεα, οὕτως ἀσφαλίζεσθαι χρή· τὼς δὲ λόγως τὸ τῶν σοφιστῶν γένος ἐπικρίνοντας καὶ δοκιμάζοντας, εἰ ποτὶ τὼς νόμως καὶ τὰ πολιτικὰ δόγματα· καὶ τὰς ἰδίας οἰκονομίας τῶν βίων ὠφέλιμα λέγοντι, οὐ γὰρ τὰν τυχοῦσαν, ἀλλὰ τὰν μεγίσταν κακοδαιμοσύναν ἐντίκτοντι τῶν σοφιστῶν λόγοι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, αἳ κατατολμῶσι κινῆν, παρὰ τὰς κοινὰς ἐννοίας ἢ τῶν θείων, ἢ τῶν ἀνθρωπίνων· οὐδέποτε ἀλάθειαν, οὐδέποτε ἀσφάλειαν, οὐδέποτε δόξαν κύριον ἔστι· ζόφωσιν δὲ καὶ σύγχυσιν ἐπιφέρει τῷ κοινῷ βίῳ τῶν ἀνθρώπων, τοιοῦτοι δὲ λόγοι τυγχάνοντι οἱ πάντες, ἤτοι μὴ εἶμεν τὸ θεῖον, ἢ καὶ ἐόν, μὴ ἔχειν οὕτως ποτὶ τὸ τῶν ἀνθρώπων γένος, ὥστ' ἐπιβλέπειν αὐτὸ καὶ φροντίζειν· ἀλλ' ἐᾶν καὶ καταλιγωρεῖν, καὶ γὰρ αἱ τοιαῦται παραδοχαὶ τοῖς ἀν-

Ayuntamiento de Madrid

θρώποις, ἀφροσύναν καὶ ἀδικίαν ἐντίκτει, οὐδ' εἰπεῖν δυναμέναις εὐμαρές ἐστι, πᾶς γὰρ αὐτὸς ἀναρχίας πληρωθεὶς, παντοδαπὸς γινόμενος χρέεσθαι τῷ λόγῳ πολιτικῷ καὶ σεμνῷ, καὶ οἰκείῳ τᾶς διαθέσιος τῶ λέγοντος, ἀλλὰ μὴ προσποιητῷ, οὕτω γὰρ ἁ λέξις ἐσεῖται τὸ τῶ λέγοντος ἦθος ἐμφαίνουσα, ἐκ δὲ τῶν νόμων δὲ τὰν ἀσφάλειαν οὕτως ἔντι φέρειν, ἃ καὶ σύνθετος ἁ πολιτεία, ἢ καὶ συντεταγμένα ἐκ πασᾶν τᾶν ἄλλαν. λέγω δὲ οὐ τῶν παρὰ φύσιν, ἀλλὰ τῶν κατὰ φύσιν, τυραννίδος γὰρ οὐδεμία χρεία ταῖς πόλεσιν, εἰ μή πω καὶ τᾶς ὀλιγαρχίας ἔντι βραχύ. δεῖ τοίνυν βασιλείαν πράταν συντετάχθαι, καὶ δεύτερον, ἀριστοκρατίαν. βασιλεία μὲν γὰρ θεομίματον πρᾶγμα, καὶ δυσφύλακτον ὑπὸ ἀνθρωπίνας ψυχᾶς, ταχέως γὰρ ὑπὸ τρυφᾶς, καὶ ὕβριος ἀλλάσσεται. διόπερ οὐ δεῖ κατὰ πᾶν αὐτῷ χρέεσθαι, μέχρι δὲ τῷ δυνατῷ καὶ ποτὶ τὰν πολιτείαν χρησίμῳ, τὰν δ' ἀριστοκρατίαν ἔντι πλέον ἐκπλέκειν τῷ πλείονας εἶμεν τὼς ἄρχοντας, καὶ φιλοζήλως διατίθεσθαι πότ' ἀλλήλους, καὶ πολλάκις ἀντιμεταλαμβάνεσθαι τὰς ἀρχὰς, δαμοκρατίαν, ἀναγκαῖον μὲν εἶμεν πάντως. δεῖ γὰρ τὸν πολίταν μέρος ὑπάρχοντα τᾶς συμπάσας πολιτείας φέρεσθαί τι ἀπ' αὐτᾶς γέρας, ἐπιδέχεσθαι δ' ἱκανῶς αὐτῶν δεῖ, θρασὺ γὰρ καὶ προπετὲς τὸ πολὺ πλᾶθος.

Τὼς δὲ νόμως οὐκ ἐν οἰκήμασιν ἐῆμεν δεῖ, ἀλλ' ἐν τοῖς ἤθεσι τῶν πολιτευομένων. τίς οὖν ἀρχὰ πολιτείας νέων τροφά, οὐ γὰρ μήποκα τὸν καρπὸν ὀνασιφόρον ἄμπελοι γεννήσωνται, μὴ φυτοτροφηθεῖσαι καλῶς, οὐδ' ἵπποι μήποκα γεννῶνται καλοὶ πωλοτροφίαν παρέντες, τὰ γὰρ νεόχρηστα τῶν σπίων μάλιστα τῷ ἁψαμένῳ καὶ πλασσάζοντι, ὅμοιον τὸ σχῆμα λαμβάνει τοῖς ἀνθρώποις. περὶ μὲν ἀμπέλων πῶς χρὴ τμηθῆμεν τε καὶ ἐποφθῆμεν, πεφροντισμένως ἔχει, τὰ δ' ἔντι τῶν ἀνθρώπων ἀμελέως τε καὶ εἰκαίως, καίτοι οὐχ ἁ ἄμπελος, οὐδὲ οἶνος τᾶς πολιτείας ἁγεμὼν, ἀλλ' ὁ ἄνθρωπος καὶ ἁ ψυχὰ τῶ ἀνθρώπω, καὶ τῷ μὲν φυτῷ πλέονος ἢ ὥθαμεν ἄξιον παρακαθιστάμεν, καὶ τὸν ἔντι μελησόμενον, οὐ μεῖον ἢ δύο μνᾶν ἄξιον, τοῖς δὲ νέοις, ἰλλυρειὸν ἢ θρᾷκα, οὐδενὸς ἄξιον, οἱ δ' ἐξ ἀρχᾶς νομοθέται, τὸ μέσον τῶν αἰῶν στάσιμον, οὐκ ἂν δύναιντο ποιῆσαι. κινάσιος δὲ μόνας καὶ τάξεως κεκοινωνηκύας παρακατέζευξαν ὄρχησιν καὶ ῥυθμόν. ἔτι δὲ παιγνιᾶς τὰς μὲν, ἐς κοινωνίαν προτρεπομένας, τὰς δ' ἐς ἀλάθειαν καὶ ὀξύτατα ψυχᾶς. ὁμοίως δὲ καὶ τοῖς ὑπὸ μέθας, ἢ πλησμονᾶς φαῦλόν τι καταπράξασιν, τὸν αὐλὸν καὶ τὰν ἁρμονίαν, ἐς ὃ τὰς συνέσιας κατέσταξαν, ὅπως πεπαινόμενον τὸ ἦθος, δύναιτο κατακοσμεῖσθαι.



Ayuntamiento de Madrid

Πλάτωνος Ὅταν δὴ ἄρα καλῶς ἀρξάμενοι παῖδες παίζειν εὐνομίαν διὰ τῆς μουσικῆς εἰσδέξωνται, πάλιν τοὐναντίον ἤκειν, ὡς εἰς πάντα συνέπεταί τε καὶ αὔξει ἐπανορθοῦσα, εἴ τι καὶ πρότερον τῆς πόλεως ἔκειτο. ἀληθῆ μέντοι ἔφη. καὶ τὰ σμικρὰ ἄρα εἶπον δοκοῦντα εἶναι νόμιμα ἐξευρίσκουσιν οὗτοι. ἃ οἱ πρότερον ἀπώλλυσαν ἅπαντα; ποῖα. τὰ τοιάδε. σιγάς τε τῶν νεωτέρων παρὰ πρεσβυτέροις ἃς πρέπει, καὶ κατακλίσεις, καὶ ὑπαναστάσεις, καὶ γονέων θεραπείας, καὶ κουράς τε καὶ ἀμπεχόνας, καὶ ὑποδέσεις, καὶ ὅλον τὸν τοῦ σώματος σχηματισμὸν, καὶ τἆλλα ὅσα τοιαῦτα. ἢ οὐκ οἴει; ἔγωγε. νομοθετεῖν δὲ αὐτὰ οἶμαι εὔηθες, οὔτε γάρ που γίγνεται, οὔτ' ἂν μείνειεν λόγῳ τε καὶ γράμμασι νομοθετηθέντα; πῶς γάρ. κινδυνεύει γοῦν ἦν δ' ἐγὼ ὦ Ἀδείμαντε ἐκ τῆς παιδείας, ὁποῖά τις ὁρμηθῇ. τοιαῦτα καὶ τὰ ἑπόμενα εἶναι. ἢ οὐκ ἀεὶ τὸ ὅμοιον ὅμοιον παρακαλεῖ; τί μήν. καὶ τελευτῶν δὴ οἶμαι φαμὲν ἂν εἰς ἕν τι τέλεον καὶ νεανικὸν ἀποβαίνειν αὐτὸ, ἢ ἀγαθὸν, ἢ καὶ τοὐναντίον.

Σωτηρίαν ἔγωγε εἶπον, λέγω τινὰ τὴν ἀνδρείαν. ποίαν δὴ σωτηρίαν. τὴν τῆς δόξης τῆς ὑπὸ νόμου διὰ τῆς παιδείας γεγονυίας, περὶ τῶν δεινῶν, ἅ τε ἐστὶ καὶ οἷα. διαπαντὸς δὲ ἔλεγεν αὐτὴν σωτηρίαν, τὸ ἔν τε λύπαις ὄντα διασώζεσθαι αὐτὴν καὶ ἐν ἡδοναῖς, καὶ ἐπιθυμίαις, καὶ φόβοις, καὶ μὴ ἐκβάλλειν. ᾧ δέ μοι δοκεῖ ὅμοιον εἶναι, ἐθέλω ἀπεικάσαι εἰ βούλει. ἀλλὰ βούλομαι. οὐκοῦν οἶσθα ἦν δ' ἐγὼ, ὅτι οἱ βαφεῖς ἐπειδὰν βουληθῶσι βάψαι ἔρια, ὥστ' εἶναι ἁλουργὰ, πρῶτον μὲν ἐκλέγονται ἐκ τοσούτων χρωμάτων, μίαν φύσιν τὴν λευκοῦ. ἔπειτα προπαρασκευάζουσιν οὐκ ὀλίγῃ παρασκευῇ θεραπεύσαντες, ὅπως δέξεται ὅτι μάλιστα τὸ ἄνθος, καὶ οὕτω δὴ βάπτουσι, καὶ ὃ μὲν ἂν τούτῳ τῷ τρόπῳ δευσοποιὸν γίγνεται τὸ βαφὲν, καὶ ἡ πλύσις, οὔτ' ἂν μετὰ ῥυμμάτων δύναται αὐτοῦ τὸ ἄνθος ἀφαιρεῖσθαι, ἃ δ' ἂν μὴ οἶσθα οἷα δὴ γίγνεται, ἄντε τις ἄλλα χρώματα βάπτῃ. ἐάν τε καὶ ταῦτα μὴ προθεραπεύσας, οἶδα ἔφη, ὅτι καὶ ἔκπλυτα καὶ γελοῖα. τοιοῦτον τοίνυν ἦν δ' ἐγὼ φρονῶ κατὰ δύναμιν ἐργάζεσθαι καὶ ἡμᾶς, ὅτε ἐξελεγόμεθα τοὺς στρατιώτας, καὶ ἐπαιδεύομεν ἐν μουσικῇ καὶ γυμναστικῇ. καὶ μηδὲν οἴου ἄλλο μηχανᾶσθαι ἢ ὅπως ἡμῖν ὅτι καλλίστους πεισθέντας δέξοιντο ὥσπερ βαφὴν, ἵνα δευσοποιὸς αὐτῶν ἡ δόξα γίγνοιτο. καὶ περὶ δεινῶν, καὶ περὶ τῶν ἄλλων, διὰ τὸ τήν τε φύσιν καὶ τὴν τροφὴν ἐπιτηδείαν ἐσχηκέναι, καὶ μὴ αὐτῶν ἐκπλύναι τὴν βαφὴν, τὰ ῥύμματα ταῦτα δεινὰ ὄντα ἐκκλύζειν, ἥ τε ἡδονὴ παντὸς χαλαστραίου δεινοτέρα οὖσα τοῦτο δρᾶν, καὶ κονίας, λύπη τε, καὶ φόβος καὶ ἐπιθυμία παντὸς ἄλλου ῥύμματος. τὴν δὴ τοιαύτην δύναμιν καὶ σωτηρίαν

διαπαντὸς

Ayuntamiento de Madrid

διαπαντὸς δόξης ὀρθῆς τε καὶ μονίμου, δεινῶν τε πέρι καὶ μή, ἀνδρείαν ἔγωγε καλῶ καὶ τίθεμαι, ἢ μή τι σὺ ἄλλο λέγεις. ἀλλ' οὐδὲν ἦ δ' ὅς λέγω. δοκεῖς γάρ μοι τὴν ὀρθὴν δόξαν περὶ τῶν αὐτῶν τούτων ἄνευ παιδείας γεγονυῖαν, τήν τε θηριώδη καὶ ἀνδραποδώδη, οὔτε πάνυ μόνιμον ἡγεῖσθαι, ἄλλο τέ τι, ἢ ἀνδρείαν καλεῖν.

Κόσμος πού τις ἦν δ' ἐγὼ ἡ σωφροσύνη ἐστί, καὶ ἡδονῶν τινῶν καὶ ἐπιθυμιῶν ἐγκράτεια, ὥς φασι κρείττω δὴ αὑτοῦ λέγοντες, οὐκ οἶδα ὅντινα τρόπον, καὶ ἄλλα τινὰ τοιαῦτα, ὥσπερ ἴχνη αὐτῆς λέγεται, ἦ γάρ; πάντων μάλιστα ἔφη. οὐκοῦν τὸ μὲν κρεῖττον αὑτοῦ γελοῖον, ὁ γὰρ ἑαυτοῦ κρείττων, καὶ ἥττων αὖ τοῦ αὖ αὑτοῦ εἴη, καὶ ὁ ἥττων κρείττων, ὁ αὐτὸς γὰρ ἐν ἅπασι τούτοις προσαγορεύεται. τί δ' οὔ. ἀλλ' ἦν δ' ἐγὼ φαίνεταί μοι βούλεσθαι λέγειν οὗτος ὁ λόγος, ὥστ' ἐν αὐτῷ τῷ ἀνθρώπῳ περὶ τὴν ψυχήν, τὸ μὲν, βέλτιον ἔνι, τὸ δὲ, χεῖρον. καὶ ὅταν μὲν τὸ βέλτιον φύσει τοῦ χείρονος ἐγκρατέστερον, ἢ τοῦτο λέγειν τὸ, κρείττω αὑτοῦ, ἐπαινεῖ γοῦν· ὅταν δὲ ὑπὸ τροφῆς κακῆς, ἤ τινος ὁμιλίας κρατηθῇ ὑπὸ πλήθους τοῦ χείρονος, μικρότερον τὸ βέλτιον. τοῦτο δὲ ὡς ἐν ὀνείδει ψέγειν τε καὶ καλεῖν ἥττω ἑαυτοῦ καὶ ἀκόλαστον τὸν οὕτω διακείμενον, καὶ γὰρ ἔοικεν ἔφη. ἀπόβλεπε τοίνυν ἦν δ' ἐγὼ πρὸς τὴν νέαν ἡμῖν πόλιν, καὶ εὑρήσεις ἐν αὐτῇ τὸ ἕτερον τούτων ἐνόν, κρείττω γὰρ αὐτὴν αὑτῆς δικαίως φήσεις προσαγορεύειν. εἴπερ οὗ τὸ ἄμεινον τοῦ χείρονος ἄρχει, σῶφρον κλητέον, καὶ κρεῖττον αὑτοῦ, ἀλλὰ ἀποβλέπω ἔφη καὶ ἀληθῆ λέγεις. καὶ μὴν καὶ τάς τε πολλὰς καὶ παντοδαπὰς ἐπιθυμίας, καὶ ἡδονάς τε καὶ λύπας, ἐν παισὶ μάλιστ' ἄν τις εὕροι, καὶ γυναιξὶ καὶ οἰκέταις, καὶ τῶν ἐλευθέρων λεγομένων ἐν τοῖς πολλοῖς τε καὶ φαύλοις; πάνυ μὲν οὖν· τὰς δέ γε ἁπλᾶς τε καὶ μετρίας, αἳ δὴ μετὰ νοῦ τε καὶ δόξης ὀρθῆς λογισμῷ ἄγονται, ἐν ὀλίγοις τε ἐπιτεύξῃ, καὶ τοῖς βέλτιστα μὲν φῦσι, βέλτιστα δὲ παιδευθεῖσιν; ἀληθῆ ἔφη. οὐκοῦν καὶ ταῦτα ὁρᾷς ἐνόντα σοι ἐν τῇ πόλει, καὶ κρατουμένας αὐτόθι τὰς ἐπιθυμίας τὰς ἐν τοῖς πολλοῖς τε καὶ φαύλοις, ὑπό τε τῶν ἐπιθυμιῶν καὶ τῆς φρονήσεως τῆς ἐν τοῖς ἐλάττοσί τε καὶ ἐπιεικεστέροις; ἔγωγ' ἔφη. εἰ ἄρα δεῖ τινα πόλιν προσαγορεύειν κρείττω ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ αὐτὴν προσρητέον; παντάπασι μὲν οὖν ἔφη. ἆρ' οὖν οὐ καὶ σώφρονα κατὰ πάντα ταῦτα; καὶ μάλα ἔφη. καὶ μὴν εἴπερ ἐν ἄλλῃ πόλει ἡ αὐτὴ δόξα ἔνεστι τοῖς τε ἄρχουσι καὶ ἀρχομένοις, περὶ τοῦ οὕστινας δεῖ ἄρχειν, καὶ ἐν ταύτῃ ἂν εἴη τοῦτο ἐνόν, ἢ οὐ δοκεῖ; καὶ μάλα ἔφη σφόδρα. ἐν ποτέροις οὖν φήσεις τῶν πολιτῶν τὸ σωφρονεῖν ἐνεῖ-

Ayuntamiento de Madrid

ναι, ὅταν οὕτως ἔχωσιν, ἐν τοῖς ἄρχουσιν, ἢ ἐν τοῖς ἀρχομένοις, ἐν ἀμφοτέροις που ἔφη· ὁρᾷς οὖν ἦν δ' ἐγὼ, ὅτι ἐπιεικῶς ἐμαντευόμεθα ἀρτίως, ὡς ἁρμονίᾳ τινὶ σωφροσύνη ὡμοίωται. τί δή. ὅτι οὐχ ὥσπερ ἡ ἀνδρεία καὶ ἡ σοφία, ἐν μέρει τινὶ ἑκατέρα ἐνοῦσα, ἡ μὲν, σοφὴν. ἡ δὲ, ἀνδρείαν τὴν πόλιν παρείχετο. οὐχ οὕτω ποιεῖ αὕτη, ἀλλὰ δι' ὅλης ἀτεχνῶς τέταται, διὰ πασῶν παρεχομένη ξυνᾴδοντας, τούς τε ἀσθενεστάτους ταυτὸν, καὶ τοὺς ἰσχυροτάτους καὶ τοὺς μέσους. εἰ μὲν βούλει, φρονήσει, εἰ δὲ βούλει, ἰσχύϊ. εἰ δὲ καὶ πλήθει ἢ χρήμασιν, ἢ ἄλλῳ ὁτῳοῦν τῶν τοιούτων. ὥστε ὀρθότατα ἂν φαῖμεν ταύτην τὴν ὁμόνοιαν σωφροσύνην εἶναι. χείρονός τε καὶ ἀμείνονος κατὰ φύσιν ξυμφωνίαν. ὁπότερον δεῖ ἄρχειν καὶ ἐν τῇ πόλει καὶ ἐν ἑνὶ ἑκάστῳ. πάνυ μοι ἔφη ξυνδοκεῖ.

A ἀλλ' ἦν δ' ἐγὼ ἄκουε, εἴ τι ἄρα λέγω. ὃ γὰρ ἐξ ἀρχῆς ἐθέμεθα ποιεῖν διαπαντὸς, ὅτε τὴν πόλιν κατῳκίζομεν, τοῦτό ἐστιν ὡς ἐμοὶ δοκεῖ, ἤτοι τούτου εἶδος δικαιοσύνη. ἐθέμεθα δὲ δή που, καὶ πολλάκις ἐλέγομεν, εἰ μέμνησαι, ὅτι ἕνα ἕκαστον. ἓν δέοι ἐπιτηδεύειν τῶν περὶ τὴν πόλιν, εἰς ὃ αὐτοῦ ἡ φύσις ἐπιτηδειοτάτη πεφυκυῖα εἴη. ἐλέγομεν γὰρ, καὶ μὴν, ὅτι γε τὰ αὑτοῦ πράττειν, καὶ μὴ πολυπραγμονεῖν, δικαιοσύνη ἐστὶ, καὶ τοῦτο ἄλλων τε πολλῶν ἀκηκόαμεν, καὶ αὐτοὶ πολλάκις εἰρήκαμεν γάρ. τοῦτο τοίνυν ἦν δ' ἐγὼ ὦ φίλε κινδυνεύει τρόπον τινὰ γιγνόμενον, δικαιοσύνη εἶναι, τὸ τὰ αὑτοῦ πράττειν, οἶσθα ὅθεν τεκμαίρομαι; οὔκ. ἀλλὰ λέγε ἔφη. δοκεῖ μοι ἦν δ' ἐγὼ τὸ ὑπόλοιπον ἐν τῇ πόλει ὧν ἐσκέμμεθα σωφροσύνης, καὶ ἀνδρείας, καὶ φρονήσεως, τοῦτο εἶναι ὃ πᾶσιν ἐκείνοις τὴν δύναμιν παρέσχεν, ὥστε γενέσθαι καὶ ἐγγενομένοις σωτηρίαν παρέχειν, ἕωσπερ ἂν ἐνῇ. καί τοι ἔφαμεν δικαιοσύνην ἔσεσθαι τὸ ὑπολειφθὲν ἐκείνων, εἰ τὰ τρία εὕροιμεν. καὶ γὰρ ἀνάγκη ἔφη. ἀλλὰ μέν τοι ἦν δ' ἐγὼ, εἰ δέοι κρῖναί τινα τὴν πόλιν ἡμῖν, τί τούτων μάλιστα ἀγαθὴν ἀπεργάσεται ἐγγενόμενον, δύσκριτον ἂν εἴη, πότερον ἡ ὁμοδοξία τῶν ἀρχόντων τε καὶ ἀρχομένων, ἢ ἡ περὶ δεινῶν τε καὶ μὴ, ἅττα ἐστὶ δόξης ἐννόμου σωτηρία, ἐν τοῖς στρατιώταις ἐγγενομένη, ἢ ἡ ἐν τοῖς ἄρχουσι φρόνησίς τε καὶ φυλακὴ ἐνοῦσα, ἢ τοῦτο μάλιστα ἀγαθὴν αὐτὴν ποιεῖ ἐνὸν, καὶ ἐν παιδὶ καὶ ἐν γυναικὶ, καὶ δούλῳ, καὶ ἐλευθέρῳ. καὶ δημιουργῷ, καὶ ἄρχοντι, καὶ ἀρχομένῳ. ὅτι τὸ αὑτοῦ ἕκαστος εἷς ὢν, ἔπραττε, καὶ οὐκ ἐπολυπραγμόνει. δύσκριτον ἔφη. πῶς δ' οὔ. ἐνάμιλλον ἄρα ὡς ἔοικέ τι πρὸς ἀρετὴν πόλεως, τῇ τε σοφίᾳ αὐτῆς, καὶ τῇ σωφροσύνῃ, καὶ τῇ ἀνδρείᾳ, ἡ τοῦ ἑκάστου ἐν αὐτῇ τὰ αὑτοῦ πράττειν δύναμις; καὶ μάλα ἔφη.

Ayuntamiento de Madrid

οὐκοῦν δικαιοσύνην τό γε τούτοις ἐνάμιλλον ἂν εἰς ἀρετὴν πόλεως θείης; παντάπασι μὲν οὖν. σκόπει δὴ καὶ τῇδε, εἰ οὕτω δόξει. ἆρα τοῖς ἄρχουσιν ἐν τῇ πόλει τὰς δίκας προστάξεις δικάζειν; τί μήν. ἢ ἄλλου τινὸς οὐ μᾶλλον ἐφιέμενοι δικάσουσιν· καὶ τούτου ὅπως ἂν ἕκαστοι μήτ᾽ ἔχωσι τὰ ἀλλότρια, μήτε τῶν αὑτῶν στέρωνται; οὐκ. ἀλλὰ τούτου ὡς δικαίου ὄντος; ναί. καὶ ταύτῃ ἄρα πῃ ἡ τοῦ οἰκείου τε καὶ ἑαυτοῦ ἕξις τε καὶ πρᾶξις, δικαιοσύνη ἂν ὁμολογοῖτο; ἔστι ταῦτα.

Δεῦρο νῦν, ἦν δ᾽ ἐγώ. ἵνα καὶ ἴδῃς, ὅσα εἴδη ἔχει ἡ κακία, ὥς ἐμοὶ δοκεῖ. ἅτε δὴ καὶ ἀξία θέας. ἕπομαι ἔφη. μόνον λέγε. καὶ μὴν ἦν δ᾽ ἐγώ, ὥσπερ ἀπὸ σκοπιᾶς μοι φαίνεται ἐπειδὴ ἐνταῦθα ἀναβεβήκαμεν τοῦ λόγου, ἓν μὲν εἶναι εἶδος τῆς ἀρετῆς, ἄπειρα δὲ τῆς κακίας. τέτταρα δὲ ἐν αὐτῇ ὄντα ὧν καὶ ἄξιον ἐπιμνησθῆναι, πῶς λέγεις ἔφη, ὅσοι ἦν δ᾽ ἐγὼ πολιτειῶν τρόποι εἰσί. πόσοι δή, πέντε μὲν ἦν δ᾽ ἐγὼ πολιτειῶν, πέντε δὲ καὶ ψυχῆς. λέγ᾽ ἔφη τίνες. λέγω εἶπον, ὅτι εἷς μὲν οὗτος, ὃν ἡμεῖς διεληλύθαμεν πολιτείας εἴη ἂν τρόπος, ἐπονομασθείη δ᾽ ἂν καὶ διχῇ, ἐγγενομένου γὰρ ἀνδρὸς ἑνὸς ἐν τοῖς ἄρχουσι διαφέροντος, βασιλεία ἂν κληθείη. πλειόνων δέ, ἀριστοκρατία. ἀληθῆ ἔφη. τοῦτο μὲν τοίνυν ἦν δ᾽ ἐγώ, ἓν εἶδος λέγω, οὔτε γὰρ ἂν πλείους, οὔτε εἷς ἐγγενόμενος κινήσειεν τινὰ τῶν ἀξίων λόγου νόμων τῆς πόλεως, τροφῇ τε καὶ παιδείᾳ χρησάμενος, ᾗ διεληλύθαμεν.

Ἀποδυτέον δὴ ταῖς τῶν φυλάκων γυναιξίν, ἐπείπερ ἀρετὴν ἀντὶ ἱματίων ἀμφιέσονται, καὶ κοινωνητέον πολέμου τε, καὶ τῆς ἄλλης φυλακῆς τῆς περὶ τὴν πόλιν, καὶ οὐκ ἄλλα πρακτέον, τούτων δὲ αὐτῶν τὰ ἐλαφρότερα ταῖς γυναιξίν, ἢ τοῖς ἀνδράσιν ἀποδοτέον, διὰ τὴν τοῦ γένους ἀσθένειαν. ὁ δὲ γελῶν ἀνὴρ ἐπὶ γυμναῖς γυναιξὶ τοῦ βελτίστου ἕνεκα γυμναζομέναις, ἀτελῆ τοῦ γελοίου σοφίας δρέπων καρπόν, οὐδὲν οἶδεν ὡς ἔοικεν ἐφ᾽ ᾧ γελᾷ, οὐδὲ τί πράττει, κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται, καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον, καλόν. τὸ δὲ βλαβερόν, αἰσχρόν.

Τούτῳ ἦν δ᾽ ἐγὼ ἕπεται νόμος, καὶ τοῖς ἔμπροσθεν τοῖς ἄλλοις ὡς ἐγᾦμαι ὅδε. τίς. τὰς γυναῖκας ταύτας τῶν ἀνδρῶν τούτων πάσας εἶναι κοινάς, ἰδίᾳ δὲ μηδενὶ μηδὲ μίαν συνοικεῖν, καὶ τοὺς παῖδας αὖ κοινούς, καὶ μήτε γονέας εἰδέναι ἔκγονον τὸν αὑτοῦ, μήτε παῖδα γονέα. πολὺ ἔφη τοῦτο ἐκείνου μεῖζον πρὸς ἀπιστίαν καὶ τοῦ δυνατοῦ πέρι καὶ ὠφελίμου. οὐκ οἶμαι ἦν δ᾽ ἐγὼ περί γε τοῦ ὠφελίμου ἀμφισβητεῖσθαι ἄν, ὡς οὐ μέγιστον ἀγαθόν, κοινὰς μὲν τὰς γυναῖκας εἶναι, κοινοὺς δὲ τοὺς παῖδας.

Ayuntamiento de Madrid

Ἡ μὲν δὴ κοινωνία ὦ γλαύκων αὕτη τε καὶ τοιαύτη γυναικῶν τε καὶ παίδων τοῖς φύλαξί σοι τῆς πόλεως ὡς δὲ, ἑπομένη τε τῇ ἄλλῃ πολιτείᾳ καὶ μακρῷ βελτίστη. δεῖ δὴ τὸ μετὰ τοῦτο βεβαιώσασθαι παρὰ τοῦ λόγου, ἢ πῶς ποιῶμεν, οὕτω νὴ δία ἦ δ᾽ ὅς. ἆρ᾽ οὖν οὐχ ἥδε ἀρχὴ τῆς ὁμολογίας ἐρέσθαι ἡμᾶς αὐτοὺς, τί ποτε τὸ μέγιστον ἀγαθὸν ἔχομεν εἰπεῖν εἰς πόλεως κατασκευήν· οὗ δεῖ στοχαζόμενον τὸν νομοθέτην, τιθέναι τοὺς νόμους· καὶ τί μέγιστον κακόν· εἶτα ἐπισκέψασθαι ἆρα, ἃ νῦν διήλθομεν, εἰς μὲν τὸ τοῦ ἀγαθοῦ ἴχνος ἡμῖν ἁρμόττει· τῷ δὲ τοῦ κακοῦ ἀναρμοστεῖ. πάντων μάλιστα ἔφη. ἔχομεν οὖν τι μεῖζον κακὸν πόλει, ἢ ἐκεῖνο, ὃ ἂν αὐτὴν διασπᾷ καὶ ποιῇ πολλὰς ἀντὶ μιᾶς, ἢ μεῖζον ἀγαθὸν, τοῦ ὃ δὴ ξυνδεῖ τε καὶ ποιεῖ μίαν; οὐκ ἔχομεν. οὐκοῦν ἡ μὲν ἡδονῆς τε καὶ λύπης κοινωνία ξυνδεῖ, ὅταν ὅτι μάλιστα πάντες οἱ πολῖται τῶν αὐτῶν γιγνομένων τε καὶ ἀπολλυμένων, παραπλησίως χαίρωσι καὶ λυπῶνται; παντάπασι μὲν οὖν ἔφη ἡ δέ γε τῶν τοιούτων ἰδίωσις διαλύει, ὅταν οἱ μὲν, περιαλγεῖς, οἱ δὲ περιχαρεῖς γιγνώσκωνται ἐπὶ τοῖς αὐτοῖς μαθήμασι τῆς πόλεώς τε, καὶ τῶν ἐν τῇ πόλει; τί δ᾽ οὔ; ἆρ᾽ οὖν ἐκ τοῦδε τὸ τοιόνδε γίγνεται, ὅταν μὴ ἅμα φθέγγωνται ἐν τῇ πόλει τὰ τοιάδε ῥήματα. τό, τε ἐμὸν καὶ τὸ οὐκ ἐμὸν, καὶ περὶ τοῦ ἀλλοτρίου κατὰ ταῦτα; κομιδῇ μὲν οὖν. ἐν ᾗ τινι δὲ πόλει πλεῖστοι ἐπὶ τὸ αὐτὸ κατὰ ταῦτα τοῦτο λέγουσι. τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμὸν, αὕτη ἄριστα διοικεῖται; πολύ γε. καὶ ἥτις δὴ ἐγγύτατα ἑνὸς ἀνθρώπου ἔχει. οἷον ὅταν που ἡμῶν δάκτυλός του πληγῇ, πᾶσα ἡ κοινωνία ἡ κατὰ τὸ σῶμα πρὸς τὴν ψυχὴν τεταμένη εἰς μίαν σύνταξιν τὴν τοῦ ἄρχοντος ἐν αὐτῇ, ᾔσθετό τε, καὶ πᾶσα ἅμα συνήλγησε μέρους πονήσαντος ὅλη, καὶ οὕτω δὴ λέγομεν, ὅτι ὁ ἄνθρωπος τὸν δάκτυλον ἀλγεῖ, καὶ περὶ ἄλλου ὁτουοῦν τῶν τοῦ ἀνθρώπου ὁ αὐτὸς λόγος, περί τε λύπης πονοῦντος μέρους, καὶ περὶ ἡδονῆς ῥαΐζοντος, ὁ αὐτὸς γὰρ ἔφη. καὶ τοῦτο ὃ ἐρωτᾷς τοῦ τοιούτου ἐγγύτατα ἡ ἄριστα πολιτευομένη πόλις οἰκεῖ. ἑνὸς δὴ οἶμαι πάσχοντος τῶν πολιτῶν ὁτιοῦν, ἢ ἀγαθὸν ἢ κακὸν, ἡ τοιαύτη πόλις μάλιστά τε φήσει ἑαυτῆς εἶναι τὸ πάσχον, καὶ ἢ ξυνησθήσεται ἅπασα, ἢ ξυλλυπήσεται. ἀνάγκη ἔφη τήν γε εὔνομον. ὥρα ἂν εἴη ἦν δ᾽ ἐγὼ, ἐπανιέναι ἡμῖν ἐπὶ τὴν ἡμετέραν πόλιν, καὶ τὰ τοῦ λόγου ὁμολογήματα σκοπεῖν ἐν αὐτῇ, εἰ αὕτη μάλιστα ἔχει, εἴτε καὶ ἄλλη τις μᾶλλον. οὐκοῦν χρὴ ἔφη. τί οὖν. ἔστι μέν που καὶ ἐν ταῖς ἄλλαις πόλεσιν ἄρχοντές τε καὶ δῆμος, ἔστι δὲ καὶ ἐν ταύτῃ; ἔστι. πολίτας μὲν δὴ πάντες οὗτοι ἀλλήλους

Ayuntamiento de Madrid

προσεροῦσι; πῶς δ' οὔ. ἀλλὰ πρὸς τῷ πολίτας τί, ὁ ἐν ταῖς ἄλλαις δῆμος προσαγορεύει. ἐν μὲν ταῖς πολλαῖς, δεσπότας. ἐν δὲ ταῖς δημοκρατουμέναις, αὐτὸ τοῦτο τοὔνομα ἄρχοντας. τί δαί. ὁ ἐν τῇ ἡμετέρᾳ δῆμος, πρὸς τῷ πολίτας τί τοὺς ἄρχοντάς φησιν εἶναι, σωτῆράς τε καὶ ἐπικούρους ἔφη. τί δ' οὗτοι τὸν δῆμον. μισθοδότας τε καὶ τροφέας. οἱ δὲ ἐν ταῖς ἄλλαις ἄρχοντες τοὺς δήμους; δούλους ἔφη. τί δ' οἱ ἄρχοντες ἀλλήλους, ξυνάρχοντας ἔφη. ἔχεις οὖν εἰπεῖν τῶν ἀρχόντων ἐν ταῖς ἄλλαις πόλεσιν, εἴ τίς τινα ἔχει προσειπεῖν τῶν ξυναρχόντων, τὸν μὲν ὡς οἰκεῖον, τὸν δ' ὡς ἀλλότριον; καὶ πολλούς γε. οὐκοῦν τὸν μὲν οἰκεῖον, ὡς ἑαυτοῦ νομίζει τε καὶ λέγει, τὸν δ' ἀλλότριον, ὡς οὐχ ἑαυτοῦ; οὕτω. τί δ' οἱ παρὰ σοὶ φύλακες, ἔσθ' ὅστις αὐτῶν ἔχοι ἂν τῶν ξυμφυλάκων νομίσαι τινά, ἢ προσειπεῖν ὡς ἀλλότριον; οὐδαμῶς ἔφη, παντὶ γὰρ ᾧ ἂν ἐντυγχάνοι, ἢ ὡς ἀδελφῷ, ἢ ὡς ἀδελφῇ, ἢ ὡς πατρὶ, ἢ ὡς μητρὶ, ἢ ὡς υἱεῖ, ἢ θυγατρὶ, ἢ τούτων ἐγγόνοις, ἢ προγόνοις νομιεῖ ἐντυγχάνειν. κάλλιστα ἦν δ' ἐγὼ λέγεις, ἀλλ' ἔτι καὶ τόδε εἰπέ. πότερον αὐτοῖς τὰ ὀνόματα μόνον οἰκεῖα νομοθετήσεις, ἢ καὶ τὰς πράξεις πάσας, καὶ τὰ ὀνόματα πράττειν περί τε τοὺς πατέρας, ὅσα νόμος περὶ πατέρας αἰδοῦς τε πέρι καὶ κηδεμονίας, καὶ τοῦ ὑπήκοον δεῖν εἶναι τῶν γονέων, ἢ μήτε πρὸς θεῶν μήτε πρὸς ἀνθρώπων αὐτῶν ἄμεινον εὖ ἔσεσθαι, ὡς οὔτε δίκαια, οὔτε ὅσια πράττοντος ἄν, εἰ ἄλλα πράττοι, ἢ ταῦτα. αὗταί σοι, ἢ ἄλλαι φῆμαι ἐξ ἁπάντων τῶν πολιτῶν ὑμνήσουσιν εὐθὺς περὶ τὰ τῶν παίδων ὦτα, καὶ περὶ πατέρων, οὓς ἂν αὐτοῖς ἀποφήνῃ, καὶ περὶ τῶν ἄλλων ξυγγενῶν. αὗται ἔφη, γελοῖον γὰρ ἂν εἴη, εἰ ἄνευ ἔργων ὀνόματα οἰκεῖα διὰ τῶν στομάτων μόνον φθέγγοιντο. πασῶν ἄρα πόλεων μάλιστα ἐν αὐτῇ ξυμφωνήσουσιν, ἑνός τινος, ἢ εὖ ἢ κακῶς πράττοντος. ὃ νῦν δὴ ἐλέγομεν τὸ ῥῆμα, ὅτι τὸ ἐμὸν εὖ πράττει, ἢ ὅτι τὸ ἐμὸν κακῶς; ἀληθέστατα αὖ ἦ δ' ὅς. οὐκοῦν μετὰ τούτου τοῦ δόγματός τε καὶ ῥήματος ἔφαμεν ξυνακολουθεῖν τάς τε ἡδονὰς καὶ λύπας κοινῇ, καὶ ὀρθῶς γε ἔφαμεν. οὐκοῦν μάλιστα τοῦ αὐτοῦ κοινωνήσουσιν οἱ πολῖται ἡμῖν, ὃ δὴ ἐμὸν ὀνομάσουσι. τούτου δὴ κοινωνοῦντες, οὕτω δὴ λύπης τε καὶ ἡδονῆς μάλιστα κοινωνίαν ἕξουσι; πολύ γε. ἆρ' οὖν τούτων αἰτία πρὸς τῇ ἄλλῃ καταστάσει, ἡ τῶν γυναικῶν τε, καὶ παίδων κοινωνία τοῖς φύλαξι; πάνυ μὲν οὖν μάλιστα ἔφη. ἀλλὰ μὴν μέγιστόν γε πόλει αὐτὸ ὡμολογήσαμεν ἀγαθὸν ἀπεικάζοντες εὖ οἰκουμένην πόλιν, σώματι πρὸς μέρος αὐτοῦ λύπης τε πέρι καὶ ἡδονῆς ὡς ἔχει; καὶ ὀρθῶς γε ἔφη ὡμολογήσαμεν. τοῦ μεγίστου ἄρα ἀγαθοῦ τῇ πόλει αἰτία ἡμῖν

Ayuntamiento de Madrid

πέφηνεν ἡ κοινωνία τοῖς ἐπικούροις, τῶν τε παίδων καὶ τῶν γυναικῶν; καὶ μάλα ἔφη. καὶ μὴν δὴ καὶ τοῖς πρόσθεν ὁμολογοῦμεν. ἔφαμεν γάρ που, οὔτε οἰκίας τούτοις ἰδίας δεῖν εἶναι, οὔτε γῆν, οὔτε κτῆμα, ἀλλὰ παρὰ τῶν ἄλλων τροφὴν λαμβάνοντας μισθὸν τῆς φυλακῆς, κοινῇ πάντας ἀναλίσκειν. εἰ μέλλοιεν ὄντως φύλακες εἶναι, ὀρθῶς ἔφη. ἆρ' οὖν οὐχ ὅπερ λέγω, τά τε πρόσθεν εἰρημένα, καὶ τὰ νῦν λεγόμενα, ἔτι μᾶλλον ἀπεργάζεται αὐτοὺς ἀληθινοὺς φύλακας, καὶ ποιεῖ μὴ διασπᾶν τὴν πόλιν ταύτην ὀνομάζοντας μὴ τὸ αὐτὸ, ἀλλ' ἄλλον ἄλλο, τὸν μὲν, εἰς τὴν αὑτοῦ οἰκίαν ἕλκοντα, ὅτι ἂν δύνηται χωρὶς τῶν ἄλλων κτήσασθαι, τὸν δὲ εἰς τὴν ἑαυτοῦ ἑτέραν οὖσαν, ὅτι γυναῖκά τε καὶ παῖδας ἑτέρους, ἡδονάς τε καὶ ἀλγηδόνας ἐμποιοῦντας ἰδίων ὄντων, ἰδίας, ἀλλ' ἑνὶ δόγματι, οὐ τοῦ οἰκείου πέρι, ἐπὶ τὸ αὐτὸ τείνοντας πάντας, εἰς τὸ δυνατὸν ὁμοιοπαθεῖς λύπης τε καὶ ἡδονῆς εἶναι; κομιδῇ μὲν οὖν ἔφη. τί δαί. δίκαι τε καὶ ἐγκλήματα πρὸς ἀλλήλους οὐκ οἰχήσεται ἐξ αὐτῶν ὡς ἔπος εἰπεῖν. διὰ τὸ μηδὲν ἴδιον κεκτῆσθαι πλὴν τὸ σῶμα, τὰ δὲ ἄλλα κοινά. ὅθεν δὴ ὑπάρχει τούτοις ἀστασιάστοις εἶναι, ὅσα γε διὰ χρημάτων, ἢ παίδων ἢ ξυγγενῶν κτῆσιν, ἄνθρωποι στασιάζουσι, πολλὴ ἔφη ἀνάγκη ἀπηλλάχθαι. καὶ μὴν οὐδὲ βιαίων γε, οὐδὲ αἰκίας δίκαι δικαίως ἂν εἶεν ἐν αὐτοῖς, ἥλιξι μὲν γὰρ ἥλικας ἀμύνεσθαι, καλὸν καὶ δίκαιόν που θήσομεν ἀνάγκην σωμάτων ἐπιμελείας τιθέντες; ὀρθῶς ἔφη. καὶ γὰρ καὶ τόδε ὀρθὸν ἔχει ἦν δ' ἐγὼ, οὗτος ὁ νόμος. εἴ πού τίς τῳ θυμοῖτο, ἐν γὰρ τῷ τοιούτῳ πληρῶν τὸν θυμὸν, ἧττον ἐπὶ μείζους ἂν ἴοι στάσεις. πάνυ μὲν οὖν, πρεσβυτέρῳ μὴν νεωτέρων πάντων ἄρχειν τε καὶ κολάζειν, προστετάξεται. δῆλον. καὶ μὴν ὅτι γε νεώτερος πρεσβύτερον, ἂν μὴ ἄρχοντες προστάττωσιν, οὔτε ἄλλον βιάζεσθαι ἐπιχειρήσει ποτὲ, οὔτε τύπτειν ὡς τὸ εἰκός. οἶμαι δὲ οὐδ' ἄλλως ἀτιμάσει, ἱκανὼ γὰρ τὼ φύλακε κωλύοντε. δέος τε καὶ αἰδώς. αἰδὼς μὲν, ὡς γονέων μὴ ἅπτεσθαι εἴργουσα. δέος δὲ, τὸ τῷ πάσχοντι τοὺς ἄλλους βοηθεῖν. τοὺς μὲν, ὡς ὑεῖς. τοὺς δὲ, ὡς ἀδελφούς. τοὺς δὲ, ὡς πατέρας. ξυμβαίνει γὰρ οὕτως ἔφη. πανταχῇ δὴ ἐκ τῶν νόμων, εἰρήνην πρὸς ἀλλήλους οἱ ἄνδρες ἄξουσι; πολλήν γε, τούτων μὴν ἐν ἑαυτοῖς μὴ στασιαζόντων οὐδὲν δεινὸν, μή ποτε ἡ ἄλλη πόλις, πρὸς τούτους ἢ πρὸς ἀλλήλους διχοστατήσῃ. οὐ γὰρ οὖν, τά γε μὴν σμικρότατα τῶν κακῶν, δι' ἀπρέπειαν ὀκνῶ καὶ λέγειν, ὧν ἀπηλλαγμένοι ἂν εἶεν, κολακείας τε πλουσίων πένητες, ἀπορίας καὶ ἀλγηδόνας ὅσας ἐν παιδοτροφίᾳ καὶ χρηματισμοῖς διὰ τροφὴν οἰκετῶν ἀναγ-

Ayuntamiento de Madrid

καί ἂν ἴσχουσι· τὰ μὲν, δανειζόμενοι· τὰ δ' ἐξαρνούμενοι· τὰ δὲ, πάντως πορισάμενοι, θέμενοι παρὰ γυναῖκάς τε, καὶ οἰκέτας ταμιεύειν παραδόντες. ὅσα τε ὦ φίλε περὶ αὐτὰ καὶ οἷα πάσχουσι, δῆλά τε καὶ ἀγεννῆ, καὶ οὐκ ἄξια λέγειν, δῆλα γὰρ ἔφη καὶ τυφλῷ. πάντων τε δὴ τούτων ἀπαλλάξονται. ζήσουσί τε τοῦ μακαριστοῦ βίου, ὃν οἱ ὀλυμπιονῖκαι ζῶσι, μακαριώτερον. πῆ; διὰ σμικρόν που μέρος εὐδαιμονίζονται ἐκεῖνοι, ὧν τούτοις ὑπάρχει. ἥ τε γὰρ τῶνδε νίκη καλλίων, ἥ τ' ἐκ τοῦ δημοσίου τροφὴ, τελεωτέρα πίνω, ἀληθὲς ἦν δ' ἐγὼ οὕτω. εἰ δὲ καὶ τοῦτο προθυμηθῆναι χρὴ, σὴν χάριν ἀποδεῖξαι, πῆ μάλιστα καὶ κατὰ τί δυνατώτατα ἂν εἴη, πάλιν μοι πρὸς τὴν τοιαύτην ἀπόδειξιν ταυτὰ διομολόγησαι. τὰ ποῖα. ἆρ' οἷόν τέ τι πραχθῆναι ὡς λέγεται, ἢ φύσιν ἔχει πρᾶξιν λέξεως ἧττον ἀληθείας ἐφάπτεσθαι κἂν εἰ μή τῳ δοκῆ, ἀλλὰ σὺ πρότερον ὁμολογεῖς οὕτως ἢ οὔ. ὁμολογῶ ἔφη. τοῦτο μὲν δὴ μὴ ἀνάγκαζέ με, οἷα τῷ λόγῳ διήλθομεν τοιαῦτα παντάπασι, καὶ τῷ ἔργῳ δεῖν γιγνόμενα ἀποφαίνειν, ἀλλ' ἐὰν οἷοί τε γενώμεθα εὑρεῖν, ὡς ἂν ἐγγύτατα τῶν εἰρημένων πόλις οἰκήσειε φάναι ἡμᾶς ἐξευρηκέναι, ὡς δυνατὰ ταῦτα γίγνεσθαι, ἃ σὺ ἐπιτάττεις, ἢ οὐκ ἀγαπήσεις τούτων τυγχάνων, ἐγὼ μὲν γὰρ ἀγαπῴην. καὶ γὰρ ἔγωγε ἔφη. τὸ δὲ δὴ μετὰ τοῦτο ὡς ἔοικε πειρώμεθα ζητεῖν τε καὶ ἀποδεικνύναι. τί ποτε νῦν κακῶς ἐν ταῖς πόλεσι πράττεται, δι' ὃ, οὐχ οὕτως οἰκοῦνται· καὶ τίνος ἂν σμικροτάτου μεταβαλόντος, ἔλθοι εἰς τοῦτον τὸν τρόπον τῆς πολιτείας, πόλις μάλιστα μὲν ἑνός. εἰ δὲ μὴ, δυοῖν. εἰ δὲ μὴ, ὅτι ὀλιγίστων τὸν ἀριθμὸν, καὶ σμικροτάτων τὴν δύναμιν. παντάπασι μὲν οὖν ἔφη. ἑνὸς μὲν τοίνυν ἦν δ' ἐγὼ μεταβαλόντος, δοκοῦμέν μοι ἔχειν δεῖξαι, ὅτι μεταπέσοι ἄν. οὐ μέντοι μικροῦ γε οὐδὲ ῥᾳδίου, δυνατοῦ δέ, τίνος ἔφη. ἐπ' αὐτῷ δὴ ἦν δ' ἐγὼ εἰμὶ, ὅτῳ μεγίστῳ προσῃκάζομεν κύματι. εἰρήσεται δ' οὖν, εἰ καὶ μέλλει γέλωτί τε ἀτεχνῶς, ὥσπερ κῦμα ἐκγελῶν, καὶ ἀταξίαν καταλύσειν. σκόπει δὲ ὃ μέλλω λέγειν. λέγε ἔφη. ἐὰν μὴ ἦν δ' ἐγὼ ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν, ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι, φιλοσοφήσωσιν. ἀλλὰ μέντοι εἶπον, τό γε φιλομαθὲς, καὶ φιλόσοφον ταυτόν ἐστι. ταυτὸν γὰρ ἔφη. οὐκοῦν θαρροῦντες τιθῶμεν καὶ ἐν τῷ ἀνθρώπῳ, εἰ μέλλει πρὸς τοὺς οἰκείους γε καὶ γνωρίμους, πρᾶός τις ἔσεσθαι φύσει, καὶ φιλόσοφον καὶ φιλομαθῆ αὐτὸν δεῖν εἶναι. τιθῶμεν ἔφη. φιλόσοφος δὴ καὶ θυμοειδὴς καὶ ἰσχυρὸς, καὶ ταχὺς ἡμῖν τὴν φύσιν ἔσται, ὁ μέλλων καλὸς κἀγαθὸς φύλαξ ἔσεσθαι πόλεως. παντάπασι μὲν οὖν ἔφη. χαλεπὸν μὲν οὖν πόλεώς τε καὶ πολιτείας μὴ παντάπασιν εὐχὰς εἰρηκέναι, ἀλλὰ

Ayuntamiento de Madrid

χαλεπὸν μὲν, δυνατὸν δέ πη, καὶ οὐκ ἄλλῃ ἢ εἴρηται, ὅταν οἱ ἀληθῶς φιλόσοφοι δυνάσται, ἢ πλείους, ἢ εἷς ἐν πόλει γενόμενοι, τῶν μὲν νῦν τιμῶν καταφρονήσωσιν, ἡγησάμενοι ἀνελευθέρους εἶναι καὶ οὐδενὸς ἀξίους· τὸ δὲ ὀρθὸν περὶ πλεῖστον ποιησάμενοι, καὶ τὰς ἀπὸ τούτου τιμάς, μέγιστον δὲ καὶ ἀναγκαιότατον τὸ δίκαιον, καὶ τούτῳ δὴ ὑπηρετοῦντές τε καὶ αὔξοντες αὐτὸ διασκευωρήσονται τὴν ἑαυτῶν πόλιν, πῶς ἔφη. ὅσοι μὲν, ἦν δ' ἐγώ, πρεσβύτεροι τυγχάνωσι δέκα ἐν τῇ πόλει πάντας ἐκπέμψωσιν εἰς τοὺς ἀγρούς, τοὺς δὲ παῖδας αὐτῶν παραλαβόντες ἐκτὸς τῶν συνήθων ἃ καὶ οἱ γονεῖς ἔχουσι θρέψονται, ἐν τοῖς σφετέροις τρόποις καὶ νόμοις οὖσιν, οὓς διεληλύθαμεν, τότε καὶ οὕτω τάχιστά τε καὶ ῥᾷστα πόλιν τε καὶ πολιτείαν, ἣν ἐλέγομεν καταστᾶσαν, αὐτήν τε εὐδαιμονήσειν, καὶ τὸ ἔθνος ἐν ᾧ ἂν ἐγγένηται, πλεῖστα ὀνήσειν.

Ὁρᾷς τοῦτον ὡς ἐριστικὸν λόγον κατάγεις, ὡς οὐκ ἄρα ἔστι ζητεῖν αὐτῷ· οὔτε ὃ οἶδεν, οὔτε ὃ μὴ οἶδεν, οὔτε γὰρ ἂν ὅ γε οἶδε ζητεῖ, οἶδε γάρ, καὶ οὐδὲν δεῖ τῷ γε τοιούτῳ ζητῆσαι, οὔτε ὃ μὴ οἶδεν, οὔτε γὰρ οἶδεν, ὅτι ζητήσει. οὐκοῦν καλῶς σοι δοκεῖ λέγεσθαι ὁ λόγος οὗτος ὦ σώκρατες. οὐκ ἔμοιγε. ἔχεις λέγειν, ὅπῃ; ἔγωγε· ἀκήκοα γὰρ ἀνδρῶν τε καὶ γυναικῶν σοφῶν περὶ τὰ θεῖα πράγματα τινα λόγον λεγόντων ἀληθῆ ἔμοιγε δοκεῖν καὶ καλόν, τίνα τοῦτον, καὶ τίνες οἱ λέγοντες, οἱ μὲν λέγοντές εἰσι τῶν ἱερέων τε καὶ τῶν ἱερειῶν, ὅσοις μεμελέτηκε· περὶ ὧν μεταχειρίζονται λόγον· οἵοις τε εἶναι διδόναι. λέγει δὲ καὶ πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν, ὅσοι θεῖοί εἰσιν, ἃ δὲ λέγουσι, ταυτί ἐστιν. ἀλλὰ σκόπει εἴ σοι δοκοῦσιν ἀληθῆ λέγειν. φασὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον, καὶ τότε μὲν τελευτᾶν, ὃ δὴ ἀποθνήσκειν. τότε δὲ πάλιν γίγνεσθαι, ἀπόλλυσθαι δὲ οὐδέποτε, δεῖν δὴ διὰ ταῦ-

» τα, ὁσιώτατα διαβιῶναι τὸν βίον. οἷσι γὰρ ἂν φερσεφόνα ποινὰν παλαιοῦ
» πένθεος δέξεται ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει ἀνδιδοῖ ψυχὰν
» πάλιν, ἐκ τῶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοί, σοφίᾳ τε μέγιστοι ἄν-
» δρες αὔξονται. ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ πρὸς ἀνθρώπων κα-
» λοῦνται.

ἅτε οὖν ἡ ψυχὴ ἀθάνατος οὖσα, καὶ πολλάκις γεγονυῖα, καὶ τὰ ἐνθένδε καὶ τὰ ἐν ᾅδου καὶ πάντα πράγματα, οὐκ ἔστιν ὅτ' οὐ μεμάθηκεν, ὥστε οὐδὲν θαυμαστὸν, καὶ περὶ ἀρετῆς καὶ περὶ ἄλλων οἷόν τε εἶναι αὐτὴν ἀναμνησθῆναι, ἅ γε καὶ πρότερον ἠπίστατο, ἅτε γὰρ τῆς φύσεως ἁπάσης συγγενοῦς οὔσης καὶ μεμαθηκυίας ἅπαντα τῆς ψυχῆς, οὐδὲν κωλύει ἓν μόνον ἀναμνησθέντα, ὃ δὴ μάθησιν καλοῦσιν ἄνθρωποι, τἆλλα πάντα αὐτὸν ἀνευ-

ρεῖν,

Ayuntamiento de Madrid

ἀναμνησθέντα, ὃ δὴ μάθησιν καλοῦσιν ἄνθρωποι. τἆλλα πάντα αὐτὸν ἀνευρεῖν, ἐάν τις ἀνδρεῖος ᾖ, καὶ μὴ ἀποκάμῃ ζητῶν, τὸ γὰρ ζητεῖν ἄρα, καὶ τὸ μανθάνειν, ἀνάμνησις ὅλον ἐστὶν, οὐκοῦν οὐ δεῖ πείθεσθαι τούτῳ ἐριστικῷ λόγῳ, οὗτος μὲν γὰρ ἡμᾶς ἀργοὺς ποιήσει, καὶ ἔστι τοῖς μαλακοῖς τῶν ἀνθρώπων ἡδὺς ἀκοῦσαι. ὅδε δὲ, ἐργαστικούς τε καὶ ζητητικοὺς ποιεῖ, ᾧ ἐγὼ πιστεύων, ἀληθεῖ εἶναι ἐθέλω διὰ τὸ ζητεῖν ὅτι ἀρετή ἐστι. ναὶ, ὦ σώκρατες. πῶς λέγεις τοῦτο ὅτι οὐ μανθάνομεν, ἀλλὰ ἣν καλοῦμεν μάθησιν, ἀνάμνησίς ἐστιν. ἔχεις με τοῦτο διδάξαι, ὡς οὕτως ἔχει; καὶ ἄρτι εἶπον ὦ μένων ὅτι πανοῦργος εἶ, καὶ νῦν ἐρωτᾷς, εἰ ἔχω σε διδάξαι, ὃς οὔ φημι διδαχὴν εἶναι, ἀλλ' ἀνάμνησιν, ἵνα δὴ εὐθὺς φαίνωμαι αὐτὸς ἐμαυτῷ τἀναντία λέγων. οὐ μὰ τὸν δία ὦ σώκρατες, οὐ πρὸς τοῦτο βλέψας.

Ακούοι δὴ πᾶς ὥσπερ νῦν τὰ περὶ θεῶν τε ἤκουε καὶ τῶν φίλων προπατόρων, πάντων γὰρ τῶν ἐν τῷ βίῳ κτημάτων, μετὰ θεοὺς, ψυχὴ θειότατον, οἰκειότατον ὄν, τὰ δ' αὐτοῦ διττὰ παρὰ πᾶσι. τὰ μὲν οὖν κρείττω καὶ ἀμείνω δεσπόζοντα. τὰ δ' ἥττω καὶ χείρω, δοῦλα. τῶν οὖν δύο, τὰ δεσπόζοντα προτιμητέον τῶν δουλευόντων, οὕτω δὴ τὴν αὐτοῦ ψυχὴν μετὰ θεοὺς ὄντας δεσπότας, καὶ τοὺς τούτοις ἑπομένους τιμᾶν δεῖν λέγων. δεύτερ' ἄρ' αὖ ὀρθῶς παρακελεύομαι, τιμᾷ δ' ὡς ἔπος εἰπεῖν ἡμῶν οὐδεὶς ὀρθῶς. δοκεῖ δὲ, θεῖον γὰρ ἀγαθὸν πού τιμή. τῶν δὲ κακῶν οὐδὲν τίμιον. ὁ δ' ἡγούμενος ἤ τισι λόγοις ἢ δώροις αὐτοῖς αὔξειν, ἤ τισιν ὑπείξεσι, βελτίω δ' ἐγχωρούμενος αὐτὴν ἀπεργαζόμενος, τιμᾶν μὲν δοκεῖ. δρᾷ δὲ τοῦτο οὐδαμῶς. αὐτίκα παῖς γενόμενος εὐθὺς ἄνθρωπος πᾶς, ἡγεῖται πάντα ἱκανὸς εἶναι γινώσκειν, καὶ τιμᾶν οἴεται ἐπαινῶν τὴν αὐτοῦ ψυχὴν, καὶ προθυμούμενος ἐπιτρέπει πράττειν, ὅταν ἐθέλῃ. τὸ δὲ νῦν λεγόμενόν ἐστιν, ὡς δρῶν ταῦτα βλάπτει, καὶ οὐ τιμᾷ. δεῖ δὲ ὡς φαμὲν μετά γε θεοὺς, δευτέραν. οὐδέ γε ὅταν ἄνθρωπος τῶν αὐτοῦ ἕκαστος ἁμαρτημάτων, μὴ ἑαυτὸν αἴτιον ἡγῆται, καὶ τῶν πλείστων κακῶν καὶ μεγίστων, ἀλλὰ ἄλλους, ἑαυτὸν δὲ ἀεὶ ἀναίτιον ἐξαιρῇ, τιμῶν τὴν ἑαυτοῦ ψυχήν. ὡς ὃ δὴ δοκεῖ ᾧδε πολλοῦ δεῖ δρᾶν τοῦτο, πράττει γὰρ, οὐδὲ ὁπόταν ἡδοναῖς παρὰ λόγον τὸν τοῦ νομοθέτου καὶ ἔπαινον χαρίζηται, τότε οὐδαμῶς τιμᾷ, ἀτιμάζει δὲ, κακῶν καὶ μεταμελείας ἐμπιπλὰς αὐτήν. οὐδέ γε ὁπόταν αὖ τἀναντία τοὺς ἐπαινουμένους φόβους, καὶ ἀλγηδόνας καὶ λύπας μὴ διαπονῇ καρτερῶν, ἀλλ' ὑπείκῃ, τότε οὐ τιμᾷ, ἀτιμάζων, ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται δρῶν τὰ τοιαῦτα σύμπαντα. οὐδ' ὁπόταν ἡγῆται ζῶ, τοῦτο ἀγαθὸν εἶναι, τιμᾷ, ἀτιμάζει δ' αὐτὴν καὶ



Ayuntamiento de Madrid

τότε, τὰ γὰρ ἐν ᾅδου πράγματα, πάντα κακὰ ἡγούμενος τῆς ψυχῆς εἶναι,
ὑπείκει τε καὶ οὐκ ἀντιτείνει. διδάσκων τε καὶ ἐλέγχων, ὡς οὐκ οἶδ᾽ αὖ οὐ-
δ᾽ εἰ τὰ οὐράνια πέφυκε μέγιστα εἶναι πάντων ἀγαθῶν ἡμῖν τὰ περὶ τοὺς θεοὺς
ἐκεῖ, οὐδὲ μὴν πρὸ ἀρετῆς ταῦτ᾽ ἂν αὖ προτιμᾷ τις κάλλος τουτέστιν οὐχ ἕτε-
ρον, ἢ τῆς ψυχῆς ὄντως ἀτιμία, ψυχῆς γὰρ σῶμα ἀτιμότερον αὐτῆς ὅλον
φησὶν εἶναι ψευδόμενος, οὐδὲν γάρ τι γένος ὀλυμπίων ἐντιμότερον. ἀλλ᾽ ὁ
περὶ ψυχῆς καλῶς δοξάζων, ἀγνοεῖ ὡς θαυμαστοῦ τοῦ κτήματος ἀεὶ, οὐδέ γε
ὁπόταν χρήματά τις κτᾶσθαι μὴ καλῶς, ἢ μὴ δυσχερῶς φέρῃ κτώμενος,
δώροις ἄρα τιμᾷ τότε τὴν αὑτοῦ ψυχὴν, παντὸς μὲν οὖν λείπει, τὸ γὰρ αὐ-
τῆς τίμιον ἅμα καὶ καλὸν ἀποδίδοται τοῦ χρυσοῦ, πᾶς γὰρ ὅ τ᾽ ἐπὶ γῆς καὶ
ὑπὸ γῆς χρυσὸς, ἀρετῆς οὐκ ἀντάξιος, οὐδ᾽ ὡς εἰπεῖν ξυλλήβδην ὅσα τε νο-
μοθέτης αἰσχρὰ εἶναι καὶ κακὰ διαριθμούμενος, ταύτῃ καὶ τοὐναντίον
ἀγαθὰ καὶ καλὰ, τῶν μὲν ἀπέχεσθαι μὴ ἐθέλειν πάσῃ μηχανῇ, τὰ δ᾽ ἐπι-
τηδεύειν ξύμπασαν κατὰ δύναμιν, οὐκ οἶδεν ἐν τούτοις πᾶσι πᾶς ἄνθρω-
πος ψυχὴν θειότατον ὂν, ἀτιμότατα καὶ κακοσχημονέστατα διατιθεὶς, τὴν
γὰρ λεγομένην δίκην, τῆς κακουργίας τὴν μεγίστην, οὐδεὶς ὡς ἔπος εἰπεῖν
λογίζεται. ἔστι δὲ ἡ μεγίστη τὸ ὁμοιοῦσθαι τοῖς οὖσι κακοῖς ἀνδράσιν, ὁ-
μοιούμενον δὲ, τοὺς μὲν ἀγαθοὺς φεύγειν ἄνδρας, καὶ λόγους· καὶ τῶν μὲν,
ἀποσχίζεσθαι· τοῖς δὲ, προσκολλᾶσθαι διώκοντα καὶ τὰς ξυνουσίας. προσπε-
φυκότα δὲ τοῖς τοιούτοις, ἀνάγκη ποιεῖν καὶ πάσχειν ἃ πεφύκασιν ἀλλή-
λοις οἱ τοιοῦτοι ποιεῖν καὶ λέγειν. τοῦτο δὴ οὖν τὸ πάθος, δίκη μὲν οὐκ ἔστι,
καλὸν γὰρ τό γε δίκαιον καὶ ἡ δίκη. τιμωρία δὲ ἀδικίας, ἀκόλουθος πάθη,
ἧς ὅ, τε τυχὼν καὶ μὴ τυγχάνων ἄθλιος. ὁ μὲν οὐκ ἰατρευόμενος, ὁ δ᾽ ἵνα ἕ-
τεροι πολλοὶ σώζωνται ἀπολλύμενος. τιμὴ δ᾽ ἐστὶν ἡμῖν ὡς τὸ ὅλον εἰπεῖν,
τοῖς μὲν ἀμείνοσιν ἕπεσθαι. τὰ δὲ χείρω γενέσθαι βελτίω, δυνατὰ τοῦτ᾽ αὐ-
τὸ ὡς ἄριστα ἀποτελεῖν. ψυχῆς οὖν ἀνθρώπῳ κτῆμα οὐκ ἔστιν ἐμφυέστερον,
εἰς τὸ φυγεῖν μὲν τὸ κακὸν, ἰχνεῦσαι δὲ καὶ ἑλεῖν τὸ πάντων ἄριστον, καὶ ἑλ-
θόντα αὖ ξυνοικεῖν κοινῇ τὸν ἐπίλοιπον βίον. διὸ δεύτερον ἐτάχθη. τὸ δὲ τρί-
τον, πᾶσαν τοῦτό γε ὀνήσει, εἰ τὴν τοῦ σώματος εἶναι κατὰ φύσιν τιμήν. τὰς
δ᾽ αὖ τιμὰς δεῖ σκοπεῖν. καὶ τούτου τίνες ἀληθεῖς, καὶ ὅσαι κίβδηλοι. τού-
του δὲ νομοθέτου μηνύειν δὴ φαίνεται, τὰς δὲ καὶ τοιάσδε τινὰς αὐτὰς
εἶναι. τίμιον εἶναι σῶμα, οὐ τὸ καλὸν οὐδὲ τὸ ἰσχυρὸν, οὐδὲ τὸ τάχος ἔχον.
οὐδὲ μέγα. οὐδὲ τὸ ὑγιεινόν. καίτοι γε, πολλοῖς ἂν τοῦτο δοκοῖ, καὶ μὴν, οὐδὲ
τὰ τούτων γε ἐναντία. τὰ δ᾽ ἐν τῷ μέσῳ ἁπάσης ταύτης τῆς ἕξεως ἐφαπτό-

Ayuntamiento de Madrid

μενα, σωφρονέστατα ἅμα τε ἀσφαλέστατα εἶναι μακρῷ τὰ μὲν γὰρ, χαύνους τὰς ψυχὰς καὶ θρασείας ποιεῖ· τὰ δὲ, ταπεινάς τε καὶ ἀνελευθέρους· ὡς δ' αὔτως ἡ τῶν χρημάτων κτήσεως καὶ τιμήσεων, κατὰ τὸν αὐτὸν ῥυθμὸν ἔχει. τὰ μὲν ὑπέρογκα γὰρ ἑκάστων τούτων, ἔχθρας καὶ στάσεις ἀπεργάζεται ἐν ταῖς πόλεσι καὶ ἰδίᾳ. τὰ δ' ἐλλείποντα, δῆλον μὴ δήτις φιλοχρηματείτω παίδων γε ἕνεκα, ὅτι πλουσιωτάτους καταλείπει, οὔτε γὰρ καλὸν, οὔτε αὐτῇ πόλει ἄμεινον. ἡ γὰρ τῶν νέων ἀκολάκευτος οὐσία, τῶν δὲ ἀναγκαίων μὴ ἐνδεχομένη, μουσικωτάτη τε καὶ ἀρίστη, ξυμφωνοῦσα γὰρ ἡμῖν καὶ ξυναρμόττουσα εἰς πάντα, ἄλυπον ἀπεργάζεται, παισὶ δὲ, αἰδῶ χρὴ πολλὴν, οὐ χρυσὸν καταλείπειν. οἰόμεθα δὲ ἐπιπλήττοντες ἀναισχυντοῦσι τοῦτο καταλείψειν. τὸ δ' ἔστιν οὐκ ἐκ τοῦ νῦν παρακελεύσματος τοῖς νέοις γιγνόμενον, ὃ πάντες λέγοντες, ὡς δεῖ πάντα αἰσχύνεσθαι τοὺς νέους, καὶ πάντων μάλιστα εὐλαβεῖσθαι, μήποτέ τις ἴδῃ τῶν νέων, ἢ καὶ ἐπακούσῃ δρῶντα, ἢ λέγοντά τι τῶν αἰσχρῶν. ὡς ὅπου ἀναισχυντοῦσι γέροντες, ἀνάγκη καὶ νέους ἐνταῦθα εἶναι ἀναιδεστάτους, παιδεία γὰρ διαφέρουσα ἐστὶν ἅμα καὶ αὐτὸ νουθετεῖν. ἀλλ' ἅπερ ἂν ἄλλον νουθετῶν εἴποι τις, φαίνεσθαι ταῦτα αὐτὸν δρῶντα διὰ βίου ξυγγένειαν, καὶ ὁμογνίων θεῶν κοινωνίαν πᾶσαν, ταὐτοῦ φύσιν αἵματος ἔχουσαν, τιμῶν τις καὶ σεβόμενος, εὔνους ἂν γενεθλίους θεοὺς, εἰς παίδων αὑτοῦ σποράν ἴσχοι κατὰ λόγον καὶ μὴν φίλων καὶ ἑταίρων πρὸς τὰς ἐν βίῳ ὁμιλίας ἄν τις κτῷτο, μείζους μὲν καὶ σεμνοτέρας τὰς ἐκείνων ὑπὲρ αὐτοῦ, εἰς αὐτὸν ἡγούμενος ἢ ἐκεῖνοι. ἐλάττους δ' αὖ τὰς αὐτοῦ διανοούμενος εἰς τοὺς φίλους χάριτας, ὑπὲρ αὐτῶν τῶν φίλων καὶ ἑταίρων. εἴς γε μὴν πόλιν καὶ πολίτας μακρῷ ἄριστος, ὅστις πρὸ τοῦ νικῆσαι ὀλυμπιάσι, καὶ ἁπάντων ἀγώνων πολεμικῶν τε καὶ εἰρηνικῶν νικῷη, δέξαιτ' ἂν δόξης ὑπηρεσίας τῶν οἰκονόμων, ὡς ὑπηρετικῶς πάντων μάλιστα ἀνθρώπων αὐτοῖς ἐν τῷ βίῳ. πρὸς δ' αὖ τοὺς ξένους διανοητέον, ὡς ἁγιώτατα ξύμβολα ὄντας, σχεδὸν γὰρ πάντα ἐστὶ τὰ τῶν ξένων, καὶ εἰς τοὺς ξένους ἁμαρτήματα παρὰ τῶν πολιτῶν, εἰς θεὸν ἀνηρτημένα, τιμωρὸν μᾶλλον, ἔρημος γὰρ ὢν ὁ ξένος ἑταίρων τε καὶ συγγενῶν, ἐλεεινότερος ἀνθρώποις καὶ θεοῖς. ὁ δυνάμενος οὖν τιμωρεῖν, μᾶλλον βοηθεῖ προθυμότερον, δύναται δὲ διαφερόντως ὁ ξένιος ἑκάστων δαίμων, καὶ θεὸς τὰ ξένια συνεπόμενοι Διΐ. πολλῆς οὖν εὐλαβείας, ᾧ καὶ σμικρὸν προμηθείας ἔνι, μηδὲν ἁμαρτήματα περὶ ξένους ἁμαρτάνοντα ἐν τῷ βίῳ, πρὸς τὸ τέλος αὐτοῦ πορευθῆναι. ξενικῶν δ' αὖ καὶ ἐπιχωρίων ἁμαρτημάτων, τὸ περὶ τοὺς ἱκέτας γίνεται ἁμάρτημα ἑκάστοις, μεθ' οὗ γὰρ ἱκετεύσας μάρτυρος ὁ ἱκέτης θεοῦ ἔτυχεν, ὁμολογιῶν φύλαξ διαφέρων. οὗτος τοῦ παθόντος γίνεται,



Ayuntamiento de Madrid

ὥστ' οὐκ ἄν ποτε ἀτιμώρητος πάθῃ, ὁ τυχὼν ὧν ἔπαθες. τὰ μὲν οὖν περὶ γονέας τε καὶ ἑαυτῶν καὶ τὰ ἑαυτοῦ περὶ πόλιν τε καὶ φίλους καὶ ξυγγένειαν, ξενικά τε καὶ ἐπιχώρια διεληλύθαμεν σχεδὸν ὁμιλήματα, τὸ δὲ ποῖός τις ὢν ἂν κάλλιστα διαγάγοι τὸν βίον, ἑπόμενον τούτῳ διεξελθεῖν, ὅσον μὴ νόμος, ἀλλ' ἔπαινος παιδεύων καὶ ψόγος ἑκάστους εὐηνίους μᾶλλον τοῖς τεθήσεσθαι μέλλουσι νόμοις ἀπεργάζεται. ταῦτ' ἐστί. μετὰ τοῦτο ἡμῖν ῥητέον. ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις, ἧς ὁ γεννήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὡς ὅτι πλεῖστον χρόνον ἀληθὴς ὤν, διαβιοῖ καὶ ἄπιστος. ᾧ φίλον ψεῦδος ἑκούσιος· ὅτῳ δὲ ἑκούσιον, ἄνους. ὧν οὐδέτερον ζηλωτόν. ἀλλὰ πᾶς ὅγε ἄπιστος καὶ ἀμαθής· χρόνου δὲ προϊόντος, γνωσθεὶς εἰς τὸ χαλεπὸν γῆρας κατὰ πᾶσαν κατεσκεύασατο ἐπὶ τέλει τοῦ βίου· ὥστε ζώντων καὶ μὴ ἑταίρων, καὶ παίδων σχεδὸν ὀρφανὸν αὐτῷ γενέσθαι τὸν βίον. τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν, ὁ δὲ μὴ δ' ἐπιτρέπων τοῖς θέλουσιν ἀδικεῖν, πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου, ὁ μὲν γὰρ ἑνός, ὁ δὲ, ἀντάξιος ἑτέρων. μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν. ὁ δὲ, καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἔχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος, οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ. τὸν δὴ τοῦτον ἔπαινον, καὶ περὶ σωφροσύνης χρὴ λέγειν, καὶ περὶ φρονήσεως, καὶ ὅσα ἄλλα ἀγαθά τις κέκτηται καλά, μὴ μόνον αὐτὸν ἔχειν, ἀλλὰ καὶ ἄλλοις εἶναι διδόναι. τὸν μὲν, μεταδιδόντα, ὡς ἀκρότατον χρὴ τιμᾶν. τὸν δ' αὖ μὴ δυνάμενον, ἐθέλοντα δὲ ἐᾶν, δεύτερον. τὸν δὲ φθονοῦντα, καὶ θέλοντα μηδενὶ κοινωνὸν διὰ φιλίας γιγνόμενον ἀγαθῶν τινων, αὐτὸν μὲν ψέγειν, τὸ δὲ κτῆμα μηδὲν μᾶλλον διὰ τὸν κεκτημένον ἀτιμάζειν. ἀλλὰ κτᾶσθαι κατὰ δύναμιν.

E Ἔστιν. ταῦτα μὲν δὴ ὡμολόγηται ὦ Γλαύκων τῇ μελλούσῃ ἄκρως οἰκεῖν πόλει, κοινὰς μὲν γυναῖκας, κοινοὺς δὲ παῖδας εἶναι, καὶ πᾶσαν παιδείαν. ὡσαύτως δὲ τὰ ἐπιτηδεύματα κοινὰ, ἐν πολέμῳ τε καὶ εἰρήνῃ. βασιλέας τε αὐτῶν εἶναι τοὺς ἐν φιλοσοφίᾳ τε, καὶ πρὸς τὸν πόλεμον γεγονότας ἀρίστους ὡμολόγηται ἔφη. καὶ μὴν καὶ τάδε ξυνεχωρήσαμεν, ὡς ὅταν δὴ καταστῶσιν οἱ ἄρχοντες ἄγοντες τοὺς στρατιώτας, κατοικιοῦσιν εἰς οἰκήσεις οἵας προείπομεν, ἴδιον δὲ οὐδὲν οὐδενὶ ἐχούσας, κοινὰς δὲ πᾶσι.

M ἢ ἐκπληττώμεθα εἰς τὸν τύραννον ἕνα ὄντα βλέποντες, μηδ' εἴ τινες ὀλίγοι περὶ ἐκεῖνον. ἀλλ' ὡς χρὴ, ὅλην πόλιν εἰσελθόντας θεάσασθαι, καταδύντες εἰς ἅπασαν, καὶ ἰδόντες, οὕτω δόξαν ἀποφαινώμεθα. ἀλλ' ὀρθῶς ἔφη

προκαλῇ

Ayuntamiento de Madrid

προκαλῆ, καὶ δῆλον παντὶ, ὅτι τυραννουμένης μὲν, οὐκ ἔστιν ἀθλιωτέρα, βασιλευομένης δὲ, οὐκ εὐδαιμονεστέρα.

I Οἱ δῆμοι ἔφην ἐγὼ νῦν ἤδη ὥσπερ ὁ διὰ πάντων κριτὴς ἀποφαίνεται. καὶ σὺ οὕτω τίς πρῶτος κατὰ τὴν σὴν δόξαν εὐδαιμονίαν. καὶ τίς δεύτερος. καὶ τοὺς ἄλλους ἑξῆς πέντε ὄντας κρῖναι. βασιλικὸν. τιμοκρατικὸν. ὀλιγαρχικὸν. δημοκρατικὸν. τυραννικὸν. ἀλλὰ ῥᾳδία ἔφη κρίσις. καθάπερ γὰρ εἰσῆλθον ἔγωγε ὥσπερ χοροὺς κρίνω ἀρετῇ καὶ κακίᾳ καὶ εὐδαιμονίᾳ, καὶ τῷ ἐναντίῳ. μισθωσώμεθα οὖν κήρυκα ἦν δ' ἐγὼ, ἢ αὐτὸς ἀνείπω, ὅτι ὁ Ἀρίστωνος υἱὸς, τὸν ἄριστόν τε καὶ δικαιότατον εὐδαιμονέστατον ἔκρινε, τοῦτον εἶναι τὸν βασιλικώτατον καὶ βασιλεύοντα αὑτοῦ. τὸν δὲ κάκιστόν τε καὶ ἀδικώτατον καὶ ἀθλιώτατον τοῦτον δ' αὖ τυγχάνειν ὄντα, ὃς ἂν τυραννικώτατος ὢν, ἑαυτοῦ τε ὅτι μάλιστα τυραννεῖ καὶ τῆς πόλεως.

H Ἧ δ' ἄν ποτε ξυνοικίᾳ, μήτε πλοῦτος ξυνοικῇ, μήτε πενία, σχεδὸν ἐν ταύτῃ γενναιότατα ἤθη γίγνοιτ' ἄν, οὔτε γὰρ ὕβρις, οὔτ' ἀδικία, ζῆλοί τε αὖ καὶ φθόνοι οὐκ ἐγγίγνονται. Τοῦ αὐτοῦ νόμων γ'.

T Τὸ δὲ ἐμὸν ἔλεγεν, ὅτι τοῦτο μὲν πρὸς μίαν ἀρετὴν οὐσῶν τεττάρων, κελεύοι τίθεσθαι τοὺς νόμους. δέον δὴ πρὸς πᾶσαν μὲν βλέπειν, μάλιστα δὲ πρὸς τὴν πρώτην, καὶ τῆς ξυμπάσης ἡγεμόνα ἀρετῆς. φρόνησις δ' εἴη τοῦτο καὶ σοφία. καὶ δόξα, μετ' ἔρωτός τε καὶ ἐπιθυμίας τούτοις ἑπομένης. τοὺς γοῦν ἔχοντας τοῦτο, ὡς σοφούς τε προσρητέον ἂν, καὶ τὸ λεγόμενον, μήτε γράμματα, μήτε νεῖν ἐπίστωνται, καὶ τὰς ἀρχὰς δοτέον ὡς ἔμφροσι. πῶς γὰρ ἂν ὦ φίλοι ἄνευ ξυμφωνίας γένοιτ' ἂν φρονήσεως καὶ τὸ σμικρότατον εἶδος. οὐκ ἔστιν. ἀλλ' ἡ καλλίστη καὶ μεγίστη τῶν ξυμφωνιῶν, μεγίστη δικαιότατ' ἂν λέγοιτο σοφία. ἧς ὁ μὲν κατὰ λόγον ζῶν, μέτοχος. ὁ δὲ ἀπολειπόμενος, οἰκοφθόρος, καὶ περὶ πόλιν οὐδαμῇ σωτήρ. ἀλλὰ πᾶν τοὐναντίον, ἀμαθαίνων εἰς ταῦτα ἑκάστοτε φαίνεται. Ἐν ταυτῷ.

E Ἐάν τις μείζονα διδοῖ τοῖς ἐλάττοσι παρεὶς τὸ μέτριον, πλοίοις τε ἱστία, καὶ σώμασι τροφὴν, καὶ ψυχαῖς ἀρχὰς, ἀνατρέπονταί που πάντα καὶ ἐξυβρίζοντα. τὰ μὲν εἰς νόσους θεῖ, τὰ δ' εἰς ἔκγονον ὕβρεως ἀδικίαν. Ἐν ταυτῷ.

Λ Λέγομεν τοίνυν ὅτι πόλιν ὡς ἔοικε τὴν μέλλουσαν σώζεσθαί τε, καὶ εὐδαιμονήσειν εἰς δύναμιν ἀνθρωπίνην, δεῖ καὶ ἀναγκαῖον, τιμάς τε καὶ ἀτιμίας διανέμειν ὀρθῶς. ἔστι δὲ ὀρθῶς ἄρα, τιμιώτατα μὲν καὶ πρῶτα, τὰ περὶ τὴν ψυχὴν ἀγαθὰ κεῖσθαι, σωφροσύνης ὑπαρχούσης αὐτῇ. δεύτερα δὲ, τὰ περὶ τὸ σῶμα καὶ ἀγαθὰ. καὶ τρίτα, τὰ περὶ τὴν οὐσίαν καὶ χρήματα λεγόμενα. Ἐν ταυτῷ.



Ayuntamiento de Madrid

τούτων δὲ αὖ ἐκτός τις βλέπῃ νομοθέτης ἢ πόλις, εἰς τιμὰς χρήματα προάγουσα, ἢ τι τῶν ὕστερον εἰς τὸ πρόσθεν τιμαῖς τάττουσα, οὔθ' ὅσιον, οὔτε πολιτικῶν ἀνδρῶν πρᾶγμα.

Τοῦ αὐτοῦ νόμων ε΄. Η μὲν δὲ ἡ τῶν νόμων ὑπόθεσις, ἐνταῦθα ἔβλεπεν, ὅπως ὡς εὐδαιμονέστατοι ἔσονται, καὶ ὅτι μάλιστα ἀλλήλοις φίλοι. εἶεν δὲ οὐκ ἄν ποτε ἀλλήλοις φίλοι, ὅπου πολλαὶ μὲν δίκαι ἐν ἀλλήλοις εἶεν, πολλαὶ δὲ ἀδικίαι, ἀλλ' ὅπου ὡς ὅτι σμικρόταται καὶ ὀλίγισται. λέγομεν δὴ μήτε εἶναι χρυσὸν δεῖν, μήτε ἄργυρον αὐτῇ πόλει, μήτε αὖ χρηματισμὸν πολὺν διὰ βαναυσίας καὶ τόκων, μηδὲ βοσκημάτων αἰσχρῶν, ἀλλ' ὅσα γεωργία δίδωσι καὶ φέρει, καὶ τούτων ὁπόσα μὴ χρηματιζόμενον ἀναγκάσειεν ἀμελεῖν, ὧν ἕνεκα πέφυκε τὰ χρήματα. ταῦτα δ' ἐστὶ ψυχὴ καὶ σῶμα, χωρὶς γυμναστικῆς καὶ τῆς ἄλλης παιδείας, οὐκ ἄν ποτε γένοιτο ἄξια λόγου. διὸ δὴ χρημάτων ἐπιμέλειαν οὐχ ἅπαξ εἰρήκαμεν, ὡς χρὴ τελευταῖον τιμᾶν. ὄντων γὰρ τριῶν τῶν ἁπάντων, περὶ ἃ πᾶς ἄνθρωπος σπουδάζει, τελευταῖον καὶ τρίτον ἐστὶν, ἡ τῶν χρημάτων ὀρθῶς σπουδαζομένη σπουδή. σώματος δὲ πέρι, μέση. πρώτη δὲ ἡ τῆς ψυχῆς. καὶ δὴ καὶ νῦν ἣν διεξερχόμεθα πολιτείαν, εἰ μὲν τὰς τιμὰς οὕτω τάττεται, ὀρθῶς νενομοθέτηται. εἰ δέ τις τῶν προσταττομένων αὐτόθι νόμων σωφροσύνης ἔμπροσθεν ὑγίειαν ἐν τῇ πόλει φανεῖται ποιῶν τιμίαν, ἢ πλοῦτον ὑγιείας καὶ τοῦ σωφρονεῖν, οὐκ ὀρθῶς ἂν φανεῖται τιθέμενος.

Ἀρχύτα. P ονηρῶν ἀθέων νόμοι θεῶν ἄγραφοι αὐτονομιζόμενοι, πονηραὶ μοῖραι καὶ ζημίαι τῷ μὴ πειθομένῳ, διδόντες, πατέρες καὶ ἡγεμόνες τῶν γεγραμμένων νόμων, καὶ δογμάτων ἀνθρώποις τιθέντων. ἔπεται γὰρ, τέτορες αἰτίαι τὰ σύμπαντα περαίνοντι. καὶ ἐπιτέλος ἐπιτιθέντι. φύσις. καὶ νόμος. καὶ τέχνα. καὶ τύχα. καὶ τῶν μὲν ἐξ ἀρχᾶς ποτὶ συμφωνίαν πολιτικῶν φερόντων, νόμος, ἐπιστάτης καὶ δημιουργός. τῶν δὲ, διὰ φρονήσιος ἀνθρωπίνας τελεθόντων, τέχνα λέγοιτο δικαίως, μάτηρ τε καὶ ἡγεμὼν ἦμεν. τῶν δὲ εἰκᾶ τε καὶ ὡς ἔτυχεν ἀπὸ τοῦ αὐτομάτου ὁμοίως μεταπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς. τύχαν τῶν τοιούτων αἰτίαν φασομεν. ταύταν δ' οὔτ' ἐν μέτρῳ, οὔτ' ἐν ὅρῳ τεταγμέναν, καὶ πεφροιηκυῖαν ἕκαστα ποιεῦν, γενναθεῖσα δὲ, ἃ ἐξ αὐτῶν τῷ γένεος ἄμφω κινεῖται.

Ayuntamiento de Madrid

## Τῶν ἑπτὰ σοφῶν περὶ πολιτείας.

Εἰ δὲ βούλεσθε καὶ νῦν ἔφη ὁ Σόλων περὶ πολιτείας ἀκοῦσαι, δοκεῖ μοι πόλις ἄριστα πράττειν, καὶ μάλιστα σώζειν δημοκρατίαν, ἐν ᾗ, τὸν ἀδικήσαντα τοῦ ἀδικηθέντος προβάλλονται καὶ κολάζουσι. α'.

Δεύτερος δὲ ὁ Βίας ἔφη, κρατίστην εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον. β'.

Ἔπειτα Θαλῆς, τὴν μήτε πλουσίους ἔχουσαν ἄγαν, μήτε πένητας πολίτας. γ'.

Μετὰ δὲ τοῦτον, ὁ Περίανδρος, ἐν ᾗ τῶν ἄλλων ἴσων νομιζομένων, ἀρετῇ τὸ βέλτιον ὁρίζεται· κακίᾳ δὲ τὸ χεῖρον. δ'.

Πέμπτος δὲ, ὁ Κλεόβουλος ἔφη μάλιστα σωφρονεῖν δῆμον, ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν, ἢ τὸν νόμον. ε'.

Ἕκτος δὲ Πιττακός· ὅπου τοῖς πονηροῖς οὐκ ἔστιν ἄρχειν. ς'.

Ὁ δὲ Χίλων ἀπεφήνατο, τὴν μάλιστα νόμων, ἥκιστα δὲ ῥητόρων ἀκούουσαν πολιτείαν, ἀρίστην εἶναι. ζ'.

Οἱ νόμοι χάριν τῶν σοφῶν κεῖνται· οὐχ ἵνα μὴ ἀδικῶσιν, ἀλλ᾽ ἵνα μὴ ἀδικῶνται.

Δημοσθένης ὁ ῥήτωρ ἔφη· πόλεως ψυχὴν εἶναι τοὺς νόμους, ὥσπερ γὰρ τὸ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλις μὴ ὄντων νόμων, οὐχ ἵσταται.

Ὡς οἵτινες· τοῖς μὲν ἴσοις μὴ εἴκουσι, τοῖς δὲ κρείττοσι καλῶς προσφέρονται, πρὸς δὲ τοὺς ἥσσους μέτριοί εἰσι, πλεῖστ᾽ ἂν ὀρθοῖντο. Θουκυδίδου

Πλοῦτος ἐν πόλει τῇ μελλούσῃ εὐδαιμονεῖν, ἀρετῆς μήποτε προτιμηθείη, ὅπως μὴ διὰ τοῦτο, ἐς τὴν ἐκείνου ἐπιθυμίην πάντων συῤῥεόντων, ὀλιγωρείη, καὶ ἀνασκησίη κοτ᾽ ἐτῆς ψυχαῖς ταῖς κατὰ πόλιν ἐμφυῇ. ἀρετῆς γὰρ ἀτιμαζομένης, πλοῦτος μοῦνος σπουδαζόμενος καὶ ἐν δυναστεύσας, ὕβριός τε καὶ ὑπερηφανίης ὑπηρέτης, καὶ πάντων κακῶν ὑπ᾽ ἐξουσίης τε καὶ τοῦ ἀνεπιπλήκτου. τῆς ἀπεστώσης ἀρετῆς. οὐδεὶς ἀνακαλέεται, χορηγὸς γίγνεται. Εὐσεβίου.

Ἄρχουσιν ἡ ὀφειλομένη αἰδὼς καὶ τιμὴ φυλασσομένη, κόσμον σώζει πόλεως καὶ διατηρέει.

Μετὰ τοῦτο δὲ, περὶ οὗ τὸ δεύτερον ἠμφισβητήσαμεν σκεψώμεθα. τὸ ἀδικοῦντα διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστὶν ὡς σὺ ᾤου, ἢ μεῖζον τὸ μὴ διδόναι ὡς αὖ ἐγὼ ᾤμην. σκοπώμεθα δὲ τῇδε. τὸ διδόναι δίκην Πλάτωνος

καὶ τὸ κολάζεσθαι δικαίως ἀδικοῦντα. ἆρα τὸ αὐτὸ καλεῖς; ἔγωγε. ἔχεις οὖν λέγειν, ὡς οὐχὶ τά γε δίκαια πάντα καλά ἐστι, καθόσον καὶ δίκαια. καὶ διασκεψάμενος εἰπέ. ἀλλά μοι δοκεῖ ὦ σώκρατες. σκόπει δὴ καὶ τόδε. ἆρα εἴ τις τι ποιεῖ, ἀνάγκη τι εἶναι, καὶ πάσχειν ὑπὸ τούτου τοῦ ποιοῦντος; ἔμοιγε δοκεῖ. ἆρα τοῦτο πάσχον, ὃ τὸ ποιοῦν ποιεῖ, καὶ τοιοῦτον οἷον ποιεῖ τὸ ποιοῦν ποιεῖ, λέγω δὲ τοιόνδε, εἴ τις τύπτει ἀνάγκη τι τύπτεσθαι. ἀνάγκη καὶ εἰ σφόδρα τύπτει ἢ ταχὺ ὁ τύπτων, οὕτω καὶ τὸ τυπτόμενον τύπτεσθαι; ναί. τοιοῦτον ἄρα πάθος τῷ τυπτομένῳ ἐστὶν, οἷον ἂν τὸ τύπτον ποιεῖ. πάνυ γε. οὐκοῦν καὶ εἰ καίει τις, ἀνάγκη τι καίεσθαι. πῶς γὰρ οὔ. καὶ εἰ σφόδρα γε καὶ ἀλγεινῶς. οὕτω καίεσθαι τὸ καιόμενον, ὡς ἂν τὸ καῖον καίει, πάνυ γε. οὐκοῦν καὶ εἰ τέμνει τις, ὁ αὐτὸς λόγος, τέμνεται γάρ τι. ναί.

Ἐν ταυτῷ Οὐκοῦν χρημάτων καὶ σώματος καὶ ψυχῆς, τριῶν ὄντων, τριττὰς εἴρηκας πονηρείας. πενίαν. νόσον. ἀδικίαν. ναί. τίς τούτων τῶν πονηρειῶν αἰσχίστη. οὐχ ἡ ἀδικία; καὶ συλλήβδην ἡ τῆς ψυχῆς πονηρεία; πολύ γε δή. αἰσχίστη καὶ κακίστη. πῶς ὦ σώκρατες λέγεις. ὡδί. ἀεὶ τὸ αἴσχιστον, ἤτοι λύπην μεγίστην παρέχον, ἢ βλάβην, ἢ ἀμφότερον, αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν, μάλιστα. αἴσχιστον δὲ ἀδικία καὶ ξύμπασα ψυχῆς πονηρεία. νῦν δὴ ὡμολόγηται ἡμῖν; ὡμολόγηται γάρ. οὐκοῦν ἢ ἀνιαρότατόν ἐστι, καὶ ἀνίᾳ ὑπερβάλλον αἴσχιστον τούτων ἐστὶν, ἢ βλάβῃ, ἀμφότερα; ἀνάγκη. ἆρ' οὖν ἀλγεινότερόν ἐστι τοῦ πένεσθαι καὶ κάμνειν τὸ ἄδικον εἶναι, καὶ ἀκόλαστον, καὶ δειλὸν καὶ ἀμαθῆ; οὐκ ἔμοιγε δοκεῖ ὦ σώκρατες ἀπὸ τούτων γε. ὑπερφυεῖ τινι ἄρα ὡς μεγάλῃ βλάβῃ ὑπερβάλλον, μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων; ναί. ἡ ἀδικία ἄρα καὶ ἡ ἀκολασία, καὶ ἡ ἄλλη ψυχῆς πονηρεία, μέγιστον τῶν ὄντων κακῶν ἐστι. φαίνεται. τίς οὖν τέχνη πενίας ἀπαλλάττει. οὐ χρηματιστική; ναί. τίς δὲ νόσου, οὐκ ἰατρική; ἀνάγκη. τίς δὲ πονηρείας καὶ ἀδικίας, εἰ μὴ οὕτως εὐπορεῖς ὧδε σκόπει. ποῖ ἄγομεν. καὶ παρὰ τίνας τοὺς κάμνοντας τὰ σώματα, παρὰ τοὺς ἰατροὺς ὦ σώκρατες φής; ποῖ δὲ τοὺς ἀδικοῦντας, καὶ ἀκολασταίνοντας. παρὰ τοὺς δικαστὰς λέγεις; οὐκοῦν δίκην δώσοντας φημί. ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες; δῆλον δή. χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλλάττει, ἰατρικὴ δὲ νόσου. δίκη δὲ ἀκολασίας καὶ ἀδικίας. φαίνεται. τί τούτων κάλλιστόν ἐστιν ὧν λέγεις. τίνων λέγεις. χρηματιστικῆς, ἰατρικῆς, δίκης, πολὺ διαφέρει ὦ σώκρατες ἡ δίκη. οὐκοῦν αὖ, ἤτοι ἡδονὴν πλείστην ποιεῖ, ἢ ὠφέλειαν, ἢ ἀμφότερα, εἴπερ κάλλιστόν ἐστιν; ναί. ἆρ' οὖν τὸ ἰα-

τρεύεσθαι

Ayuntamiento de Madrid

τρεύεσθαι ἡδύ ἐστι, καὶ χαίρουσιν οἱ ἰατρευόμενοι; οὐκ ἔμοιγε δοκεῖ, ἀλλὰ ὠφέλιμόν γε ναί.

Τέχνην γὰρ ἱκανὴν πολλῆς ἀσκήσεως ἅμα, καὶ μαθημάτων πολλῶν δεομένην κέκτηται πολίτης ἀνήρ. τὸ κοινὸν τῆς πόλεως κόσμον σώζων καὶ κτώμενος, οὐκ ἐν παρέργῳ δεόμενον ἐπιτηδεύειν. δύο δὲ ἐπιτηδεύματα, ἢ δύο τέχνας ἀκριβῶς διαπονεῖσθαι, σχεδὸν οὐδεμία φύσις ἱκανή.

Ἐννοήσατε γὰρ τίς ἂν πολεμία ὑπὸ μὴ πειθομένων ἁλοίη, ἢ τίς δ᾽ ἂν φιλία ὑπὸ μὴ πειθομένων διαρκεσθείη. ποῖον δ᾽ ἂν ἀπειθοῦν στράτευμα νίκης τύχῃ. πῶς δ᾽ ἂν μᾶλλον ἡττῶνται ἐν ταῖς μάχαις, ἄνθρωποι. ἢ ἐπειδὰν ἄρξωνται ἰδίᾳ ἕκαστος περὶ σωτηρίας βουλεύεσθαι. τί δ᾽ ἂν ἀγαθὸν τελεῖσθαι ὑπὸ μὴ πειθομένων, ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκήσαιεν, ποῖοι δ᾽ οἶκοι σωθείησαν, πῶς δ᾽ ἂν νῆες ὅποι δεῖ ἀφίκοιντο, ἡμεῖς δὲ τανῦν ἔχομεν ἀγαθά. διὰ τί, ἄλλων μᾶλλον κατεπράξαμεν, ἢ διὰ τὸ πείθεσθαι τῷ ἄρχοντι. εἰ τοίνυν μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν φαίνεται, ἐς τὸ καταπράττειν τὰ ἀγαθά, εὖ ἴστε ὅτι τὸ αὐτὸ τοῦτο καὶ εἰς τὸ διασώζειν ἃ δεῖ, μέγιστον ἀγαθόν ἐστιν. Ξενοφῶντος.

Ἡμέτερον δ᾽ ἂν εἴη ἔργον ὡς ἔοικεν, εἴπερ οἷοί τε ἐσμὲν ἐκλέξασθαι· τίνες τε καὶ ποῖαι φύσεις ἐπιτήδειαι ἐς πόλεως φυλακήν, ἡμέτερον μέν τοι. μὰ Δία ἦν δ᾽ ἐγώ, οὐκ ἄρα φαῦλον πρᾶγμα ἠράμεθα; ὅμως δὲ, οὐκ ἀποδειλιατέον, ἐς ὅσον δὴ δύναμις παρήκει. οὐ γὰρ οὖν ἔφη. οἴει οὖν τι ἦν δ᾽ ἐγὼ διαφέρειν τὴν φύσιν γενναίου σκύλακος ἐς φυλακὴν νεανίσκου εὐγενοῦς, τὸ ποῖον λέγεις. οἷον, ὀξύν τέ που δεῖ αὐτοῖν ἑκάτεροιν εἶναι καὶ ἐλαφρὸν, πρὸς τὸ αἰσθανόμενον διωκάθειν, καὶ ἰσχυρὸν αὖ ἐὰν δέῃ ἑλόντα διαμάχεσθαι. δεῖ γὰρ οὖν ἔφη πάντων τούτων, καὶ μὴν ἀνδρεῖόν γε, εἴπερ εὖ μαχεῖται; πῶς δ᾽ οὔ. ἀνδρεῖος δ᾽ εἶναι ἆρ᾽ ἂν ἐθέλοι ὁ μὴ θυμοειδὴς ἵππος, εἴτε κύων, εἴτε ἄλλο ὁτιοῦν ζῷον, ἢ οὐκ ἐννενόηκας, ὡς ἄμαχόν τε καὶ ἀνίκητον θυμός. οὗ παρόντος ψυχὴ πᾶσα πρὸς πάντα ἄφοβός τε, καὶ ἀήττητος. ἐννενόηκα. τὰ μὲν τοίνυν τοῦ σώματος οἷον δεῖ τὸν φύλακα εἶναι δῆλα; ναί. καὶ μὴν καὶ τὰ τῆς ψυχῆς ὅτι γε θυμοειδῆ; καὶ τοῦτο. πῶς οὖν ἦν δ᾽ ἐγὼ ὦ Γλαύκων, οὐκ ἄγριοι ἀλλήλοις τε ἔσονται, καὶ τοῖς ἀλλήλοις πολίταις ὄντες τοιοῦτοι τὰς φύσεις. μὰ Δί᾽ ἦ δ᾽ ὅς, οὐ ῥᾳδίως. ἀλλὰ μέν τοι δεῖ γε πρὸς μὲν τοὺς οἰκείους πρᾴους αὐτοὺς εἶναι, πρὸς δὲ τοὺς πολεμίους χαλεπούς. εἰ δὲ μή, οὐ μενοῦσιν ἄλλους σφᾶς διολέσαι, ἀλλ᾽ αὐτοὶ φθάσονται Πλάτωνος

Ayuntamiento de Madrid

ἄλλο δράσαντες. ἀληθῆ ἔφη. τί οὖν ἦν δ' ἐγὼ ποιήσομεν. πόθεν πρᾶόν τε ἅμα καὶ μεγάθυμον ἦθος εὑρήσομεν, ἐναντία γάρ που θυμοειδεῖ πραεῖα φύσις. φαίνεται. ἀλλὰ μὲν τοι τούτων γε ὁποτέρου ἂν στέρηται φύλαξ ἀγαθὸς οὐ μὴ γένηται.

Εἰ ἄρα τὸν πρῶτον λόγον διασώσομεν, τοὺς φύλακας ἡμῖν τῶν ἄλλων πασῶν δημιουργῶν ἀφέλομεν, ὡς δεῖ εἶναι δημιουργοὺς ἐλευθερίας τῆς πόλεως· πάνυ ἀκριβεῖς καὶ μηδὲν ἄλλο ἐπιτηδεύειν, ὅτι μὴ εἰς τοῦτο φέρει. οὐδὲν δὲ δὴ δέοι ἂν αὐτοὺς ἄλλο πράττειν, οὐδὲ μιμεῖσθαι τὰ τούτοις προσήκοντα, εὐθὺς ἐκ παίδων, ἀνδρείους, σώφρονας, ὁσίους, ἐλευθέρους, καὶ τὰ τοιαῦτα πάντα. τὰ δὲ ἀνελεύθερα μήτε ποιεῖν, μήτε δεινοὺς εἶναι αἰσθάνεσθαι, μηδ' ἄλλο μηδὲν τῶν αἰσχρῶν, ἵνα μὴ ἐκ τῆς μιμήσεως τοῦ εἶναι ἀπολαύσωσιν. ἢ οὐκ ᾔσθησαι ὅτι αἱ μιμήσεις ἐὰν ἐκ νέων πόρρω διατελέσωσιν, εἰς ἤθη τε καὶ φύσιν καθίστανται, καὶ κατὰ σῶμα, καὶ φωνάς, καὶ κατὰ τὴν διάνοιαν. καὶ μάλα ἦν δ' ὅς. τί δαί. οὐ καὶ σὺ ἡγῇ ἔφην ἐγώ, τῶν μὲν ἀγαθῶν ἀκουσίως στέρεσθαι τοὺς ἀνθρώπους. τῶν δὲ κακῶν ἑκουσίως, ἢ οὐ τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας κακόν, τὸ δὲ ἀληθεύειν ἀγαθόν. ἢ οὐ τὸ τὰ ὄντα δοξάζειν ἀληθεύειν δοκεῖ σοι εἶναι. ἀλλ' ἦν δ' ὅς, ὀρθῶς λέγεις. καί μοι δοκοῦσιν ἄκοντες, ἀληθοῦς δόξης στερίσκεσθαι. οὐκ οὖν κλαπέντες, ἢ γοητευθέντες, ἢ βιασθέντες τοῦτο πάσχουσιν, οὐδὲ νῦν ἔφη μανθάνω. τραγικῶς ἄρα ἦν δ' ἐγὼ κινδυνεύω λέγειν, κλαπέντας γὰρ, τοὺς μεταπεισθέντας λέγω, καὶ τοὺς ἐπιλανθανομένους, ὅτι τῶν μὲν, χρόνος· τῶν δὲ, λόγος ἐξαιρούμενος, λανθάνει, νῦν γάρ που μανθάνεις; ναί. τοὺς τοίνυν βιασθέντας λέγω, οὓς ἂν ὀδύνη τις, ἢ ἀλγηδὼν μεταδοξάσαι ποιήσῃ, καὶ τοῦτο ἔφη ἔμαθον. καὶ ὀρθῶς λέγεις. τοὺς μὴν γοητευθέντας, οὓς ἐγ' ὦμαι καὶ σὺ φαίης εἶναι, οἳ ἂν μεταδοξάσωσιν, ἢ ὑφ' ἡδονῆς κηληθέντες, ἢ ὑπὸ φόβου τι δείσαντες. ἔοικε γὰρ ἦν δ' ὅς γοητεύειν πάντα ὅσα ἀπατᾷ. ὃ τοίνυν ἄρτι ἔλεγον, ζητητέον, τίνες ἄριστοι φύλακες τοῦ παρ' αὐτοῖς δόγματος, τοῦ ὡς ποιητέον ὃ ἂν τῇ πόλει ἀεὶ δοκῶσι βέλτιστον εἶναι αὐτοῖς ποιεῖν. τηρητέον δὴ εὐθὺς ἐκ παίδων προθεμένοις ἔργα, ἐν οἷς ἄν τις τὸ τοιοῦτον μάλιστα ἐπιλανθάνοιτο, καὶ ἐξαπατῷτο, καὶ τὸν μὲν μνήμονα καὶ δυσεξαπάτητον, ἐγκριτέον. ἢ γὰρ ναί. καὶ πόνους τε αὖ, καὶ ἀλγηδόνας, καὶ ἀγῶνας αὐτοῖς θετέον, ἐν ἀνθρώποις ταῦτα τηρητέον. ὀρθῶς ἔφη. οὐκ οὖν ἦν δ' ἐγὼ καὶ τρίτον εἴδους τοῦ

Ayuntamiento de Madrid

τῆς γοητείας ἅμιλλαν ποιητέον, καὶ θεατέον ὥσπερ τοὺς πώλους ἐπὶ τοὺς ψόφους τε καὶ θορύβους ἄγοντες σκοποῦσιν, εἰ φοβεροί· οὕτω νέους ὄντας, εἰς δείματα κομιστέον, καὶ εἰς ἡδονὰς αὖ μεταβλητέον, βασανίζοντας πολὺ μᾶλλον, ἢ χρυσὸν ἐν πυρὶ, εἰ δυσγοήτευτος καὶ εὐσχήμων ἐν ἅπασι φαίνεται, φύλαξ αὐτοῦ ὢν ἀγαθὸς καὶ τῆς μουσικῆς. πρῶτον μὲν οὐσίαν κεκτημένον οὐδὲ μίαν μηδένα ἰδίαν, ἂν μὴ πᾶσα ἀνάγκη· ἔπειτα οἴκησιν, καὶ ταμιεῖον μηδενὶ εἶναι μηδὲν τοιοῦτον, εἰς ὃ οὐ πᾶς ὁ βουλόμενος εἴσεισι. τὰ δ' ἐπιτήδεια, ὅσων δέονται ἄνδρες ἀθληταὶ πολέμου, σώφρονές τε, καὶ ἀνδρεῖοι ταξαμένους παρὰ τῶν ἄλλων πολιτῶν δέχεσθαι μισθὸν τῆς φυλακῆς τοσοῦτον, ὅσον μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτὸν, μήτε ἐνδεῖν· φοιτῶντας δὲ εἰς ξυσσίτια ὥσπερ ἐστρατοπεδευμένους, κοινῇ ζῆν, χρυσίον δὲ καὶ ἀργύριον εἰπεῖν αὐτοῖς, ὅτι θεῖον παρὰ θεῶν ἀεὶ ἐν ψυχῇ ἔχουσι, καὶ οὐδὲν προσδέονται τοῦ ἀνθρωπείου, οὐδὲ ὅσια τὴν ἐκείνου κτῆσιν τῇ τοῦ θνητοῦ χρυσοῦ κτήσει ξυμμιγνύντας μιαίνειν, διότι πολλὰ, καὶ ἀνόσια περὶ τὸ τῶν πολλῶν νόμισμα γέγονε. τὸ παρ' ἐκείνοις δὲ, ἀκήρατον, ἀλλὰ μόνοις αὐτοῖς τῶν ἐν τῇ πόλει, μεταχειρίζεσθαι, καὶ ἅπτεσθαι χρυσοῦ, καὶ ἀργύρου οὐ θέμις, οὐδὲ ὑπὸ τὸν αὐτὸν ὄροφον ἰέναι, οὐδὲ περιάψασθαι, οὐδὲ πίνειν ἐξ ἀργύρου ἢ χρυσοῦ, καὶ οὕτω μὲν σώζοιντό τε ἂν, καὶ σώζοιεν τὴν πόλιν. ὁπότε δὲ αὐτοὶ γῆν τε ἰδίαν, καὶ οἰκίας, καὶ νομίσματα κτήσονται, οἰκονόμοι μὲν καὶ γεωργοὶ ἀντὶ φυλάκων ἔσονται, δεσπόται δὲ καὶ ἐχθροὶ, ἀντὶ ξυμμάχων τῶν ἄλλων πολιτῶν γενήσονται. μισοῦντες δὲ καὶ μισούμενοι, καὶ ἐπιβουλεύοντες, καὶ ἐπιβουλευόμενοι, διάξουσι πάντα τὸν βίον, πολὺ πλέον καὶ μᾶλλον, δεδιότες τοὺς ἔνδον ἢ τοὺς ἔξωθεν πολεμίους, θέοντες ἤδη τότε ἐγγύτατα ὀλέθρου, αὐτοί τε καὶ ἡ ἄλλη πόλις.

Νευρορράφοι γὰρ φαῦλοι γενόμενοι καὶ διαφθαρέντες, καὶ προσποιησάμενοι εἶναι μὴ ὄντες, πόλει οὐδὲν δεινόν. φύλακες δὲ νόμων τε καὶ πόλεως μὴ ὄντες ἀλλὰ δοκοῦντες, ὁρᾷς δὲ ὅτι πᾶσαν ἄρδην πόλιν ἀπολλύασι.

Τοὺς ἄλλους αὖ δημιουργοὺς σκόπει εἰ τάδε διαφθείρει, ὥστε κακοὺς γίγνεσθαι. τὰ ποῖα δή; ταῦτα. πλοῦτος ἦν δ' ἐγὼ καὶ πενία. πῶς δή; ὧδε. πλουτήσας χυτρεὺς, δοκεῖ σοι ἔτι θελήσειν ἐπιμελεῖσθαι τῆς τέχνης; οὐδαμῶς ἔφη, ἀργὸς γὰρ καὶ ἀμελὴς γενήσεται μᾶλλον αὐτὸς αὑτοῦ. πολύ γε. οὐκοῦν κακίων χυτρεὺς γίγνεται; καὶ τοῦτο ἔφη πολύ. καὶ μὴν καὶ ὄργανά τε μὴ ἔχων παρέ-

Ayuntamiento de Madrid

χεσθαι ὑπὸ πενίας, ἢ τί ἄλλο τῶν εἰς τὴν τέχνην, τά τε ἔργα πονηρότερα ἐργάσεται, καὶ τοὺς υἱεῖς, ἢ ἄλλους, οὓς ἂν διδάσκῃ, χείρους δημιουργοὺς διδάξεται; πῶς δ' οὔ. ὑπ' ἀμφοτέρων δὴ πενίας τε καὶ πλούτου, χείρω μὲν τὰ τῶν τεχνῶν ἔργα, χείρους δὲ αὐτοὶ φαίνονται. ἕτερα δὴ ὡς ἔοικε τοῖς φύλαξιν ηὑρήκαμεν, ἃ παντὶ τρόπῳ φυλακτέον, ὅπως μήποτε αὐτοὺς λήσῃ ἐς τὴν πόλιν παραδύντα. τὰ ποῖα ταῦτα. πλοῦτός τε ἦν δ' ἐγὼ καὶ πενία. ὡς τοῦ μὲν τρυφὴν καὶ ἀργίαν καὶ νεωτερισμὸν ἐμποιοῦντος. τοῦ δέ, ἀνελευθερίαν καὶ κακουργίαν, πρὸς τῷ νεωτερισμῷ. πάνυ μὲν οὖν ἔφη.

Οὔτι ἦν δ' ἐγὼ ὦ ἀγαθὲ ἀδείμαντε, ὡς δόξειεν ἄν τις ταῦτα πολλὰ καὶ μεγάλα ἅπερ προστάττομεν, ἀλλὰ πάντα φαῦλα ἐὰν τὸ λεγόμενον, μὴ ἓν μέγα φυλάττωσι, μᾶλλον δὲ ἀντὶ μεγάλου ἱκανόν. τί τοῦτο ἔφη. τὴν παιδείαν ἦν δ' ἐγὼ καὶ τροφήν. ἐὰν γὰρ εὖ παιδευόμενοι μέτριοι ἄνδρες γίγνωνται, πάντα ταῦτα ῥᾳδίως διόψονται, καὶ ἄλλα γε ὅσα νῦν ἡμεῖς παραλείπομεν, τήν τε τῶν γυναικῶν κτῆσιν καὶ γάμων, καὶ παιδοποιίας. ὅτι δεῖ ταῦτα κατὰ τὴν παροιμίαν πάντα ὅτι μάλιστα κοινὰ τὰ φίλων ποιεῖσθαι, ὀρθότατα γὰρ ἔφη γίγνοιτ' ἄν. καὶ μὴν εἶπον πολιτεία ἐάνπερ ἅπαξ ὁρμήσῃ, εὖ ἔρχεται ὥσπερ κύκλος αὐξανομένη, τροφὴ γὰρ καὶ παίδευσις χρηστὴ σωζομένη, φύσεις ἀγαθὰς ἐμποιεῖ. καὶ αὖ φύσεις χρησταὶ τοιαύτης παιδείας ἀντιλαμβανόμεναι, ἔτι βελτίους τῶν προτέρων φύονται, εἴς τε τἆλλα, καὶ ἐς τὸ γεννᾶν ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζώοις. εἰκός γ' ἔφη. ὡς τοίνυν διὰ βραχέων εἰπεῖν, τούτου ἀνθεκτέον τοῖς ἐπιμεληταῖς τῆς πόλεως, ὅπως ἂν αὐτοὺς μὴ λάθῃ διαφθαρέν, ἀλλὰ παρὰ πάντα αὐτὸ φυλάττωσι, τὸ νεωτερίζειν περὶ γυμναστικήν τε καὶ μουσικὴν παρὰ τάξιν, ἀλλ' ὡς οἷόν τε μάλιστα φυλάττειν φοβουμένους, ὅταν τις λέγῃ, ὡς τὴν ἀοιδὴν μᾶλλον ἐπιφρονέουσ' ἄνθρωποι, ἥτις ἀειδόντεσσι νεωτάτη ἀμφιπέληται, μὴ πολλάκις τὸν ποιητήν τις οἴεται λέγειν, οὐκ ἄσματα νέα, ἀλλὰ τρόπον ᾠδῆς νέον. καὶ τοῦτ' ἐπαινεῖ. δεῖ δέ, οὔτ' ἐπαινεῖν τὸ τοιοῦτον, οὔτε ὑπολαμβάνειν, εἶδος γὰρ καινὸν μουσικῆς μεταβάλλειν, εὐλαβητέον, ὡς ἐν ὅλῳ κινδυνεύοντα, οὐδαμοῦ γὰρ κινοῦνται μουσικῆς τρόποι, ἄνευ πολιτικῶν νόμων τῶν μεγίστων, ὥς φησί τε Δάμων, κἀγὼ πείθομαι. καὶ ἐμὲ τοίνυν ἔφη ὁ ἀδείμαντος θὲς τῶν πεπεισμένων. τὸ δὴ φυλακτήριον ἦν δ' ἐγὼ ὡς ἔοικεν, ἐνταῦθά που οἰκοδομητέον τοῖς φύλαξιν ἐν μουσικῇ. ἡ γοῦν παρανομία ἔφη ῥᾳδίως αὕτη λανθάνει παραδυομένη, ναὶ ἔφη ὡς ἐν παιδείας γε μέρει, καὶ ὡς κακὸν οὐδὲν ἐργαζομένη, οὐδὲ γὰρ ἐργάζεται

Ayuntamiento de Madrid

ἔφην ἄλλο γε, ἢ κατὰ σμικρὸν εἰσοικησαμένη, ἠρέμα ὑπορρεῖ πρὸς τὰ ἤθη τε, καὶ τὰ ἐπιτηδεύματα, ἐκ δὲ τούτου, εἰς τὰ πρὸς ἀλλήλους ξυμβόλαια μείζων ἐκβαίνει· ἐκ δὲ δὴ τῶν ξυμβολαίων, ἔρχεται ἐπὶ τοὺς νόμους καὶ πολιτείας. πολλὴ ὦ σώκρατες ἀσέλγεια· ὡς ἀπαιδεύτως ἅπαντα ἰδίᾳ καὶ δημοσίᾳ ἀνατρέψαι. εἶεν ἦν δ' ἐγώ, οὕτω τοῦτ' ἔχει. δοκεῖ μοι ἔφη. οὐκοῦν ὃ ἐξ ἀρχῆς ἐλέγομεν τοῖς ἡμετέροις παισὶν ἐννομωτέρου εὐθύς, παιδείας μεθεκτέον, ὡς παρανόμου γιγνομένης αὐτῆς. καὶ παίδων τοιούτων ἐννόμους τε καὶ σπουδαίους ἐξ αὐτῶν ἄνδρας αὐξάνεσθαι ἀδύνατον ὄν. πῶς δ' οὐχὶ ἔφη.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΝΟΜΩΝ. ΚΑΙ ΕΘΩΝ

## ΛΟΓΟΣ ΜΒ'.

Ἄρχεσθαι χρεὼν κακοὺς ὑπ' ἐσθλῶν Εὐριπίδου
καὶ κλύειν τῶν κρεισσόνων.
Μὴ νεῖκος ὦ γεραιὲ τυράννοις τίθου.
σέβειν δὲ τοὺς κρατοῦντας, ἀρχαῖος νόμος.

Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν. Μενάνδρου
ἀλλ' ἀντιτάττεσθ', εἰ δὲ μή, τ' ἄνω κάτω
ἡμῶν ὁ βίος λήσει μεταστραφεὶς ὅλος,

Καὶ τοὺς πονηροὺς μήποτ' αὔξειν ἐν πόλει, Εὐριπίδου.
κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος,
ἢ πόλεως, ἐμπεσόντες εἰς ἀρχήν τινα,
σκιρτῶσιν ἀδόκητ' εὐτυχησάντων δόμων.

Οὐκ ἔστιν οὐδὲν κρεῖσσον, ἢ νόμοι πόλει,
καλῶς τεθέντες. ὅ τε γὰρ ἀσθενέστερος,
πλούσιός τε τὴν δίκην ἴσην ἔχει.
νικᾷ δ' ὁ μείων τὸν μέγαν δίκαι' ἔχων.

Ayuntamiento de Madrid

Σοφοκλέους.

Τοιγάρτοι λοιπὸν, εἰσόμεθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν·
ἄρχοντές εἰσιν· ὥσθ' ὑπεικτέον, τί μή;
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα,
τιμαῖς ὑπείκει· τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει·
ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν·
δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
στένοντα πόντον· ἐν δ' ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.

Μενάνδρου

Καλὸν οἱ νόμοι σφόδρ' εἰσίν· ὁ δ' ὁρῶν τοὺς νόμους
λίαν ἀκριβῶς, συκοφάντης φαίνεται.

Πλάτωνος

Χθὲς τῶν ὑπ' ἐμοῦ ῥηθέντων λόγων περὶ πολιτείας ἦν τὸ κεφάλαιον. οἵα τε καὶ ἐξ οἵων ἀνδρῶν ἀρίστη κατεφαίνετό μοι γενέσθαι, καὶ μάλα γε ἡμῖν ὦ σώκρατες ῥηθεῖσα κατὰ νοῦν ἅπασιν. ἆρ' οὖν οὐ τὸ τῶν γεωργῶν ὅσαι τε ἄλλαι τέχναι πρῶτον ἐν αὐτῇ χωρὶς διειλόμεθα, ἀπὸ τοῦ γένους τοῦ τῶν προπολεμησόντων; ναί. καὶ κατὰ φύσιν δόντες, τὸ καθ' αὑτὸν ἑκάστῳ πρόσφορον. ἓν μόνον ἐπιτήδευμα. μίαν ἑκάστῳ τέχνην, τούτους οὓς πρὸ πάντων ἔδει πολεμεῖν, εἴπομεν ὡς ἄρα αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως. εἴ τέ τις ἔξωθεν, ἢ καὶ τῶν ἔνδοθεν ἴοι κακουργήσων δικάζοντας μὲν πράως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν, καὶ φύσει φίλοις οὖσι, χαλεποὺς δ' ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσι τῶν ἐχθρῶν γιγνομένους; παντάπασι μὲν οὖν, φύσιν γὰρ οἶμαί τινα τῶν φυλάκων τῆς ψυχῆς ἐλέγομεν, ἅμα μὲν θυμοειδῆ, ἅμα δὲ φιλόσοφον δεῖν εἶναι διαφερόντως, ἵνα πρὸς ἑκατέρους δύναιντο ὀρθῶς πρᾶοι καὶ χαλεποὶ γίγνεσθαι; ναί. τί δαὶ τροφήν. ἆρ' οὐ γυμναστικῇ, καὶ μουσικῇ, μαθήμασί τε ὅσα προσήκει τούτοις ἐν ἅπασι τεθράφθαι; πάνυ μὲν οὖν. τοὺς δέ γε οὕτω τραφέντας ἐλέχθη που, μήτε χρυσὸν μήτε ἄργυρον, μήτε μηδὲν ἄλλο ποτὲ κτῆμα ἑαυτῶν ἴδιον νομίζειν δεῖν, ἀλλ' ὡς ἐπικούρους μισθὸν λαμβάνοντας τῆς φυλακῆς παρὰ τῶν σωζομένων ὑπ' αὐτῶν, ὅσος σώφροσι μέτριος, ἀναλίσκειν τε δὴ κοινῇ καὶ ξυνδιαιτωμένοις μετ' ἀλλήλων ζῆν ἐπιμέλειαν ἔχοντας διαπαντὸς τῶν ἄλλων ἐπιτηδευμάτων ἄγοντας σχολήν; ἐλέχθη καὶ ταῦτα ταύτῃ. καὶ μὲν δὴ καὶ περὶ γυναικῶν ἐπεμνήσθημεν ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἴη ξυναρμοστέον, καὶ τὰ ἐπιτηδεύματα πάντα κοινὰ, κατά τε πόλεμον καὶ κατὰ

Ayuntamiento de Madrid

τὴν ἄλλην δίαιταν δοτέον πάσαις; ταῦτα καὶ ταύτῃ ἐλέγετο. τί δαὶ δὴ τὸ παρὰ τῆς παιδοποιΐας, ἢ τοῦτο μὲν διὰ τὴν ἀλήθειαν τῶν λεχθέντων εὐμνημόνευτον, ὅτι κοινὰ τὰ τῶν γάμων καὶ τὰ τῶν παίδων πᾶσιν ἁπάντων. ἐτίθεμεν μηχανωμένοις, ὅπως μηδείς ποτε τὸ γεγενημένον αὐτὸ διαγνώσοιτο. νομιοῦσι δὲ πάντες πάντας αὑτοὺς ὁμογενεῖς, ἀδελφὰς μὲν καὶ ἀδελφούς, ὅσοι περ ἂν τῆς πρεπούσης ἐντὸς ἡλικίας γίγνωνται. τοὺς δὲ ἔμπροσθεν καὶ ἄνωθεν γονέας τε καὶ γονέων προγόνους. τοὺς δὲ εἰς τὸ κάτωθεν ἐκγόνους παῖδάς τε ἐκγόνων. ναί. καὶ ταῦτα εὐμνημόνευτα ἣ λέγεις. ὅπως δὲ δὴ κατὰ δύναμιν εὐθὺς γίγνοιντο ὡς ἄριστοι τὰς φύσεις. ἆρ' οὐ μεμνήμεθα, ὡς τοὺς ἄρχοντας ἔφαμεν καὶ τὰς ἀρχούσας δεῖν εἰς τὴν τῶν γάμων σύνερξιν λάθρα μηχανᾶσθαι κλήροις τισίν, ὅπως οἱ κακοὶ χωρίς, οἵ τ' ἀγαθοὶ ταῖς ὁμοίαις ἑκάτεροι συλλήξονται, καὶ μή τις αὐτοῖς ἔχθρα διὰ ταῦτα γίγνηται τύχην, ἡγουμένοις αἰτίαν τῆς συλλήξεως. μεμνήμεθα. καὶ μὴν ὅτι γε τὰ μὲν τῶν ἀγαθῶν θρεπτέον ἔφαμεν εἶναι. τὰ δὲ τῶν κακῶν, εἰς τὴν ἄλλην λάθρα διαδοτέον πόλιν ἐπαυξομένων, σκοποῦντας ἀεὶ τοὺς ἀξίους πάλιν ἀνάγειν δεῖν, τοὺς δὲ παρὰ σφίσιν ἀναξίους εἰς τὴν τῶν ἐπανιόντων χώραν μεταλλάττειν, οὕτως. ἆρ' οὖν διεληλύθαμεν ἤδη καθάπερ χθὲς ὡς ἐν κεφαλαίοις πάλιν ἐπανελθεῖν, ἢ ποθοῦμέν τι τῶν ῥηθέντων. οὐδαμῶς.

Ο ὐκοῦν καὶ ἐν τοῖς συγγράμμασι τοῖς περὶ τῶν δικαίων καὶ ἀδίκων. καὶ ὅλως περὶ πόλεως διακοσμήσεως, καὶ περὶ τοῦ ὡς χρὴ πόλιν διοικεῖν. τὸν μὲν ὀρθόν, νόμος ἐστὶ βασιλικός, τὸ δὲ μὴ ὀρθόν, οὐ δοκεῖ νόμος εἶναι τοῖς μὴ εἰδόσιν. ἔστι γὰρ ἄνομον; ναί. ὀρθῶς ἄρα ὡμολογήσαμεν νόμον εἶναι τοῦ ὄντος εὕρεσιν; φαίνεται. ἔτι δὲ καὶ τόδε ἐν αὐτῷ θεασώμεθα. τίς ἐπιστήμων διανεῖμαι ἐπὶ γῇ τὰ σπέρματα; γεωργός. οὗτος δὲ τὰ ἄξια σπέρματα ἑκάστῃ γῇ διανέμει; ναί. ὁ γεωργὸς ἄρα νομεὺς ἀγαθὸς τούτων, καὶ οἱ τούτου νόμοι καὶ διανομαὶ ἐπὶ τὰ αὐτὰ ὀρθοί εἰσι; ναί. τίς δαὶ τὴν τῶν προβάτων ἀγέλην κράτιστος νέμειν, τί ὄνομα αὐτῷ. ποιμήν. οἱ τοῦ ποιμένος ἄρα νόμοι ἄριστοι τοῖς προβάτοις; ναί. οἱ δὲ τοῦ βουκόλου τοῖς βουσί; ναί. οἱ δὲ τοῦ τινὸς νόμοι ἄριστοι ταῖς ψυχαῖς τῶν ἀνθρώπων, οὐχ οἱ τοῦ βασιλέως; φάθι. φημὶ δή.

Τ όν τε νόμον σπουδαῖον εἶναί φασι. λόγον ὀρθὸν ὄντα, προστακτικὸν μὲν τῶν ποιητέον, ἀπαγορευτικὸν δὲ τῶν οὐ ποιητέον. τοῦ δὲ νόμου ἀστείου ὄντος, καὶ ὁ νόμιμος ἀστεῖος ἂν εἴη, νόμιμον μὲν γὰρ εἶναι ἄνδρα καὶ ἀκολουθητικὸν τῷ νόμῳ, καὶ πρακτικὸν τῶν ὑπ' αὐτοῦ προσταττομένων. νομικὸν δὲ τὸν ἐξηγητικὸν τοῦ νόμου. μηδένα δὲ τῶν φαύλων μήτε νόμιμον εἶναι, μήτε νομικόν. Στοϊκῶν.

Ayuntamiento de Madrid

Οὐδ' ὡς ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα τῶν λόγων ἐπιμεληθέντα πρότερον, ἀλλὰ τοῦ βίου.

Κρέσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοισιν, ἢ ἄρχειν.

Δημοκρί. Δίκη μέν ἐστιν, ἔρδειν τὰ χρὴ ἐόντα. ἀδικίη δὲ, μὴ ἔρδειν τὰ χρὴ ἐόντα, ἀλλὰ παραφέρεσθαι.

Κατὰ δὲ ζώων ἔστιν, ὧν φόνου καὶ μὴ φόνου, ὧδε ἔχει. τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν, ἀθῷος ὁ κτείνων καὶ πρὸς εὐεστὼ τοῦτο ἔρδειν μᾶλλον, ἢ μή.

Κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντός, καὶ ταῦτα ὁ ποιῶν εὐθυμίης, καὶ δίκης καὶ θάρσεος, καὶ κτήσεως ἐν παντὶ κόσμῳ μέζω μοῖραν μεθέξει.

Ὅκως περ πέρι κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὼν εἶναι ποιεῖν κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει, νόμος δὲ ἀπείργει, ἱερὰ ἑκάστοισιν ἐπιχώρια, καὶ σπονδαὶ, καὶ ὅρκοι.

Κίξαλλιν καὶ λῃστὴν πάντα κτείνων τις, ἀθῷος ἂν εἴη καὶ αὐτοχειρίῃ, καὶ κελεύων καὶ ψήφῳ.

Ζαλεύκου προοίμιον νόμων. Τοὺς κατοικοῦντας τὴν πόλιν καὶ τὴν χώραν, πάντας πρῶτον πεπεῖσθαι χρὴ, καὶ νομίζειν θεοὺς εἶναι, καὶ ἀναβλέποντας ἐς οὐρανὸν, καὶ τὸν κόσμον, καὶ τὴν ἐν αὐτοῖς διακόσμησιν καὶ τάξιν, οὐ γὰρ τύχης. οὐδ' ἀνθρώπων εἶναι δημιουργήματα. σέβεσθαι δὲ τούτους καὶ τιμᾶν, ὡς αἰτίους ὄντας ἁπάντων ἡμῖν ἀγαθῶν, τῶν κατὰ λόγον γινομένων. ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν αὐτοῦ ψυχὴν, πάντων τῶν κακῶν καθαράν, ὡς οὐ τιμᾶται θεὸς ὑπ' ἀνθρώπου φαύλου, οὐδὲ θεραπεύεται δαπάναις, οὐδὲ τραγῳδίαις τῶν ἀναλισκομένων, καθάπερ μοχθηρὸς ἄνθρωπος, ἀλλ' ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων. διὸ ἕκαστον εἰς δύναμιν ἀγαθὸν εἶναι, καὶ πράξει καὶ προαιρέσει, τὸν μέλλοντα ἔσεσθαι θεοφιλῆ, καὶ μὴ φοβεῖσθαι τὰς εἰς χρήματα ζημίας μᾶλλον τοῦ καλοῦ καὶ δικαίου. ὅσοις δὲ μὴ ῥᾴδιον πρὸς ταῦτα τὴν ὁρμὴν πεπεῖσθαι, τὴν δὲ ψυχὴν ἔχουσιν εὐκίνητον πρὸς ἀδικίαν, ὧδε ἡμῖν παρηγγέλθω, πᾶσι τοῖς τοιούτοις πολίταις, καὶ πολίτισι καὶ ξυνοίκοις, μεμνῆσθαι θεῶν ὡς ὄντων. καὶ δίκας ἐπιπεμπόντων τοῖς ἀδίκοις, καὶ τίθεσθαι πρὸ ὀμμάτων τὸν καιρὸν τοῦτον, ἐν ᾧ γίνεται τὸ τέλος ἑκάστῳ τῆς ἀπαλλαγῆς τοῦ ζῆν. πᾶσι γὰρ ἐμπίπτει μεταμέλεια τοῖς μέλλουσι τελευτᾶν, μεμνημένοις ὧν ἠδικήκασι, καὶ ὁρμὴ τοῦ βούλεσθαι πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς, διὸ δεῖ ἕκαστον παρ' ἑκάστην πρᾶξιν,

ξιν, ἀεὶ

Ayuntamiento de Madrid

ξιν, ἀεὶ συνοικοῦσι τὸν καιρὸν τοῦτον, ὡς δὴ παρόντα, οὕτω γὰρ ἂν μάλιστα τοῦ καλοῦ καὶ τοῦ δικαίου φροντίζειν. ἐὰν δέ τῳ παραστῇ δαίμων κακὸς τρέπων πρὸς ἀδικίαν, διατρίβειν πρὸς ναοῖς καὶ βωμοῖς, καὶ τεμένεσι, φεύγοντα τὴν ἀδικίαν, ὡς δέσποιναν ἀσεβεστάτην καὶ χαλεπωτάτην, ἱκετεύοντα τοὺς θεοὺς συναποτρέπειν αὐτήν, ἰέναι δὲ καὶ πρὸς ἄνδρας δόξαν ἔχοντας ἐπ' ἀνδραγαθίᾳ ἀκουσομένους περὶ εὐδαίμονος βίου, καὶ κακῶν ἀνδρῶν τιμωρίας, ἵνα ἀποτρέπηται τῶν ἀδίκων ἔργων.

Δ κακοδαιμόνων δαίμονας, ἀλάστορας. πάντας δὲ τιμᾶν τοὺς Ἐν ταύτῃ οἱ κατοικοῦντες τὴν πόλιν, καὶ τοῖς ἄλλοις νομίμοις τοῖς πατρίοις τοὺς θεούς. πάτρια δὲ εἶναι τὰ κάλλιστα. πείθεσθαι δὲ τοῖς νόμοις ἅπαντας, καὶ τοὺς ἄρχοντας αἰδεῖσθαι, καὶ σέβεσθαι. καὶ ποιεῖν τὸ παραγγελλόμενον, ὡς μετὰ θεούς. καὶ δαίμονας καὶ ἥρωας. γονεῖς τε καὶ νόμοι καὶ ἄρχοντες, σύνεγγύς εἰσι ταῖς τιμαῖς παρ' ἀνθρώποις νοῦν ἔχουσι καὶ σωθησομένοις. πόλιν δὲ φιλαιτέραν μηδεὶς ἄλλην ποιείσθω τῆς αὑτοῦ πατρίδος. ὡς θεῶν πατρῴων νεμεσώντων, ἀρχὴ γὰρ προδοσίας φύεται τοῖς τοιαῦτα βουλομένοις. ἔτι δὲ χαλεπώτερον, τῆς οἰκείας γῆς στερόμενον, ζῆν ἐπ' ἀλλοτρίας, οὐδὲν γάρ ἐστιν οἰκειότερον πατρίδος. μηδὲ ἐχθρὸν ἀκατάλλακτον μηδεὶς μηδένα νομιζέτω τῶν πολιτῶν, οἷς ἐφήκασιν οἱ νόμοι μετέχειν τῆς πολιτείας, ὡς ὁ τοιοῦτος, οὔτε ἄρξαι δύναιτ' ἄν, οὔτε δικάσαι καλῶς, τὸν θυμὸν ἔχων κυριώτερον τοῦ λογισμοῦ. μηδεὶς δὲ λεγέτω κακῶς μήτε κοινῇ τὴν πόλιν, μήτε ἰδίᾳ τὸν πολίτην, ἀλλ' οἱ τῶν νόμων φύλακες, ἐπιμελείσθωσαν τῶν πλημμελούντων, πρῶτον μὲν νουθετοῦντες, ἐὰν δὲ μὴ πείθωνται, ζημιοῦντες. τῶν δὲ κειμένων νόμων ἐάν τις δοκῇ μὴ καλῶς κεῖσθαι, μετατίθεμεν ἐπὶ τὸ βέλτιον. μενόντων δὲ πάντας πειθαρχεῖν, ὑπ' ἀνθρώπων μὲν ἡττᾶσθαι τοὺς κειμένους νόμους, οὐ καλὸν οὐδὲ συμφέρον. ὑπὸ δὲ νόμου βέλτιον ὡς ἡττώμενον κατακρατεῖσθαι καὶ καλὸν καὶ συμφέρον. τοὺς δὲ ταῦτα παραβαίνοντας χρὴ καὶ κολάζειν, ὡς κατασκευάζοντας τῇ πόλει, μεγίστων κακῶν ἀρχὴν ἀναρχίαν. ἄρχοντας δέ, μὴ εἶναι αὐθάδεις, μηδὲ πρὸς ἐπήρειαν κρίνειν, μηδὲ μεμνῆσθαι κρίνοντας φιλίας, ἢ ἔχθρας, ἀλλὰ τοῦ δικαίου, οὕτω γὰρ ἀποδώσουσι τὰς κρίσεις δικαιοτάτας, καὶ τῆς ἀρχῆς ἔσονται ἄξιοι. τοὺς μὲν οὖν δούλους προσήκει διὰ φόβον πράττειν τι τῶν δικαίων, τοὺς δ' ἐλευθέρους δι' αἰδῶ καὶ τὸ καλόν. διὸ χρὴ καὶ τοὺς ἄρχοντας εἶναι τοιούτους, ἵν' ἔχωσιν οἱ ἀρχόμενοι τοὺς ἀξίους αἰσχύνης. ἐὰν δέ τις βούληται τῶν κειμένων νόμων κινεῖν, ἢ ἄλλον εἰσφέρειν νόμον, εἰς βρόχον



Ayuntamiento de Madrid

ἔρας τὸν τράχηλον, λεγέτω τοῖς πολίταις περὶ αὐτοῦ, καὶ ἐὰν μὲν διαψηφιζομένων δόξῃ λελύσθαι τὸν νόμον, ἢ ὑπάρχειν τὸν εἰσφερόμενον, καὶ αὐτὸν ἀθῷον εἶναι· ἐὰν δὲ ὁ προϋπάρχων μᾶλλον δοκῇ καλῶς ἔχειν, ἢ ὁ εἰσφερόμενος ἢ ἄδικος, τεθνάναι τὸν κινοῦντα ἢ εἰσφέροντα νόμον, ἐπισπασθέντος τοῦ βρόχου.

Ἐκ τῶν Θεοφράστου.

Οἱ μὲν οὖν ὑπὸ κήρυκος κελεύουσι πωλεῖν, καὶ προκηρύττειν ἐκ πλειόνων ἡμερῶν· οἱ δὲ παρ' ἀρχῇ τινι, καθάπερ καὶ Πιττακὸς παρὰ βασιλεῦσι καὶ πρυτάνει. ἔνιοι δὲ προγράφειν παρὰ τῇ ἀρχῇ πρὸ ἡμερῶν μὴ ἐλάττων, ἢ ἑξήκοντα, καθάπερ Ἀθήνησι, καὶ τὸν πριάμενον ἑκατοστὴν τιθέναι τῆς τιμῆς. ὅπως διαμφισβητῆσαί τε ἐξῇ, καὶ διαμαρτύρεσθαι τῷ βουλομένῳ, καὶ ὁ δικαίως ἐωνημένος, φανερὸς ᾖ τῷ τέλει. παρὰ δὲ τισὶ προκηρύττειν κελεύουσι, πρὸ τοῦ κατακυρωθῆναι πένθ' ἡμέρας συνεχῶς, εἴ τις ἐνίσταται, ἢ ἀντιποιεῖται τοῦ κτήματος, ἢ τῆς οἰκίας. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ὑποθέσεων, ὥσπερ καὶ ἐν τοῖς Κυζικηνῶν.

Οἱ δὲ Θουριακοὶ, τὰ μὲν τοιαῦτα πάντα ἀφαιροῦσιν, οὐδ' ἐν ἀγορᾷ προστάττουσιν, ὥσπερ τἆλλα, διδόναι δὲ κελεύουσι κοινῇ τῶν γειτόνων τῶν ἐγγυτάτω τρισὶ νόμισμά τι βραχὺ μνήμης ἕνεκα καὶ μαρτυρίας. ἀναγκαῖον δηλονότι, τοῖς μὲν, τὰς ἀρχὰς ὑπευθύνους ποιεῖν, τοῖς δὲ τοὺς γείτονας, ἐὰν μὴ λάβωσιν, ἢ δὶς παρὰ τοῦ αὐτοῦ λάβωσιν, ἢ ἔχοντες μὴ λέγωσι τῶν ὠνουμένων. οὐ χρὴ δ' ἀγνοεῖν, ὅτι αἱ προγραφαὶ καὶ αἱ προκηρύξεις, καὶ ὅλως ὅσα πρὸς τὰς ἀμφισβητήσεις ἐστὶ πάντα τὰ πλεῖστα δι' ἔλλειψιν ἑτέρου νόμου τίθεται, παρ' οἷς γὰρ ἀναγραφὴ τῶν κτημάτων ἐστὶ καὶ τῶν συμβολαίων, ἐξ ἐκείνων ἔστι μαθεῖν, εἰ ἐλεύθερα καὶ ἀνέπαφα. καὶ τὰ αὑτοῦ πωλεῖ δικαίως, εὐθὺς γὰρ καὶ μετεγγράφει ἡ ἀρχὴ τὸν ἐωνημένον. ἐπεὶ δὲ καὶ προστάσιαι τινὲς ὠνοῦνται, καὶ πωλοῦσιν, ἀπαλλοτριοῦν ἐθέλοντες, ὀρθῶς ἔχει καὶ πρὸς ταῦτα νομοθετεῖν. ὅπερ καὶ ποιοῦσιν ἅμα ταῦτά τε βουλόμενοι κωλύειν, καὶ τὴν ἐμφανῆ ποιεῖν, ὥσπερ ἐν τοῖς Αἰνίων. κελεύουσι γὰρ, ἐὰν μέν τις οἰκίαν πρίηται, θύειν ἐπὶ τοῦ Ἀπόλλωνος τοῦ ἐπικωμαίου. ἐὰν δὲ χωρίον, ἐπὶ τῆς κώμης ἧς αὐτὸς οἰκεῖ, καὶ ὀμνύειν ἐναντίον τῆς ἀρχῆς, ἐγγραφούσης καὶ κωμητῶν τριῶν. ἢ μὴν ὠνεῖσθαι δικαίως, ὡς μηδὲν συγκακουργοῦντα, μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ. τὸν αὐτὸν δὲ τρόπον καὶ τὸν πωλοῦντα πωλεῖν ἀδόλως. τὸν δὲ μὴ οἰκοῦντα ἐν ἄστει θύειν τὸν ὅρκον ἐπὶ τοῦ Διὸς τοῦ ἀγοραίου, τὴν δὲ θυσίαν τῶν ἐλαττόνων εἶναι θυλήμασιν, ἄνευ δὲ τούτων, μὴ ἐγγράφειν τὴν ἀρχήν. ἅμα καὶ ἐν τῷ ὅρκῳ προσορμίζειν αὐτῷ,

Ayuntamiento de Madrid

ἐὰν μὴ ὀμνύωσι, μὴ δὲ ἐγγράψωσι τὴν ὠνήν. οὔτι μὲν δὴ πρὸς ἀμφότερα, μᾶλλον δὲ πρὸς πάντα βούλονται πεφυλάχθαι. καθάπερ ἴσως καὶ δεῖ. κυρία ἡ ὠνὴ καὶ ἡ πρᾶσις εἰς μὲν κτῆσιν, ὅταν ἡ τιμὴ δοθῇ, καὶ τὰ ἐκ τῶν νόμων ποιήσωσιν, οἷον ἀναγραφήν, ἢ ὅρκον, ἢ τοῖς γείτοσι τὸ γιγνόμενον. εἰς δὲ τὴν παράδοσιν καὶ εἰς αὐτὸ τὸ πωλεῖν, ὅταν ἀρραβῶνα λάβῃ, σχεδὸν γὰρ οὕτως οἱ πολλοὶ νομοθετοῦσιν. ἀλλὰ τοῦτο προσδιοριστέον ἐὰν μὴ παρὰ μεθύοντος, μὴ δ' ἐξ ὀργῆς, μὴ δὲ φιλονεικίας, μὴ δὲ παρανομοῦντος. ἀλλὰ φρονοῦντος, καὶ τὸ ὅλον δικαίως, ὅπερ κἀκεῖ προσθετέον, ὅταν ἀφορίζῃ παρ' ὧν δεῖ ὠνεῖσθαι, τάττουσι δέ τινες καὶ τὸν ἀρραβῶνα πόσον δεῖ διδόναι, πρὸς τὸ πλῆθος τῆς τιμῆς μειζόντως, ἄτοπον γὰρ ἐὰν δακτύλιον δῷ τῶν δέκα ταλάντων, ἔοικε γὰρ ἐκ καιροῦ τὰ τοιαῦτα, καὶ πάθους γίγνεσθαι. δεῖ δ' ἐκ προαιρέσεως, οὕτω γὰρ ἔσται τὸ δίκαιον. ἐὰν δὲ λαβὼν ἀρραβῶνα μὴ δέχηται τὴν τιμήν, ἢ δοὺς μὴ καταβάλῃ ἐν τῷ ὡρισμένῳ χρόνῳ, δεῖ γὰρ ὡρίσθαι καθάπερ ἐν τοῖς θουρίων, τὸν μὲν ἀρραβῶνα, παραχρῆμα· τὴν δὲ τιμήν, αὐθημερόν. οἱ δὲ καὶ πλείους ἡμέρας τίθενται τῆς τιμῆς. οἱ δ' ἁπλῶς, ὅσας ἂν ὁμολογήσωσι, τὸ δ' ἀντίτιμον ἑκατέρῳ. πότερον τῷ μὲν, στερήσεις τοῦ ἀρραβῶνος, οὕτω γὰρ σχεδὸν οἵ τ' ἄλλοι κελεύουσι καὶ οἱ θουριακοί. τῷ δὲ μὴ δεχομένῳ ἔκτισις ὅσου ἂν ἀποδῶται, καὶ γὰρ τοῦτο ἐν τοῖς θουρίων, ἢ ἄνισος ζημία, πολλαπλασία γὰρ ἡ τιμὴ τοῦ ἀρραβῶνος. ἔτι δὲ καὶ βλάπτοιτ' ἂν ὁ ἀποδόμενος ἀφεὶς ἑκατέρους, ἐπειδή τις ἐφ' ἡμέραν μίαν ὁρίσαιεν, οὔπω γὰρ μάλιστ' ἐνδέχεται παρ' ἐνίοις, δεδικάσθαι κελεύουσι τῷ μὴ δεχομένῳ τὴν τιμήν. πότερον δὲ ἕως ἂν κομίσηται κύριον εἶναι τοῦ κτήματος, οὕτω γὰρ οἱ πολλοὶ νομοθετοῦσιν. ἢ ὥσπερ χαρώνδας καὶ πλάτων. οὗτοι γὰρ παραχρῆμα κελεύουσι διδόναι, καὶ λαμβάνειν. ἐὰν δέ τις πιστεύσῃ μὴ εἶναι δίκην, αὐτὸν γὰρ αἴτιον εἶναι τῆς ἀδικίας.

Δ ἐξαρχῆς ὦ συρακούσιοι πάντων πρῶτον νόμους, οἵτινες ἂν ὑμῖν φαίνονται μὴ πρὸς χρηματισμὸν καὶ πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν μετ' ἀνθυμίας, ἀλλ' ὄντων τριῶν ψυχῆς, καὶ σώματος, ἔτι δὲ χρημάτων, τὴν τῆς ψυχῆς ἀρετὴν ἐντιμοτάτην ποιοῦντες. δευτέραν δὲ τοῦ σώματος, ὑπὸ τὴν τῆς ψυχῆς κειμένην. τρίτην δὲ καὶ ὑστάτην τὴν τῶν χρημάτων τιμήν, δουλεύουσαν τῷ σώματί τε καὶ τῇ ψυχῇ. καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμενος θεσμός, νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος, οὕτως εὐδαίμονας ἀποτελῶν τοὺς χρωμένους. ὁ δὲ τοὺς πλουσίους εὐδαίμονας ὀνομάζων λόγος. αὐτός τε ἄθλιος γυναικῶν καὶ παίδων ὢν λόγος, ἀνθρώπους τοὺς πειθομένους τε ἀπεργάζεται τοιούτους. Πλάτωνος



Ayuntamiento de Madrid

Ξενοφῶντος.

φῦναι δὲ ὁ κῦρος λέγεται καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι, τοῦ ἐπαινεῖσθαι ἕνεκα. φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται, ἐπαιδεύθη γε μὴν ἐν περσῶν νόμοις. οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι, τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι. οὐκ ἔνθεν ὅθεν περ ἐν ταῖς πλείσταις πόλεσιν ἄρχονται, αἱ μὲν γὰρ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν ὅπως τις ἐθέλει τοὺς ἑαυτοῦ παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους, ὅπως ἐθέλουσι διάγειν, ἔπειτα προστάττουσιν αὐτοῖς μὴ κλέπτειν, μήδ' ἁρπάζειν. μὴ βίᾳ εἰς οἰκίαν παριέναι. μὴ παίειν ὃν μὴ δίκαιον. μὴ μοιχεύειν. μὴ ἀπειθεῖν ἄρχοντι. καὶ τἆλλα τὰ τοιαῦτα ὡσαύτως. ἐὰν δέ τις τούτων παραβαίνῃ τι, ζημίας αὐτοῖς ἐπανέθεσαν. οἱ δὲ περσικοὶ νόμοι προλαβόντες, ἐπιμελοῦνται, ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, οἷοι πονηροῦ τινος ἢ αἰσχροῦ ἔργου ἐφίεσθαι. ἐπιμέλονται δὲ δὴ ὧδε. ἔστιν αὐτοῖς ἐλευθέρα ἀγορὰ καλουμένη. ἔνθα τά τε βασίλεια, καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται. ἐντεῦθεν τὰ μὲν ὤνια καὶ οἱ ἀγοραῖοι, καὶ αἱ τούτων φωναὶ καὶ ἀπειροκαλίαι ἀπελήλανται εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη, τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. διήρηται δὲ αὕτη ἡ ἀγορὰ ἡ περὶ τὰ ἀρχεῖα, εἰς τέσσαρα μέρη, τούτων δ' ἐστὶν, ἓν μὲν παισίν, ἓν δὲ ἐφήβοις ἄλλοτε δὲ τελείοις ἀνδράσιν, ἄλλοτε δὲ, τοῖς ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι. νόμῳ δὲ εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων πάρεισιν. οἱ μὲν παῖδες, ἅμα τῇ ἡμέρᾳ καὶ οἱ τέλειοι ἄνδρες. οἱ δὲ γεραίτεροι, ἡνίκα ἂν ἑκάστῳ προχωρῇ, πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, αἷς αὐτοὺς δεῖ παρεῖναι. οἱ δὲ ἔφηβοι, καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνικοῖς ὅπλοις, πλὴν τῶν γεγαμηκότων. οὗτοι δὲ οὔτε ἐπιζητοῦνται ἂν μὴ προρρηθῇ παρεῖναι, οὔτε πολλάκις ἀπεῖναι καλόν. ἄρχοντες δὲ, ἐφ' ἑκάστοις τούτων τῶν μερῶν εἰσὶ δώδεκα. δώδεκα γὰρ καὶ φυλαὶ περσῶν διήρηνται. καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ τῶν γεραιτέρων ᾑρημένοι εἰσὶν, οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἀποδεικνύναι. ἐπὶ δὲ τοῖς ἐφήβοις, ἐκ τῶν τελείων ἀνδρῶν, οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέχειν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας, καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς. εἰσὶ καὶ τῶν γεραιτέρων προστάται ᾑρημένοι, οἳ προστατεύουσιν, ὅπως καὶ οὗτοι τὰ καθήκοντα ἀποτελῶσιν. ἃ δὲ ἑκάστῃ τῇ ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα. ὡς μᾶλλον δῆλον γένηται, ᾗ ἐπιμέλονται, ὡς ἂν βέλ-

τιστοι

τιστοι εἶεν οἱ πολῖται. οἱ μὲν δὴ παῖδες οἱ εἰς τὰ διδασκαλεῖα φοιτῶντες, μανθάνουσι διάγειν δικαιοσύνην, καὶ λέγουσιν ὅτι ἐπὶ τούτῳ ἄρχονται, ὥσπερ παρ' ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. οἱ δὲ ἄρχοντες αὐτῶν, διατελοῦσι τὸ πλεῖστον τῆς ἡμέρας δικάζοντες αὐτοῖς, γίνεται γὰρ δὴ πρὸς ἀλλήλοις καὶ παισὶν ὥσπερ ἀνδράσιν ἐγκλήματα καὶ κλοπῆς, καὶ ἁρπαγῆς, καὶ βίας, καὶ ἀπάτης, καὶ κακολογίας, καὶ ἄλλων οἵων εἰκός. οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. κολάζουσι δὲ καὶ οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι. δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ ἥκιστα, ἀχαριστίας, καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδοῦναι μὴ ἀποδιδόντα δέ, κολάζουσι τοῦτον ἰσχυρῶς, οἴονται γὰρ τοὺς ἀχαρίστους, καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ περὶ γονέας, καὶ περὶ πατρίδα, καὶ περὶ φίλους. ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία, καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην. μέγα δὲ συμβάλλεται καὶ εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτούς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. διδάσκουσι δὲ καὶ πείθεσθαι αὐτοὺς τοῖς ἄρχουσι. μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους πειθομένους ἰσχυρῶς τοῖς ἄρχουσι. διδάσκουσι δὲ καὶ ἐγκρατεῖς εἶναι καὶ γαστρός, καὶ ποτοῦ. μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους, οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες. καὶ οὔτε παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσιν. φέρονται δὲ οἴκοθεν. σῖτον μέν, ἄρτους. ὄψον δέ, κάρδαμον. πιεῖν δ' ἐάν τις διψῇ, κώθωνα ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι, πρὸς δὲ τούτοις, μανθάνουσι καὶ τοξεύειν, καὶ ἀκοντίζειν. μέχρι μὲν δὴ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες πράττουσιν. ἐκ τούτου δ' εἰς τοὺς ἐφήβους ἐξέρχονται. οὗτοι δὲ αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε. δέκα ἔτη ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προείρηται, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως, καὶ σωφροσύνης. δοκεῖ γὰρ αὕτη ἡ ἡλικία ἐπιμελείας μάλιστα δεῖσθαι. παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς μάλιστα τοῖς ἄρχουσι χρῆσθαι. ἄν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ, καὶ ὅταν μὲν δέῃ τι, πάντες μένουσι περὶ τὰ ἀρχεῖα. ὅταν δὲ ἐξάρῃ βασιλεὺς ἐπὶ θήραν, τὰς ἡμισείας φυλακὰς καταλείπει, ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός. ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα, καὶ παρὰ φαρέτραν ἐν κολεῷ κοπίδα, ἢ σάγαριν, ἔτι γέρρον. καὶ



Ayuntamiento de Madrid

παλτὰ δύο, ὥστε τὸ μὲν ἀφεῖναι, τὸ δέ, ἐὰν δέῃ, ἐκ χειρὸς χρῆσθαι. διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται, καὶ βασιλεύς ὥσπερ καὶ ἐν πολέμῳ ἡγεμὼν αὐτοῖς ἐστι· καὶ αὐτός τε θηρᾷ, καὶ τῶν ἄλλων ἐπιμελεῖται· ὅπως ἂν θηρῶσιν, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι. καὶ γὰρ πρωῒ ἀνίστασθαι ἐθίζει, καὶ ψύχει καὶ θάλπει ἀνέχεσθαι, γυμνάζει δὲ καὶ ὁδοιπορίαις, καὶ δρόμοις. ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον. καὶ ἀκοντίσαι, ὅπου ἂν παραπίπτῃ, καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀντιστῆται, παίειν μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γινόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον, ὥστε οὐ ῥᾴδιον εὑρεῖν τι ἐν τῇ θήρᾳ, ὃ ἄπεστι τῶν ἐν τῷ πολέμῳ παρόντων. ἐξέρχονται δ' ἐπὶ τὴν θήραν ἄριστον ἔχοντες, πλέον μέν, ὡς καὶ εἰκότως παίδων. τἆλλα δ' ὅμοιον. καὶ θηρῶντες μὲν οὐκ ἂν ἀριστήσαιεν, ἢν δέ τι δεήσῃ θηρίου ἕνεκα ἐπικαταμεῖναι, ἢ ἄλλως βουληθῶσι διατρῖψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες τῇ ὑστεραίᾳ θηρῶσι μέχρι δείπνου. καὶ μίαν ἄμφω τούτω τῇ ἡμέρᾳ λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. τοῦτο δὲ ποιοῦσι, τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα καὶ ἄν τι ἐν πολέμῳ δεήσῃ δύωνται τοῦτο ποιεῖν. καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι, ὅτι ἂν θηράσωσιν. εἰ δὲ μή, τὸ κάρδαμον. εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἐσθίωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω, πῶς μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν· πῶς δέ, ἡδὺ ὕδωρ πιεῖν διψῶντι. αἱ δ' αὖ μένουσαι φυλαί, διατρίβουσι μελετῶσαι τά τε ἄλλα ἃ παῖδες ὄντες ἐμάνθανον, καὶ τοξεύειν καὶ ἀκοντίζειν. καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. εἰσὶ δὲ καὶ δημόσιοι τούτοις ἀγῶνες, καὶ ἆθλα προτίθεται. ἐν ᾗ δ' ἂν φυλῇ πλεῖστοι ὦσι, δαημονέστατοι, καὶ ἀνδρειότατοι, καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται, καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις παῖδας ὄντας αὐτοὺς ἐπαίδευσε. χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαὶ πᾶσαι, ἤν τι ἢ φρουρῆσαι δέῃ, ἢ κακούργους ἐρευνῆσαι, ἢ λῃστὰς ὑποδραμεῖν, ἢ καὶ ἄλλα ὅσα τάχους καὶ ἰσχύος ἔργα ἐστίν. ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας. ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου ἐκ τῶν ἐφήβων, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη ὧδε διάγουσι. πρῶτον μὲν ὥσπερ οἱ ἔφηβοι παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἐάν τι δέῃ περὶ τῶν κοινῶν, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστί, καὶ ἔτι δυναμένων. ἐὰν δέ που δέῃ στρατεύεσθαι, τόξα μὲν οἱ οὕτω πεπαιδευμένοι, οὐκέτι ἔχοντες οὐδὲ παλτά, στρατεύονται, τὰ δὲ

Ayuntamiento de Madrid

ἄγχιμα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις, καὶ γέρρον ἐν τῇ ἀριστερᾷ. ἐν δὲ τῇ δεξιᾷ, μάχαιραν, ἢ κοπίδα. καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται, πλὴν οἱ τῶν παίδων διδάσκαλοι. ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν οὗτοι πλεῖον ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς. ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους. οἱ δ᾽ αὖ γεραίτεροι οὗτοι, στρατεύονται μὲν οὐκέτι ἔξω τῆς αὑτῶν, οἴκοι δὲ μένοντες, δικαίως τά τε κοινὰ πάντα, καὶ τὰ ἴδια, καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι αἱροῦνται πάσας. καὶ ἐάν τις ἢ ἐν ἐφήβοις, ἢ ἐν τελείοις ἀνδράσιν ἐκλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστον, καὶ τῶν ἄλλων ὁ βουλόμενος. οἱ δὲ γεραίτεροι ἀκούσαντες, ἐκκρίνουσιν, ὁ δὲ ἐκκριθεὶς, ἄτιμος τὸν βίον διατελεῖ. ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ περσῶν πολιτεία, μικρὸν ἐπάνειμι, νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη, διὰ τὰ προειρημένα. λέγονται μὲν πέρσαι, ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι. τούτων δὲ οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν, καὶ ἀρχῶν, ἀλλ᾽ ἔξεστι πᾶσι πέρσαις, πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. ἀλλ᾽ οἱ μὲν δυνάμενοι τρέφειν τοὺς ἑαυτῶν παῖδας ἀργοῦντας, πέμπουσιν. οἱ δὲ μὴ δυνάμενοι, οὐ πέμπουσιν, ἵνα παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις. ἔξεστι δὲ αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι, τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως, οὐκ ἔξεστιν. οἳ δ᾽ ἂν αὖ ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναλίζεσθαι καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν. οἳ δ᾽ ἂν αὖ ἐν τοῖς παισὶ μὴ διαγένωνται, ἢ ἐν τοῖς ἐφήβοις, οὐκ ἔρχονται εἰς τοὺς τελείους. οἳ δ᾽ ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίνονται. οὕτω μὲν δὴ οἱ γεραίτεροι, διὰ πάντων τῶν καλῶν διεληλυθότες καθίστανται.

Ξενοφῶντος ἐκ τῆς λακώνων πολιτείας

Ὁ δὲ λυκοῦργος ἐσθῆτας μὲν καὶ δούλας ἱκανὰς παρέχειν ἡγήσατο εἶναι. ταῖς δὲ ἐλευθέραις μέγιστον νομίσας εἶναι τὴν τεκνοποιΐαν, πρῶτον μὲν σωμασκεῖν ἔταξεν, οὐδὲν ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φύλου. ἔπειτα δὲ δρόμου καὶ ἰσχύος ὥσπερ τοῖς ἀνδράσιν, οὕτω καὶ ταῖς θηλείαις, ἀγῶνας πρὸς ἀλλήλας ἐποίησε, νομίζων ὡς ἀμφοτέρων ἰσχυρῶν, καὶ ἔκγονα ἐρρωμενέστερα γίγνεσθαι. ἐπεί γε μὴν πρὸς ἄνδρα ἔλθοι, ὁρῶν τοὺς ἄλλους τὸν πρῶτον τοῦ χρόνου ἀμέτρως ταῖς γυναιξὶ συνόντας, καὶ τούτου τἀναντία ἔγνω, ἔθηκε γὰρ αἰδεῖσθαι μὲν εἰσιόντα ὀφθῆναι, αἰδεῖσθαι δὲ ἐξιόντα. οὕτω δὲ συνόντων, ποθεινοτέρως μὲν ἀνάγκη σφῶν αὐτῶν ἔχειν, ἐρρωμενέστερα δὲ γίγνεσθαι, εἴ τι βλαστάνοιεν, οὕτω μᾶλλον, ἢ διάκοροι ἀλλήλων εἶεν. πρὸς δὲ τούτοις καὶ ἀποπαύσας τοῦ ποτε βούλοιντο, ἕκαστοι γυναῖκα

ἄγεσθαι· ἔταξεν ἐν ἀκμαῖς τῶν σωμάτων τοὺς γάμους ποιεῖσθαι. καὶ τοῦτο συμφέρον τῇ εὐγενείᾳ νομίζων. εἴγε μέντοι συμβαίη γε ῥάων ἐὰν ἔχειν ὁρῶν τοὺς τηλικούτους φυλάττοντας μάλιστα τὰς γυναῖκας, τἀναντία καὶ τούτου ἐνόμισε. τῷ γὰρ πρεσβύτῃ ἐποίησεν ὁποίου ἀνδρὸς καὶ σῶμα καὶ ψυχὴν ἀγασθείη, τοῦτον ἐπαγαγομένῳ τεκνοποιήσασθαι. εἰ δέ τις αὖ γυναικὶ μὲν συνοικεῖν μὴ βούλοιτο, τέκνων τε ἀξιολόγων ἐπιθυμοίη, καὶ τοῦτο νόμιμον ἐποίησεν· ἥντινα εὔτεκνον καὶ γενναίαν ὁρῴη πείσαντα τὸν ἔχοντα ἐκ ταύτης ποιεῖσθαι, καὶ πολλὰ μὲν τοιαῦτα συνεχώρει. αἱ μὲν γὰρ γυναῖκες, διττοὺς οἴκους βούλονται κατέχειν, οἱ δὲ ἄνδρες, ἀδελφοὺς τοῖς παισὶ λαμβάνειν, οἳ μὲν γένους, καὶ τῆς δυνάμεως κοινωνήσουσι, τῶν δὲ χρημάτων, οὐκ ἀντιποιοῦνται. περὶ μὲν δὴ τεκνοποιίας, οὕτω τἀναντία γνοὺς τοῖς ἄλλοις, εἴτε διαφέροντας καὶ μέγεθος καὶ ἰσχὺν ἄνδρας τῇ σπάρτῃ ἀπετέλεσεν, ὁ βουλόμενος σκοπείτω. βούλομαι δὲ καὶ τὴν παιδείαν σαφηνίσαι, ὁ γὰρ λυκοῦργος, ἀντὶ μὲν τοῦ ἰδίᾳ ἑκάστους παιδαγωγοὺς δούλους ἐφιστάναι, ἄνδρας ἐπέστησε κρατεῖν αὐτῶν, ἐξ ὧνπερ αἱ μέγισται ἀρχαὶ καθίστανται. ὃ δὴ καὶ παιδονόμος καλεῖται, τοῦτον δὲ κύριον ἐποίησε, καὶ καθίζειν τοὺς παῖδας, καὶ ἐπισκοποῦντα, εἴ τις ῥᾳδιουργοίη κολάζειν, ἔδωκε δ' αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως τιμωροῖεν, ὅτι δέοι, ὡς πολλὴν μὲν αἰδῶ, πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι. ἀντί γε μὴν τοῦ ἁπαλύνειν τοὺς πόδας ὑποδήμασιν, ἔταξεν ἀνυποδησίᾳ κρατύνειν, νομίζων εἰ τοῦτο ἀσκήσαιεν, πολὺ μὲν ῥᾶον ἀνορθίᾳ ἐκβαίνειν, καὶ πηδῆσαι δὲ καὶ ἀναθορεῖν καὶ δραμεῖν θᾶττον. ἀντὶ δὲ τοῦ ἱματίοις διαθρύπτεσθαι, ἐνόμισε δερματίῳ δι' ἔτους προσεθίζεσθαι. σῖτον γε μὴν τοσοῦτον ἔχειν συνεβούλευεν, ὡς ὑπὸ πλησμονῆς μὲν, μήποτε βαρύνεσθαι, τοῦ δὲ ἐνδεεστέρως διάγειν, μὴ ἀπείρως ἔχειν, ὑγιεινοτέρως δ' ἂν διάγειν. καὶ εἰς μῆκος δ' ἂν αὐξάνεσθαι, τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν μᾶλλον συλλαμβάνειν ἡγησάμενος, ἢ τὴν διαπράττουσαν τῷ σίτῳ. ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπραγμόνως μὲν οὐκ ἔδωκεν αὐτοῖς λαμβάνειν ὧν προσδέοιντο. κλέπτειν δὲ ἐφῆκε. δῆλον δ' ὅτι τὸν μέλλοντα κλωπεύειν, καὶ νυκτὸς ἀγρυπνεῖν δεῖ καὶ μεθ' ἡμέραν, ἀπατᾶν καὶ ἐνεδρεύειν, καὶ κατασκόπους δὲ ἑτοιμάζειν τὸν μέλλοντά τι λήψεσθαι. ταῦτα οὖν δῆλον ὅτι πάντα μηχανικωτέρους τῶν ἐπιτηδείων βουλόμενος τοὺς παῖδας ποιεῖν, καὶ πολεμικωτέρους, οὕτως ἐπαίδευσεν. πολλὰς δὲ πληγὰς ἐπέβαλε τῷ ἁλισκομένῳ, ὅτι φημὶ ἐγὼ καὶ τἄλλα ὅσα ἄνθρωποι διδάσκουσι κολάζουσι τὸν μὴ καλῶς ὑπηρετοῦντα.

Ayuntamiento de Madrid

ῥετοῦνται. ὅπως δὲ μὴ ἐὰν ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησε τὸν ἀεὶ παρόντα τῶν πολιτῶν, κύριον εἶναι, καὶ ἐπιτάττειν τοῖς παισὶν, ὅτι ἀγαθὸν δοκοίη εἶναι, καὶ κολάζειν, ὅτι ἁμαρτάνοιεν, πρὸς δὲ τούτοις τότε αἰδεῖσθαι ἰσχυρῶς ἐμφύσαι βουλόμενος αὐτοῖς, καὶ ἐν ταῖς ὁδοῖς ἐπέταξεν, ἐντὸς μὲν τοῦ ἱματίου τὼ χεῖρε ἔχειν. σιγῇ δὲ πορεύεσθαι. περιόπτειν δὲ μηδαμῶς. ἀλλ' αὐτὰ τὰ πρὸ ποδῶν ὁρᾶν. ἔνθα δὴ καὶ δῆλον γεγένηται. ὅτι τὸ ἄρρεν φῦλον, καὶ εἰς τὸ σῶφρον ἰσχυρότερόν ἐστι τῆς τῶν θηλειῶν φύσεως. ὡς ἐκείνων γοῦν ἧττον μὲν ἂν φωνὴν ἀκούσαις, ἢ τῶν λιθίνων. ἧττον δὲ ὄμματα στρέψαντων, ἢ τῶν χαλκῶν. αἰδημονεστέρους δ' ἂν αὐτοὺς ἡγήσαιο, καὶ αὐτῶν τῶν ἐν τοῖς ὀφθαλμοῖς παρθένων. καὶ ἐπειδὰν εἰς τὸ φιλίτιον ἀφίκωνται, ἀγαπητὸν αὐτῶν καὶ τὸ ἐρωτηθὲν ἀκοῦσαι. περί γε μὴν τῶν ἤδη ἡβώντων, πολὺ μάλιστα ἐσπούδασεν. ὡς ἂν τούτοις αὖ συνέβαλλεν, ἐξηγήσομαι. αἱροῦνται τοίνυν οἱ ἔφοροι αὐτῶν, ἐκ τῶν ἀκμαζόντων τρεῖς ἄνδρας. οὗτοι δὲ, ἱππαγρέται καλοῦνται. τούτων δὲ ἕκαστος ἄνδρα ἕκαστον καταλέγει διασαφηνίζων, ὅτου ἕνεκα τοὺς μὲν προτιμᾷ, τοὺς δ' ἀποδοκιμάζει. οἱ οὖν μὴ τυγχάνοντες τῶν καλῶν. πολεμοῦσι, τοῖς τε ἀποστείλασιν αὐτοὺς, καὶ τοῖς αἱρεθεῖσιν ἀντ' αὐτῶν. διαλύειν μέντοι τοὺς μαχομένους πᾶς ὁ παραγιγνόμενος κύριος. τοῖς γε μὴν τὴν ἡβητικὴν ἡλικίαν πεπερακόσιν, ἐξ ὧν ἤδη καὶ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὁ Λυκοῦργος νόμιμον ἐποίησε. κάλλιστον εἶναι τὸ θηρᾶν, εἰ μή τι δημόσιον κωλύοι, ὅπως καὶ οὗτοι δύνωνται μηδὲν ἧττον τῶν ἡβώντων στρατιωτικοὺς πόνους ὑποφέρειν. ὡσαύτως ὁ Λυκοῦργος ἐποίησε παίδων ἕκαστον ὁμοίως τῶν ἑαυτοῦ, καὶ τῶν ἀλλοτρίων ἄρχειν. ὅταν δέ τις εἰδῇ ὅτι οὗτοι πατέρες εἰσὶ τῶν παίδων ὧν αὐτὸς ἄρχει, ἀνάγκη ἄρχειν οὕτως, ὥσπερ ἂν καὶ τὸν ἑαυτοῦ ἄρχεσθαι βούλοιτο. ἐν τῇ Σπάρτῃ ὁ Λυκοῦργος τοῖς ἐλευθέροις, τὸν μὲν ἀμφὶ χρηματισμὸν ἀπεῖπε μηδενὸς ἅπτεσθαι. ὅσα δὲ ἐλευθερίαν ἐν ταῖς πόλεσι παρασκευάζει, ταῦτα μόνα ἔταξεν ἔργα ἑαυτῶν νομίζειν, οὐ γὰρ δή τι πλοῦτος ἐκεῖ γε ἐσπούδασται, ἄξιον δὲ Λυκοῦργον καὶ τόδε ἀγασθῆναι. τὸ κατεργάζεσθαι ἐν τῇ πόλει αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον, ἀντὶ τοῦ αἰσχροῦ βίου. καλῶς δέ μοι δοκεῖ Λυκοῦργος νομοθετῆσαι, καὶ εἰ μέχρι γήρως ἀσκοῖτ' ἂν ἡ ἀρετή, ἐπὶ γὰρ τῷ τέρματι τοῦ βίου τὴν κρίσιν τῆς γεροντίας προσθεὶς, ἐποίησε μηδ' ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκαγαθίαν. ἀξιάγαστον δ' αὐτοῦ, καὶ τὸ ἐπικουρῆσαι τῷ τῶν ἀγαθῶν γήρᾳ. θεὶς γὰρ τοὺς γέροντας κυρίους τοῦ περὶ τῆς ψυχῆς

Ayuntamiento de Madrid

ἀγῶνος, διέπραξεν ἐντιμότερον εἶναι τὸ γῆρας, τῆς τῶν ἀκμαζόντων ῥώμης. εἰκότως δέ τοι καὶ σπουδάζεται οὗτος ὁ ἀγὼν μάλιστα τῶν ἀνθρωπίνων, καλοὶ μὲν γὰρ οἱ γυμνικοὶ, ἀλλ' οὗτοι μὲν σωμάτων. ὁ δὲ, περὶ τῆς γερουσίας ἀγὼν, ψυχῶν ἀγαθῶν κρίσιν παρέχει. ὅσῳ οὖν κρείττων ψυχὴ σώματος, τοσούτῳ καὶ οἱ ἀγῶνες οἱ τῶν ψυχῶν, ἢ τῶν σωμάτων ἀξιοσπουδαστότεροι. εἰς γε μὴν τὸν ἐν ὅπλοις ἀγῶνα, τοιάδε ἐμηχανήσατο. στολὴν μὲν ἔχειν φοινικίδα, καὶ χαλκῆν ἀσπίδα. ἐφῆκε δὲ καὶ κομᾶν τοῖς ὑπὲρ τὴν ἡβητικὴν ἡλικίαν, νομίζων οὕτω, καὶ μείζους ἂν καὶ ἐλευθεριωτέρους φαίνεσθαι. οὕτω γε μὴν κατεσκευασμένων, μοίρας ἔδειξεν ἕξ, καὶ ἱππέων καὶ ὁπλιτῶν. ἑκάστη δὲ τῶν ὁπλιτικῶν ἔχει μοιρῶν, πολέμαρχον ἕνα, λοχαγοὺς, τέτταρας, πεντηκοστῆρας ὀκτὼ, ἐνωμοτάρχας, ις΄. ἐκ δὲ τούτων τῶν μερῶν διὰ παρεγγυήσεως καθίστανται. ποτὲ μὲν, εἰς ἐνωμοτίας. ποτὲ, δὲ εἰς τρεῖς. ποτὲ δὲ εἰς ἕξ. ἐπεὶ δὲ ἔγνω τὸ πείθεσθαι μέγιστον ἀγαθὸν εἶναι καὶ ἐν πόλει καὶ ἐν στρατιᾷ. καὶ ἐποίκου τῆς ἐφορείας δύναμιν κατεσκεύασεν. ἔφοροι οὖν δυνατοὶ μὲν εἰσὶ ζημιοῦν ὃν ἂν βούλωνται, κύριοι δὲ πράττειν παραχρῆμα, κύριοι δὲ καὶ ἄρχοντας μεταξὺ καταπαῦσαι, καὶ εἶρξαί τε, καὶ περὶ ψυχῆς εἰς ἀγῶνα καταστῆσαι. πολλῶν δὲ ὄντων καλῶν μηχανημάτων τῷ λυκούργῳ εἰς τὸ πείθεσθαι τοῖς νόμοις ἐθέλειν, τοὺς πολίτας ἐν τοῖς καλλίστοις, καὶ τό μοι δοκεῖ εἶναι, ὅτι οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους, πρὶν ἐλθὼν σὺν τοῖς κρατίστοις εἰς δελφοὺς ἐπήρετο τὸν θεὸν, εἰ λῷον καὶ ἄμεινον εἴη τῇ σπάρτῃ πειθομένῃ, οἷς αὐτὸς ἔθηκε νόμοις. ἐπεὶ δὲ ἀνεῖλε τῷ παντὶ ἄμεινον εἶναι, τότε ἀπέδωκεν οὐ μόνον ἄνομον δείξας, ἀλλὰ καὶ ἀνόσιον, τὸ πυθοχρήστοις νόμοις μὴ πείθεσθαι.

Χαρώνδου τοῦ καταναίου προοίμια νόμων.

Τ ὼς βουλομένως καὶ πράττοντάς τι, ἀπὸ θεῶν ἄρχεσθαι χρή. τὸ γὰρ ἄριστον, ὥσπερ ἁ παροιμία φατί. τὸν θεὸν ἦμεν αἴτιον πάντων τούτων. ἔτι δὲ φαύλων πράξεων ἀπέχεσθαι, καὶ μάλιστα διὰ τὰν πρὸς τὸν θεὸν ξυμβουλίαν, οὐδενὸς γὰρ ἀδίκου θεὸν κοινωνεῖν. βοηθεῖν δὲ ἕκαστον ἑαυτῷ, καὶ ποτὶ κελεύεσθαι κατ' ἀξίαν τῶν δικαίων μεταλαμβάνειν καὶ πράσσειν, τὸ γὰρ ὑπὲρ μικρῶν καὶ μεγάλων ὁμοίως διατείνεσθαι, ἄγαν μικροπρεπὲς δοκεῖ ἦμεν καὶ ἀνελεύθερον. διὸ δεῖ φροντίζειν, τῷ μὴ σφόδρα ἐς τὰ μάκιστα καὶ τὰ μεγάλα ἐμπίπτειν. ἀλλὰ κατ' ἀξίαν τὰν ἑαυτῶ καὶ δύναμιν, μετρέοντα ἑκάστῳ πρᾶγμα ἐπιβάλλειν, ὅπως τίμιος ᾖς καὶ σεμνός.

Α δίκῳ ἀνδρὶ, ἢ γυναικὶ, κεκριμένοις ὑπὸ πόλεως, ἐπαρωγὴν μὴ ποιεῖσθαι. μὴ δὲ ὁμιλεῖν μηδένα ἢ ὀνειδίζεσθαι, ὡς ὄντα ὅμοιον ᾧ ὁμιλεῖ. τοὺς δὲ

Ayuntamiento de Madrid

προκειμένους ἄνδρας ἀγαθούς, ἀγαπᾶν καὶ ἐντυγχάνειν αὐτοῖς. τελεῖσθαί τε τὴν μεγίστην, καὶ τελειοτάτην τελετὴν ἀνδραγαθίαν μεμνημένους ἐπ᾽ ἀληθείᾳ καὶ κτωμένους τὴν ἀρετήν, οὐδεὶς γὰρ ἀνὴρ τέλειος ἄνευ ταύτης. πολίτῃ δὲ ἀδικουμένῳ, βοηθεῖν καὶ οἴκοι, καὶ ἐπὶ ξενίης. ξένον δὲ πάντα, τὸν ἐν τῇ ἑαυτοῦ πατρίδι σεβόμενον. καὶ κατὰ τοὺς οἰκείους νόμους, εὐφήμως καὶ οἰκείως προσδέχεσθαι, καὶ ἀποστέλλειν. μεμνημένους διὸς ξενίου ὡς παρὰ πᾶσιν ἱδρυμένου κοινοῦ θεοῦ, καὶ ὄντος ἐπισκόπου φιλοξενίας τε καὶ κακοξενίας.

Ηγεῖσθαι δὲ καὶ παραγγέλλειν πρεσβυτέροις νεωτέροις τοῦ αἰδεῖσθαι καὶ αἰσχύνεσθαι τὰ κακὰ φανεροὺς ὄντας αὐτοὺς αἰσχυνομένους καὶ αἰδουμένους, ὡς ἐν αἷς πόλεσι πρεσβυτέρων ἀναισχυντούντων φύονται, παῖδες αὐτῶν καὶ παίδων παῖδες ἀναίσχυντοι. ἀκολουθεῖ δὲ ἀναισχυντίᾳ καὶ ἀναιδείᾳ, ὕβρεις καὶ ἀδικία. τούτοις δ᾽ ἕπεται ὄλεθρος. μηδεὶς δ᾽ ἔστω ἀναιδής, ἀλλὰ σωφρονείτω ἕκαστος, ὡς οὕτω τευξόμενος θεὸν ἵλεων καὶ σωτηρίας, οὐδεὶς γὰρ κακὸς θεοφιλής. τιμάτω δὲ ἕκαστος τὸ καλόν, καὶ τὸ ἀληθές, καὶ μισείτω τὸ αἰσχρὸν καὶ τὸ ψεῦδος, ταῦτα γὰρ ἀρετῆς σημεῖα καὶ κακίας, διὸ χρὴ συνεθίζειν ἐκ παίδων κολάζοντας μὲν τοὺς φιλοψευδεῖς, φιλοῦντας δὲ τοὺς φιλαλήθεις, ἵν᾽ ἐμφυτεύηται ἑκάστῳ τὸ κάλλιστον καὶ σπερματωδέστατον τῆς ἀρετῆς. προσποιείσθω δὲ ἕκαστος τῶν πολιτῶν,, σωφρονεῖν μᾶλλον, ἢ φρονεῖν, ὡς ἡ προσποίησις τοῦ φρονεῖν, μέγα σημεῖον ἀπειροκαλίας καὶ σμικρότητος. ἔστω δὲ ἡ προσποίησις τοῦ σωφρονεῖν, ἀληθής, μηδεὶς γὰρ πλαττέσθω γλώττῃ καλὰ ἔργα, πράξεως καὶ διανοίας στερούμενος ἀγαθῆς.

Χρὴ δὲ καὶ πρὸς τοὺς ἄρχοντας εὔνοιαν διαφυλάττειν, καθάπερ πατρικήν. εὐπειθοῦντας καὶ σεβομένους, ὡς μὴ διανοούμενος οὕτω. τίσει δίκην κακῆς βουλῆς δαίμοσιν ἐπισκόποις, ἄρχοντες γὰρ ἐπιουχοῦσι πόλεως, καὶ πολιτῶν σωτηρίας.

Χρὴ δὲ καὶ τοὺς ἄρχοντας δικαίως προεστάναι τῶν ἀρχομένων, καθάπερ τέκνων ἰδίων. ἔχθραν καὶ φιλίαν, καὶ θυμὸν ἐν τῷ κρίνειν κοιμίσαντας.

Ἐπαινείσθωσαν δὲ καὶ εὐδοκιμείσθωσαν, ὅσοι ἂν ὄντες εὔποροι τοῖς ἐνδεεστέροις ἐπαρκῶσιν. ὡς τέκνα καὶ ἀμύντορας σώζοντες τῆς ἑαυτῶν πατρίδος. ἐπαρκείτωσαν δὲ τοῖς διὰ τύχην πενομένοις, καὶ μὴ διὰ βίον ἀργὸν καὶ ἀκρατῆ, ἡ μὲν γὰρ τύχη, πᾶσι κοινόν. ὁ δὲ ἀργὸς καὶ ἀκρατὴς βίος, κακοῖς ἀνδράσιν ἴδιος.

Καλὸν δ᾽ ἔστω καὶ μηνύειν ἐάν τις τῷ συνίδῃ ἀδικοῦντι, ἵνα ἡ πολιτεία σώζηται, πολλοὺς ἔχουσα τῆς εὐκοσμίας φύλακας. ὁ δὲ μηνύων, εὐσεβὴς ἔστω, καὶ κατὰ τῶν οἰκειοτάτων ἐξαγγέλλων, οὐδὲν γάρ ἐστιν οἰκειότερον πατρίδος. ἐμφανιζόντων δὲ, μὴ τὰ δι᾽ ἀκούσιον ἄγνοιαν γιγνόμενα, ἀλλ᾽ ὅσοι ἂν ἐκ

Ayuntamiento de Madrid

προνοίας τι ἁμαρτάνωσιν, ὁ δ' ἐμφανισθεὶς ἂν ἐξελεγχθῇ τῷ μηνύσαντι, μισείσθω ὑπὸ πάντων δίκην διδοὺς ἀχαριστίας, ἧς ἀποστερεῖ τὸν ἰατρεύοντα τὴν μεγίστην νόσον ἰατρευόμενος ἀδικίαν.

Ἔστω δὲ μέγιστα ἀδικήματα, θεῶν καταφρόνησις, καὶ γονέων κάκωσις ἑκούσιος, καὶ ἀρχόντων καὶ νόμων ὀλιγωρία, καὶ ἑκούσιος ἀτιμία δικαιοσύνης. δικαιότατος δὲ ἔστω καὶ ὁσιώτατος πολίτης, ὁ ταῦτα τιμῶν, καὶ ἐμφανίζων πρὸς πολίτας, καὶ ἄρχοντας, κατὰ τῶν καταφρονούντων.

Ὑπὲρ πατρίδος ἀποθνήσκειν σεμνότερον ἔστω, ἢ φιλοψυχοῦντα τοῦ ζῆν ἐγκαταλιπεῖν αὐτὴν καὶ τὸ καλόν, κρεῖττον γὰρ τεθνάναι καλῶς, ἢ ζῆν αἰσχρῶς, καὶ ἐπονειδίστως.

Χρὴ δὲ καὶ τῶν τελευτώντων ἕκαστον τιμᾶν. μὴ δακρύοις, μηδ' οἴκτοις, ἀλλὰ μνήμῃ ἀγαθῇ, καὶ τῇ τῶν κατ' ἔτος ὡραίων ἐπιφορᾷ, ὡς ἀχαριστίας οὔσης πρὸς δαίμονας χθονίους, λύπης ὑπὲρ τὸ μέτρον γιγνομένης.

Βλασφημείτω δὲ μηδεὶς ἐπ' ἀδίκῳ. βλάβῃ περὶ μηδενός, θειότερον γὰρ εὐφημία κακηγορίας.

Νομιζέσθω δὲ πολίτης ἀμείνων, ὁ τῆς ὀργῆς κρείττων μᾶλλον, τοῦ διὰ ταύτην πλημμελοῦντος.

Ὁ. ἱερὰ καὶ ἀρχεῖα ὑπερχίρων, τῇ πολυτελείᾳ τῶν ἰδίων μὴ εὐδοξείτω, ἀλλ' ὀνειδιζέσθω, μηδὲν γὰρ ἔστω ἰδιωτικὸν, μεγαλοπρεπέστερον, καὶ σεμνότερον τῶν δημοσίων.

Ὁ πλούτῳ καὶ χρήμασι δουλεύων, καταφρονείσθω, ὡς μικρόψυχος ὤν, καὶ ἀνελεύθερος, καὶ καταπληττόμενος ὑπὸ κτημάτων πολυτελῶν, καὶ βίου τραγωδουμένου, καὶ εὐτελὴς εἶναι τὴν ψυχὴν ὑπολαμβανέσθω, ὁ γὰρ μεγαλόψυχος προδιανοεῖται πάντα παρ' ἑαυτῷ τὰ παρ' ἀνθρώποις, καὶ δι' οὐδενὸς θορυβεῖται τοιούτου, ὅταν παραπέσῃ.

Αἰσχρορρημονείτω δὲ μηδεὶς, ὅπως ἂν μὴ ποιοίη τὴν διάνοιαν ἔργοις αἰσχροῖς, μηδὲ ἀναπιμπλῇ τὴν ψυχὴν ἀναιδείας, καὶ μιασμάτων, τὰ μὲν γὰρ εὐσχήμονα, καὶ φίλα τοῖς οἰκείοις ὀνόμασι καὶ κειμένοις ὑπὸ τοῦ νόμου προσαγορεύομεν, πρὸς ἃ δὲ ἐχθρῶς ἔχομεν, ἐξιστάμεθα καὶ τῆς προσηγορίας διὰ τὸ αἰσχρόν. ἔστω δὲ καὶ αἰσχρὸν, εἰπεῖν τὸ αἰσχρόν.

Γυναῖκα δὲ τὴν κατὰ νόμους ἕκαστος στεργέτω, καὶ ἐκ ταύτης τεκνοποιείσθω. εἰς ἄλλο δὲ μηδὲν προϊέσθω τέκνων τῶν αὑτοῦ σποράν, μηδὲ τὸ φύσει καὶ νόμῳ τίμιον, ἀνόμως ἀναλισκέτω, καὶ ὑβριζέτω. ἡ γὰρ φύσις τεκνοποιίας εἵνεκεν, οὐκ ἀκολασίας ἐποίησε τὴν σποράν.

Γυναῖκα δὲ σωφρονεῖν χρὴ, καὶ μὴ προσδέχεσθαι συνουσίαν ἀσεβῆ παρ'

Ayuntamiento de Madrid

ἄλλων ἀνδρῶν. ὡς ἀπαντώσης νεμέσεως παρὰ δαιμόνων καὶ ἐξοικιστῶν, καὶ ἐχθροποιῶν.

Ὁ μητρυιὰν ἐπαγαγὼν, μὴ εὐδοξείτω, ἀλλ' ὀνειδιζέσθω ὥσπερ αἴτιος ὢν οἰκείας διαστάσεως.

Χρὴ δὲ ἐμμένειν τοῖς εἰρημένοις, τὸν δὲ παραβαίνοντα, ἔνοχον εἶναι τῇ πολιτικῇ ἀρᾷ.

Προστάσσει δὲ ὁ νόμος, ἐπίστασθαι τὰ προοίμια τοὺς πολίτας ἅπαντας, καὶ ἐν ταῖς ἑορταῖς μετὰ τοὺς παιᾶνας λέγειν· ᾧ ἂν προστάσσῃ ὁ ἑστιάτωρ, ἵν' ἐμφυτοῦται ἑκάστῳ τὰ παραγγέλματα.

Παρὰ Ταρτησίοις νεωτέρῳ πρεσβυτέρου καταμαρτυρεῖν, οὐκ ἔξεστι. Ἐκ τῶν Νικολάου περὶ ἐθῶν.

Λευκανοὶ δικάζονται ἀλλήλοις, ὥσπερ ἄλλου τινὸς ἀδικήματος, οὕτω καὶ ἀσωτίας καὶ ἀργίας. ἐὰν δέ τις ἀσώτῳ δανείσας χρέος ἐλεγχθῇ, στέρεται αὐτοῦ, καὶ ἀθλώησι δὲ τῆς ἀργίας εἰσὶ δίκαι.

Παρὰ Σαυνίταις κατ' ἔτος οἵτε ἠΐθεοι κρίνονται δημοσίᾳ καὶ αἱ παρθένοι. ὁ δὲ κριθεὶς ἄριστος εἶναι, λαμβάνει ἣν βούλεται, εἶθ' ὁ μετ' ἐκεῖνον δεύτερος, καὶ οὕτως ἐφεξῆς.

Λιμύρνιοι κοινὰς τὰς γυναῖκας ἔχουσι, καὶ τὰ τέκνα ἐν κοινῷ τρέφουσι μέχρι ἐτῶν πέντε. εἶτα τῷ ἕκτῳ συνενέγκαντες ἅπαντα τὰ παιδία, τὰς ὁμοιότητας πρὸς τοὺς ἄνδρας εἰκάζουσι, καὶ ἑκάστῳ τὸν ὅμοιον ἀποδιδόασι πατρί, ἀφ' ἧς δ' ἂν ὑπολάβῃ τὸ παιδίον, ἕκαστος υἱὸν ἀπολαμβάνει.

Κελτοὶ σιδηροφοροῦντες τὰ κατὰ πόλιν πάντα πράττουσι, μείζω δ' ἐστὶν ἐπιτίμια κατὰ τοῦ ξένον ἀνελόντος, ἢ πολίτου· ὑπὲρ τοῦ μὲν γὰρ, θάνατος ἡ ζημία· ὑπὲρ τοῦ δὲ πολίτου, φυγή. τιμῶσι δὲ μάλιστα τοὺς χώραν τῷ κοινῷ προσκτωμένους, τὰς δὲ θύρας τῶν οἰκιῶν οὐδέποτε κλείουσι.

Σαυρομάται διὰ τριῶν ἡμερῶν σιτοῦνται εἰς πλήρωσιν. ταῖς δὲ γυναιξὶ πάντα πείθονται ὡς δεσποίναις. παρθένον δὲ οὐ πρότερον συνοικίζουσι πρὸς γάμον, πρὶν ἂν πολέμιον ἄνδρα κτείνῃ.

Κερκέται τοὺς ἀδικήσαντας ὁπωσοῦν, τῶν ἱερέων ἀπείργουσιν. ἐὰν δέ τις κυβερνῶν σκάφος διαμάρτῃ, προσιόντες ἐφεξῆς ἕκαστοι ἐμπτύουσιν αὐτῷ.

Μόσυνοι τὸν ἑαυτῶν βασιλέα τρέφουσιν ἐν πύργῳ κατάκλειστον. ἐὰν δέ τις δόξῃ κακῶς ποτὲ βεβουλεῦσθαι, τῷ λιμῷ αὐτὸν ἀποκτείνουσι. τὸν δὲ τρεφόμενον σῖτον, ἐξ ἴσου διαιροῦσι, μέρος κοινῇ ἐξελόν τε τοῖς ἀφικνουμένοις ξένοις.

Φρύγες ὅρκοις οὐ χρῶνται. οὔτ' ὀμνύοντες, οὔτε ἄλλους ἐξορκοῦντες. ἐὰν δέ τις παρ' αὐτοῖς γεωργικὸν βοῦν ἀποκτείνῃ, ἢ σκεῦος τῶν περὶ γεωργίαν κλέ-

Ayuntamiento de Madrid

ψῆ. θανάτῳ ζημιοῦσι.

Λύκιοι τὰς γυναῖκας μᾶλλον ἢ τοὺς ἄνδρας τιμῶσι. καὶ καλοῦνται μητρόθεν, τάς τε κληρονομίας ταῖς θυγατράσι λείπουσιν, οὐ τοῖς υἱοῖς. ὃς δ᾽ ἂν ἐλεύθερος ἁλῷ κλέπτων, δοῦλος γίνεται. τὰς δὲ μαρτυρίας ἐν ταῖς δίκαις, οὐκ εὐθὺ παρέχονται, ἀλλὰ μετὰ μῆνα.

Πισίδαι δειπνοῦντες, ἀπάρχονται τοῖς γονεῦσιν, ὡς ἡμεῖς τοῖς θεοῖς παρὰ σπονδαῖς. ἡ δὲ μεγίστη κρίσις ἐστὶ παρακαταθήκης, τὸν δὲ ἀποστερήσαντα, θανατοῦσιν. ἐὰν δὲ μοιχὸς ἁλῷ, περιάγεται τὴν πόλιν ἐπὶ ὄνου μετὰ τῆς γυναικὸς, ἐπὶ ἡμέρας τακτάς.

Αἰθίοπες τὰς ἀδελφὰς μάλιστα τιμῶσι. καὶ τὰς διαδοχὰς μάλιστα καταλείπουσιν οἱ βασιλεῖς οὐ τοῖς ἑαυτῶν, ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς. ὅταν δ᾽ ὁ διαδεξάμενος μὴ ᾖ, τὸν κάλλιστον ἐκ πάντων καὶ μαχιμώτατον αἱροῦνται βασιλέα. ἀσκοῦσι δὲ εὐσέβειαν καὶ δικαιοσύνην. ἄθυροι δ᾽ αὐτῶν αἱ οἰκίαι, καὶ ἐν ταῖς ὁδοῖς κειμένων πολλῶν, οὐδεὶς κλέπτει.

Ἐν Βυζάντες Λίβυσιν, ἀνὴρ μὲν ἀνδρῶν βασιλεύει, γυνὴ δὲ γυναικῶν.

Βασυλιεῖς Λίβυες, ὅταν πολεμῶσι, τὰς μὲν νύκτας μάχονται, τὰς δ᾽ ἡμέρας εἰρήνην ἄγουσι.

Δαψολίβυες ὅταν συναχθῶσι, πάντες ἅμα γαμοῦσιν ἐν μιᾷ ἡμέρᾳ, μετὰ δύσιν πλειάδος, καὶ μετὰ τὴν ἑστίασιν χωρὶς τῶν γυναικῶν κατακειμένων, κατασβέσαντες τὸν λύχνον εἰσέρχονται, καὶ ὁ τυχὼν, ἣν ἂν τύχῃ λαμβάνει.

Ἰαλχλεῖς Λίβυες, ὅταν πολλοὶ μνηστεύσωνται γυναῖκα, παρὰ τῷ κηδεστῇ δειπνοῦσι, παρούσης τῆς γυναικὸς, πολλὰ δὲ σκωπτόντων, ἐφ᾽ ᾧ ἂν ἡ γυνὴ γελάσῃ, τούτῳ συνοικεῖ.

Σορδοὶ Λίβυες, οὐδὲν κέκτηνται σκεῦος, ἔξω κύλικος καὶ μαχαίρας.

Ἀλιτέμνιοι Λίβυες τοὺς ταχυτάτους ἀνθρώπων αἱροῦνται βασιλεῖς, τῶν δ᾽ ἄλλων τιμῶσι τὸν δικαιότατον.

Οἱ νομάδες τῶν Λιβύων, οὐ ταῖς ἡμέραις, ἀλλὰ ταῖς νυξὶν, ἀριθμοῦσι τὸν χρόνον.

Ἀφάραντες Λίβυες ὀνόματα οὐκ ἔχουσιν, ἡλίῳ δὲ ἀνίσχοντι, λοιδοροῦνται, ὡς πολλὰ κακὰ φαίνοντι. τῶν δὲ θυγατέρων ἀρίστας κρίνουσι, τὰς πλεῖστον χρόνον μεμενηκυίας παρθένους.

Βοιωτῶν ἔνιοι τῶν χρέος οὐκ ἀποδιδόντας εἰς ἀγορὰν ἄγοντες, καθίσαι κελεύουσιν, εἶτα κόφινον ἐπιβάλλουσιν αὐτῷ, ὃς δ᾽ ἂν κοφινωθῇ, ἄτιμος γίνεται. δοκεῖ δὲ τοῦτο πεπονθέναι καὶ ὁ Εὐριπίδης πατὴρ, βοιωτὸς ὢν τὸ γένος.

Ayuntamiento de Madrid

Ασύριοι τὰς παρθένους ἐν ἀγορᾷ πωλοῦσι τοῖς θέλουσι συνοικεῖν. πρώτας μὲν τὰς εὐγενεστάτας καὶ καλλίστας, εἶτα τὰς λοιπὰς ἐφεξῆς. ὅταν δ' ἔλθωσιν ἐπὶ τὰς φαυλοτάτας, κηρύττουσι, πόσον τίς θέλει προσλαβὼν, ταύταις συνοικεῖν, καὶ τὸ συναχθὲν ἐκ τῆς τῶν εὐπρεπῶν τιμῆς. ταύταις προστίθενται. ἀσκοῦσι δὲ μᾶλλον, βαθύτητα καὶ ἀοργησίαν.

Πέρσαις ὃ μὴ ποιεῖν ἔξεστιν, οὐδὲ λέγουσιν. ἐὰν δέ τις πατέρα κτείνῃ, ὑποβλητὸν ἄλλον οἴονται. ἐὰν δέ τινα προστάξῃ βασιλεὺς μαστιγῶσαι, εὐχαριστεῖ, ὡς ἀγαθοῦ τυχών. ὅτι αὐτοῦ ἐμνήσθη βασιλεύς. ἆθλα δὲ λαμβάνουσι παρὰ βασιλέως πολυτεκνίας. οἱ δὲ παῖδες παρ' αὐτοῖς ὥσπερ μαθήματα τὸ ἀληθεύειν διδάσκονται.

Παρ' Ἰνδοῖς ἐάν τις ἀποστερηθῇ δανείου, ἢ παρακαταθήκης, οὐκ ἔστι κρίσις. ἀλλ' αὐτὸν αἰτιᾶται ὁ πιστεύσας. ὁ δὲ, τεχνίτου πηρώσας χεῖρα ἢ ὀφθαλμὸν, θανάτῳ ζημιοῦται. τὸν δὲ, μέγιστα ἀδικήσαντα, ὁ βασιλεὺς κελεύει κείρασθαι, ὡς ἐσχάτης οὔσης ταύτης ἀτιμίας.

Λακεδαιμονίοις τέχνας μανθάνειν ἄλλας, ἢ τὰς εἰς πόλεμον αἰσχρὸν ἐστίν. ἑστιῶνται δὲ πάντες ἐν κοινῷ. τοὺς δὲ γέροντας αἰσχύνονται, οὐδὲν ἧττον ἢ πατέρας. γυμνάσια δ' ὥσπερ ἀνδρῶν ἐστὶν, οὕτω καὶ παρθένων. ξένοις δ' ἐμβιοῦν οὐκ ἔξεστιν ἐν Σπάρτῃ, οὔτε Σπαρτιάταις ξενιτεύειν. ταῖς δὲ αὑτῶν γυναιξὶ παρακελεύονται ἐκ τῶν εὐειδεστάτων κύεσθαι, καὶ ἀστῶν καὶ ξένων. χρηματίζεσθαι δ' αἰσχρὸν Σπαρτιάτῃ. νομίσματι δὲ χρῶνται σκυτίνῳ. ἐὰν δὲ παρά τινι εὑρεθῇ χρυσὸς, ἢ ἄργυρος, θανάτῳ ζημιοῦται. σεμνύνονται δὲ πάντες, ἐπὶ τῷ ταπεινοὺς αὑτοὺς παρέχειν, καὶ κατηκόους ταῖς ἀρχαῖς. μακαρίζονται δὲ μᾶλλον ὑπ' ἄλλοις οἱ γενναίως ἀποθνήσκοντες, ἢ οἱ εὐτυχῶς ζῶντες. οἱ δὲ παῖδες νομίμως περί τινα βωμὸν περιϊόντες μαστιγοῦνται, ἕως ἂν ὀλίγοι λειφθέντες στεφανωθῶσιν. αἰσχρὸν δὲ ἐστὶ δειλῶν σύσκηνον, ἢ συγγυμναστὴν φίλων γενέσθαι. κρίσις δὲ ταῖς γερουσίαις ἐπὶ τῷ τέρματι τοῦ βίου προστίθεται τοῖς τε εὖ, ἢ κακῶς ζήσασιν. ὅταν δὲ στρατεύωνται ἔξω χώρας, πῦρ ἀπὸ τοῦ βωμοῦ τοῦ ἀγήτορος Διὸς ἐναυσάμενος πυρφόρος λεγόμενος, σύνεστι τῷ βασιλεῖ ἄσβεστον αὐτὸ τηρῶν. συνεκπέμπονται δὲ τῷ βασιλεῖ μάντεις, καὶ ἰατροὶ, καὶ αὐληταὶ, οἷς ἐν ταῖς μάχαις ἀντὶ σαλπίγγων ἀεὶ χρῶνται. μάχονται δὲ στεφανωμένοι. ὑπανίστανται δὲ βασιλεῖ πάντες, πλὴν ἐφόρων. ὀμνύει τε πρὸ τῆς ἀρχῆς ὁ βασιλεὺς, κατὰ τοὺς τῆς πόλεως νόμους βασιλεύειν.

Κρῆτες πρῶτοι Ἑλλήνων, νόμους ἔσχον Μίνωος θεμένου. ὃς καὶ πρῶτος ἐθαλασσοκράτησεν. προσεποιεῖτο δὲ Μίνως παρὰ τοῦ Διὸς αὐτοὺς μεμαθηκέναι, δι' ἐνέα

Ayuntamiento de Madrid

ἐτῶν εἰς τὸ ὄρος φοιτῶν, ἐν ᾧ Διὸς ἄντρον ἐλέγετο, κἀκεῖθεν ἀεί τινας νό-
» μους φέρων τοῖς Κρησί. μέμνηται δὲ τούτου καὶ Ὅμηρος, ἐν οἷς λέγει· τοῖσι δ'
» ἐνὶ Κνωσσὸς μεγάλη πόλις ἔνθα Μίνως γε ἐννέωρος βασίλευε, Διὸς μεγάλου
ὀαριστής. οἱ δὲ Κρητῶν παῖδες, ἀγελάζονται κοινῇ μετ' ἀλλήλων σκλη-
ραγωγούμενοι· καὶ θήρας καὶ δρόμους τε ἀνάντας ἀνυπόδυτοι κατανύον-
τες, καὶ τὴν ἐνόπλιον πυρρίχην ἐκπονοῦντες, ἥν τινα πρῶτος εὗρε Πύρρι-
χος Κυδωνιάτης Κρὴς τὸ γένος. συσσιτοῦσι δ' ἐν κοινῷ οἱ ἄνδρες, τὴν ἄλλην
δίαιταν ἔχοντες ἐξ ἴσου πάντες. δῶρα δὲ ἄλλοις ἐστὶν, ὅπλα τιμιώτατα.

Ἐκ τῶν Στε-
είου.

Οἱ Περσῶν βασιλεῖς· περὶ μὲν τῶν θυσιῶν, περὶ εὐσεβείας διαλέγονται, περὶ δὲ
τοῦ πίνειν, περὶ σωφροσύνης· πολεμεῖν δὲ μέλλοντες, περὶ ἀνδρείας.

Πέρσαις νόμος ἦν ὁπότε βασιλεὺς ἀποθάνοι, ἀνομίαν εἶναι πέντε ἡμερῶν,
ἵν' αἴσθοιντο, ὅσου ἄξιός ἐστιν ὁ βασιλεὺς καὶ ὁ νόμος.

Οἱ δὲ βασιλεῖς ἀπεδείκνυντο μὲν ἐκ τῶν ἱερέων, ἢ τῶν μαχίμων. τοῦ μὲν, δι'
ἀνδρείαν. τοῦ δὲ, διὰ σοφίαν, γένους ἀξίωμα καὶ τιμὴν ἔχοντος. ὁ δ' ἐκ μα-
χίμων ἀποδεικνύμενος, εὐθὺς ἐγίνετο τῶν ἱερῶν, καὶ μετεῖχε τῆς φιλοσο-
φίας ἐπικρυπτομένης τὰ πολλὰ μύθοις καὶ λόγοις, ἀμυδρὰς ἐμφάσεις τῆς
ἀληθείας ἐχούσης. ὥσπερ ἀμέλει καὶ παραδηλοῦσιν αὐτοὶ πρὸ τῶν ἱερῶν
τὰς σφίγγας ἐπιεικῶς ἱστάντες. ὡς αἰνιγματώδη σοφίαν τῆς θεολογίας αὐ-
τῶν ἐχούσης, τὸ δὲ ἐν Σάϊ τῆς Ἀθηνᾶς ἣν Ἶσιν νομίζουσιν ἕδος, ἐπιγραφὴν
» εἶχε τοιαύτην. ἐγώ εἰμι πᾶν τὸ γεγονός. καὶ ὂν, καὶ ἐσόμενον, καὶ τὸν ἐμὸν
» πέπλον, οὐδείς πω θνητὸς ἀνεκάλυψεν.

Ἀγάθυρσοι, ἁβρότατοι ἄνδρες εἰσί· καὶ χρυσοφόροι τὰ μάλιστα, ἐπίκοινον δὲ
τῶν γυναικῶν τὴν μίξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλήλων ἔωσι, καὶ
οἰκήϊοι ἐόντες πάντες, μήτε φθόνῳ, μήτε ἄχθει χρέωνται ἐς ἀλλήλους.

Πλάτωνος
νόμων β'.

Ἆρ' οὖν νομοθετήσομεν, πρῶτον μὲν τοὺς παῖδας μέχρι ἐτῶν ιή· τὸ παρά-
παν οἴνου μὴ γεύεσθαι, διδάσκοντες, ὡς οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν. εἴς
τε τὸ σῶμα καὶ τὴν ψυχὴν, πρὶν ἐπὶ τοὺς πόνους ἐγχειρεῖν πορεύεσθαι τὴν
ἐμμανῆ εὐλαβουμένους ἕξιν τῶν νέων· μετὰ τοῦτο οἴνου μὲν ἤδη γεύεσθαι
τοῦ μετρίου, μέχρι λ' ἐτῶν, μέθης δὲ καὶ πολυοινίας τὸ παράπαν ἀπέχεσθαι
τὸν νέον· τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν ἐν τοῖς ξυσσιτίοις, εὐωχηθέν-
τα καλεῖν τούς τε ἄλλους θεοὺς, καὶ δὴ καὶ Διόνυσον παρακαλεῖν εἰς τὴν
τῶν πρεσβυτέρων τελετὴν ἅμα, καὶ παιδιάν. ἣν τοῖς ἀνθρώποις ἐπί-
κουρον τῆς τοῦ γήρας αὐστηρότητος, ἐδωρήσατο τὸν οἶνον φάρμακον, ὥστε ἀνη-
βᾶν ἡμᾶς, καὶ δυσθυμίας λήθην γίγνεσθαι, μαλακώτερον ἐκ σκληροτέρου

τὸ τῆς

τὸ τῆς ψυχῆς ἦθος καθάπερ εἰς πῦρ σίδηρον ἐνθέντα γιγνόμενον, καὶ οὕτως εὐπλαστότερον εἶναι.

Εν ταυτῷ

Μηδέποτε μηδένα ἐπὶ στρατοπέδου γεύεσθαι τούτου τοῦ πόματος· ἀλλ' ὑδροποσίαις συγγίγνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα καὶ κατὰ πόλιν, μήτε δοῦλον μήτε δούλην γεύεσθαι μηδέποτε, μηδὲ ἄρχοντας τοῦτον τὸν ἐνιαυτὸν ὃν ἄρχωσιν, μὴ δ' αὖ κυβερνήτας, μηδὲ δικαστὰς ἐνεργοὺς ὄντας, οἴνου γεύεσθαι τοπαράπαν, μὴ δ' ὅστις βουλευσόμενος εἰς βουλὴν ἀξίαν τινὰ λόγου ξυνέρχεται· μηδέ γε μεθ' ἡμέραν μηδένα τοπαράπαν· εἰ μὴ σωμασκίας, ἢ νόσων ἕνεκα, μηδὲ νύκτωρ, ὅταν ἐπινοῇ τις παῖδας ποιεῖσθαι ἀνὴρ ἢ γυνή. καὶ ἄλλα δὲ πάνυ πολλὰ ἄν τις λέγοι, ἐν οἷς τοῖς νοῦν τε καὶ νόμον ἔχουσιν ὀρθὸν, οὐ ποτέος οἶνος, ὥστε κατὰ τὸν λόγον τοῦτον, οὐδ' ἀμπέλων ἂν πολλῶν δέοι, οὐδ' ᾗτινι πόλει, τακτὰ δὲ τὰ ἄλλα εἴη γεωργήματα, καὶ πᾶσα ἡ δίαιτα. καὶ δὴ τά γε περὶ οἴνου σχεδὸν ἁπάντων ἐμμετρότατα καὶ ὀλίγιστα γίγνοιτ' ἄν. οὗτος ὦ ξένοι ἡμῖν εἰ ξυνδοκεῖ, κολοφὼν ἐπὶ τῷ περὶ οἴνου λόγῳ ῥηθέντι εἰρήσθω.

Του αὐτοῦ νόμων γ'.

Ἄρχοντας δὲ δὴ καὶ ἀρχομένους ἀναγκαῖον ταῖς πόλεσιν εἶναί που; τί μήν. εἶεν. ἀξιώματα δὲ δὴ τοῦ τε ἄρχειν, καὶ ἄρχεσθαι, ποῖα ἐστὶ καὶ πόσα, ἔν τε πόλεσι μεγάλαις, καὶ μικραῖς, καὶ οἰκίαις ὡσαύτως. ἆρ' οὐχὶ ἓν μὲν τό τε πατρὸς καὶ μητρὸς, καὶ ὅλως γονέας ἐκγόνων ἄρχειν, ἀξίωμα ὀρθὸν πανταχοῦ ἂν εἴη; καὶ μάλα. τούτῳ δέ γε ἑπόμενον, γενναίους ἀγεννῶν ἄρχειν; καὶ τρίτον ἔτι τούτοις συνέπεται, τὸ πρεσβυτέρους μὲν, ἄρχειν δεῖν, νεωτέρους δὲ ἄρχεσθαι; τί μήν. τέταρτον δ' αὖ, δούλους μὲν ἄρχεσθαι, δεσπότας δὲ ἄρχειν; πῶς γὰρ οὔ. καὶ πέμπτον γε οἶμαι τὸν κρείττονα μὲν ἄρχειν, ἥττονα δὲ ἄρχεσθαι; μάλα γε ἀναγκαίαν ἀρχὴν εἴρηκας, καὶ πλείστην γε ἐν ξύμπασι τοῖς ζώοις οὖσαν καὶ κατὰ φύσιν, ὡς ὁ Θηβαῖος ἔφη ποτὲ Πίνδαρος. τὸ δὲ μέγιστον ὡς ἔοικεν ἀξίωμα ἕκτον ἂν γίγνοιτο, ἕπεσθαι μὲν τὸν ἀνεπιστήμονα κελεῦον· τὸν δὲ φρονοῦντα ἡγεῖσθαί τε καὶ ἄρχειν. καίτοι τοῦτό γε ὦ Πίνδαρε σοφώτατε, σχεδὸν οὐκ ἂν παρὰ φύσιν ἔγωγε φαίην γίγνεσθαι. κατὰ φύσιν δὲ τὴν τοῦ νόμου ἑκόντων ἀρχὴν, ἀλλ' οὐ βίαιον πεφυκυῖαν, ὀρθότατα λέγεις. θεοφιλῆ δέ γε καὶ εὐτυχῆ τινὰ λέγοντες, ἑβδόμην ἀρχὴν, εἰς κλῆρόν τινα προάγομεν, καὶ λαχόντα μὲν ἄρχειν. δυσκληροῦντα δὲ, ἀπιόντα ἄρχεσθαι τὸ δικαιότατον.

Τοῦ αὐτοῦ νόμων δ'.

Λέγεται δὲ τοῦθ' ἕνεκα ταῦθ' ἡμῖν ὡς ἡμεῖς τῇ σῇ πόλει ἀρχὰς, οὔθ' ὅτι πλούσιός ἐστί τις δώσομεν, οὔθ' ὅτι τῶν τοιούτων ἄλλο οὐδὲν κεκτημένος ἰσχὺν,



Ayuntamiento de Madrid

ἢ μέγεθος, ἤ τι γένος, ὃς δ᾽ ἂν τοῖς τεθεῖσι νόμοις εὐπειθέστατός ἐστι, καὶ νικᾷ ταύτην τὴν νίκην ἐν τῇ πόλει, τούτῳ φαμὲν καὶ τὴν τῶν θεῶν ὑπηρεσίαν δοτέον εἶναι τὴν μεγίστην τῷ πρώτῳ, καὶ δευτέραν, τῷ τὰ δεύτερα κρατοῦντι. καὶ κατὰ λόγον οὕτω τοῖς ἐφεξῆς τὰ μετὰ ταῦθ᾽ ἕκαστα ἀποδοτέον εἶναι, τοὺς δ᾽ ἄρχοντας λεγομένους νῦν ὑπηρέτας τοῖς νόμοις ἐκαλέσαμεν, οὔτι καινοτομίας ὀνομάτων ἕνεκα, ἀλλ᾽ ἡγοῦμαι παντὸς μᾶλλον εἶναι, παρὰ τοῦτο σωτηρίαν τε πόλει καὶ τοὐναντίον, ἐν ᾗ μὲν γὰρ ἂν ἀρχόμενος ᾖ, καὶ ἄκυρος νόμος, φθορὰν ὁρῶ τῇ τοιαύτῃ ἑτοίμην οὖσαν. ἐν ᾗ δὲ ἂν δεσπότης ὢν τῶν ἀρχόντων, οἱ δὲ ἄρχοντες δοῦλοι τοῦ νόμου, σωτηρίαν καὶ πάντα ἀγαθά, ὅσα οἱ θεοὶ πόλεσιν ἔδοσαν γιγνόμενα καθορῶ. ναὶ μὰ Δία ὦ ξένε, καθ᾽ ἡλικίαν γὰρ ὀξὺ βλέπεις, νέος μὲν γὰρ ὢν πᾶς ἄνθρωπος, τὰ τοιαῦτα ἀμβλύτατα αὐτὸς αὑτοῦ ὁρᾷ, ὁ γέρων ἐστὶ, ὀξύτατα. ἀληθέστατα.

Εν παντῷ φέρε δὴ πρὸς θεῶν, τίνα πρῶτον νόμον θεῖτ᾽ ἂν νομοθέτης, ἆρ᾽ οὐ κατὰ φύσιν, τὴν περὶ γενέσεως ἀρχὴν πρώτην πόλεων περὶ κατακοσμήσει ταῖς τάξεσι; τί μήν. ἀρχὴ δ᾽ ἐστὶ τῶν γενέσεων πάσαις πόλεσιν. ἆρ᾽ οὐχ ἡ τῶν γάμων σύμμιξις καὶ κοινωνία; πῶς γὰρ οὔ. γαμικοὶ δὴ νόμοι πρῶτοι κινδυνεύουσι τιθέμενοι καλῶς ἂν τίθεσθαι πρὸς ὀρθότητα πάσῃ πόλει. παντάπασι μὲν οὖν. λέγωμεν δὴ πρῶτον τὸν ἁπλοῦν. ἔχοι δ᾽ ἄν πως ἴσως ὧδε. γαμεῖν δὲ ἐπειδὰν ἐτῶν ᾖ τις τριάκοντα, μέχρι τῶν πέντε καὶ τριάκοντα, εἰ δὲ μή, ζημιοῦσθαι χρήμασί τε καὶ ἀτιμίᾳ, χρήμασι μὲν τόσοις καὶ τόσοις, τῇ δὲ καὶ τῇ δὲ ἀτιμίᾳ. ὁ μὲν ἁπλοῦς, ἔστω τις τοιοῦτος περὶ γάμων, ὁ διπλοῦς δέ, ὧδε. γαμεῖν δέ, ἐπεὶ ἐτῶν ᾖ τις τριάκοντα, μέχρι τῶν πέντε καὶ τριάκοντα. ὡς ἔστιν ᾗ τὸ ἀνθρώπινον γένος, φύσει τινὶ μετείληχεν. καὶ πέφυκεν ἐπιθυμίαν ἴσχειν πᾶς πᾶσαν, τὸ γὰρ γενέσθαι κλεινὸν καὶ ἀνώνυμον κεῖσθαι τετελευτηκότα, τοιούτου ἐστὶν ἐπιθυμία. γένος οὖν ἀνθρώπων τί ξυμφυὲς τοῦ παντὸς χρόνου, ὃ διὰ τέλους αὐτῷ ξυνέπεται, καὶ συνέψεται. τούτῳ τῷ τρόπῳ ἀθάνατον ὄν. τῷ παῖδας παίδων καταλειπόμενον. ταὐτὸν καὶ ἓν ὂν ἀεὶ γενέσει τῆς ἀθανασίας μετειληφέναι. τούτου δὴ ἀποστερεῖν ἑκόντα ἑαυτόν, οὐδέποτε ὅσιον, ἐκ προνοίας δὲ ἀποστερεῖ, ὃς ἂν παίδων καὶ γυναικὸς ἀμελῇ. πειθόμενος μὲν οὖν τῷ νόμῳ, ἀζήμιος ἀπαλλάττοιτο ἄν. μὴ πειθόμενος δὲ αὖ, μήτε γαμῶν ἔτη τριάκοντα γεγονὼς καὶ πέντε, ζημιούσθω μὲν κατ᾽ ἐνιαυτόν, τόσῳ καὶ τόσῳ, ἵνα μὴ δοκῇ τὴν μοναυλίαν οἷόν κέρδος καὶ ῥαθυμίαν φέρειν, μὴ μετέχοι δὲ τιμῶν, ὧν ἂν οἱ νεώτεροι ἐν τῇ πόλει τοὺς πρεσβυτέρους αὐτῶν τιμῶσιν ἑκάστοτε.

Ayuntamiento de Madrid

Καθάπερ οὖν δή τινα ξυνυφὴν καὶ πλέγμα ἄλλ' ὁτιοῦν, οὐκ ἐκ τῶν αὐτῶν οἷόν τέ ἐστι, τήν τε ἐφυφὴν, καὶ τὸν στήμονα ἀπεργάζεσθαι. διαφέρειν δὲ ἀναγκαῖον τὸ τῶν στημονίων πρὸς ἀρετὴν γένος, ἰσχυρόν τε γὰρ, καί τινα βεβαιότητα ἐν τοῖς τρόποις εἰληφὼς, τὸ δὲ μαλακώτερον καὶ ἐπιεικείᾳ τινὶ δικαίᾳ χρώμενον, ὅθεν δὴ τοὺς μεγάλας ἀρχὰς ἐν ταῖς πόλεσιν ἄρξοντας, δεῖ διακρίνεσθαί τινα τρόπον ταύτῃ. καὶ τοὺς σμικρᾷ παιδείᾳ βασανισθέντας ἑκάστοτε καὶ κατὰ λόγον. ἔστον γὰρ δὴ δύο πολιτείας εἴδη, τὸ μὲν, ἀρχῶν καταστάσεις ἑκάστοις, τὸ δὲ, νόμοι ταῖς ἀρχαῖς ἀποδοθέντες, τὸ δὲ πρὸ τούτων ἁπάντων, δεῖ διανοεῖσθαι τὰ τοιάδε. πᾶσαν ἀγέλην ποιμὴν, καὶ βουκόλος, τροφεύς τε ἵππων, καὶ ὅσα ἄλλα παραλαβὼν τοιαῦτα, οὐκ ἄλλως μή ποτε ἐπιχειρήσῃ θεραπεύειν, ἢ πρῶτον μὲν, τὸν ἑκάστῃ προσήκοντα καθαρμὸν καθᾶραι τῇ ξυνοικήσει. διαλέξας δὲ τά τε ὑγιῆ, καὶ τὰ μὴ, καὶ τὰ ἀγεννῆ. τὰ μὲν ἀποπέμψει πρὸς ἄλλας τινὰς ἀγέλας. τὰ δὲ, θεραπεύσει, διανοούμενος, ὡς μάταιος ἂν ὁ πόνος εἴη καὶ ἀνήνυτος, περί τε σώματα καὶ ψυχὰς, ἃς φύσις καὶ πονηρὰ τροφὴ διεφθαρκυῖα προσαπόλλυσι τὸ τῶν ὑγιῶν καὶ ἀκηράτων ἠθῶν τε καὶ σωμάτων γένος ἐν ἑκάστοις ἄν τις τὰ ὑπάρχοντα μὴ διακαθήρηται. τὰ μὲν δὴ τῶν ἄλλων ζῴων ἐλάττω τε σπουδῆ, καὶ παραδείγματος ἕνεκα, μόνον ἄξια παραθεῖναι τῷ λόγῳ. τὰ δὲ τῶν ἀνθρώπων, σπουδῆς μεγίστης τῷ γε νομοθέτῃ διερευνᾶσθαι, καὶ φράζειν τὸ προσῆκον ἑκάστοις, καθαρμοῦ τε πέρι, καὶ ξυμπασῶν τῶν ἄλλων πράξεων, αὐτίκα γὰρ τὸ περὶ καθαρμοῦ πόλεως, ὧδ' ἔχον ἂν εἴη, πολλῶν οὐσῶν τῶν διακαθάρσεων, αἱ μὲν, ῥᾴους εἰσὶν, αἱ δὲ χαλεπώτεραι. καὶ τὰς μὲν, τύραννος μὲν ὢν, καὶ νομοθέτης ὁ αὐτὸς, ὅσαι χαλεπαὶ εἰσὶ καὶ ἄρισται, δύναιτ' ἂν καθῆραι. νομοθέτης δὲ ἄνευ τυραννίδος καθιστὰς πολιτείαν καινὴν, καὶ νόμους, εἰ καὶ τὸν πρᾳότατον τῶν καθαρμῶν καθήρειεν, ἀγαπώντως ἂν καὶ τὸ τοιοῦτον δράσειεν. ἔστι δ' ὁ μὲν ἄριστος, ἀλγεινός. καθάπερ ὅσα τῶν φαρμάκων τοιουτότροπα. ὁ τῇ δίκῃ μετὰ τιμωρίας εἰς τὸ κολάζειν ἄγων, θάνατον ἢ φυγὴν, τῇ τιμωρίᾳ τὸ τέλος ἐπιθεὶς, τοὺς γὰρ μέγιστα ἐξημαρτηκότας, ἀνιάτους δὲ ὄντας, μεγίστην βλάβην οὖσαν πόλεως ἀπαλλάττειν εἴωθεν. ὁ δὲ, πρᾳότερος ἐστὶ τῶν καθαρμῶν, ὁ τοιόσδε ἡμῖν. ὅσοι διὰ τὴν τῆς τροφῆς ἀπορίαν τοῖς ἡγεμόσιν ἐπὶ τὰ τῶν ἐχόντων μὴ ἔχοντες, ἑτοίμους αὑτοὺς ἐνδείκνυνται παρεσκευακότες ἕπεσθαι τούτοις, ὡς νοσήματι πόλεως ἐμπεφυκότι δι' εὐφημίας ἀπαλλαγὴν, ὄνομα ἀποικίαν τιθέμενος, εὐμενῶς ὅτι μάλιστα ἐξεπέμψατο. παντὶ μὲν οὖν νομοθετοῦντι τοῦτο ἁμωσγέπως κατ' ἀρχὰς δραστέον. ἡμῖν μὴν ἔτι τούτων ἀτοπώτερα τὰ περὶ ταῦτ' ἐστὶ ξυμ-



Ayuntamiento de Madrid

βεβηκότα νῦν. οὔτε γὰρ ἀποικίαν οὔτ' ἐκλογήν τινα καθάρσεως δεῖ μηχανᾶσθαι πρὸς τὸ παρόν. οἷον δέ τινων ξυρρεόντων ἐκ πολλῶν. τὰ μὲν, πηγῶν, τὰ δὲ, χειμάρρων εἰς μίαν λίμνην ἀναγκαῖον προσέχοντας τὸν νοῦν φυλάττειν. ὅπως ὅτι καθαρώτατον ἐστὶ τὸ ξυρρέον ὕδωρ. τὰ μὲν, ἐξαντλοῦντας, τὰ δὲ ἀποχετεύοντας, καὶ παρατρέποντας. πόνος δ' ὡς ἔοικε καὶ κίνδυνός ἐστιν ἐν πάσῃ πολιτικῇ κατασκευῇ. τὰ δ' ἐπειδήπερ λόγῳ τε ἐστὶ τὰ νῦν, ἀλλ' οὐκ ἔργῳ πραττόμενα πεπεράνθω τε ἡμῖν ἡ ξυλλογὴ, καὶ κατὰ νοῦν ἡ καθαρότης αὐτῆς ἔστω ξυμβεβηκυῖα, τοὺς γὰρ κακοὺς τῶν ἐπιχειρούντων εἰς τὴν νῦν πόλιν ὡς πολιτευσομένους ξυνιέναι, πειθοῖ πάσῃ καὶ ἱκανῷ χρόνῳ διαβασανίσαντες διακωλύσωμεν ἀφικνεῖσθαι. τοὺς δ' ἀγαθοὺς εἰς δύναμιν, εὐμενεῖς ἵλεώ τε προσαγώμεθα.

Εν ταυτῷ

Μηδὲ ἐξεῖναι χρυσὸν, μηδὲ ἄργυρον κεκτῆσθαι μηδένα μηδενὶ ἰδιώτῃ. νόμισμα δὲ ἕνεκα ἀλλαγῆς τῆς καθ' ἡμέραν, ἣν δημιουργοῖς τε ἀλλάττεσθαι σχεδὸν ἀναγκαῖον, καὶ πᾶσιν ὁπόσων χρεία τῶν τοιούτων. μισθοὺς μισθωτοῖς δούλοις καὶ ἐποίκοις ἀποτίνειν, ὧν ἕνεκα φαμὲν τὸ νόμισμα κτητέον αὐτοῖς. ἰδιώτῃ δὲ αὖ ἄρα ποτὲ ἀνάγκη τις γίγνηται ἀποδημεῖν, παρέμενος μὲν τοὺς ἄρχοντας ἀποδημείτω. νόμισμα δὲ αὖ ποθεν ἔχων ξενικὸν οἴκαδε ἀφίκηται περιγενόμενον τῇ πόλει αὐτὸ καταβαλλέτω, πρὸς λόγον ἀπολαμβάνων τὸ ἐπιχώριον. ἰδιούμενος δὲ, ἐάν τις φαίνηται, δημόσιόν τε γιγνέσθω. καὶ ὁ ξυνειδὼς καὶ μὴ φράζων, ἀρᾷ καὶ ὀνείδει μετὰ τοῦ ἀγαγόντος ἔνοχος ἔστω. καὶ ζημίᾳ πρὸς τούτοις, μὴ ἔλαττον τοῦ ξενικοῦ κομισθέντος νομίσματος. γαμοῦντα δὲ καὶ ἐκδιδόντα, μήτ' οὖν διδόναι, μήτε δέχεσθαι προῖκα τοπαράπαν μηδ' ἡντινοῦν. μηδὲ νόμισμα παρακατατίθεσθαι, ὅτῳ μή τις πιστεύει, μηδὲ δανείζειν ἐπὶ τόγε, ὡς ἐξὸν μὴ ἀποδιδόναι τοπαράπαν τῷ δανεισαμένῳ μήτε τόκον, μήτε τὸ κεφάλαιον.

Τοῦ αὐτοῦ νόμων ς'.

Δοῦλοι γὰρ ἂν καὶ δεσπόται οὐκ ἄν ποτε γένοιντο φίλοι. οὐδ' ἐν ἴσαις τιμαῖς διαγόμενοι φαῦλοι καὶ σπουδαῖοι. τοῖς γὰρ ἴσοις τὰ ἴσα ἄνισα γίγνοιτ' ἂν, εἰ μὴ τυγχάνῃ τοῦ μέτρου, διὰ γὰρ ἀμφότερα ταῦτα, θᾶσσον αἱ πολιτεῖαι πληροῦνται, παλαιὸς γὰρ ὁ λόγος, ἀληθὴς ὢν, ὡς ἰσότης φιλότητα ὑπεργάζεται. μάλα μὲν ὀρθῶς εἴρηται καὶ ἐμμελῶς ἥτις ἐστί ποτε ἰσότης ἡ τοῦτο αὐτὸ δυναμένη, διὰ τὸ μὴ σφόδρα σαφὴς εἶναι, σφόδρα ἡμᾶς διαταράττει, δυοῖν γὰρ ἰσοτήτοιν οὔσαιν ὁμωνύμοιν μὲν, ἔργῳ δὲ πολλὰ σχεδὸν ἐναντίαιν. τὴν μὲν ἑτέραν εἰς τὰς τιμὰς πᾶσα πόλις ἱκανὴ παραγαγεῖν. καὶ πᾶς νομοθέτης, τὴν μέτρῳ ἴσην καὶ σταθμῷ, καὶ ἀριθμῷ κλήρῳ ἀπευθύνων,

νων,

Ayuntamiento de Madrid

ναν εἰς τὰς διανομὰς αὐτήν· τὴν δὲ ἀληθεστάτην καὶ ἀρίστην ἰσότητα, οὐκέτι ῥᾴδιον παντὶ ἰδεῖν, διὸς γὰρ δὴ κρίσις ἐστί, καὶ τοῖς ἀνθρώποις ἀεὶ σμικρὰ μὲν ἐπαρκεῖ· πᾶν δὲ ὅσον ἐπαρκέσει πόλεσιν, ἢ καὶ ἰδιώταις, πάντα ἀγαθὰ ἀπεργάζεται. τῷ μὲν γὰρ μείζονι, πλείω, τῷ δὲ ἐλάττονι σμικρότερα νέμει μέτρια διδοῦσα πρὸς τὴν αὐτῶν φύσιν ἑκατέρῳ· καὶ δὴ καὶ τιμαῖς μείζοσι μὲν πρὸς ἀρετὴν ἀεὶ μείζους, τοῖς δὲ τοὐναντίον ἔχουσιν, ἀρετῆς τε καὶ παιδείας τὸ πρέπον ἑκατέροις ἀπονέμει κατὰ λόγον. ἔστι γὰρ δή που καὶ τὸ πολιτικὸν ἡμῖν ἀεί, τοῦτ᾽ αὐτὸ τὸ δίκαιον, οὗ καὶ νῦν ἡμᾶς ὀρεγομένους, δεῖ καὶ πρὸς ταύτην ἰσότητα ὦ κλινία ἀποβλέποντας, τὴν νῦν φυομένην κατοικίζειν πόλιν, ἄλλην δὲ ἄν ποτέ τις οἰκίζῃ πρὸς ταυτὸ τοῦτο σκοπούμενον χρεὼν νομοθετεῖν, ἀλλ᾽ οὐ πρὸς ὀλίγους τυράννους, ἢ πρὸς ἕνα, ἢ καὶ κράτος δήμου τι, πρὸς δὲ τὸ δίκαιον ἀεί. τοῦτο δ᾽ ἐστί, τὸ νῦν δὴ λεχθέν· τὸ κατὰ φύσιν ἴσον ἀνίσοις ἑκάστοτε δοθέν. ἀναγκαῖόν γε μὴν καὶ τούτοις παρωνυμίοισί ποτε προσχρήσασθαι πόλιν ἅπασαν, εἰ μέλλει στάσεων ἑαυτῇ μὴ προσκοινωνήσειν κατά τι μέρος, τὸ γὰρ ἐπιεικὲς καὶ ξύγγνωμον, τοῦ τελέου καὶ ἀκριβοῦς, παρὰ δίκην τὴν ὀρθήν ἐστι παρατεθραυσμένον, ὅταν γίγνηται. διὸ τῷ τοῦ κλήρου ἴσῳ ἀνάγκη προσχρήσασθαι, δυσκολίας τῶν πολλῶν ἕνεκα θεὸν καὶ ἀγαθὴν τύχην, καὶ τότε ἐν εὐχαῖς ἐπικαλουμένους ἀπορθοῦν αὐτοὺς τὸν κλῆρον πρὸς τὸ δικαιότατον. οὕτω δὴ χρηστέον ἀναγκαίως μὲν τοῖν ἰσότητοιν ἀμφοῖν. ὡς δ᾽ ὅτι μάλιστα ἐπ᾽ ὀλιγίστοις τῇ ἑτέρᾳ τῇ τῆς τύχης δεομένῃ. ταῦτα οὕτω διὰ ταῦτα ὦ φίλοι ἀναγκαίως τὴν μέλλουσαν σώζεσθαι δρᾶν πόλιν.

E λέγεσθαι δὲ δεῖ τρία μὲν ἀρχόντων εἴδη. περὶ μὲν τὸ νῦν δὴ λεχθέν, ἀστυνόμους ἐπονομάζοντα. τὸ δὲ περὶ ἀγορᾶς κόσμον, ἀγορανόμους. ἱερῶν δέ, ἱερέας, οἷς μέν εἰσι πάτριαι ἱερωσύναι, καὶ οἷς μὴ κινεῖν οὐ δεῖ. εἰ δ᾽ οἷα τὸ πρῶτον κατοικιζομένοις εἰκὸς γίγνεσθαι περὶ τὰ τοιαῦτα. ἢ μηδέν, ἢ τισὶν ὀλίγοις οἷς μὴ καθεστήκοι. καταστατέον ἱερέας τε καὶ ἱερείας, νεωκόρους γίγνεσθαι τοῖς θεοῖς. τούτων δὴ πάντων, τὰ μέν, αἱρετὰ χρή. τὰ δέ, κληρωτὰ ἐν ταῖς καταστάσεσι γίγνεσθαι. μιγνύντας πρὸς φιλίαν ἀλλήλοις δῆμον ἐν ἑκάστῃ χώρᾳ καὶ πόλει, ὅπως ἂν μάλιστα ὁμονοῶν εἴη. τὰ μὲν οὖν τῶν ἱερέων τῷ θεῷ αὐτῷ ἐπιτρέποντα αὐτῷ τὸ κεχαρισμένον γίγνεσθαι κληροῦν, οὕτω τῇ θείᾳ τύχῃ ἀποδιδόντα. δοκιμάζειν δὲ τὸν ἀεὶ λαγχάνοντα, πρῶτον μὲν ὁλόκληρον καὶ γνήσιον, ἔπειτα ὡς ὅτι μάλιστα ἐκ καθαρευουσῶν οἰκήσεων, φόνου δὲ ἁγνὸν καὶ πάντων τῶν περὶ τὰ τοιαῦτα εἰς τὰ θεῖα ἁμαρτανομένων αὐτόν, καὶ πατέρα Εν ταυτῷ.



Ayuntamiento de Madrid

καὶ μητέρα κατὰ ταὐτὰ βεβιωκότας. ἐκ δελφῶν δὲ χρὴ νόμους περὶ τὰ θεῖα πάντα κομισαμένους, καὶ καταστήσαντας ἐπ' αὐτοῖς ἐξηγητὰς τούτοις χρῆσθαι. κατ' ἐνιαυτὸν δὲ εἶναι, καὶ μὴ μακρότερον τὴν ἱερωσύνην ἑκάστην. ἔτη δὲ μὴ ἔλαττον ἑξήκοντα ἡμῖν εἴη γεγονώς, ὁ μέλλων καθ' ἱεροὺς νόμους περὶ τὰ θεῖα ἱκανῶς ἁγιστεύειν. ταὐτὰ δὲ καὶ περὶ τῶν ἱερειῶν ἔστω τὰ νόμιμα. τῶν δ' ἐξηγητὰς τρεῖς φερέτωσαν μὲν αἱ τέτταρες φυλαὶ, τέτταρας ἕκαστον ἐξ αὑτῶν. τρεῖς δὲ, οἷς ἂν πλείστη γένηται ψῆφος. δοκιμάσαντας ἐννέα πέμπειν εἰς δελφοὺς ἀνελεῖν ἐξ ἑκάστης τριάδος ἕνα, τὴν δὲ δοκιμασίαν αὐτῶν καὶ τοῦ χρόνου τὴν ἡλικίαν εἶναι καθάπερ τῶν ἱερέων. τούτων δὲ οἱ νομοφύλακες ἐν τούτῳ, ἀκριβεῖς ἔστωσαν ἐπίσκοποι. ὅπως ἢ μὴ γίγνηται τὴν ἀρχὴν, ἢ γιγνόμενα, τῆς ἀξίας δίκης τυγχάνει. δεῖ δὲ πάντα ἄνδρα διανοεῖσθαι περὶ πάντων ἀνθρώπων, ὡς ὁ μὴ δουλεύσας, οὐδ' ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου. καὶ καλλωπίζεσθαι χρὴ τῷ καλῶς δουλεῦσαι μᾶλλον, ἢ καλῶς ἄρξαι. πρῶτον μὲν τοῖς νόμοις, ὡς ταύτην τοῖς θεοῖς οὖσαν δουλείαν. ἔπειτα ἀεὶ τοῖς πρεσβυτέροις τε καὶ ἐντίμως βεβιωκόσι τοὺς νέους.

Ἐν ταυτῷ. Λοιπὸς δ' ἄρχων περὶ τὰ προειρημένα ἡμῖν, ὁ τῆς παιδείας ἐπιμελητὴς πάσης θηλειῶν τε, καὶ ἀρρένων. εἷς μὲν δὴ καὶ ὁ τούτων ἄρξων ἔστω κατὰ νόμους, ἐτῶν μὲν γεγονὼς μὴ ἔλαττον ἢ πεντήκοντα παίδων δὲ γνησίων πατὴρ, μάλιστα μὲν υἱέων καὶ θυγατέρων. εἰ δὲ μὴ θάτερα, διανοηθήτω δὲ αὐτός τε ὁ προκριθεὶς, καὶ ὁ προκρίνων. ὡς οὖσαν ταύτην τὴν ἀρχὴν, τῶν ἐν τῇ πόλει ἀκροτάτων ἀρχῶν, πολὺ μεγίστην. παντὸς γὰρ φυτοῦ ἡ πρώτη βλάστη καλῶς ὁρμηθεῖσα πρὸς ἀρετὴν τῆς αὐτοῦ φύσεως, κυριωτάτη τέλος ἐπιθεῖναι τὸ πρόσφορον, τῶν τε ἄλλων φυτῶν, καὶ τῶν ζώων ἡμέρων τε, καὶ ἀγρίων, καὶ ἀνθρώπων. ἄνθρωπος δὲ ὥς φαμεν, ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὼν καὶ φύσεως εὐτυχοῦς, θειότατον, ἡμερώτατόν τε ζῷον γίγνεσθαι φιλεῖ. μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν, ἀγριώτατον ὁπόσα φύει γῆ. ὧν ἕνεκα, οὐ δεύτερον οὐδὲ πάρεργον δεῖ τὴν παίδων τροφὴν τὸν νομοθέτην ἐᾶν γίγνεσθαι. πρῶτον δὲ ἄρξασθαι χρεὼν τὸν μέλλοντα αὐτὸν ἐπιμελήσεσθαι, καλῶς αἱρεθῆναι τῶν ἐν τῇ πόλει, ὃς ἂν ἄριστος εἰς πάντα ᾖ, τοῦτον κατὰ δύναμιν ὅτι μάλιστα αὐτοῖς καθιστάντα προστάττειν ἐπιμελητήν. αἱ πᾶσαι τοίνυν ἀρχαὶ πλὴν βουλῆς καὶ πρυτάνεων, εἰς τὸ τοῦ ἀπόλλωνος ἱερὸν ἐλθοῦσαι, φερόντων ψῆφον κρύβδην τῶν νομοφυλάκων, ὅντιν' ἂν ἕκαστος ἡγῆται κάλλιστ' ἂν τῶν περὶ παιδείαν ἄρξαι γενομένων. ᾧ δ' ἂν πλεῖσται ψῆφοι ξυμβῶσι, δοκιμασθεὶς ὑπὸ τῶν ἄλλων ἀρχόντων τῶν ἑλομένων, πλὴν νομοφυλάκων, ἀρχέτω ἐπὶ πέντε ἔτη. ἕκτῳ δὲ κατὰ ταὐτὰ,

ἄλλον περὶ ταύτην ἀρχὴν αἱρεῖσθαι.

Μετά γε μὴν ταῦτα, ὕμνοι θεῶν καὶ ἐγκώμια κεκοινωνημένα εὐχαῖς ᾄδοιντ' ἂν ὀρθότατα. καὶ μετὰ θεοὺς, ὡσαύτως περὶ δαίμονάς τε καὶ ἥρωας, μετ' ἐγκωμίων εὐχαὶ γίγνοιντ' ἂν τούτοις πᾶσι πρέπουσαι; πῶς γὰρ οὔ. μετά γε μὴν ταύτη ἤδη νόμος. ἄνευ φθόνων ἐκτὸς γίγνοιτ' ἂν ὅδε. τῶν πολιτῶν ὁπόσοι τέλος ἔχοιεν τοῦ βίου κατὰ σώματα, ἢ κατὰ ψυχὰς ἔργα ἐξειργασμένοι καλὰ καὶ ἐπίπονα, καὶ τοῖς νόμοις εὐπειθεῖς γεγονότες, ἐγκωμίων αὐτοὺς τυγχάνειν πρέπον ἂν εἴη; πῶς δ' οὔ. τούς γε μὴν ἔτι ζῶντας ἐγκωμίοις τε καὶ ὕμνοις τιμᾶν οὐκ ἀσφαλὲς, πρὶν ἂν ἅπαντά τις τὸν βίον διαδραμὼν, τέλος ἐπιστήσηται καλόν. ταῦτα δὲ πάντα ἡμῖν ἔστω κοινὰ ἀνδράσι τε καὶ γυναιξὶν ἀγαθοῖς καὶ ἀγαθαῖς διαφανῶς γενόμενα. — Τοῦ αὐτοῦ νόμων ζʹ.

Πατρὸς ὀνείδη, καὶ τιμωρείας παίδων, μηδενὶ ξυνέπεσθαι, πλὴν ἐάν τινι πατὴρ καὶ πάππος, καὶ πάππου πατὴρ ἐφεξῆς ὀφλῶσι θανάτου δίκην. — Τοῦ αὐτοῦ νόμων θʹ.

Δοῦλος δ' ἐάν τις ἐλεύθερον ὀργῇ τρώσῃ, παραδότω τὸν δοῦλον ὁ κεκτημένος τῷ τρωθέντι χρῆσθαι, ὅτι ἂν θέλῃ. ὃς δ' ἂν ἄκων ἄλλος ἄλλον τρώσῃ, τὸ βλάβος ἁπλοῦν ἀποτινέτω, τύχης γὰρ νομοθέτης οὐδεὶς ἱκανὸς ἄρχειν. — Ἐν ταυτῷ.

Ὧδε οὖν χρὴ περὶ τῶν τοιούτων πάντ' ἄνδρα, καὶ παῖδα, καὶ γυναῖκα ἀεὶ διανοεῖσθαι τὸν πρεσβύτερον, ὡς οὐ σμικρῷ τοῦ νεωτέρου ἐστὶ πρεσβευόμενον, ἔν τε θεοῖσι καὶ ἐν ἀνθρώποισι τοῖς μέλλουσι σώζεσθαι, καὶ εὐδαιμονεῖν. αἰκίαν οὖν περὶ πρεσβύτερον ἐν πόλει γενομένην ὑπὸ νεωτέρου ἰδεῖν, αἰσχρὸν καὶ θεομισές. ἔοικε δὲ νέῳ παντὶ ὑπὸ γέροντος πληγέντι, ῥᾳθύμως ὀργὴν ὑποφέρειν, αὑτῷ τιθεμένῳ τιμὴν ταύτην εἰς γῆρας. ὧδ' οὖν ἔστω. πᾶς ἡμῖν αἰδείσθω τὸν ἑαυτοῦ πρεσβύτερον ἔργῳ τε, καὶ ἔπει, τὸν δὲ προέχοντα εἴκοσιν ἡλικίας ἔτεσιν ἄρρενα ἢ θήλειαν, νομίζων ὡς πατέρα ἢ μητέρα διευλαβείσθω, καὶ πάσης τῆς δυνατῆς ἡλικίας αὐτὸν φυτεῦσαι, καὶ τεκεῖν ἀπέχοιτ' ἀεὶ, θεῶν γενεθλίων χάριν. — Ἐν ταυτῷ.

Νόμοι δὲ ὡς ἔοικεν οἱ μὲν τῶν χρηστῶν ἀνθρώπων ἕνεκα γίγνονται διδαχῆς χάριν, τοῦ τίνα τρόπον ὁμιλοῦντες ἀλλήλοις ἂν φιλοφρόνως οἰκοῖεν. οἱ δὲ τῶν τὴν παιδείαν διαφυγόντων ἀτεράμονι χρωμένων τινὶ φύσει, καὶ μηδὲν τεγχθέντων, ὥστε μὴ οὐκ ἐπὶ πᾶσαν ἰέναι κάκην. οὗτοι τοὺς μέλλοντας ῥηθήσεσθαι λόγους, πεποιηκότες ἂν εἶεν, πατρὸς γὰρ ἢ μητρὸς, ἢ τούτων ἔτι προγόνων ὅς τις τολμήσειεν ἅψασθαί ποτε βιαζόμενος αἰκίᾳ τινὶ, μήτε τῶν ἄνω θεῶν δείσας μῆνιν, μήτε τῶν ὑπὸ γῆς τιμωρειῶν λεγομένων. ἀλλ' ὡς εἰδὼς, ἃ μηδαμῶς οἶδε, καταφρονῶν τῶν παλαιῶν, καὶ ὑπὸ πάντων — Ἐν ταυτῷ.



Ayuntamiento de Madrid

ἠρημένων παρανομεῖ τούτῳ δεῖ τινος ἀποτροπῆς ἐσχάτης, θάνατος μὲν οὖν οὐκ ἔστιν ἔσχατον, οἱ δ' ἐν ἅδου τούτοισι λεγόμεναι πόνοι· ἔτι τε τούτων μᾶλλόν εἰσιν ἐν ἐσχάτοις ἀληθέστατα λέγοντες, οὐδὲν ἀνύτουσι ταῖς τοιαύταις ψυχαῖς ἀποτροπῆς. δεῖ δὴ τὰς ἐνθάδε κολάσεις περὶ τὰ τοιαῦτα τούτοισι τὰς ἐν τῷ ζῆν, μηδὲν τῶν ἐν ἅδου λείπεσθαι κατὰ δύναμιν.

Νόμων ια'. Π αίδων δὲ ἡ κοινότης ἀκριβὴς ἄῤῥεν καὶ θήλεα ἔσω τῷ νόμῳ.

## ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΑΙΣ ΠΟΛΕΣΙ ΔΥΝΑΤΩΝ.

## ΛΟΓΟΣ. μγ'.

Εὐριπίδου.

Ἀνὴρ γὰρ ὅστις χρημάτων μὲν ἐνδεής,
δράσεται, κεἰ δυνατὸς οὐκ ἀνέξεται
τὰ τῶν δ' ἐχόντων χρήματ' ἁρπάζειν φιλεῖ.
Θρασύς τε δυνατὸς καὶ λέγειν οἷός τ' ἀνήρ,
κακὸς πολίτης γίνεται νοῦν οὐκ ἔχων.
Ο ταν κακός τις ἐν πόλει πράσσῃ καλῶς,
νοσεῖν τίθησι τῶν ἀμεινόνων φρένας,
παράδειγμ' ἔχοντας τῶν κακῶν ἐξουσίαν.
Ο ἱ τὰς πόλεις ἔχοντες ἀξίωμά τε
τοῖς αὐτὰ μὴ ἄλλοις εἰσὶ πολεμιώτατοι.
Ο ταν γὰρ ἡδὺς τοῖς λόγοις φρονῶν κακῶς
πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα.
ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεί,
κἂν μὴ παραυτίκ', αὖθις εἰσὶ χρήσιμοι.
Τ ὸ δ' ἀξίωμα κἂν κακῶς λέγῃ τὸ σὸν
πείσει· λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν
κἀκ τῶν δοκούντων, αὑτὸς οὐ ταὐτὸν σθένει.

Ayuntamiento de Madrid

Τῶν γὰρ δυναστῶν πλεῖστος ἐν πόλει λόγος.
Δεῖ τὸν πολιτῶν προστατεῖν αἱρούμενον, — Μενάνδρου
τὴν τοῦ λόγου μὲν δύναμιν οὐκ ἀπὸ φθόνου.
ἦθος δὲ χρηστῷ συγκεκραμένην ἔχειν.
Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει.
οὐδ' ἀστὸν ᾔνεσ' ὅστις αὐθάδης γεγὼς,
πικρὸς πολίταισ ἐστὶν ἀμαθίας ὕπο.
Ρ ἐλλῶν καλῶν δεῖ, τῷ καλῶς τιμωμένῳ — Σοφοκλέ.
μικροῦ δ' ἀγῶνος, οὐ μέγ' ἔρχεται κλέος.
Τὸν εὐτυχοῦντα χρὴ σοφὸν πεφυκέναι. — Εὐριπίδου.
Λαμπροὶ δ' ἐν αἰχμαῖς ἄρεως ἔν τε συλλόγοις,
μή μοι τὰ κομψὰ ποικίλοι γενοίατο.
ἀλλ' ὧν πόλει δεῖ μεγάλα βουλεύοντες εὖ.
Κακοὶ γὰρ εὖ πράσσοντες, οὐκ ἀνασχετοί. — Αἰσχύλου.
Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν — Σοφοκλέ.
ψυχήν τε καὶ φρόνημα, καὶ γνώμην πρὶν ἂν
ἀρχαῖς τε, καὶ νόμοισιν ἐντριβὴς φανῇ,
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν,
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ.
καὶ μεῖζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γὰρ ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί.
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν.
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας.

Ἀνθρώποις δὲ ἆρα ἔξεστιν ὃν ἄν τις τρόπον βούληται χρῆσθαι; οὔκ. ἀλλὰ καὶ περὶ τούτους ὁ εἰδὼς ἃ ἔστι νόμιμα καθ' ἃ δεῖ πρὸς ἀλλήλους χρῆσθαι. οὐκοῦν οἱ κατὰ ταῦτα χρώμενοι ἀλλήλοις ὡς δεῖ χρῶνται; πῶς γὰρ οὔ. οὐκοῦν οἵ γε ὡς δεῖ χρώμενοι καλῶς χρῶνται; πάνυ μὲν οὖν ἔφη. οὐκοῦν οἵ γε τοὺς ἀνθρώποις καλῶς χρώμενοι, καλῶς πράττουσι τἀνθρώπεια πράγματα; εἰκός γ' ἔφη. οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι δίκαια οὗτοι ποιοῦσι; πάνυ μὲν οὖν ἔφη. δίκαια δὲ οἶσθα ἔφη ὁποῖα καλεῖται; ἃ οἱ νόμοι κελεύουσιν ἔφη. οἱ ἄρα ποιοῦντες, ἃ οἱ νόμοι κελεύουσι δίκαιά τε ποιοῦσι καὶ ἃ δεῖ; πῶς γὰρ οὔ. — Ξενοφῶντος ἐν τῷ τετάρτῳ ἀπομνημονευμάτων

Ayuntamiento de Madrid

οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες δίκαιοί εἰσιν; οἶμαι ἔγωγ' ἔφη. οἴει οὖν τινας πείθεσθαι τοῖς νόμοις μὴ εἰδότας, ἃ οἱ νόμοι κελεύουσιν; οὐκ ἔγωγ' ἔφη. εἰδότας δὲ καὶ ἃ δεῖ ποιεῖν οἴει τινὰς οἴεσθαι δεῖν μὴ ταῦτα ποιεῖν; οὐκ οἴομαι ἔφη. οἶδας δέ τινας ἄλλα ποιεῖν, ἢ οἴονται ποιεῖν ἐθέλοντας δεῖν; οὐκ ἔγωγε. οἱ ἄρα τὰ περὶ ἀνθρώπους νόμιμα εἰδότες, οὗτοι τὰ δίκαια ποιοῦσι; πάνυ μὲν οὖν ἔφη. οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες δίκαιοι; τίνες γὰρ ἄλλοι ἔφη. ὀρθῶς ἄν ποτε ἄρα ὁριζοίμεθα δικαίους εἶναι τοὺς εἰδότας τὰ περὶ ἀνθρώπους νόμιμα; ἔμοιγε δοκεῖ ἔφη.

Θουκυδίδου. Ἐπισταμένους πρὸς εἰδότας, ὅτι δίκαια μὲν ἐν τῷ αὐτῷ λόγῳ ἀπὸ τῆς ἴσης ἀνάγκης κρίνεται. δυνατὰ δὲ οἱ προύχοντες πράσσουσι, καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσι.

Ἀριστοτέ. Δεῖ τοὺς νοῦν ἔχοντας, τῶν δυναστευόντων, μὴ διὰ τὰς ἀρχὰς, ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι. ἵνα τῆς τύχης μεταπεσούσης, τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται.

Ἐπικτήτου. Ὥσπερ οἱ ἐπὶ τῶν λιμένων πυρσοὶ, δι' ὀλίγων φρυγάνων πολλὴν ἀνάψαντες φλόγα ταῖς ἀλωμέναις ἀνὰ τὸ πέλαγος ναυσὶν ἱκανὴν ἐργάζονται βοήθειαν, οὕτω καὶ ἀνὴρ λαμπρὸς ἐν πόλει χειμαζομένῃ, αὐτὸς ὀλίγοις ἀρκούμενος, μεγάλα τοῖς πολίταις εὐεργετεῖ.

Πλουτάρχου. Τῶν μὲν τοι πολιτικῶν ἀνδρῶν, καλὸν ἐντάφιον ἡ πολιτεία, τοῦτον γὰρ ἔσχατον δύεται κατὰ γῆν, ὥς φησι Σιμωνίδης ὁ τῶν καλῶν ζῆλος. οὐ γὰρ τὸ φιλότιμον κατὰ Θουκυδίδην ἀγήρων μόνον, ἀλλὰ μᾶλλον τὸ κοινωνικὸν, καὶ πολιτικὸν, οὗ καὶ μύρμηξιν ἄχρι τέλους παραμένει καὶ μελίτταις. οὐδεὶς δὲ πώποτε κηφῆνα εἶδεν ἐκ μελίττης γινόμενον, ὥσπερ ἀξιοῦσι τοὺς πολιτικοὺς, ὅταν παρακμάσωσιν οἴκοι καθημένους σιτεῖσθαι.

Ἐκ τῶν κοινῶν ἀριστοτέλους διατριβῶν. Αἱ πλεῖσται στάσεις διὰ φιλοτιμίαν ἐν ταῖς πόλεσι γίγνονται, περὶ τιμῆς γὰρ, οὐχ οἱ τυχόντες, ἀλλ' οἱ δυνατώτατοι διαμφισβητοῦσι.

Δημοσθένης εἶπε· πάντων ἐστὶ δυσχερέστατον τὸ πολλῶν ἀρέσκειν.

Δημοσθένης· δυοῖν ἔφησεν οὔσαιν ὁδοῖν· τῆς μὲν, ἐπὶ τὸ βῆμα, τῆς δὲ, εἰς ᾅδου. μᾶλλον ἂν ἑλέσθαι τὴν εἰς ᾅδου τὸν εὖ φρονοῦντα.

Πλάτωνος ἐκ τῆς πρὸς ἀρχύταν ἐπιστολῆς. Ἃ δὲ παρὰ σοῦ ἦλθον ἡμῖν λέγοντες, ὑποδυσφορεῖν σε, ὅτι οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας ἀπολυθῆναι. ὅτι μὲν οὖν, ἥδιστον γάρ ἐστιν ἐν τῷ βίῳ τὰ αὑτοῦ πράττειν, ἄλλως τε καὶ εἴ τις ἕχοι τοιαῦτα πράττειν, οἷα καὶ σὺ, σχεδὸν παντὶ δῆλον. ἀλλὰ κἀκεῖνο δεῖ ἐνθυμεῖσθαι, ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν, ἀλλὰ τῆς γενέσεως ἡμῶν, τὸ μέν τι ἡ πατρὶς μερίζεται, τὸ δέ τι, οἱ γεννήσαντες. τὸ δὲ, οἱ λοιποὶ φίλοι. πολλὰ δὲ καὶ τοῖς καιροῖς δίδοται, τοῖς τὸν βίον ἡμῶν καταλαμβάνουσι, καλούσης δὲ τῆς πατρίδος αὐτῆς περὶ

Ayuntamiento de Madrid

τὰ κοινὰ, ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν, ἅμα γὰρ συμβαίνει καὶ χώραν καὶ
καταλιμπάνειν φαύλων ἀνθρώποις, οἳ οὐκ ἀπὸ τοῦ βελτίστου πρὸς τὰ κοινὰ
προσέρχονται.

Ζάλευκος ὁ τῶν Λοκρῶν νομοθέτης τοὺς νόμους ἔφησε τοῖς ἀραχνίοις ὁμοίους
εἶναι. ἐὰν μὲν ἐμπέσῃ μυῖα ἢ κώνωψ, κατέχεται· ἐὰν δὲ σφὴξ ἢ μέλιττα,
διαρρήξασα ἀφίπταται, οὕτω καὶ ἐπὶ τοὺς νόμους.

Ἐν πόλει μήτε ὡς λέων ἀναστρέφου, μήτε ὡς κώνωψ· τὸ μὲν γὰρ ἐκπατεῖται, Μιθροδάτου
τὸ δὲ, χειροφυλακεῖται.

Χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος. Δημοκρί-

Ἀντισθένης ἐρωτηθεὶς, πῶς ἄν τις προσέλθοι πολιτείᾳ, εἶπε· καθάπερ πυρί· μὴ- του.
τε λίαν ἐγγὺς, ἵνα μὴ καῇς, μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃς.

Χρύσιππος ἐρωτηθεὶς διατί οὐ πολιτεύεται, εἶπε· διότι εἰ μὲν πονηρὰ πολι-
τεύεται, τοῖς θεοῖς ἀπαρέσει· εἰ δὲ χρηστὰ τοῖς πολίταις.

Ὧ σόγε ἔλεγε Λυσίμαχος ἄρτι παρὰ τοῦ πατρὸς τοῦ αὐτοῦ καὶ τοῦ Μελησίου. Πλάτωνος
πάνυ μοι δοκεῖ εὖ εἰρῆσθαι, καὶ εἰς ἐκείνους καὶ εἰς ἡμᾶς, καὶ εἰς ἅπαντας, ὅσοι
τὰ τῶν πόλεων πράττουσιν, ὅτι αὐτοῖς σχεδόν τι ταῦτα συμβαίνει, ἃ οὗτος
λέγει, καὶ περὶ παῖδας, καὶ περὶ τἆλλα τὰ ἴδια, ὀλιγωρεῖσθαί τε καὶ ἀμε-
λῶς διατίθεσθαι.

Λέγω τοίνυν σοι ὅτι, δύο ταῦτα ἐστι τὰ ἐρωτήματα, καὶ ἀποκρινοῦμαί γέ σοι Τοῦ αὐτοῦ
πρὸς ἀμφότερα, φημὶ γὰρ ὦ Πῶλε ἐγὼ, καὶ τοὺς ῥήτορας καὶ τοὺς τυράννους, ἐκ τοῦ Γορ-
δύνασθαι μὲν ἐν ταῖς πόλεσι, σμικρότατον, ὥσπερ νῦν δὴ ἔλεγον, οὐδὲν γὰρ γίου.
ποιεῖν ὧν ἂν βούλωνται ὡς ἔπος εἰπεῖν· ποιεῖν μέντοι, ὅτι ἂν αὐτοῖς δόξῃ βέλ-
τιστον εἶναι. οὐκοῦν τοῦτ' ἐστιν τὸ μέγα δύνασθαι. οὐχ ὥς γέ φησιν ὁ Πῶλος. ἐγὼ
οὔ φημι; φημὶ μὲν οὖν ἔγωγε. μὰ τὸν κύνα οὐ σύγε. ἐπεὶ τὸ μέγα δύνασθαι ἔφης
ἀγαθὸν εἶναι τῷ δυναμένῳ; φημὶ γὰρ οὖν. ἀγαθὸν οὖν οἴει εἶναι, ἐάν τις ποιῇ
ταῦτα, ἃ ἂν δοκῇ αὐτῷ βέλτιστα εἶναι, νοῦν μὴ ἔχων· καὶ τοῦτο καλεῖς σὺ μέγα
δύνασθαι; οὐκ ἔγωγε. οὐκοῦν ἀποδείξεις τοὺς ῥήτορας νοῦν ἔχοντας καὶ τέχνην τὴν
ῥητορικὴν, ἀλλὰ μὴ κολακείαν, ἐμὲ ἐξελέγξας· εἰ δέ με ἐάσῃς ἀνέλεγκτον,
οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραννοι, οὐδὲν ἀ-
γαθὸν τοῦτο κεκτήσονται· εἰ δὲ δύναμίς ἐστιν ὡς σὺ φῂς ἀγαθὸν, τὸ δὲ ποιεῖν ἄ-
νευ νοῦ ἃ δοκεῖ, καὶ σὺ ὁμολογεῖς κακὸν εἶναι, ἢ οὔ; ἔγωγε. πῶς ἂν οὖν οἱ ῥήτο-
ρες μέγα δύναιντο ἢ οἱ τύραννοι ἐν ταῖς πόλεσιν, ἐὰν μὴ Σωκράτης ἐξελεγ-
χθῇ ὑπὸ Πώλου, ὅτι ποιοῦσιν ἃ βούλονται. οὗτος ἀνὴρ οὔ φημι ποιεῖν αὐ-
τοὺς ἃ βούλονται. ἀλλά με ἔλεγχε, οὐκ ἄρτι ὡμολόγεις ποιεῖν ἃ δοκεῖ

Ayuntamiento de Madrid

ἄλλοις βέλτιστα εἶναι τούτου πρόσθεν; καὶ γὰρ νῦν ὁμολογῶ. οὐκοῦν ποιοῦσιν ἃ βούλονται, οὔ φημι ποιοῦντας ἃ δοκεῖ αὐτοῖς; φημί. σχέτλιά γε λέγεις καὶ ὑπερφυῆ ὦ Σώκρατες. μὴ κατηγόρει ὦ λῷστε Πῶλε, ἵνα προσείπω σε κατὰ σέ. ἀλλ' εἰ μὲν ἔχεις ἐμὲ ἐρωτᾶν, ἐπίδειξον ὅτι ψεύδομαι. εἰ δὲ μή, αὐτὸς ἀποκρίνου. ἀλλ' ἐθέλω ἀποκρίνασθαι, ἵνα καὶ εἰδῶ ὅτι λέγεις, πότερον οὖν σοι δοκοῦσιν οἱ ἄνθρωποι τοῦτο βούλεσθαι, ὃ ἂν πράττωσιν ἑκάστοτε, ἢ ἐκεῖνο οὗ ἕνεκα πράττουσι. τοῦθ' ὃ πράττουσιν. οἷον οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν, πότερόν σοι δοκοῦσι τοῦτο βούλεσθαι ὅπερ ποιοῦσι, πίνειν τὸ φάρμακον, καὶ ἀλγεῖν, ἢ ἐκεῖνο τὸ ὑγιαίνειν, οὗ ἕνεκα πίνουσι. δῆλον ὅτι τὸ ὑγιαίνειν. οὐκοῦν καὶ οἱ πλέοντες, καὶ τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι. οὐ τοῦτ' ἐστὶν ὃ βούλονται, ὃ ποιοῦσιν ἑκάστοτε. τίς γὰρ βούλεται πλεῖν, καὶ κινδυνεύειν, καὶ πράγματα ἔχειν. ἀλλ' ἐκεῖνο οἶμαι οὗ ἕνεκα πλέουσι πλουτεῖν. πλούτου γὰρ ἕνεκα πλέουσι; πάνυ γε. ἄλλο τι οὖν οὕτω καὶ περὶ ἁπάντων, ἐάν τις πράττῃ, ἕνεκά του, οὐ τοῦτο βούλεται ὃ πράττει, ἀλλ' ἐκεῖνο, οὗ ἕνεκα πράττει; ναί. ἆρ' οὖν ἔστι τι τῶν ὄντων, ὃ οὐχὶ ἤτοι ἀγαθόν γέ ἐστιν, ἢ κακόν, ἢ μεταξὺ τούτων. οὔτε ἀγαθὸν οὔτε κακόν; πολλὴ ἀνάγκη ὦ Σώκρατες. οὐκοῦν λέγεις ἀγαθὰ μὲν σοφίαν, καὶ ὑγείαν, καὶ πλοῦτον, καὶ τἆλλα τὰ τοιαῦτα, κακὰ δὲ τὰ ἐναντία τούτων; ἔγωγε. τὰ δὲ μήτε ἀγαθὰ μήτε κακά, ἆρα τοιάδε λέγεις, ἃ ἐνίοτε μὲν μετέχει τοῦ ἀγαθοῦ. ἐνίοτε δὲ τοῦ κακοῦ. ἐνίοτε δὲ οὐδετέρου. οἷον καθῆσθαι, καὶ βαδίζειν, καὶ τρέχειν, καὶ πλεῖν, καὶ οἷον αὖ λίθους, καὶ ξύλα, καὶ τἆλλα τὰ τοιαῦτα, οὐ ταῦτα λέγεις, ἢ ἄλλ' ἄττα καλεῖς τὰ μήτε ἀγαθὰ μήτε κακά. οὔκ. ἀλλὰ ταῦτα. πότερον οὖν τὰ μεταξὺ ταῦτα ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν, ὅταν πράττωσι. ἢ τἀγαθὰ τῶν μεταξύ. τὰ μεταξὺ δήπου τῶν ἀγαθῶν. τὸ ἀγαθὸν ἄρα διώκοντες. καὶ βαδίζομεν ὅταν βαδίζωμεν, οἰόμενοι βέλτιον εἶναι, καὶ τὸ ἐναντίον ἕσταμεν. ὅταν ἑστῶμεν τοῦ αὐτοῦ ἕνεκα τοῦ ἀγαθοῦ, ἢ οὔ. ναί. οὐκοῦν καὶ ἀποκτείνυμεν. εἴ τινα ἀποκτείνυμεν, καὶ ἐκβάλλομεν καὶ ἀφαιρούμεθα χρήματα, οἰόμενοι ἄμεινον εἶναι ἡμῖν ταῦτα ποιεῖν ἢ μή; πάνυ γε. ἕνεκα ἄρα τοῦ ἀγαθοῦ ἅπαντα ταῦτα ποιοῦσιν οἱ ποιοῦντες; φημί. οὐκοῦν ὡμολογήσαμεν, ἃ ἕνεκά του ποιοῦμεν, μὴ ἐκεῖνα βούλεσθαι, ἀλλ' ἐκεῖνο οὗ ἕνεκα ταῦτα ποιοῦμεν; μάλιστα. οὐκ ἄρα σφάττειν βουλόμεθα, οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων, οὐδὲ χρήματα ἀφαιρεῖσθαι ἁπλῶς οὕτως, ἀλλ' ἐὰν μὲν ὠφέλιμα ᾖ, ταῦτα βουλόμεθα πράττειν. βλαβερὰ δ' ὄντα, οὐ βουλόμεθα, τὰ γὰρ ἀγαθὰ βουλόμεθα ὡς φὴς σύ, τὰ δὲ μήτε κακὰ

Ayuntamiento de Madrid

μήτε ἀγαθὰ, οὐ βουλόμεθα, οὐδὲ τὰ κακά. ἢ γὰρ ἀληθῆ σοι δοκῶ λέγειν ὦ πῶλε, ἢ οὔ· τί οὐκ ἀποκρίνῃ· ἀληθῆ. οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦμεν. εἴ τις ἀποκτείνει τινὰ, ἢ ἐκβάλλει ἐκ πόλεως, ἢ ἀφαιρεῖται χρήματα, εἴτε τύραννος ὢν, εἴτε ῥήτωρ οἰόμενος ἄμεινον εἶναι αὐτῷ, τυγχάνει δὲ ὂν κάκιον. οὗτος δή που ποιεῖ ἃ δοκεῖ αὐτῷ. ἢ γάρ; ναί. ἆρ' οὖν καὶ ἃ βούλεται, εἴπερ τυγχάνει κακὰ ὄντα; τί οὐκ ἀποκρίνῃ· ἀλλ' οὔ μοι δοκεῖ ποιεῖν ἃ βούλεται. ἔστιν οὖν ὅπως ὁ τοιοῦτος μέγα δύναται ἐν τῇ πόλει ταύτῃ, εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν τι κατὰ τὴν σὴν ὁμολογίαν; οὐκ ἔστιν. ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, λέγων ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει, ἃ δοκεῖ αὐτῷ μὴ μέγα δύνασθαι, μηδὲ ποιεῖν ἃ βούλεται, ὡς δὴ σὺ ὦ σώκρατες, οὐκ ἂν δέξαιο ἐξεῖναί σοι ποιεῖν ὅ, τι δοκεῖ σοι ἐν τῇ πόλει μᾶλλον, ἢ μή, οὐδὲ ζηλοῖς, ὅταν ἴδῃς τινὰ, ἢ ἀποκτείναντα ὃν ἔδοξεν αὐτῷ, ἢ ἀφελόμενον χρήματα, ἢ δήσαντα. δικαίως λέγεις, ἢ ἀδίκως. ὁπότερ' ἂν ποιῇ, οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν. εὐφήμει ὦ πῶλε. τί δή. ὅτι οὐ χρὴ οὔτε τοὺς ἀζηλώτους ζηλοῦν, οὔτε τοὺς ἀθλίους, ἀλλ' ἐλεεῖν; τί δαί. οὕτω σοι δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω τῶν ἀνθρώπων; πῶς γὰρ οὔ. ὅστις ἀποκτίννυσιν, ὃν ἂν δόξῃ αὐτῷ δικαίως ἀποκτιννὺς ἄθλιος δοκεῖ σοι εἶναι καὶ ἐλεεινός; οὐκ ἔμοιγε. οὐδὲ μέν τοι ζηλωτός. οὐκ ἄρτι ἄθλιον ἔφησθα εἶναι, τὸν ἀδίκως γε ὦ ἑταῖρε ἀποκτείνοντα, καὶ ἐλεεινόν γε πρὸς τόν γε δικαίως ἀζήλωτον; ἢ που ὅ γε ἀποθνήσκων ἀδίκως ἐλεεινός τε, καὶ ἄθλιός ἐστιν. ἧττον, ἢ ὁ ἀποκτιννὺς ὦ πῶλε. καὶ ἧττον, ἢ ὁ δικαίως ἀποθνήσκων. πῶς δὴ ὦ σώκρατες, οὕτως ὡς μέγιστον τῶν κακῶν τυγχάνει ὂν τὸ ἀδικεῖν. ἢ γὰρ τοῦτο μέγιστον, οὐ τὸ ἀδικεῖσθαι μεῖζον; ἥκιστά γε. σὺ ἄρα βούλοι' ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν; βουλοίμην μὲν ἂν ἔγωγε, οὐδέτερα. εἰ δὲ ἀναγκαῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν.

Ayuntamiento de Madrid

## ΠΕΡΙ ΑΡΧΗΣ, ΚΑΙ ΤΟΥ ΟΠΟΙΟΝ ΧΡΗ ΕΙΝΑΙ ΤΟΝ ΑΡΧΟΝΤΑ

### ΛΟΓΟΣ μδ΄.

Ευριπίδου. Οἷς μὲν δικαίοις, ἔνδικος· τοῖς δ' αὖ κακοῖς,
πάντων μέγιστος πολέμιος κατὰ χθόνα.
Τίς ἂν δίκην κρίνειεν, ἢ γνοίη λόγον,
πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς.
Ἐγὼ γὰρ ὅστις μὴ δίκαιος ὢν ἀνὴρ
βωμὸν προσίζει τὸν νόμον χαίρειν ἐῶν,
πρὸς τὴν δίκην ἄγοιμ' ἂν οὐ τρέσας θεούς,
κακὸν γὰρ ἄνδρα χρὴ κακῶς πάσχειν ἀεί.
Φίλων δὲ χρυσὸν πολλάκις δωρουμένων,
οὐκ εἰσεδέξατ' οἶκον, οὐδὲ τοὺς τρόπους
δούλους παρέσχε χρημάτων πεισθεὶς ὕπο.
τοὺς δ' ἐξαμαρτάνοντας οὐχὶ τὴν τύχην,
ἤχθαιρεν ἤδη τοι κοὐδὲν αἰτία πέλει,
κακῶς ἀκούειν διὰ κυβερνήτην κακόν.
Ὅταν γὰρ ὀργῇ δῆμος εἰς θυμὸν πέσῃ,
ὅμοιον ὥσπερ πῦρ κατασβέσαι λάβρον.
ἀλλ' ἡσύχως τις αὐτὸν ἐντείνοντι μὲν
χαλῶν ἕποιτο καιρὸν εὐλαβούμενος,
ἴσως ἂν ἐκπνεύσειεν, ὅταν δ' ἀνῇ πνοάς,
τύχοις ἂν αὐτοῦ ῥᾳδίως, ὅσον θέλεις.
Οὐ τῶν κακούργων οἶκτος, ἀλλὰ τῆς δίκης.
Σοφοκλέ. Ἄκων δ' ἁμαρτών, οὔτις ἀνθρώπων κακός.
Μενάνδρου Ὁ προκαταγινώσκων δὲ πρὶν ἀκοῦσαι σαφῶς
αὐτὸς πονηρός ἐστι, πιστεύσας κακῶς.

Ayuntamiento de Madrid

Σοφῶν γὰρ ἀνδρῶν τὰς ἁμαρτίας καλῶς — Χαιρήμονος.
κρίνειν, τὸ δ' εἰκῇ καὶ μετὰ σπουδῆς κακόν.

Ἡ νῦν ὑπό τινος χρηστότης καλουμένη, — Μενάνδρου
μεθῆκε τὸν ὅλον εἰς ἀπώλειαν βίον.
οὐδεὶς γὰρ ἀδικῶν τυγχάνει τιμωρίας,

Ἐπηρεάζοντί τι, καὶ παθεῖν ἔοικε. — Πινδάρου.

Ἐπήνεσ' ἴσθι δ' ὥσπερ ἡ παροιμία — Σοφοκλέ.
ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ,

Μόνον σὺ θυμοῦ χωρὶς ἔνδεξαι λόγους, — Μοσχίωνος
οὓς σοι κομίζω, τὸν κλύοντα γὰρ λαβών,
ὁ μῦθος εὔνουν, οὐ μάτην λεχθήσεται.

Δεῖ τὸν ἀκροατὴν καὶ συνετὸν ὄντως κριτὴν, πρὸ τοῦ λεγομένου τὸν βίον διασκοπεῖν, ποῖός τις ὁ λέγων· καὶ πόθεν. καὶ τὴν ἀκμὴν ἐκ παιδὸς ἀλλ' οὗ πρός τι καταθέμενος· αὐτοῦ προδότης. κακός τε τῆς ὥρας φύλαξ μάλιστα ὁ τοιοῦτος ἀνατρέπει πᾶσαν πόλιν, οὐδὲ γὰρ αἰσχρόν ἐστιν αὐτὸν ἀποτυχεῖν πράττουσι πάντα, τὴν γὰρ αἰσχύνην πάλαι πᾶσαν ἀπολωλέκασι καθ' ἑτέρας θύρας. ὅθεν ὑποχωρεῖ πάντ' ἀπηρυθριακότως ἕκαστος αὐτῶν, πρὸς δὲ πάντ' ἐστι, θρασὺς, ψεύδεται, ἐπιορκεῖ, μαρτυρεῖ, δικορραφεῖ, κλέπτει, πλανεῖ, ῥᾳδιουργεῖ, τὸ δὲ πέρας, οὐ πόλιν ὅλην, φυλὴν δὲ μαλακῶς ἀνατρέπει, ἐπεὶ κατὰ μέρος τὰς πόλεις ὦ φίλε θεῷ ὑπὸ λεπτιδίων εἰσὶ γὰρ ἀνατετραμμέναι. σκόπει. νέων δὲ καταλόγων δόξεις με ἐρεῖν.

Οὐκοῦν τὸ δίκην διδόναι μεγίστου κακοῦ, ἀπαλλαγὴ ἦν πονηρίας; ἦν γάρ. σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ, καὶ ἰατρικὴ γίνεται πονηρίας ἡ δίκη. — Πλάτωνος

Τὴν αὐτὴν γνώμην ἔχειν δικάζοντας ἄξιον, ἥνπερ νομοθετοῦντας. — Λυσίου.

Χρὴ τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα, καὶ τὸν νόμον. ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφίησιν ὁ νόμος, ἑτέραν δὲ ὁ ῥήτωρ. τῷ τοῦ νόμου δικαίῳ διδόναι χρὴ τὴν ψῆφον, μὴ τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ. — Αἰσχίνου.

Εἰ δέοι τι ἁμαρτεῖν, τὸ ἀδίκως ἀπολῦσαι ὁσιώτερον, ἢ τὸ ἀδίκως ἀπολέσαι. τὸ μὲν γὰρ, ἁμάρτημά ἐστι. τὸ δὲ, ἀδίκως ἀποκτεῖναι, ἀσέβημα. — Ἀντιφῶντος.

Εἰς ἀρχὴν καταστάθεις, μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις, ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. — Ἰσοκράτους.

Ἄρχε· πρῶτον μαθὼν ἄρχεσθαι, ἄρχεσθαι γὰρ μαθὼν, ἄρχειν ἐπιστήσῃ. — Σόλωνος.

Βίων ἔφη· δεῖν τὸν ἀγαθὸν ἄρχοντα παυόμενον τῆς ἀρχῆς, μὴ πλουσιώτερον, ἀλλ' ἐνδοξότερον γεγονέναι.

Ayuntamiento de Madrid

# Περὶ ἀρχῆς, καὶ τοῦ ὁποῖος δεῖ εἶναι τὸν ἄρχοντα.

Ἀγάθων ἔφη. τὸν ἄρχοντα, τριῶν δεῖ μεμνῆσθαι. πρῶτον μὲν, ὅτι ἀνθρώπων ἄρχει. δεύτερον, ὅτι κατὰ νόμους ἄρχει. τρίτον, ὅτι οὐκ ἀεὶ ἄρχει.

Ἰσαίου. Ὅσοι τοὺς ἀδικοῦντας κολάζουσιν, οὗτοι τοὺς ἄλλους ἀδικεῖσθαι κωλύουσιν.

Πλουτάρχου. Ἐν δὲ θήβαις εἰκόνες εἰσὶν ἀνακείμεναι δικαστῶν ἄχειρες. ἡ δὲ τοῦ ἀρχιδικαστοῦ μύουσα τοῖς ὄμμασιν, ὡς ἄδωρον ἅμα τὴν δικαιοσύνην καὶ ἀνέντευκτον οὖσαν.

Θεμιστίου. Ὅτι μοι δοκεῖ ὁ ἄρχων ἐκεῖνος ἐπαληθεύειν τοὔνομα τῆς ἀρχῆς, ὅστις δυσάλωτος μὲν ὑπὸ χρυσίου, εὐάλωτος δὲ ὑπὸ λόγου. ἐλευθερίας δὲ ἐργάτης, μεγαλοφροσύνην δὲ ἐπαινῶν, φυλάττεται ἐγγὺς οὖσαν τὴν αὐθάδειαν.

Εὐσεβίου. Τὸν τοῖς ἄλλοις ἐπιστατεύοντα καὶ ἐπιτάσσοντα, χρὴ οὐ τῇ ἐξουσίῃ μούνῃ τοῦ ἐπιστατέειν τε καὶ ἐπιτάσσειν, ἀλλὰ ἀξίῃ καὶ γνώμῃ προέχειν τῶν ἐπιτασσομένων.

Πρὸς τοὺς παρὰ δίκην ζῶντας. ἔπειτα ἀξιοῦντας ἄλλων ἡγέεσθαι, ἀπειθέες ἄνθρωποι. εὐπειθίην δὲ εὐπετέα ἐπὶ τὰ παραγγελλόμενα ἑωυτῷ καὶ ἄλλῳ παρὰ τῶν ἀρχομένων παρασκευάζει ἅπας. ὅγε παρ᾽ ἑωυτοῦ τὰ δέοντα σπουδῇ ποιέειν ἐπιστάμενος, καὶ παράδειγμα τῶν περ χρὴ πρήσσειν τοῖς ὑποτεταγμένοις ἑωυτὸν παρεχόμενος.

Ἄρχοντος ἀγαθοῦ κέρδος μοῦνον τοῦτο οἰκήϊον. καὶ μυρίων κερδέων ἄλλων ἀντάξιον πάντα μὲν πρήσσειν, ὥστε καὶ παρὰ καιρὸν τῆς ἀρχῆς, καὶ παυσάμενον πάντα χρηστὰ καὶ δικαιοσύνην παρὰ τῶν ἀχθέντων μαρτυρέεσθαι.

Ἀνὴρ ἄρχων, καὶ ἰδιώτης δὲ ἅπας, ἴσως ἀπὸ τῆς φύσιος τῶν πρηγμάτων ὁκοῖα ἂν αὐτὰ παρέχηται, τοιαύτης καὶ τῆς ἀπ᾽ αὐτοῖς μνήμης, ἤτοι ἀγαθῆς ἢ πονηρῆς τευξόμενος. καὶ τοῦτο ἐπιφρασθεὶς, οὕτω κυρεέτω. ἐπ᾽ ὁκοτέρῃ τῶν ὁδῶν καὶ τὴν ἐπ᾽ ὁκοτέρῃ τῶν μνημέων ἄγουσαν τρέπηται, καὶ κοινὴν αὐτέων τῶν μνημέων αὐτῷ ἄμεινον προτιμῆσθαι.

Ἀρχὴν ἔχων, μὴ ἀπομνησικάκει πρὸς τοὺς ἐν διχοστασίῃ σοι πρότερον γεγενημένους, οὐ γὰρ ὅπως ἀμύνῃς ἐχρῆν ἐπὶ τὴν ἀρχὴν παρῃρημένος, ἀλλ᾽ ὅμως καὶ τῆς παρ᾽ ἄλλης ἐπιβουλῆς, ἀσφαλείας καὶ ἀντεπιβουλεύσεις φυλάξῃς τοὺς ὑπό σοι τεταγμένους. καὶ ὅπως τοῦ ὀρθοῦ φύλαξ εἴης, καὶ θεοῦ μεγάλης δικαιοσύνης ὑπηρέτης τε καὶ ἐξηγητὴς, ὥστε παρὰ τὰ αὐτῇ δοκέοντα ποιέων, καὶ αὐτῆς καταψευδόμενος ὡς ἐς θεὸν μεγίστην ἁμαρτάνων, καὶ παρ᾽ αὐτῆς, καὶ τῶν περὶ αὐτὴν τεταγμένων ἐφόρων τε, καὶ τιμωρῶν εἶναι, τῶν ποιουμένων μισθὸν προσδέχετο.

Μεταξὺ ἐχθρῶν δικάζων, τοῦ δικαίου γίνου ἐξεταστὴς, καὶ πρὸς τοῦτο ῥέπε

τῇ κρίσει,

Ayuntamiento de Madrid

τῇ κρίσει, δικαιοσύνη γὰρ καὶ δαίμων, ὁ τούτων ἔφορος τοὺς ἐχθρῇ χαρίζεσθαι προτετιμῆσθαι δικαιότεροι.

Ἐν ἀρχῇ ἐὼν, ἔπειτα ἔχθρης μεμνημένος, τῇ χείρονι μοίρᾳ σεωυτῷ νεμέσεις, καὶ τῆς ἀπαιτεομένης ἐν τῷ ἄρχοντι σεμνότητος ἑωυτὸν ἀποστερήσεαι παρὰ τῶν ξυνεπισταμένων, ὅτι ἔχθρῃ διδοῖς ἄλλῳ τῶν σεμνοτάτων οὐνομάτων, ἀντὶ δικαστοῦ καὶ ἄρχοντος, τὸ ἐνδιαβλητότατον οὔνομα ἀντιλαβὼν τῶν δικαζομένων ἐχθρὸς κεκλῆσθαι.

Τοῦ ἐπιτιμᾶν τινὶ θανάτου ζημίην, τὴν ἐξουσίην εἶναι ἡγέομαι. οὐκ ἐν τῷ κύριόν τινα εἶναι τούτου τὸ καταψηφίσασθαι, ἀλλ' ἐν τῷ οἷόν τε εἶναι τὸν ἔχοντα τὴν ἐξουσίην ἑωυτοῦ κρατέειν, ἐν οὕτω ἀσφαλεστάτῃ ὀφειλεούσῃ εἶναι κρίσει, καὶ ἐς ὁμογενέας ἔπι ἁμαρτηθέειν, καὶ τὴν οἰκείαν τε ἐστὶν ἐπανακαλέσασθαι γιγνομένης ἔπι τῆς ἁμαρτάδος.

Ἃ τοῖς ἄλλοισιν ὡς φαῦλα ἐπιτιμᾷς, ταῦτα πρότερον αὐτὸς ποιέειν φυλάσσεο.

Ἄνθρωποι ἀνθρώπων ἐπὶ κατηγορίας ἀφικνέονται. οἱ μὲν, ἐκ συγκειμένων ψευδῶν ἐγκλημάτων. οἱ δὲ, ἀληθέα καταγορέοντες. οἳ δ' αὖ ἐπαινέουσιν. οἱ μὲν, τὰ ἐόντα μαρτυρέοντες. οἱ δὲ, παρὰ τὸ ἀληθὲς χαριζόμενοι. ἄριστον οὖν ἐν τοῖς τοιούτοις καὶ ἰδιώτῃ, καὶ ἄρχοντι, μήτε αὐτὸν πιστεύειν ἀλλόθεν, μήτε ἀπιστέειν παντελῶς. ἐκ δὲ τῶν πραγμάτων ἐξεταζομένων, ὅκως χρὴ περὶ αὐτῶν διανοέεσθαι. καὶ τὸ ἀφρενὲς αὐτῶν μανθάνειν.

Ἀρχὴν ἔχων κόσμεε. αὐτὸς δὲ, μὴ μεταβάλλεο.

Ἀρχὴν λαβὼν, μὴ ἐπαίρεο. ὡυτὸς δὲ διατέλεε, οὕτω γὰρ ἀποθέμενος, οὐκ ἀφῃρῆσθαι τοῦ σεμνώοντός σε νομισθήσεαι.

Ἀνὴρ ἀγαθὸς ἔθνεός του ἢ πόλιος ἀρχὴν ἀληφὼς, οὐκ ἕνεκά γε τῶν δημοσίων χρημάτων, καὶ τοῦ δωροδοκέεσθαι, καὶ τοῦ παρὰ τῶν πλουσίων χρηματίζεσθαι ἔοικε τῷ ἀνδρὶ παρακαταθήκην ἀληφότι μεγάλων χρημάτων, ὥσπερ γὰρ καὶ ἐκεῖνος οὐκ ἐπὶ τὸ καταχέειν λαμβάνει. οὐδὲ κτῆμα ἴδιον ποιήσασθαι τὰ δοθέντα. ἀλλ' ὥστε φυλάξαι, καὶ ἀποδοῦναι σῶα παραθεμένῳ ἐπειδὰν ἀπαιτέηται. οὕτω δὲ καὶ αὐτὸν χρὴ, οὐκ ἐπὶ κέρδεσιν οἰκείοις, ἀλλ' ἐπὶ σωτηρίῃ, καὶ φυλακῇ πάντα πρήσσειν τῶν ἀρχομένων. ὥστε αὐτοὺς τὸ ἐς ἑωυτοὺς ἧκον, ἀσινεόντας, καὶ εὐθυνέοντας ἀποδεῖξαι τῷ καταπεπιστευκότι.

Ἀνὴρ ἀντιποίσους, καὶ ἀγρίας, καὶ ἀμέτρους ζητέων τὰς τιμωρίας, καὶ τοῖς κατὰ νόμον οὐκ ἀρκεόμενος θυμῷ ἀλόγῳ ξυγχωρέων, καὶ γυναικείας ἐμπικραι-



Ayuntamiento de Madrid

νόμενος, οὐκ αἰσθάνεται ἔξω τῆς δίκης ἐς τὸ ὁμογενὲς ἐξυβρίζων. ἀγνοεῖ δὲ τὸ μέγιστον, καίτοιπερ χρὴ εἰδέναι πάντα τὸν μέλλοντα ἄνθρωπον καὶ δίκαιον, ὅτι καὶ ὁ θάνατος αὐτὸς παρὰ τῷ πρώτως δικαιωσάντων, οὐκ ὥστε κακὸν ἐπετιμήθη, ἀλλ᾽ ὡς ἔσχατον καὶ ἐν φαρμάκου λόγῳ καὶ τῶν οὐ δυναμένων τῆς κακίας ἐλευθερωθῆναι· ὅπως ἐπειδὴ οὐχ οἷά τε ἦν ἄλλως, τούτῳ γε οὖν τῷ τρόπῳ ἀπολυθέντες ἐνταῦθα, δεσμοῦ αὐτῆς πείσωνται φυγήν.

Πυθαγόρου Π οίει ἃ κρίνεις εἶναι καλά, κἂν ποιῶν μέλλῃς ἀδοξεῖν, φαῦλος γὰρ κριτὴς παντὸς καλοῦ πράγματος, ὄχλος. διόπερ ὧν ἂν τῶν ἐπαίνων καταφρονῇς, καὶ τῶν ψόγων καταφρόνει.

Κ αὶ οἱ φυγῆς ἄξια ἔρδουσιν, ἢ δεσμῶν, ἢ θοίνης ἄξιοι, καταψηφισματέον, καὶ μὴ ἀπολύειν. ὃς δ᾽ ἂν παρὰ νόμον ἀπολύει κέρδει εἴξων, ἢ ἡδονῇ ἀδικεῖ· καὶ οἱ τοῦτο ἐγκάρδιον ἀνάγκη εἶναι.

Δ ίκης καὶ ἀρετῆς μεγίστην μετέχει μοῖραν, ὁ τιμὰς ἀξίας ταμιῶν.

Μ ηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ, μηδέ τι μᾶλλον ἐξεργάζεσθαι κακόν, εἰ μέλλοι μηδεὶς εἰδήσειν, ἢ οἱ πάντες ἄνθρωποι· ἀλλ᾽ ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῇ ψυχῇ καθεστάναι, ὥστε μηδὲν ποιεῖν ἀνεπιτήδειον.

Τ ῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μᾶλλον, ἢ τῶν εὖ πεποιημένων, καὶ γὰρ δίκαιον οὕτως ὥσπερ τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χρὴ ἐπαινέεσθαι. τὸν δὲ μὴ ἀποδιδόντα κακῶς ἀκούειν, καὶ πάσχειν, οὕτω καὶ τὸν ἄρχοντα, οὐ γὰρ ἐπὶ τούτῳ ᾑρέθη ὡς κακῶς ποιήσων, ἀλλ᾽ ὡς εὖ.

Ο ὐδεμία μηχανὴ τῷ νῦν καθεστῶτι ῥυθμῷ, μὴ οὐκ ἀδικέειν τοὺς ἄρχοντας, ἢν καὶ πάνυ ἀγαθοὶ ἔωσιν, οὐδενὶ γὰρ ἄλλῳ ἔοικεν. ἢ ἑωυτῷ τὸν αὐτὸν ἐφ᾽ ἑτέροισι γίγνεσθαι. δεῖ δέ κως οὕτω καὶ ταῦτα κοσμηθῆναι, ὅκως ὁ μηδὲν ἀδικέων, ἢν καὶ πάνυ ἐτάζῃ τοὺς ἀδικέοντας μὴ ὑπ᾽ ἐκείνοις γενέσθαι, ἀλλά τις, ἢ θεσμὸς, ἤ τι ἄλλο ἀμυνεῖ τῷ τὰ δίκαια ποιοῦντι.

Θουκυδίδου Ο ὐ γὰρ ὁ δουλωσάμενος, ἀλλ᾽ ὁ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ, ἀνελεύθερον αὐτὸ δρᾷ.

Στωϊκῶν. Φ ασὶ μηδὲ συγγνώμην ἔχειν μηδενὶ τὸν νοῦν ἔχοντα, τοῦ γὰρ αὐτοῦ συγγνώμην ἔχειν, καὶ νομίζειν τὸν ἡμαρτηκότα μὴ παρ᾽ αὐτὸν ἡμαρτηκέναι, πάντων ἁμαρτανόντων παρὰ τὴν ἰδίαν κακίαν, διὸ καὶ δεόντως λέγεσθαι τὸ μηδὲ συγγνώμην ἔχειν τοῖς ἁμαρτάνουσιν. οὐκ ἐπιεικῆ δέ φασιν εἶναι τὸν ἀγαθὸν ἄνδρα, τὸν γὰρ ἐπιεικῆ παραιτητικὸν εἶναι τῆς κατ᾽ ἀξίαν κολάσεως, καὶ τοῦ αὐτοῦ εἶναι, ἐπιεικῆ τε εἶναι, καὶ ὑπολαμβάνειν τὰς ἐκ τοῦ νόμου τεταγ-

Ayuntamiento de Madrid

μείας κολάσεις τοῖς ἀδικοῦσι σμικροτέρας εἶναι· καὶ τῷ ἡγεῖσθαι παρὰ τὴν ἀξίαν ἀπονέμειν τὰς κολάσεις τὸν νομοθέτην.

Τίς οὖν οὕτω κατὰ τὸν σιμωνίδου λόγον τετράγωνος· ὃς κατὰ πᾶσαν τύχην καὶ πραγμάτων μετάστασιν ἀσφαλῶς ἑστήξεται. συναρμόζων μὲν ἑαυτὸν τοῖς τε ἄρχουσι, καὶ ἀρχομένοις, καὶ πρὸς ἑαυτὸν ἁρμόζων ἅπαντας. πᾶσαν δὲ πάντων διαφορὰν, πρὸς ἕνα τὸν τοῦ καλοῦ συνυφαίνων λόγον, τῇ δὲ ἀνδρῶν, καὶ πραγμάτων πολυειδεῖ δουλεύων φύσει, τὸ τῆς ψυχῆς ἀδούλωτον διαφυλάξει φρόνημα· τῷ μέν γε τὸν λόγον διατιθεμένῳ χαλεπὸν οὐδέν· ἐκ τῶν ἄκρων παραγγελμάτων τὸν ὄρθιον τῆς ἀρετῆς ᾆσαι νόμον, τῷ δ᾽ εἰς πράξεις ἀληθινὰς τοὺς λόγους ἐντείνειν μέλλοντι, τὸν ἐκ τῶν δοθέντων ἄριστον, ἀντὶ τοῦ πρῶτον τὴν φύσιν δοκιμάζειν, ὃ τῆς ὑποθέσεως προστάττει λόγος.

Ἐκ τῆς σωπάτρου ἐπιστολῆς.

Τιμῆς μὲν ὁ πόθος ἐν γράμμασί τε, καὶ προσηγορίαις, καὶ πάσῃ τῇ φαινομένῃ ταύτῃ τοῦ βίου δραματουργίᾳ, οἱ μείζους τῶν ἀρχόντων μεταποιοῦνται, μὴ ὅπως ἐλλείπων τὸ μέτρον, ἀλλ᾽ εἰ δυνατὸν καὶ πλεονάζων φαίνου. γελοῖον γὰρ περὶ ὀνομάτων διαφερόμενον, τῶν πραγμάτων ἐφ᾽ οἷς τὰ ὀνόματα κεῖται, μηδεμίαν ἔχειν φροντίδα, καὶ ψευδωνύμου τιμῆς ἐφιέμενον. ὀλίγου μὲν ἄγαν ἑαυτὸν ἀξιοῦντα φαίνεσθαι, τοῖς ἀρχομένοις πολλὴν ἐνίοτε βλάβην προξενεῖν.

Ἐν ταυτῷ

Τῶν δ᾽ ἔργων ἃ μὲν οὐκ ἔστι προσταττόντων, ἀρνήσασθαι τῷ τρόπῳ, καὶ χρόνῳ τῆς πράξεως πειθοῖ τε ἐμμελεῖ τὸ φαινόμενον ἐπαχθὲς παραμυθητέον. ἔνια δ᾽ οὐκ ἔστιν ἀναγκασθῆναι, φησὶν ἀριστοτέλης, οὐδ᾽ εἰ τὸ λεγόμενον ταντάλου λίθον ἐπηρτημένον τις ἔχοι, ἀλλ᾽ ὑπομενετέον πάντα ἑτοίμως, τὸ δρᾶν κακῶς πρὸ τοῦ παθεῖν κακῶς εὐλαβουμένῳ. ἃ δ᾽ οὐκ ἔχει μὲν ἀπαραίτητον τὴν ἀποπλήρωσιν, λαθεῖν δὲ ἢ ἀγνοῆσαι τοὺς ἐπιτάξαντας συνέβη, διδασκαλίᾳ ἐμμελεῖ προσαγωνίζεσθαι, παρασκευάζων, μὴ φανερῶς ἐπισκήπτων, βαρὺ γὰρ ἔλεγχος ἐμφανὴς τοῖς ἐν ἐξουσίᾳ, ἀλλ᾽ ὡς εἰδότας ὑπομιμνήσκων, ἢ προβάλλων εἰς κρίσιν, ἢ πυνθανόμενος ἃ γινώσκων, οὐδὲν ἧττον αὐτὸς τυγχάνεις, καὶ φιλοτίμους μὲν ὄντας τιμῇ καὶ θεραπείᾳ προσάγου. τῶν δὲ ἀρχομένων ἐπιστρεφομένους τῆς προαιρέσεως ὑπομίμνησκε.

Ἔστω δέ ποτε καὶ παῤῥησίας ἐλευθερίου καιρὸς, ἥτις μὴ βλάβην παρασκευάζειν τοῖς ἀρχομένοις μέλλει, τὸ μὲν γὰρ αὐτόν τινα λύπῃ καὶ δέῃ παθεῖν, αἱρετώτερον τῆς λεγομένης εὐπραξίας πολλάκις. τὸ δ᾽ ἐφ᾽ οἷς ἂν αὐτὸς νεανιεύεσθαι δόξῃ



Ayuntamiento de Madrid

λαθεῖν τοσούτοις προσόντα, κενοδοξίας ἐσχάτης ὑπεύθυνον ἀποφαίνει.

A Ἰδοὺ πρὸς τὰς διημαρτημένας τῶν πολλῶν ἀποβλέπειν δόξας, τὸ δ' ἀπὸ τῆς ἀληθείας λόγον, πάντων εἶναι προσῆκεν ἄγει. καὶ οὔτε φαινομένην εὐπρέπειαν μετὰ βλάβης τῶν ἀρχομένων αἱρεῖσθαι, οὔτε δυσχεροῦσιν ἀδοξίαν ἐπ' ὠφελείᾳ τῶν ὑπηκόων φεύγειν, εἰ μὴ τῆς τυχούσης φαντασίας, ἀλλὰ τῆς ἀεὶ εἰς τῆς ζωῆς μεταποιεῖσθαι μέλλοιμεν. τὴν μὲν πολιτικὴν τιμὴν, ἣ τῆς πολιτείας ἀπονέμει τάξις τοῖς μείζοσι παρ' ἐλαττόνων. τὴν δὲ ἄλλην θεραπείαν, ἣ τυχεῖν αὐτοῖς ἀξιώσουσιν, ἣ δι' ὠφέλειαν τῶν ἀρχομένων ἐν εἴδει φαρμάκου προσάγομεν, ἐπεὶ κολακείας μὲν τὰ φαῦλα ἐπαινεῖν αὐτῆς, ἕνεκα μόνης τῆς ἀρεσκείας. πολιτικῆς δὲ φρονήσεως τοῖς ἐν δυνάμει καθομιλεῖν πρὸς ὠφέλειαν αὐτῶν. ὁ μὲν γὰρ κόλαξ, τὴν πονηρὰν ἀποδέχεται πρᾶξιν, οὐδένα ὠφελῆσαι μέλλων. ὁ δ' ἵνα τῆς πονηρᾶς ἀπαγάγῃ προθέσεως φιλότιμον ὄντα ἐπαινέσῃ. ὥσθ' ὁ μὲν, δι' ὧν ἐπαινεῖ, βλάπτει τὸν ἐπαινούμενον. καὶ ὅλος καθ' ἑαυτοῦ πονηρίας ἐσχάτης ἐκφέρει δεῖγμα. ὁ δ' εἰς τὸ πράττειν, ἄξια ἐπαίνου τῷ τρόπῳ τῆς θεραπείας ἐπάγεται,

Ἐν ταυτῷ K αὶ γίνου μὲν ἄξιος τοῦ ἄρχειν, οὐ θέσει πολιτείας, ἀλλ' ἀρετῆς καὶ προαιρέσεως τῇ πρὸς τοὺς ἀρχομένους ὑπεροχῇ. πλέον δὲ ἔχειν ἑκάστου τῶν ὑπηκόων, ταῖς κοιναῖς ὑπὲρ ἁπάντων ἐπιμελείαις, καὶ τῇ μεμεριμνημένῃ τῶν ὅλων ἐπιστασίᾳ γίνωσκε.

O ὗς δὲ ἐγνώκεις πρότερον καὶ σαυτῷ προσήκειν οὐδὲν ὑπελάμβανες, πλὴν ὅσον ὡς ἄνθρωπος τὴν κοινὴν φύσιν ἀνθρώπων, αἰδούμενος τούτοις ὡς ἤδη γνωρίμοις, καὶ φίλους ἅπαντας θεώμενος εἶναι, ὁ μὴ Ὅμηρος γοῦν οὐκ ἀπέχρησε πατέρα ἁπλῶς τῶν ἀρχομένων τὸν ἄρχοντα προσειπεῖν. καίτοι τί ποτ' ἂν εὑρεθείη τούτου πρᾳότερον ἀνθρώποις ὄνομα. ἀλλὰ καὶ τὸν ἤπιον φέρων ἐπέθηκε τῷ πατρί. ὁμοῦ μὲν γονεῦσιν, ὁμοῦ δὲ ἄρχουσιν ἀγαθοῖς, ταύτην πρέπειν τὴν προσηγορίαν ἡγούμενος.

T ὴν μὲν οὖν ὡς ἀρχομένων πρόνοιαν κοινὴν ἀπονέμειν πᾶσι, τοῖς δ' ἐκπέρας φαινομένοις χρηστοῖς, δευτέραν τὴν ἐκ τῶν τρόπων οἰκειότητα προστιθέναι προαιροῦ, καὶ ὑπεροψίαν μὲν καὶ τὰς συνειθεῖς ταύτῃ κακίας ἀλαζονείαν, καὶ αὐθάδειαν. ὡς μικροπρεπεῖς ψυχῆς διαθέσεις ἀποδιδράσκωμεν, τὸ γὰρ ἑαυτῶν ἐπιλανθάνεσθαι διὰ τὴν ἐφήμερον τῆς ἀρχῆς φαντασίαν, πολλὴν διανοίας ἀπελέγχει σμικρότητα, οὐ μὴν τὰς ἐπονειδίστους ταύτας τῆς κακίας ὑπερβολὰς ἀποδιδράσκοντες, πρὸς θάτερον τῆς πονηρίας ἄκρον, αἰσχρῶς ἂν μεταπίπτοιμεν. εὐτέλειαν καὶ ταπεινότητα ἤθους,

φαῦλα

Ayuntamiento de Madrid

φαῦλα ἀντὶ φαύλων τῆς προόδου ἠθῶν ἀντικαταλλαττόμενοι. ἀλλ' ἥμερον χρὴ καὶ σεμνὸν τοῖς ὑπηκόοις δοκεῖν τε καὶ εἶναι τὸν ἀληθῶς ἄρχοντα.

Δεῖ δὲ μήτε ὀργῇ προσομιλεῖν τοῖς ἀρχομένοις, μήτε ἀνεπίπληκτον τοῖς ἁμαρτάνουσι τὴν προαίρεσιν καταλείπειν. τὸ μὲν γάρ, οὐδὲν τῶν μαινομένων διαφέρειν τὸν ἄρχοντα δείκνυσι· τὸ δ' εὐχέρειαν ἁμαρτημάτων τοῖς ὑπηκόοις ἐντίκτει.

Ἀνεξίκακον δὲ ὁμοῦ, καὶ μισοπόνηρον σεαυτὸν ἐπιδείκνυε. τῷ μὲν γὰρ ἠρέμα κολάζειν, τὴν ἀνεξικακίαν, τῷ δ' ἀπεχθάνεσθαι τοῖς κακοῖς τὴν μισοπονηρίαν ἐλέγχων. ἵνα τὸ μέν, φεύγειν τὰ φαῦλα, τὸ δέ, μὴ λίαν ἀπαραμύθητον εἶναι τοῖς ἐπταικόσι τὴν τύχην ἀποδεικνύῃ.

Ἀφεκτέον δὲ καὶ σκωμμάτων τοῖς ὡς ἀληθῶς ἄρχουσιν, ἢ καθαιρήσει τις τὸ σεμνὸν τῆς ἀρχῆς, γελωτοποιεῖν πειρώμενος.

Καὶ λοιδοριῶν καθαρευτέον, ἰδιωτικῆς γὰρ ἀκροχολίας τοῦτο σύμβολον.

Νουθετήσεως δὲ καὶ παραινέσεων τὸ διττὸν εἶδος, τῇ μὲν σφοδρῶς καθαπτόμενον· τῇ δὲ προσηνῶς θεραπεῦον, γνωρίσματα ἐμοὶ δοκεῖν ἐπιεικοῦς ἄρχοντος.

Συνάρμοζε δὲ τοῖς ἤθεσιν ἑκάστων τὸν πρόσφορον τῆς ἐπιστασίας τρόπον. τοῖς μὲν ἐπιεικέσιν, ἐμμελῶς· τοῖς δ' ὑπτίοις, συντόνως· αὐστηρῶς δὲ τοῖς θρασέσι· πράως δὲ τοῖς εὐλαβεστέροις προσιών.

Δεῖ δὲ ἀπείργειν μὲν τῶν ἁμαρτημάτων ἀνάγκῃ, πειθοῖ συναρμόσαντα. σφαλεῖσι δέ, σύμμετρον τῆς δίκης ἐπάγειν τὴν ἐπανόρθωσιν. ὅσα μὲν μικρά. καὶ συνήθη τῶν ἁμαρτημάτων, ἀγνοεῖν δοκοῦντα, οὔτε γὰρ ἐπὶ πᾶσιν ἁπλῶς καὶ τοῖς τυχοῦσιν ἐπεξιέναι, οὔτε γιγνώσκοντα παρορᾶν ὠφέλιμον, τὰ δὲ ἤδη τῶν ἀρχομένων ἐπαχθῆ, ταῖς ἐκ τῶν νόμων θεραπείαις ἰώμενον.

Καὶ βούλου μὲν ἁμαρτημάτων τὴν ψυχὴν ὡς δυνατὸν καθαρεύειν. ἐννόει δέ, ὡς σύμφυτον τὸ ἁμαρτάνειν ἀνθρώποις, ὥσθ' ἕως αὐτῆς ὡς ἀναμαρτήτους κολάζει, τὸ μέτρον ὑπερβαίνει τῆς κατὰ φύσιν ἐπανορθώσεως. ἀπόδειξον δὲ σαυτὸν τῆς ἀρχῆς πρέποντα κόσμον, ἀλλὰ μὴ τοὺς ἔξωθεν καὶ ἐφημέροις σκιαγραφίαις καλλώπιζε.

Χάριτας μὲν τὸ δίκαιον ὑπερβαινούσας, οὐδ' ὀνομαστέον ἐμοὶ δοκεῖν χάριτας. τὰς δὲ τῆς δικαιοσύνης φίλας, οὐδεὶς ἂν ὅς οὐκ ἀπὸ δρυός ἐστιν, ἢ πέτρας ἑκὼν ἀρνησάμενος, τύχοι· ἐπεὶ γὰρ πολλάκις ὁ νόμος πικροτέρας τῶν ἁμαρτημάτων ὁρίζει τὰς τιμωρίας, τὸ λεγόμενον ἐπιεικὲς δίκαιον, τὴν αὐστηρὰν τῶν νόμων φωνὴν παραμυθούμενον ἀμεμφὲς ἐμοὶ δοκεῖ χαρίτων ἀλη-



Ayuntamiento de Madrid

θινῶν, καὶ ἐλευθέρων πρόφασις. τὸ μὲν οὖν περὶ τὰ συναλλάγματα τῆς δίκης ἐπανορθωτικὸν ἐκφεύγει παντελῶς καὶ τὸ τῶν χαριέντων γένος. τὸ δ' ἐπὶ τοῖς ἐγκλήμασι κείμενον, οὐκ ἀναιρεῖται τὸ πρᾶον καὶ φιλάνθρωπον τῶν χαριέντων πρόσωπον.

Ἀρχύτα πυθαγορείου ἐκ τοῦ περὶ νόμου καὶ δικαιοσύνης. Δ εἶ δὲ τὸν ἀλαθινὸν ἄρχοντα, μὴ μόνον ἐπιστάμονά τε, καὶ δυνατὸν ἦμεν περὶ τὸ καλῶς ἄρχεν, ἀλλὰ καὶ φιλανθρώπως, ἄτοπον γὰρ ἦμεν ποιμένα μισοπρόβατον καὶ τοιοῦτον, οἷον καὶ δυσμενῶς ἔχειν τοῖς αὐτοῦ θρέμμασι. δεῖ δ' αὐτὸν καὶ νόμιμον ἦμεν, οὕτω γὰρ ἐσεῖται τὰν τῶ ἄρχοντος ἐπίστασιν ἔχων, διὰ μὲν γὰρ ἐπιστήμας, κρίνεν ὀρθῶς δυνασεῖται. διὰ δὲ τᾶς δυνάμιος, κολάζεν. διὰ δὲ τᾶς χρηστότητος, τὸ εὐεργετεῖν. διὰ δὲ τῶ νόμω, τὸ ποτὶ τὸν λόγον πάντα ταῦτα ποιεῖν. ἄριστος δὲ κ' εἴη ἄρχων, ὁ ἀγχοτάτῳ νόμῳ. οὗτος δέ κ' εἴη, ὁ μηθὲν αὐτῶ ἕνεκα ποιέων, ἀλλὰ τῶν ὑπ' αὐτόν.

Ἰαμβλίχου. Γ ἂν γὰρ τὸ τιμώμενον αὔξεται, ἐλαττοῦται δὲ τὸ ἀτιμαζόμενον, καὶ τοῦτό ἐστι διαφανέστατον σημεῖον ἀρχῆς εὖ διοικουμένης, προτρέπει τε γὰρ τοὺς ἀρχομένους ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα, καὶ τὴν ἐπιβάλλουσαν ἀξίαν ἑκάστοις διανέμει, καὶ πληροῖ τὰς πόλεις τῶν ἀρίστων ἐπιτηδευμάτων.

Ὑπερείδου. Α ρχομένων δεῖ τῶν ἀδικημάτων ἐμφράσσειν τὰς ὁδούς. ὅταν δ' ἅπαξ ῥιζωθῇ κακία, καὶ παλαιὰ γένηται, καθάπερ σύντροφος ἀρρωστία, χαλεπὸν αὐτὴν κατασβέσαι.

Πλάτωνος. Γ πῶς γὰρ ἄν τις ἢ δίκην καλῶς δικάσαι, ἢ ἀγῶνας κατὰ τρόπον κρῖναι δύναιτο, μὴ ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσας, τοῖς γὰρ λόγοις παραβαλλομένοις ὥσπερ τὴν πορφύραν, καὶ τὸ χρυσίον ἄμεινον κρίνεσθαι. ἢ τίνος ἕνεκεν ὁ χρόνος ἀμφοτέροις δίδοσθαι τοῖς ἀντιδίκοις. ἢ ὀμνύειν τοὺς δικαστὰς ἀκροάσασθαι ὁμοίως ἀμφοτέρων, εἰ μὴ ὑπελάμβανεν ὁ νομοθέτης τὰς δίκας δικαιότερον ἂν καὶ βέλτιον κρίνεσθαι ὑπὸ τῶν δικαστῶν. σὺ δέ μοι δοκεῖς οὐδὲ τοῦτο ὑπὸ τῶν πολλῶν λεγόμενον ἀκηκοέναι. τὸ ποῖον ἔφη, μὴ δὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. καί τοι οὐκ ἂν οὕτω τοῦτο περιεφέρετο, εἰ μὴ καλῶς ἐλέγετο καὶ ὡς προσήκει. ξυμβουλεύω σοι ἔφη τοῦ λοιποῦ, μὴ προπετῶς οὕτω τοὺς ἀνθρώπους μήτε μέμφεσθαι μήτε ἐπαινεῖν.

Ἀντιφῶντος. Ο ὐ δίκαιον οὔτε ἔργῳ ἁμαρτάνοντα ῥήματι σωθῆναι, οὔτε ἔργῳ ὀρθῶς πράξαντα, διὰ ῥῆμα ἀπολέσθαι, τὸ μὲν γὰρ ῥῆμα τῆς γλώσσης ἁμάρτημά ἐστι. τὸ δὲ ἔργον, τῆς γνώμης.

Δημοσθένους. Δ ίκαιόν ἐστιν ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παραλόγως δυστυχοῦντας.

Β ίας θανάτῳ μέλλων καταδικάζειν, ἐδάκρυσεν. εἰπόντος δέ τινος, τί παθὼν

Ayuntamiento de Madrid

αὐτὸς καταδικάζεις καὶ κλαίεις, εἶπεν· ὅτι ἀναγκαῖόν ἐστι τῇ μὲν φύσει, τὸ συμπαθὲς ἀποδοῦναι, τῷ δὲ νόμῳ, τὴν ψῆφον.

Μάρτυς δ' ἄριστος ὁ μηδὲν μὲν εὖ παθών, ἀπὸ δὲ τῆς ἄλλης εὐνοίας κρίνων

Ὀβρίμου πρωτογόνου κρινομένου φαρμάκων. ἀεὶ δὲ ἐν πάσαις μὲν ταῖς δίκαις, ἐξετάζειν χρὴ τὰ βεβιωμένα, μάλιστα δ' ἐν τοῖς τοιούτοις τῶν ἀγώνων, ἐν οἷς ὁ βίος ἐστὶ τὸ ἔγκλημα.

Καθάπερ τῷ ὑπὸ πυρὸς βέλτιον τὸ κάεσθαι τοῦ διαμένειν, οὕτω καὶ τῷ μοχθηρῷ τὸ τεθνάναι τοῦ ζῆν. Ιαμβλίχου

Μᾶλλον ἄξιον ὀργίλως ἔχειν τοῖς μετ' εὐπορίας πονηροῖς, ἢ τοῖς μετ' ἐνδείας, τοῖς μὲν γὰρ ἡ τῆς ἀνάγκης χρεία φέρει τινὰ συγγνώμην παρὰ τῶν ἀνθρωπίνως λογιζομένων· οἱ δ' ἐκ περιουσίας πονηροὶ, οὐδεμίαν δικαίαν πρόφασιν ἔχουσι. πολλὰ δ' οἶμαι καὶ καὶ πράγματα τοὺς ἐλευθέρους ἡ πενία βιάζεται ποιεῖν, ἐφ' οἷς ἀνελεοῖντο δικαιότερον, ἢ προσαπολλύοιντο. Δημοσθένους.

Ἡ κακὴ κρίσις, παντὸς κακοῦ αἰτία. Ιαμβλίχου

Γροηγεῖται δ' ὡς ἀληθῶς ἄρχειν μειζόνως ἄλλων, καὶ ἔτι βέλτιον, ὡς τὴν μεγαλοπρεπῆ δόσιν τῶν ἀγαθῶν παρέχει, χορηγίαν τε ἄπλετον τοῦ βίου, καὶ σωτηρίαν πλείστην, καὶ ζωῆς ῥαστώνην ἐντίθησιν. καὶ γὰρ δὴ καὶ τοῦτό ἐστι τέλος ἄρχοντος σπουδαῖον τοὺς ἀρχομένους ποιεῖν εὐδαίμονας. καὶ τότε δὴ διαφερόντως εὐσθενεῖ τε ὁ προεστηκὼς τῶν ὑφ' ἑαυτοῦ διοικουμένων, ὅταν οἱ ἐπιτρέψαντες αὐτῷ γε αὐτοὺς μακαρίως διάγωσιν, οὐ γὰρ δὴ κεχώρισται τὸ κοινὸν συμφέρον τοῦ ἰδίου. πολὺ δὲ μᾶλλον ἐν τῷ ὅλῳ καὶ τὸ καθ' ἕκαστα λυσιτελοῦν περιέχεται, καὶ σώζεται ἐν τῷ παντὶ τὸ κατὰ μέρος, ἐπί τε τῶν ζώων καὶ τῶν πόλεων, καὶ τῶν ἄλλων φύσεων.

Ἀγαμαι δ' ἔγωγε καὶ τὴν μεγαλοφροσύνην, καὶ τὴν μεγαλοπρέπειαν, ἐν ἅπασι τοῖς τῆς ἀρχῆς ἔργοις, καὶ διαφερόντως μήτε φείδονταί τινος ἐν ταῖς δόσεσι, μήτε ὥσπερ ἐν πλάστιγγι ζυγοῦ ἴσα ἀντὶ ἴσων ἀντικαταλλάττωνται, εὐγενῶς τε τὰς χάριτας ὀρέγωσι. μὴ μόνον ἐκ πίθου αὐτὰς προχέοντες, ὡς οἱ ποιηταὶ λέγουσι. μηδ' ἄλλοις τισὶν ὀργάνοις τοιούτοις εἴσω κατεχομένας, γυμνὰς δὲ καὶ ἀπαρακαλύπτους, καὶ χωρὶς τῶν ἔξωθεν παραπετασμάτων συνεχεῖς ἐχομένας ἀλλήλων προτείνωσι χρηστῶς καὶ εὐμενῶς, οἷα δὴ καὶ χαρίεντα. τῶν χαρίτων γὰρ δὴ τοιοῦτον κόσμον. στέφανον ἂν εἰκότως εἴποιμι τῆς ἀρχῆς. Ἐν ταυτῷ.

Ἐπίφθονος εἶναι δοκεῖ τοῖς πολλοῖς ἡ ὑπεροχὴ τῆς ἀρετῆς. καὶ τὸ ὑπέρογκον μισητὸν αὐτῆς καθίσταται. ἀλλ' ὅταν χρηστότητι καὶ φιλανθρωπίᾳ τὸ σεμνὸν κραθῇ Τοῦ αὐτοῦ ἐξ ἐπιστολῆς.



Ayuntamiento de Madrid

καὶ αὐστηρὸν τῆς ἐπικρατείας, ἐμμελὲς καὶ πρᾶον καὶ προσηνὲς καὶ ἀπρόσιτον καθίσταται. καὶ τοῦτο μάλιστα τὸ εἶδος ἡγεμονίας φιλεῖται ὑπὸ τῶν ἀρχομένων.

Λέγεται μὲν εἶναι πάντων βασιλεὺς ὁ νόμος. ὁ δὲ αὐτὸς δοκεῖ, καὶ προστάττειν τἀγαθὰ, καὶ τἀναντία ἀπαγορεύειν. τί δὴ οὖν οἰόμεθα τὴν παρεισμένην πρὸς αὐτὸν εὐνομίαν, οἵᾳ δὴ κάλλει τινὶ προσέχει. μεγέθει τε ἡλίκῳ καὶ δικαιοσύνῃ ὑπερβάλλειν πάντα πράγματα. ὅσα γὰρ δήπου καὶ οἷα γένη καὶ εἴδη τῶν ἀρετῶν ἐστὶ, καὶ τοσαῦτα καὶ τοιαῦτα δήπου κάλλιστα τῶν νόμων ἐπιτάγματα. καὶ δὴ καθόλας τὰς διοικήσεις τῶν πόλεων καὶ τοῖς ὅλοις τῶν αὐτῶν βίοις διατείνει τὸ ἀπ' αὐτῶν ὄφελος, ἔστι μὲν οὖν κοινὸν ἀγαθὸν ὁ νόμος. καὶ ἄνευ τούτου, οὐδὲν ἄν ποτε γένοιτο τῶν ἀγαθῶν. δεῖ γε μὴν τὸν προϊστάμενον τῶν νόμων ἄρχοντα, εἰλικρινῶς ἄγαν κεκαθαρμένον εἶναι. παρ' αὐτὴν τὴν ἄκραν τῶν νόμων ὀρθότητα. καὶ μήτε παραγωγαῖς ἢ φενακισμοῖς ἐξαπατᾶσθαι δι' ἄγνοιαν, μήτε βιαζομένοις τισὶ συγχωρεῖν. μήτε ἀδίκῳ προφάσει. μήτε μισθῷ δελεάζεσθαι. τὸν γὰρ σωτῆρα καὶ φύλακα τῶν νόμων. ἀδιάφθορον εἶναι δεῖ ὡς δυνάμει ἀνθρωπίνῃ.

**Κάτωνος πρεσβυτέρου.** Κάκιστον ἔλεγε τὸν ἄρχοντα εἶναι, τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον.

**Ἐπικτήτου** Ὥσπερ τὴν ναῦν κυβερνᾶν ἐπεχείρεις, πάντως ἂν τὴν κυβερνητικὴν ἐξεμάνθανες τέχνην. ἔξεστι γάρ σοι ὥσπερ ἐκεῖσε πᾶσαν, οὕτω κἀνθάδε πᾶσαν κυβερνᾶν πόλιν.

Εἰ πρόκειταί σοι τὴν πόλιν ἀναθήμασι κοσμεῖν, σεαυτῷ πρῶτον ἀνάθες τὸ κάλλιστον ἡμερότητος καὶ δικαιοσύνης καὶ εὐποιΐας ἀνάθημα.

Εὐποιήσεις σὺ τὰ μέγιστα τὴν πόλιν, ἂν μὴ τοὺς ὀρόφους ὑψώσῃς, ἀλλὰ τὰς ψυχὰς αὐξήσῃς. ἄμεινον γὰρ ἐν μικροῖς οἰκήμασι μεγάλας οἰκεῖν ψυχὰς, ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα.

Μὴ τοῖς ἐξ Εὐβοίας καὶ Σπάρτης λίθοις τοὺς τοίχους τῇ κατασκευῇ ποίκιλλε. ἀλλὰ γὰρ τῇ ἐκ τῆς Ἑλλάδος παιδείᾳ τὰ στέρνα τῶν πολιτῶν καὶ τῶν πολιτευομένων διακόσμει. γνώμαις γὰρ ἀνδρῶν εὖ οἰκοῦνται πόλεις, ἀλλ' οὐ λίθοις καὶ ξύλοις.

Ὥσπερ τὸν λέοντα ἐβούλου τρέφειν, οὐκ ἄν σοι τῆς πολυτελείας τῶν ζωγρείων ἐμέλησεν, ἀλλὰ τῆς πράξεως τῶν ζώων, οὕτως τῶν πολιτῶν παρὰ προΐστασθαι, μὴ τοσοῦτον τῆς πολυτελείας τῶν ἀναστημάτων φρόντιζε, ὁπόσον τῆς ἀνδρείας τῶν ἐνδιατριβόντων ἐπιμελοῦ.

Καθάπερ ἀγαθὸς πωλοδάμνης, οὐ τῶν πώλων τοὺς μὲν ἀγαθοὺς τρέφει, τοὺς δὲ δυσηνίους λιμώττειν ἐᾷ. ἀλλὰ τρέφει μὲν ἐπίσης ἄμφω, κολάζει δὲ μᾶλλον θάτερον

Ayuntamiento de Madrid

θάτερον ἐξισοῦν θατέρῳ βιαζόμενον μέρη, οὕτω καὶ κηδεμονικὸς ἀνήρ, καὶ πολιτικῆς ἐπιστήμων δυνάμεως, τῶν πολιτῶν, τοὺς μὲν εὐγνώμονας πιεῖν ἐπιχωρεῖ· τοὺς δὲ, ἔμπαλιν οὐ καθάπερ διαφθείρεσθαι· ἀλλὰ τροφῆς μὲν ἀμφοῖν ἥκιστα φρονεῖ· παιδεύει δέ· καὶ σφοδρότερον ἐπεξέρχεται τὸν ἀντιβαίνοντα τῷ λόγῳ καὶ τῷ νόμῳ.

Καθάπερ οὔτε κλαγγῇ χηνῶν, οὔτε βληχῇ καταπλήσσεται πρόβατον, οὕτως οὐδὲ πλήθους ἀνόητον σε δεδιττέσθω φωνή.

Ὥσπερ πλῆθος ἀκρίτως αἰτοῦντί σε τῶν ἰδίων οὐ δυσωπεῖ, οὕτω μὴ δὲ ὄχλοι ἀδίκως σε δυσωποῦντα διαπράξῃς.

Ὅπερ συμβάλλει τῇ πόλει, τοῦτο εἴσφερε φθάνων· καὶ οὐδέποτε αἰτηθήσῃ τὰ μὴ συμβάλλοντα.

Ὥσπερ ὁ ἥλιος οὐ περιμένει λιτὰς καὶ γοητείας ἵνα ἀνατείλῃ· ἀλλ' εὐθὺς λάμπει, καὶ πρὸς ἁπάντων ἀσπάζεται, οὕτω μὴ δὲ σὺ περίμενε κρότους καὶ ψόφους καὶ ἐπαίνους, ἵν' εὖ ποιήσῃς, ἀλλ' ἑκοντὴς εὐεργέτει· καὶ ἴσα τῷ ἡλίῳ φιληθήσῃ.

Ἐπιστήμῃ γὰρ οἶμαι δεῖ κρίνεσθαι ἀλλ' οὐ πλήθει, τὸ μέλλον καλῶς κριθήσεσθαι. Πλάτωνος

Ῥέπει μέν που ὦ μακάριε τῷ τὴν μεγίστην προσποιοῦντι, μεγίστης φρονήσεως μετέχειν.

Ἐγὼ γὰρ δή οἶμαι, καὶ ἐμὲ καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώπους, τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι· καὶ τὸ μὴ διδόναι δίκην τοῦ διδόναι.

Οὐδεὶς γὰρ κολάζει τοὺς ἀδικοῦντας, πρὸς τοῦτο τὸν νοῦν ἔχων, καὶ τούτου ἕνεκα, ὅτι ἠδίκησεν, ὅστις μὴ ὥσπερ θηρίον ἀλογίστως τιμωρεῖται· ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν κολάζειν, οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται· οὐ γὰρ ἂν τό γε πραχθὲν ἀγένητον θείη· ἀλλὰ τοῦ μέλλοντος χάριν ἵνα μὴ αὖθις ἀδικήσῃ· μήτε αὐτὸς οὗτος, μήτε ἄλλος ὁ τοῦτο ἰδὼν κολασθέντα.

Ἐννοῶ γὰρ ὅτι τὸν μέλλοντα βασανιεῖν ἱκανῶς ψυχῆς τε πέρι ὀρθῶς τε ζώσης καὶ μὴ, τρία ἄρα δεῖ ἔχειν, ἃ σὺ πάντ' ἔχεις· ἐπιστήμην τε καὶ εὔνοιαν καὶ παρρησίαν.

Τὸν γὰρ κακὸν ἀεὶ δεῖ κολάζειν, ἵν' ᾖ ἀμείνων, οὐ τὸν δυστυχῆ.

Ἀλλὰ μὴν καὶ ἀλήθειάν γε περὶ πολλοῦ ποιητέον. εἰ γὰρ ὀρθῶς ἐλέγομεν ἄρτι, καὶ τῷ ὄντι θεοῖσι μὲν ἄχρηστον ψεῦδος, ἀνθρώποις δὲ χρήσιμον ὡς ἐν φαρμάκου εἴδει. δῆλον ὅτι τό γε τοιοῦτον ἰατροῖς δοτέον· ἰδιώταις δὲ οὐχ ἁπτέον. δῆλον ἔφη, τοῖς ἄρχουσι δὴ τῆς πόλεως εἴπερ τισὶν ἄλλοις προσήκει ψεύδεσθαι, ἢ πολεμίων ἢ πολιτῶν ἕνεκα ἐπ' ὠφελείᾳ τῆς πόλεως· τοῖς δ' ἄλλοις πᾶσιν οὐχ ἁπτέον τοῦ τοιούτου· ἀλλὰ πρός γε δὴ τοὺς ἄρχοντας ἰδιώτῃ ψεύσασθαι ταὐτὸν καὶ μεῖζον ἁμάρτημα φήσομεν· ἢ κάμνοντι πρὸς ἰατρὸν, ἢ

Ayuntamiento de Madrid

ἀσκοῦντι πρὸς παιδοτρίβην περὶ τῶν τοῦ αὑτοῦ σώματος παθημάτων, μὴ τἀληθῆ λέγειν, ἢ πρὸς κυβερνήτην περὶ τῆς νεώς τε καὶ ναυτῶν μὴ τὰ ὄντα λέγοντι· ὅπως ἢ αὐτὸς ἢ τίς τῶν ξυνναυτῶν πράξεως ἔχει. ἀληθέστατα ἔφη. ἂν ἄρ' ἄλλον τινὰ λαμβάνῃ ψευδόμενον ἐν τῇ πόλει τῶν οἳ δημιουργοὶ ἔασι μάντιν ἢ ἰητῆρα, ἢ τέκτονα δούρων, κολάσει ὡς ἐπιτήδευμα εἰσάγοντι πόλεως ὥσπερ νεὼς ἀνατρεπτικόν τε καὶ ὀλέθριον. ἐάνπερ ἦ δ' ὃς ἐπὶ λόγῳ ἔργα τελῆται.

A Ἀλλὰ περὶ τοῦδε τί λέγεις ὦ Σώκρατες. ἆρα οὐκ ἀγαθοὺς δεῖ ἐν τῇ πόλει κεκτῆσθαι ἰατρούς; εἶεν δ' ἄν που μάλιστα τοιοῦτοι, ὅσοι πλείστους μὲν ὑγιεινούς, πλείστους δὲ νοσώδεις μετεχειρίσαντο. καὶ δικασταὶ αὖ ὡσαύτως οἱ παντοδαποῖς φύσεσιν ὡμιληκότες. καὶ μάλα εἶπον ἀγαθοὺς λέγω. ἀλλ' οἶσθα οὓς ἡγοῦμαι τοιούτους; ἐὰν εἴπῃς ἔφη. ἰατροὶ μὲν εἶπον. δεινότατοι ἂν γένοιντο ἐκ παίδων ἀρξάμενοι πρὸς τῷ μανθάνειν τὴν τέχνην, ὡς πλείστοις τε καὶ πονηροτάτοις σώμασιν ὁμιλήσαιεν καὶ αὐτοὶ πάσας νόσους κάμοιεν. καὶ εἶεν μὴ πάνυ ὑγιεινοὶ φύσει. οὐ γὰρ οἶμαι σώματι σῶμα θεραπεύουσιν. οὐ γὰρ ἂν αὐτὰ εἶναι κακὰ ἐνεχώρει ποτὲ καὶ γενέσθαι. ἀλλὰ ψυχῇ σῶμα. ἣ οὐκ ἐγχωρεῖ κακὴν γενομένην τε καὶ οὖσαν, εὖ τι θεραπεύειν. ὀρθῶς ἔφη. δικαστὴς δέ γε ὦ φίλε, ψυχῇ ψυχῆς ἄρχει, ἣ οὐκ ἐγχωρεῖ ἐκ νέας ἐν πονηραῖς ψυχαῖς τεθράφθαι τε καὶ ὡμιληκέναι. καὶ πάντα ἀδικήματα αὐτὴν ἠδικηκυῖαν, ὥστε ὀξέως ἀφ' ἑαυτῆς τεκμαίρεσθαι τὰ τῶν ἄλλων ἀδικήματα. οἷον κατὰ σῶμα νόσους. ἀλλ' ἄπειρον αὐτὴν καὶ ἀκέραιον δεῖ κακῶν ἠθῶν νέαν οὖσαν γεγονέναι. εἰ μέλλει καλὴ κἀγαθὴ οὖσα κρίνειν ὑγιῶς τὰ δίκαια. διὸ δὴ καὶ εὐήθεις νέοι ὄντες οἱ ἐπιεικεῖς φαίνονται. καὶ εὐεξαπάτητοι ὑπὸ τῶν ἀδίκων. ἅτε οὐκ ἔχοντες ἐν αὑτοῖς παραδείγματα ὁμοιοπαθῆ τοῖς πονηροῖς. καὶ μὲν δή ἔφη. σφόδρα γε αὐτὸ πάσχουσι. τοιγάρτοι ἦν δ' ἐγὼ οὐ νέον, ἀλλὰ γέροντα δεῖ τὸν ἀγαθὸν δικαστὴν εἶναι. ὀψιμαθῆ γεγονότα τῆς ἀδικίας, οἷόν ἐστιν. οὐκ οἰκείαν ἐν τῇ αὑτοῦ ψυχῇ ἐνοῦσαν ᾐσθημένον. ἀλλ' ἀλλοτρίαν ἐν ἀλλοτρίαις μεμελετηκότα ἐν πολλῷ χρόνῳ διαισθάνεσθαι, οἷον πέφυκε κακὸν ἐπιστήμῃ, οὐκ ἐμπειρίᾳ οἰκείᾳ κεχρημένον. γενναιότατος γοῦν ἔφη ἔοικεν εἶναι ὁ τοιοῦτος δικαστής. καὶ ἀγαθός ἦν δ' ἐγὼ ὃ σὺ ἐρωτᾷς. ὁ γὰρ ἔχων ψυχὴν ἀγαθήν, ἀγαθός. ὁ δὲ δεινὸς ἐκεῖνος καὶ καχύποπτος ὁ πολλὰ αὐτὸς ἠδικηκώς, καὶ πανοῦργός τε καὶ σοφὸς οἰόμενος εἶναι. ὅταν μὲν ὁμοίοις ὁμιλῇ, δεινὸς φαίνεται ἐξευλαβούμενος πρὸς τὰ ἐν αὑτῷ παραδείγματα ἀποσκοπῶν. ὅταν δὲ ἀγαθοῖς καὶ πρεσβυτέροις

Ayuntamiento de Madrid

ἤδη πλησιάσῃ, ἀβέλτερος αὖ φαίνεται ἀπιστῶν παρὰ λῆρον, καὶ ἀγνοῶν ὑγιὲς ἦθος, ἅτε οὐκ ἔχων παραδείγματος τοιούτου. πλεονάκις τε πονηροῖς ἢ χρηστοῖς ἐντυγχάνων, σοφώτερος ἢ ἀμαθέστερος δοκεῖ εἶναι αὑτῷ τε καὶ ἄλλοις. παντάπασι μὲν οὖν ἔφη ἀληθῆ. οὐ τοίνυν ἦν δ' ἐγὼ τοιοῦτον χρὴ τὸν δικαστὴν ζητεῖν τὸν ἀγαθόν τε καὶ σοφόν· ἀλλὰ τὸν πρότερον. πονηρία μὲν γὰρ, ἀρετήν τε καὶ αὑτὴν οὔποτ' ἂν γνοίη. ἀρετὴ δὲ φύσεως παιδευομένης χρόνῳ ἅμα αὑτῆς τε καὶ πονηρίας ἐπιστήμην λήψεται. σοφὸς οὖν οὗτος ὥς ἐμοὶ δοκεῖ, ἀλλ' οὐχ ὁ κακός τι γίγνεται. καὶ ἐμοὶ ἔφη ξυνδοκεῖ. οὐκοῦν καὶ ἰατρικὴν οἵαν εἴπομεν μετὰ τοιαύτης δικαστικῆς κατὰ πόλιν νομοθετήσεις αἳ τῶν πολιτῶν σοι τοὺς μὲν εὐφυεῖς τὰ σώματα καὶ τὰς ψυχὰς θεραπεύουσι. τοὺς δὲ μὴ ὅσοι μὲν κατὰ τὸ σῶμα τοιοῦτον ἀποθνήσκειν ἐάσουσι. τοὺς δὲ κατὰ τὴν ψυχὴν κακοφυεῖς τε καὶ ἀνιάτους καὶ αὐτοὶ ἀποκτενοῦσι. τὸ γοῦν ἄριστον ἔφη αὐτοῖς τε τοῖς πάσχουσι καὶ τῇ πόλει οὕτω πέφανται.

Πολλὰ γὰρ ἄλλα μὲν καθ' ἑαυτὰ λεγόμενα, ἕτερα ἔδοξε. συγκριθέντα δὲ ταῖς αἰτίαις, ἀλλοιότερα ἐνομίσθη. Ὀβρείμου ὑπὲρ στεβήρου.

Τοιαῦτα δὲ ἀπ' αὐτῶν τῶν ἔργων κρίναντας, τοὺς μὲν ἀξίους ἐπαίνου τιμᾶν, τοὺς δὲ ἀδικοῦντας, κολάζειν. Δημοσθένους.

Ὁ δὲ ἐκ φιλοσοφίας τῷ ἄρχοντι πάρεδρος καὶ φύλαξ ἐγκατοικισθεὶς λόγος. ὥσπερ εὐεξίας, τῆς δυνάμεως τὸ ἐπισφαλὲς ἀφαιρῶν, ἀπολείπει τὸ ὑγιαῖνον. ἀλλὰ νῦν οὐκ ἔχοντες οἱ πολλοὶ τῶν βασιλέων καὶ ἀρχόντων. μιμοῦνται τοὺς ἀτέχνους ἀνδριαντοποιούς. οἳ νομίζουσι μεγάλους φαίνεσθαι τοὺς κολοσσούς, ἂν διαβεβηκότας σφόδρα καὶ διατεταμένους καὶ κεχηνότας πλάσωσι. καὶ γὰρ οὗτοι βαρύτητι φωνῆς, καὶ βλέμματος τραχύτητι, καὶ δυσκολίᾳ τρόπων, καὶ ἀμιξίᾳ διαίτης, ὄγκον ἡγεμονίας καὶ σεμνότητα μιμεῖσθαι δοκοῦσι.

Δεῖ δὲ ὥσπερ ὁ κανὼν αὐτὸς ἀστραβὴς γενόμενος καὶ ἀδιάστροφος, οὕτως ἀπευθύνει τὰ λοιπὰ τῇ πρὸς αὐτὸν ἐφαρμογῇ καὶ παραθέσει συνεξομοιῶν παραπλησίως τὸν ἄρχοντα. πρώτην ἀρχὴν κτησάμενον ἐν ἑαυτῷ καὶ κατευθύναντα τὴν ψυχήν, καὶ καταστησάμενον τὸ ἦθος, οὕτω συναρμόττειν τὸ ὑπήκοον. οὔτε γὰρ πίπτοντος ὀρέχειν, ἢ τάττειν ἀτακτοῦντος, ἢ ἄρχειν μὴ ἀρχομένου.

Ἀλλὰ τῶν τοιούτων καὶ τοσούτων ἃ θεοὶ χαρίζονται δώρων καὶ ἀγαθῶν οὐκ ἔστιν ἀπόλαυσις οὐδὲ χρῆσις ὀρθή, δίχα νόμου καὶ δίκης καὶ ἄρχοντος.

Ayuntamiento de Madrid

Δίκη μὲν οὖν, νόμον τέλος ἐστί. νόμος δὲ, ἄρχοντος ἔργον. ἄρχων δὲ, εἰκὼν θεοῦ τοῦ πάντα κοσμοῦντος.

Ἐν μὲν τοῖς ταπεινοῖς καὶ ἀσθενέσι καὶ ἰδιώταις τῷ ἀδυνάτῳ δεδεμένον τὸ ἀνόητον, εἰς τὸ ἁμαρτάνειν ὥσπερ ἐν ὀνείρασι φαύλοις τοῖς πάθεσι τὴν ψυχὴν διαταράττει. συνεξαναστῆναι τῆς ἐπιθυμίας μὴ δυναμένη.

Ἡ δὲ ἐξουσία παραλαβοῦσα τὴν κακίαν, νεῦρα τοῖς πάθεσι προστίθησι. καὶ τὸ Διονυσίου ἀληθές ἐστιν. ἔφη γὰρ ἀπολαύειν μάλιστα τῆς ἀρχῆς, ὅταν ταχέως ἃ βούλεται ποιῇ. μέγας οὖν ὁ κίνδυνος βούλεσθαι ἃ δεῖ, τὸν ἃ βούλεται ποιεῖν δυνάμενον. ὀξὺ ἡ κακία, τὸν ἐξουσίας δρόμον ἔχουσα, πᾶν πάθος ἐξωθεῖ. ποιοῦσα τὴν ὀργὴν φθόνον. τὸν ἔρωτα, μοιχείαν. τὴν πλεονεξίαν, δήμευσιν. ἐὰν μὴ βάρος ἔχων ὁ λόγος, ἐπιθλίβῃ καὶ πιέζῃ τὴν ἐξουσίαν.

**Πλάτωνος νόμων. ιβ'.** Πρὸς ἅπαντα χρὴ τὸν μέλλοντα δικαστὴν ἴσον ἔσεσθαι, κατὰ δίκην βλέπειν τε καὶ κεκτημένον γράμματα αὐτῶν πέρι μανθάνειν. πάντων γὰρ μαθημάτων κυριώτατον μανθάνοντα, βελτίω γίγνεσθαι τὰ περὶ τοὺς νόμους κείμενα. εἴπερ ὀρθῶς εἴη τεθέντα γίγνοιτ' ἄν, ἢ μάτην τοὔνομα ὃ προσήκον κέκτητ' ἂν ἡμῖν ὁ θεῖος καὶ θαυμαστὸς νόμος. καὶ δὴ καὶ τῶν ἄλλων λόγων, ὅσοι τε ἐν ποιήμασιν ἔπαινοι καὶ ψόγοι περί τινων λέγονται. καὶ ὅσοι κατὰ λογάδην, εἴτ' ἐν γράμμασιν, εἴτε καθ' ἡμέραν ἐν ταῖς ἄλλαις πάσαις ξυνουσίαις διὰ φιλονεικίας τε ἀμφισβητοῦνται, καὶ διὰ ξυγχωρήσεων ἔστιν ὅτε καὶ μάλα ματαίων. τούτων πάντων ἂν βάσανος εἴη σαφὴς, τὰ τοῦ νομοθέτου γράμματα. ἃ δεῖ κεκτημένον ἐν αὑτῷ καθάπερ ἀλεξιφάρμακα τῶν ἄλλων λόγων τὸν ἀγαθὸν δικαστὴν αὑτόν τε ὀρθοῦν καὶ τὴν πόλιν. τοῖς μὲν ἀγαθοῖς μόνοις τῶν δικαίων καὶ ἐπαύξησιν παρασκευάζοντα. τοῖς δὲ κακοῖς ἐξ ἀμαθίας καὶ ἀκολασίας καὶ δειλίας. καὶ ξυλλήβδην πάσης ἀδικίας. εἰς τὸ δυνατὸν μεταβολήν. ὅσοις ἴασιμα δόξει τῶν κακῶν. ὅσοι δὲ ὄντως ἐπικεκλώμεναι θάνατον ἴαμα ταῖς οὕτω διατεθείσαις ψυχαῖς διανέμοντες. ὃ δικαίως ἂν εἴη πολλάκις ἂν εἰρημένον, ἄξιον ἐπαίνου γίγνοιτ' ἂν τῇ πάσῃ πόλει. τοιοῦτοι δικασταὶ καὶ δικαστῶν ἡγεμόνες.

Ἐνθυμοῦ δὲ καὶ ὅτι δοκεῖς τισιν ἐνδεεστέρως τοῦ προσήκοντος θεραπευτικὸς εἶναι. μὴ οὖν λανθανέτω σε, ὅτι διὰ τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις καὶ τὸ πράττειν ἐστίν. ἡ δ' αὐθάδεια, ἐρημίας ξύνοικος.

**Ξενοφῶντος.** Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετὴν εἶναι. ᾧ ἂν ἑκόντες ἕπωνται, καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν.

**Πλάτωνος** Ἴθι δὴ καὶ τὴν τῶν δικαστῶν τῶν ὀρθῶς δικαζόντων θεασώμεθα δύνα-

Ayuntamiento de Madrid

μιν. πάνυ μὲν οὖν, ἆρ' οὖν ἐπὶ πλέον τι δύναται τοῦ περὶ τὰ ξυμβόλαια πάνθ' ὅσα κεῖται νόμιμα παρὰ νομοθέτου βασιλέως παραλαμβοῦσα κρίνειν, εἰς ἐκεῖνα σκοποῦσα τά τε δίκαια ταχθέντ' εἶναι καὶ ἄδικα τὴν αὐτῆς ἰδίαν ἀρετὴν παρεχομένη. τοῦ μήθ' ὑπό τινων δώρων, μήθ' ὑπὸ φόβων, μήτ' οἴκτων. μήθ' ὑπό τινος ἄλλης ἔχθρας, μήτε φιλίας ἡττηθεῖσα παρὰ τὴν τοῦ νομοθέτου τάξιν ἐθέλειν ἂν τ' ἀλλήλων ἐγκλήματα διαιρεῖν. οὐκ ἀλλὰ σχεδὸν ὅσον εἴρηκας, ταύτης ἐστὶ τῆς δυνάμεως ἔργον.

Ξενοφῶν.

Πολλάκις μὲν δὴ ὧδε καὶ ἄλλο τι κατενόησα. ὅτι ἄρχων ἀγαθὸς, οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ. οἵ τε γὰρ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτε αὐτοὺς τἀγαθὰ ἐπιλείψη. κῦρός τέ μοι δοκεῖ νῦν συμβουλεύειν ἡμῖν, ἀφ' ὧν ἂν μάλιστα εὐδαιμονοῦντες διατελοῖμεν.

Τοῦ αὐτοῦ ἐκ τῶν Ἱέρωνος.

Ἐπιμέλειαί γε μέν μοι δοκοῦσιν, αἱ μὲν, πάνυ πρὸς ἔχθραν ἄγειν. αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι. τὸ μὲν γὰρ διδάσκειν τὰ ἃ ἐστι βέλτιστα, καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν τιμᾶν. αὕτη μὲν ἡ ἐπιμέλεια, διὰ χαρίτων γίγνεται. τὸ δὲ τὸν ἐνδεῶς τι ποιοῦντα, λοιδορεῖν τε καὶ ἀναγκάζειν καὶ ζημιοῦν καὶ κολάζειν. ταῦτα δ' ἀνάγκη δι' ἀπεχθείας μᾶλλον γίγνεσθαι. ἐγὼ οὖν φημι ἀνδρὶ ἄρχοντι τὸ μὲν ἀνάγκης δεόμενον, ἄλλοις προστατέον εἶναι κολάζειν. τὸ δὲ ἆθλα ἀποδιδόναι, δι' ἑαυτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα. καὶ γὰρ ὅταν χοροὺς βουλώμεθα ἡμῖν ἀγωνίζεσθαι, ἆθλα μὲν ὁ ἄρχων προτίθησιν. ἀθροίζειν δὲ αὐτοὺς προστέτακται χορηγοῖς. καὶ ἄλλοις διδάσκειν καὶ ἀνάγκην προστιθέναι τοῖς ἐνδεῶς τι ποιοῦσιν. οὐκοῦν εὐθὺς ἐν τούτοις, τὰ μὲν ἐπίχαριτα διὰ τοῦ ἄρχοντος ἐγένετο. τὰ δὲ ἀντίτυπα δι' ἄλλων. τί οὖν κωλύει καὶ τἄλλα τὰ πολιτικὰ οὕτω περαίνεσθαι. καὶ ἆθλα προτιθείη εὐταξίας. εὐοπλίας. ἱππικῆς. καὶ ἀλκῆς ἐν τῷ πολέμῳ. καὶ δικαιοσύνης ἐν τοῖς συμβόλοις εἰκός. καὶ ταῦτα πάντα διὰ φιλονεικίας ἐντόνως ἀσκεῖσθαι. καὶ νὴ Δία ὁρμῶντο γ' ἂν θᾶττον. ὅπου δέοι τιμῆς ὀρεγόμενοι. καὶ χρήματα θᾶττον ἂν εἰσφέροιντο, ὁπότε τούτου καιρὸς εἴη. καὶ τὸ πάντων γε χρησιμώτατον. ἥκιστα δὲ ἐθισμένον διὰ φιλονεικίας πράττεσθαι ἡ γεωργία. καὶ αὕτη ἂν πολὺ ἐπιδοίη. εἴ τις ἆθλα προτιθείη τοῖς μάλιστα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦτο τῶν πολιτῶν ἐρρωμένως τρεπομένοις. πολλὰ ἂν ἀγαθὰ περαίνοιτο. καὶ γὰρ πρόσοδοι αὔξοιντ' ἂν. καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρτοῖ. καὶ μὴν κακουργίαι γε ἧττον τοῖς ἐνέργοις ἐμφύονται. ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ἀγαθόν τις εἰση-

Ayuntamiento de Madrid

γούμενος οὐκ ἀτίμητος ἔσται. πολλοὺς ἂν καὶ τοῦτο ἐξορμῆσαι ἔργον ποιεῖσθαι τὸ σκοπεῖσθαι τί ἀγαθόν. καὶ ὅταν πολλοῖς περὶ τῶν ὠφελίμων μέλλῃ, ἀνάγκη δὲ εἰσηγεῖσθαι μᾶλλον καὶ αὐτὸν πλεῖσθαι.

Λυσίου. Εἰ μὲν οἷόν τ' ἦν ἐκ τῶν προτέρων λόγων τὰ δίκαια γνῶναι, οὐδὲν ἂν ἔδει τοὺς φεύγοντας ἀπολογεῖσθαι, ἀλλ' ἀρκεῖ τι ἀποθνήσκειν. ἐπειδὴ δὲ τὰ ψευδῆ λέγειν δυνατόν ἐστι τοῖς κατηγοροῦσι, δίκαιον ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσαντας, τηνικαῦτα τὴν περὶ τοῦ δικαίου ψῆφον φέρειν.

Προσήκει δ' ὑμῖν περὶ φυγῆς δικάζουσι, μὴ παρανομεῖν, ἀλλ' εὐσεβεῖν. μηδὲ θορύβῳ τὰ πράγματα κρίνειν. ἀλλὰ σιωπῇ τὰ δίκαια γνῶναι.

Οἱ μὴ κολάζοντες τοὺς κακούς, βούλονται ἀδικεῖσθαι τοὺς ἀγαθούς.

## ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ Η῾ ΜΟΝΑΡΧΙΑ

### ΛΟΓΟΣ. με'.

Ομηρος. Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω. εἷς βασιλεύς.
Θυμὸς μέγας ἐστὶ διοτρεφέων βασιλήων.
τιμὴ δ' ἐκ Διός ἐστι. φιλεῖ δέ ἑ μητίετα Ζεύς.

Εὐριπίδου. Ἐγὼ γὰρ οὐδὲν μῆτερ ἀποκρύψας ἐρῶ.
ἄστρων ἂν ἔλθοι μ' αἰθέρος πρὸς ἀντολάς,
καὶ γῆς ἔνερθε δυνατὸς ὢν δρᾶσαι τάδε
τὴν θεῶν μεγίστην ὥστ' ἔχειν τυραννίδα.

Εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι.
κάλλιστον ἀδικεῖν, τἆλλα δ' εὐσεβεῖν χρεών.

Ἀνδρὸς ὑπ' ἐσθλοῦ, καὶ τυραννεῖσθαι καλόν.

Ἡσιόδου. Ἐκ δὲ Διὸς βασιλῆες. ὁ δ' ὄλβιος ὅν τινα μοῦσαι
φιλῶνται. γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.

Πλάτωνος. Ἔστιν ἄρα καθάπερ πλοῖον παραδοῦναι τὰ πηδάλια τῆς διανοίας ἄλλῳ τῷ

Ayuntamiento de Madrid

μαθόντι τὴν κυβερνητικήν. ἣν δὴ σὺ πολιτικὴν ὦ σώκρατες ἐπονομάζεις πολλάκις· τὴν αὐτὴν δὲ ταύτην δικαστικήν τε καὶ δικαιοσύνην ὡς ἔστι λέγων.

Αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι, τὰς ἰσότητας τοῖς μετέχουσι τῶν πολιτῶν ζητοῦσι· καὶ τοῦτο εὐδοκιμεῖ παρ' αὐταῖς· ἐὰν μηδὲν ἕτερος ἑτέρου δύνηται πλέον ἔχειν. ὃ τοῖς πονηροῖς συμφέρον ἐστίν. αἱ δὲ μοναρχίαι, πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ. δευτέρῳ δὲ, τῷ μετ' ἐκεῖνον. τρίτῳ δὲ, καὶ τετάρτῳ, καὶ τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον. καὶ ταῦτ' εἰ μὴ πανταχοῦ καθέστηκεν. ἀλλὰ τό γε βούλημα τῆς πολιτείας, τοιοῦτόν ἐστι. Ισοκράτης.

Καὶ μὴν ἀδεῖ διορᾶν καὶ τὰς φύσεις τῶν ἀνθρώπων καὶ τὰς πράξεις, ἅπαντες ἂν τὰς τυραννίδας μᾶλλον ὁμολογήσαιεν. καίτοι τίς οὐκ ἂν δέξαιτο τῶν εὖ φρονούντων τοιαύτης πολιτείας μετέχειν. ἐν ᾗ μὴ διαλήσει χρηστὸς ὢν μᾶλλον, ἢ φέρεσθαι κατὰ τοῦ πλήθους, μὴ γιγνωσκόμενος ὁποῖός τίς ἐστιν.

Ἀλλὰ μὴν καὶ πρᾳοτέραν τοσούτῳ δικαίως ἂν αὐτὴν εἶναι κρίναιμεν, ὅσῳπερ ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον, ἢ πολλαῖς καὶ παντοδαπαῖς διανοίαις ζητεῖν ἀρέσκειν.

Οἱ μὲν τοίνυν κατ' ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εἰσιόντες, πρότερον ἰδιῶται γίγνονται, πρὶν αἰσθέσθαι τι τῶν τῆς πόλεως, καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν. οἱ δ' ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢν καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν, ἀλλὰ ταῖς ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν.

Ἔπειθ' οἱ μὲν, πολλῶν καταμελοῦσιν, εἰς ἀλλήλους ἀποβλέποντες. οἱ δ' οὐδενὸς ὀλιγωροῦσιν. εἰδότες ὅτι πάντα δεῖ δι' αὐτῶν γίγνεσθαι.

Πρὸς δὲ τούτοις, οἱ μὲν ταῖς ὀλιγαρχίαις καὶ ταῖς δημοκρατίαις διὰ τὰς πρὸς σφᾶς αὐτοὺς φιλονεικίας, λυμαίνονται τοῖς κοινοῖς. οἱ δ' ἐν ταῖς μοναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ φθονήσουσιν, ἢ περὶ ἁπάντων ὡς οἷόν τέ ἐστι τὰ βέλτιστα πράττουσιν.

Ἔπειθ' οἱ μὲν ὑστεροῦσι τῶν πραγμάτων. τὸν μὲν γὰρ πλεῖστον χρόνον, ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν. ἐπειδὰν δὲ εἰς τὰ συνέδρια συνέλθωσι, πλεονάκις αὐτοὺς εὕροι διαφερομένους, ἢ κοινῇ βουλευομένους. οἱ δ' οὔτε συνεδρίων οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων, ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες, οὐκ ἀπολείπονται τῶν καιρῶν. ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν.

Ἔτι δὲ, οἱ μὲν, δυσμενῶς ἔχουσι· καὶ βούλοιντ' ἂν καὶ τοὺς πρὸ αὐτῶν ἄρχοντας, καὶ τὸν ἐφ' αὐτοῖς ὡς κάκιστα διοικῆσαι τὴν πόλιν. ἵν' ὡς μεγίστην δόξαν αὐτοὶ

Ayuntamiento de Madrid

λαμβάνουσιν· οἱ δὲ διὰ παντὸς τοῦ βίου κύριοι τῶν πραγμάτων ὄντες, εἰς ἅπαντα τὸν χρόνον καὶ τὰς εὐνοίας ἔχουσι.

Τὸ δὲ μέγιστον, τοῖς γὰρ κοινοῖς, οἱ μὲν, ὡς ἰδίοις· οἱ δὲ ὡς ἀλλοτρίοις προσέχουσι τὸν νοῦν· καὶ συμβούλοις χρῶνται περὶ αὐτῶν· οἱ μὲν, τῶν ἀστῶν τοῖς τολμηροτάτοις· οἱ δὲ, ἐξ ἁπάντων ἐκλεξάμενοι τοὺς φρονιμωτάτους· καὶ τιμῶσιν οἱ μὲν, τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους,

Οὐ μόνον δὲ ἐν τοῖς ἐγκυκλίοις, καὶ τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν, ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας περιειλήφασι· καὶ γὰρ παρασκευάσασθαι δύναμις καὶ χρήσασθαι ταύταις, ὥστε καὶ λαθεῖν καὶ ὀφθῆναι· καὶ τοὺς μὲν, πεῖσαι· τοὺς δὲ, βιάσασθαι· τοὺς δὲ ταῖς ἄλλαις θεραπείαις προσαγαγέσθαι μᾶλλον αἱ τυραννίδες τῶν ἄλλων πολιτειῶν οἷαί τέ εἰσι· καὶ ταῦτα ἐκ τῶν ἔργων αὖ τις οὐχ ἧττον ἢ τῷ λόγῳ πιστεύσειεν.

Μὴ μόνον δὲ τὰς φύσεις αὐτὰς νομίζετε τοῦ χαλεποὺς ἢ πράους εἶναι τοῖς τυράννοις, ἀλλὰ καὶ τὸν τρόπον τὸν τῶν πολιτῶν, πολλοὶ γὰρ ἤδη διὰ τὴν κακίαν τὴν τῶν ἀρχομένων, τραχύτερον ἢ κατὰ τὴν αὐτῶν γνώμην ἠναγκάσθησαν.

Ἐκ τῶν Σερίνου.

Ὅτε Κροῖσος ἦρχε Λυδῶν, τὸν ἀδελφὸν μεθ' αὑτοῦ κατέστησεν ἄρχοντα. προσελθὼν δέ τις τῶν Λυδῶν, ὦ βασιλεῦ εἶπε· πάντων τῶν ἐπὶ γῆς καλῶν· ὁ ἥλιος τοῖς ἀνθρώποις αἴτιός ἐστι· καὶ οὐδὲν ἂν εἴη τῶν ἐπὶ γῆς, μὴ τοῦ ἡλίου ἐπιλάμποντος· ἀλλ' εἰ θέλουσι δύο ἥλιοι γενέσθαι, κίνδυνος πάντα συμφλεχθέντα διαφθαρῆναι· οὕτως ἕνα μὲν βασιλέα ὄντα δέχονται Λυδοί· καὶ σωτῆρα πιστεύουσιν εἶναι· δύο δὲ ἅμα οὐκ ἂν ἀνάσχοιντο.

Κρατίνου.

Ὅτι βασιλέως μὲν καὶ τὸ βλέμμα ἀρκεῖ μόνον· κἂν ἴδῃ μόνον, τὸ ἀληθὲς βεβασάνισται.

Ἐκφάντου.

Ἐπὶ δὲ γᾶς ἄνθρωποι ἀπῳκισμένον χρῆμα, καὶ πολὺ τᾶς καθαρωτέρας φύσιος ἐλαττούμενον· καὶ πολλὰ τᾷ γᾷ βαρυνόμενον ὡς ἀπὸ τᾶς μητρὸς αὐτῷ μόγις ἐπάρθαι· αἰ μὴ θεομοιρής τις ἐμπνοίησις ἐλέω ζώω συνάψειεν αὐτῷ τῷ κλείσσονι μέρει· δεικνῦσα τὰν ἱερὰν τῷ γεννάτορος περὶ τὰν ὄψιν ὡς ἀδύνατον ἐκείναν θεάσασθαι· ἐν δὲ τᾷ γᾷ καὶ παραμένει. ἀριστοφυέστατον μὲν ἄνθρωπος· θειότερος δὲ ὁ βασιλεὺς ἐν τᾷ κοινᾷ φύσει πλεονεκτῶν τῷ κρέσσονι· τὸ μὲν σκᾶνος, τοῖς λοιποῖς ὅμοιος· οἷα γεγονὼς ἐκ τᾶς ὕλας· ὑπὸ τεχνίτα δ' εἰργασμένος λώστω, ὃς ἐτεχνίτευσεν αὐτὸν, ἀρχετύπῳ χρώμενος ἑαυτῷ· ὡς εἴθε λῶ τᾶς ἀνθρωπίνας φύσιος δυνατὸν ἀφέμεν, τὸ καὶ πάθους τινος δέεται· τὸ δὲ γὰρ τᾶς ἐπιγείω φαυλότατος λείψανον· καθ' ἂν ἐπίκηρον ὂν τὸ ζῶον

Ayuntamiento de Madrid

ὂν τὸ ζῶον αὐτᾶς οὐκ ἀμοιρεῖ, αἰ δέ πού τις καὶ ἐν ἄλλῳ θεῷ ὅτι προσῆ κατ' ἄλλα συστάη, ποτ' οὐδὲν αὖ τᾶς πειθοῦς δέοιτο.

Πλάτωνος

Λέγω γὰρ δὴ διαιτητοῦ τινα τρόπον διαλεγόμενος· ὡς δυοῖν τυραννεύσαντι καὶ τυραννευθέντι· ὡς ἐνὶ ἑκατέρῳ παλαιὰν ἐμὴν ξυμβουλήν. καὶ νῦν δὲ ὅγ' ἐμὸς λόγος ἂν εἴη ξύμβουλος τυράννῳ παντί· φεύγειν μὲν τοὔνομά τε καὶ τοὔργον τοῦτο· εἰς βασιλείαν δὲ εἰ δυνατὸν εἴη μεταλαβεῖν. δυνατὸν δὲ ὡς ἔδειξεν ἔργῳ σοφὸς ἀνὴρ καὶ ἀγαθὸς Λυκοῦργος, ὃς ἰδὼν τὸ τῶν οἰκείων γένος ἐν Ἄργει καὶ Μεσσήνῃ, ἐκ βασιλέων εἰς τυράννων δύναμιν ἀφικομένους καὶ διαφθείραντας ἑαυτούς τε καὶ τὴν πόλιν ἑκατέρους ἑκατέραν, δείσας περὶ τῆς αὑτοῦ πόλεως ἅμα καὶ γένους, φάρμακον ἐπήνεγκε τὴν τῶν γερόντων ἀρχήν· καὶ τὸν τῶν ἐφόρων δεσμὸν τῆς βασιλικῆς ἀρχῆς σωτήριον, ὥστε γενεὰς τοσαύτας ἤδη μετ' εὐκλείας σώζεσθαι νόμους. ἐπειδὴ κύριος ἐγένετο βασιλεὺς τῶν ἀνθρώπων, ἀλλ' οὐκ ἄνθρωποι τύραννοι νόμων.

Ὀτάνης μὲν ἐκέλευεν ἐς μέσον Πέρσησι καταθεῖναι τὰ πρήγματα. ἐμοὶ δέ, τὰ μὲν εἶπε Μεγάβυζος ἐς τὸ πλῆθος ἔχοντα δοκέει ὀρθῶς λέξαι. τὰ δὲ ἐς ὀλιγαρχίην, οὐκ ὀρθῶς. τριῶν γὰρ προκειμένων καὶ πάντων τῶν λέγω ἀρίστων ἐόντων. δήμου τε ἀρίστου, καὶ ὀλιγαρχίης καὶ μουνάρχου, πολλῷ τοῦτο προέχειν λέγω. ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρίστου, οὐδὲν ἄμεινον ἂν φανείη. γνώμῃ γὰρ τοιαύτῃ χρώμενος, ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος, σιγῷτό τε ἂν βουλεύματα ἐπὶ δυσμενέας ἄνδρας· οὕτω μάλιστα. ἐν δὲ ὀλιγαρχίῃ, πολλοῖσιν ἀρετὴν ἐπασκέουσιν, ἐς τὸ κοινὸν ἔχθεα ἴδια ἰσχυρὰ φιλέει ἐγγίνεσθαι. αὐτὸς γὰρ ἕκαστος βουλόμενος κορυφαῖος εἶναι, γνώμῃσί τε νικᾶν, ἐς ἔχθεα μεγάλα ἀλλήλοισιν ἀπικνέονται. ἐξ ὧν στάσιες ἐγγίνονται. ἐκ δὲ τῶν στασίων, φόνος· ἐκ δὲ τοῦ φόνου, ἀπέβη ἐς μουναρχίην. καὶ ἐν τούτῳ διέδεξεν, ὅσῳ ἐστὶ τοῦτο ἄριστον. δήμου τε αὖ ἄρχοντος, ἀδύνατον μὴ οὐ κακότητα ἐγγίνεσθαι, κακότητος τοίνυν ἐπιγινομένης ἐς τὰ κοινά, ἔχθεα μὲν οὐκ ἐγγίνεται τοῖσι κακοῖσι. φιλίαι δὲ ἰσχυραί. οἱ γὰρ κακοῦντες τὰ κοινὰ συγκύψαντες ποιέουσι. τοῦτο δὲ τοιοῦτο γίνεται, ἐς ὃ ἂν προστάς τις τοῦ δήμου τοὺς τοιούτους παύσῃ, ἐκ δὲ αὐτῶν θαυμάζεται. οὗτος δὴ ὑπὸ τοῦ δήμου θαυμαζόμενος, ἐφάνη ἐὼν μούναρχος. καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗτος, ὡς ἡ μουναρχίη κράτιστον. ἐνὶ δ' ὑπὸ πάντα συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο. καὶ τεῦ δόντος; κότερα παρὰ δήμου ἢ ὀλιγαρχίης ἢ μουνάρχου. ἔχω τοίνυν γνώμην ἡμέας ἐλευθερωθέντας διὰ ἕνα ἄνδρα τὸ τοιοῦτο περιστέλλειν.



Ayuntamiento de Madrid

## ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ Η ΜΟΝΑΡΧΙΑ.

Πλάτωνος Ἐπιμέλειά δέ γε ἀνθρωπίνης ξυμπάσης κοινωνίας. οὐδεμία ἂν ἐθελήσειεν ἑτέρα μᾶλλον καὶ προτέρα τῆς βασιλικῆς φάναι. καὶ κατὰ πάντων ἀνθρώπων ἀρχῆς εἶναι τέχνη. λέγεις ὀρθῶς. μετὰ ταῦτα δέ γε ὦ σώκρατες, ἆρα ἐννοοῦμεν ὅτι πρὸς αὐτῷ δὴ τῷ τέλει συχνὸν αὖ διημαρτάνετο; τὸ ποῖον. τόδε. ὡς ἄρα εἰ καὶ διενοήθημεν ὅτι μάλιστα τοῦ διπόδος ἀγέλης εἶναί τινα θρεπτικὴν τέχνην, οὐδέν τι μᾶλλον ἡμᾶς ἔδει βασιλικὴν αὐτὴν εὐθὺς καὶ πολιτικὴν ὡς ἀποτετελεσμένην προσαγορεύειν. τί μήν. πρῶτον μὲν ὃ λέγομεν τοὔνομα μετασκευωρήσασθαι πρὸς τὴν ἐπιμέλειαν μᾶλλον προσαγαγόντας, ἢ τὴν τροφήν. ἔπειτα ταύτην τέμνειν, οὐ γὰρ σμικρὰς ἀνέχοι τμήσεις ἔτι; ποίας. ἧι τε τὸ θεῖον ἄν που διελοίμεθα νομέα χωρίς, καὶ τῶν ἀνθρωπίνων ἐπιμελητήν. ὀρθῶς αὖθις δέ γε τὴν ἀπονεμηθεῖσαν ἐπιμελητικὴν δίχα τέμνειν, ἀναγκαῖον ἦν. τίνι τῷ βιαίῳ τε καὶ ἑκουσίῳ. τί δή. καὶ ταύτῃ που τὸ πρότερον ἁμαρτάνοντες εὐηθέστερα τοῦ δέοντος εἰς ταυτὸν βασιλέα καὶ τύραννον ξυνέθεμεν, ἀνομοιοτάτους ὄντας, αὐτούς τε καὶ τὸν τῆς ἀρχῆς ἑκατέρου τρόπον ἀληθῆ.

## ΥΠΟΘΗΚΑΙ ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

### ΛΟΓΟΣ μϛʹ.

Εὐριπίδης Δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος,
μήτ' αὖ κακώσῃς πλοῦτον ἔντιμον τιθείς,
μὴ δ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτέ,
μὴ δ' αὖξε καιροῦ μεῖζον, οὐ γὰρ ἀσφαλές.
μή σοι τύραννος λαμπρὸς ἐξ αὐτοῦ φανῇ.
κώλυε δ' ἄνδρα παρὰ δίκην τιμώμενον.
πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ, νόσος.
Ἀλλ' οὐ πρέπει τύραννον ὡς ἐγὼ φρονῶ,
οὐδ' ἄνδρα χρηστὸν νεῖκος αἱρεῖσθαι κακοῖς.

Ayuntamiento de Madrid

τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεστέροις.
Ο δ' ἥσυχος φίλοισί τ' ἀσφαλὴς φίλος.
πόλει τ' ἄριστος, μὴ τὰ κινδυνεύματα
αἰνεῖτ', ἐγὼ γὰρ οὔτε ναυτίλων φιλῶ
τολμῶντα λίαν, οὔτε προστάτην χθονός.
Δεῖ τοῖς πολλοῖς τὸν τύραννον ἀνδάνειν.
Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.
Ὥς εἴπερ ἄρξεις τῆσδε γῆς ὥσπερ κρατεῖς. Σοφοκλ.
σὺν ἀνδράσι κάλλιον, ἢ κενῆς κρατεῖν.
ὡς οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς.
ἔρημος ἀνδρῶν, μὴ ξυνοικούντων πόλιν.
Καλόν γε βασιλεὺς, τῇ μὲν ἀνδρείᾳ κρατῶν, Μενάνδρου
τὰ δὲ τοῦ βίου δίκαια διατηρῶν κρίσει.
Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα, Ὁμήρου.
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε.
Βουλὴν μὲν πρῶτον μεγαθύμων ἶζε γερόντων.
λαῶν οἷσιν ἄνασσε· πατὴρ δ' ὣς ἤπιος ἦεν,
οὔτε τινὰ ῥέξας κακὸν ἔξοχον, οὔτε τι εἰπὼν
ἐν δήμῳ ἥτ' ἐστὶ δίκη θείων βασιλήων.
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκ' ἄλλοις.
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι.
ῥηϊδίως μαλακοῖσι παραιφάμενοι ἐπέεσι.
Τὰ δ' ἄλλα δ' ἀνήρ τις ἐλευθέρῳ οἷος ἄριστος. Θεοκρίτου
εὐγνώμων φιλόμουσος· ἐρωτικὸς εἰς ἄκρον ἁδύς.
εἰδὼς τὸν φιλέοντα· τὸν οὐ φιλέοντ' ἔτι μᾶλλον.
πολλοῖς πολλὰ διδοὺς αἰτεύμενος, οὐκ ἀνανεύων.
οἷον χρὴ βασιλέα· αἰτεῖν δὲ χρὴ οὐκ ἐπὶ παντί.
Καλλιόπη τ' ἣ δὲ προφερεστάτη ἐστὶν ἁπασέων. Ἡσιόδου.
ἣ γὰρ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ. Θεογόνου.
ὅν τινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο
γεινόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων.
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν προχέουσιν ἀοιδήν.
τοῦ δ' ἔπη ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας.



Ayuntamiento de Madrid

ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων·
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.

Δημοκρ. Φόβος κολακείαν μὲν ἐργάζεται. εὔνοιαν δὲ οὐκ ἔχει.

Μουσωνίου. Οὐ πολλὴν διάγουσι χρόνον οἱ πρὸς τοὺς ὑπηκόους ὑπὲρ ὧν ἂν πράττωσι, μὴ τὸ, καθήκει μοι λέγειν μεμελετηκότες, ἀλλὰ τὸ ἔξεστί μοι.

Μὴ θέλε ἐπιτάσσειν τὰ καθήκοντα τοῖς συγγινώσκουσί σοι· τὰ μὴ καθήκοντα πράττοντι.

Γερατέον καταπληκτικὸν μᾶλλον τοῖς ὑπηκόοις, ἢ φοβερὸν θεωρεῖσθαι. τῷ μὲν γὰρ, σεμνότης, τῷ δὲ, ἀπήνεια παρακολουθεῖ.

Ἀναξίλαος ὁ τύραννος ἐρωτηθεὶς, τί τῆς τυραννίδος μακαριώτατον, ἔφη. τὸ μηδέποτε εὐεργετοῦντα νικηθῆναι.

Ξενοφῶν ὁ σωκρατικὸς φιλόσοφος, ἔφη· τῷ βασιλεῖ κάλλιον εἶναι τὸ τῶν χειρῶν ἀπολιπεῖν, ἢ δορυφόρων πλῆθος.

Πυθαγόρου. Θέλε μᾶλλον τοὺς συνόντας σοι αἰδεῖσθαί σε ἢ φοβεῖσθαι. αἰδοῖ μὲν γὰρ πρόσεστι σέβας· φόβῳ δὲ, μῖσος.

Φίλιππος ὁ βασιλεὺς, ἔλεγε· δεῖν τὸν βασιλέα μνημονεύειν, ὅτι ἄνθρωπος ὢν, ἐξουσίαν εἴληφεν ἰσόθεον· ἵνα προαιρῆται καλὰ μὲν καὶ θεῖα. φωνῇ δὲ ἀνθρωπίνῃ χρῆται.

Θεοβούλου. Φεῦγε μὲν τὸν φθόνον τῶν πολλῶν, φυλάσσου δὲ τὰς ἐπιβουλὰς τῶν μισούντων.

Φίλωνος. Μετὰ τῆς ἰσχύος, τὴν πραότητα σῶζε. ἵνα μὴ φοβερὸς, ἀλλ' αἰδοῦς ἄξιος φαίνῃ τοῖς ἐντυγχάνουσι.

Ἰσαίου. Χρὴ τοὺς νόμους μὲν τίθεσθαι σφοδρῶς· πραοτέρως δὲ κολάζειν, ἢ ὡς ἐκεῖνοι κελεύουσι,

Σωκράτης ἔλεγεν ἀμείνονα βασιλέα εἶναι τὸν ἑαυτοῦ παθῶν ἄρχειν δυνάμενον.

Δημήτριος ὁ φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει, τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν. ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαῤῥοῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.

Ἰσοκράτ. Φίλους κτῷ μὴ πάντας τοὺς βουλομένους. ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας· μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις.

Τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις. ὡς αὐτὸς τὰς αἰτίας ἕξων, ὧν ἂν ἐκεῖνοι πράξωσι.

Πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ,τι ἂν ποιῇς ἢ λέγῃς ἐπαινοῦντας. ἀλλὰ τοὺς

τοῖς

Ayuntamiento de Madrid

τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

Δίδου παῤῥησίαν τοῖς εὖ φρονοῦσιν. ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς, ἔχῃς τοὺς ἐπιδοκιμάζοντας.

Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας. ἵνα μὴ πλεῖον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν.

Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων. καὶ πειρῶ γνωρίζειν ἅμα τούς τε λέγοντας ὁποῖοί τινές εἰσι, καὶ περὶ ὧν ἂν λέγωσι.

Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς διαβάλλοντας. αἷσπερ τοὺς ἐξαμαρτάνοντας.

Ἄρχε σαυτοῦ μηδὲν ἧττον. ἢ καὶ τῶν ἄλλων. καὶ τοῦτο ἡγοῦ βασιλικώτατον. ἐάνπερ μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον, ἢ τῶν πολιτῶν.

Νόμιζε, τῶν τιμῶν ἀληθεστάτας εἶναι, μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γιγνομένας. ἀλλ' ὅταν αὐτοὶ παρ' αὐτοῖς ὄντες μᾶλλόν σου τὴν γνώμην ἢ τὴν τύχην θαυμάζωσι.

Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν. τοὺς δὲ βασιλέας ἀτάκτως. ἀλλὰ τὴν σαυτοῦ σωφροσύνην, παράδειγμα τοῖς ἄλλοις καθίστη. γιγνώσκων ὅτι τὸ τῆς πόλεως ἦθος, ὁμοιοῦται τοῖς ἄρχουσι.

Περὶ πλείονος ποιοῦ δόξαν καλὴν, ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν, ὁ μὲν γὰρ θνητός. ἡ δ' ἀθάνατος. καὶ δόξης μὲν χρήματα κτητά. δόξα δὲ χρημάτων οὐκ ὠνητή. καὶ τὰ μὲν καὶ τοῖς φαύλοις παραγίνεται. τὴν δὲ, οὐχ οἷόν τε, ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι.

Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν. ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ μᾶλλον, ἢ πλεονάζειν. αἱ γὰρ μετριότητες, μᾶλλον ἐν ταῖς ἐνδείαις, ἢ ταῖς ὑπεροχαῖς ἰσχύουσιν.

Ὅτι ἂν ἀκριβῶσαι βουληθῇς ὧν ἐπίστασθαι προσήκει, τοὺς βασιλέας ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ. τὸ μὲν γὰρ φιλοσοφεῖν, τὰς ὁδούς σοι δείξει. τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι, ἄμεινόν σε χρῆσθαι τοῖς πράγμασι ποιήσει.

Θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ τοῖς ἰδιώταις καὶ τοῖς τυράννοις. ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ.

Ἡμερότητι τοίνυν καὶ εὐεργεσίᾳ μᾶλλον, ἢ φόβῳ πρὸς εὔνοιαν ὑπακτέον. Πλουτάρχου

Ἠπίους οὖν εἶναι δεῖ μετὰ τοῦ ἔμφρονος. ὡς τὸ κοινῇ λυσιτελές. Ἐν ταυτῷ

Ὁ Ἀγριππῖνος ἡγεμονεύων, ἐπειρᾶτο τοὺς καταδικαζομένους ὑπ' αὐτοῦ πείθειν, ὅτι προσήκει αὐτοῖς καταδικασθῆναι, οὐ γὰρ ὡς πολέμιος αὐτοῖς ἔφη, οὐδ' ὡς

λιστὴς καταφέρω τὴν ψῆφον ἄλλων· ἀλλ' ὡς ἐπιμελητὴς καὶ κηδεμών.
ὥσπερ καὶ ὁ ἰατρὸς τὸν τεμνόμενον παραμυθεῖται, καὶ πείθει παρέ-
χειν ἑαυτόν.

Κότυς ὁ τῶν θρακῶν βασιλεύς, πικρὸς ἦν τῶν ὑπηκόων κολαστής. τῶν οὖν
φίλων τις πρὸς αὐτὸν εἶπε· μανία τοῦτό ἐστι καὶ οὐ βασιλεία. ὁ δέ, ἀλλ' ἡ ἐ-
μὴ αὕτη μανία, τοὺς ἀρχομένους σώφρονας ποιεῖ.

Δημοσθ. Πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν, ἢ κτήσασθαι πάντα πέφυκεν.

Τῶν ἑπτὰ σοφῶν. Ἐμοὶ μὲν ἔφη ὁ σόλων δοκεῖ μάλιστ' ἂν ἔνδοξος γενέσθαι καὶ βασιλεὺς καὶ
τύραννος· εἰ δημοκρατίαν ἐκ μοναρχίας κατασκευάσει τοῖς πολίταις.

Δεύτερος δὲ βίας εἶπεν· εἰ πρῶτος χρῷτο τοῖς νόμοις τῆς πατρίδος.

Ἐπὶ τούτῳ δὲ θαλῆς ἔφη· εὐδαιμονίαν ἄρχοντος νομίζειν, εἰ τελευτήσει ἐκ γη-
ράσας κατὰ φύσιν.

Τέταρτος ἀνάχαρσις· εἰ μὴ μόνος εἴη φρόνιμος.

Κλεόβουλος δέ, εἰ μηδενὶ ἔφη πιστεύοι τῶν συνόντων.

Ἕκτος δ' ὁ πιττακός, εἰ τοὺς ὑπηκόους ὁ ἄρχων παρασκευάσει φοβεῖσθαι μὴ
αὐτὸν ἀλλ' ὑπὲρ αὐτοῦ.

Ὕστατος δ' ὁ χίλων εἶπε· κάλλιστον εἶναι βασιλέα, τὸν μὴ μόνον τοῦ φοβερὸν
εἶναι φροντίζοντος.

Ἰσοκράτης. Εὐαγόρα. Ἀλλ' οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε τοὺς ἀφικνου-
μένους μὴ μᾶλλον εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν, ἢ τοὺς ἀρχομένους τῆς ἐ-
κείνου βασιλείας, ἅπαντα γὰρ τὸν χρόνον διετέλεσεν, οὐδένα μὲν ἀδικῶν.
τοὺς δὲ χρηστοὺς τιμῶν· καὶ σφόδρα μὲν ἁπάντων ἄρχων νομίμως δὲ τοὺς
ἐξαμαρτάνοντας κολάζων.

Οὐδὲν μὲν συμβούλων δεόμενος· ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος.

Πολλὰ μὲν τῶν χρωμένων ἡττώμενος· ἁπάντων δὲ τῶν ἐχθρῶν περιγιγ-
νόμενος.

Σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς· ἀλλὰ ταῖς τοῦ βίου κατα-
σκευαῖς οὐδὲ πρὸς ἓν ἀτάκτως οὐδὲ ἀνωμάλως διακείμενος· ἀλλ' ὁμοίως
τὰς ἐν τοῖς λόγοις ὁμολογίας, ὥσπερ τὰ ἐν τοῖς ἱεροῖς διαφυλάττων.

Τοὺς μὲν φίλους, ταῖς εὐεργεσίαις ὑφ' αὑτὸν ποιούμενος, τοὺς δὲ ἄλλους τῇ
μεγαλοψυχίᾳ δουλούμενος.

Φοβερὸς ὤν, οὐ τῷ πολὺ χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τῶν ἄλλων ὑπερβάλλειν.

Ἡγούμενος τῶν ἡδονῶν, οὐκ ἀγόμενος ὑπ' αὐτῶν.

Ὀλίγοις πόνοις, πολλὰς ῥᾳστώνας κτώμενος· ἀλλ' οὐ διὰ μικρὰς ῥᾳθυμίας με

Ayuntamiento de Madrid

γάλοις πόνοις ὑπολαμπόμενος.

Ὅλως οὐδὲν παραλείπων ὧν προσεῖναι τοῖς βασιλεῦσι πρέπει. ἀλλ' ἐξ ἑκάστης πολιτείας ἐκλεγόμενος τὸ βέλτιστον. καὶ δημοτικὸς μὲν ὢν, τῇ τοῦ πλήθους θεραπείᾳ. πολιτικὸς δὲ, τῇ τῆς πόλεως διοικήσει, στρατηγικὸς δὲ, τῇ πρὸς τοὺς κινδύνους εὐβουλίᾳ. τυραννικὸς δὲ, τῷ πᾶσι τούτοις διαφέρειν.

Γοῖα μὲν μηδὲν μετ' ὀργῆς. δόκει δὲ τοῖς ἄλλοις ὅταν σοι καιρὸς ᾖ. ἢ δεινὸς μὲν φαίνου, τὸ μηδέν σε λανθάνειν τῶν γιγνομένων. πρᾶος δὲ, τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων.

Δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα πάγκακον. ἔμμετρος δὲ οὖσα, πανάγαθον. μετρία δὲ ἡ θεῷ δουλεία. ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις. θεὸς δὲ ἀνθρώποις σώφροσι, νόμος. ἄφροσι δὲ, ἡδονή. Πλάτωνος

Καὶ Κῦρος δὲ αὐτοῦ ἀπομνημονεύεται, ὃς λέγει παραπλήσια ἔργα εἶναι νομέως ἀγαθοῦ, καὶ βασιλέως ἀγαθοῦ, τόν τε γὰρ νομέα χρῆναι ἄρα ἔφη εὐδαίμονα ποιοῦντα τὰ κτήνη χρῆσθαι αὐτοῖς ἤδη προβάτων εὐδαιμονίᾳ. τόν τε βασιλέα ὡσαύτως, εὐδαίμονας πόλεις καὶ ἀνθρώπους ποιοῦντα χρῆσθαι αὐτοῖς. Ξενοφῶντος.

Βασιλεὺς κ' εἴη ὁ δικαιότατος. δικαιότατος δὲ, ὁ νομιμώτατος. ἄνευ μὲν γὰρ δικαιοσύνας, οὐδεὶς κ' εἴη βασιλεύς. ἄνευ δὲ νόμω, δικαιοσύνα. τὸ μὲν γὰρ δίκαιον, νόμῳ ἐντί. ὁ δὲ, γενόμενος αἴτιος τῶ δικαίω. ὁ δὲ βασιλεὺς ἤτοι νόμος ἔμψυχος ἐντί, ἢ νόμιμος ἄρχων. διὰ ταῦτ' ὦν δικαιότατος καὶ νομιμώτατος. ἔργα δὲ βασιλέως, τρία. τό, τε στραταγεῖν, καὶ δικασπολεῖν. καὶ θεραπεύεν θεώς. στραταγεῖν μὲν, ὧν καλῶς δυνασεῖται, πολεμὲν καλῶς ἐπισταθείς. δικασπολὲν δὲ καὶ διακούεν πάντων τῶν ὑπ' αὐτὸν, φύσιν δικαίω νόμω καλῶς ἐκμαθών. θεραπεύεν δὲ τὼς θεὼς εὐσεβῶς καὶ ὁσίως. φύσιν θεῶ καὶ ἀρετὰν ἐκλογισάμενος. ὥστε ἀνάγκα τὸν τέλειον βασιλέα, στραταγὸν ἀγαθὸν ἦμεν, καὶ δικαστὴν, καὶ ἱερέα. ταῦτα γὰρ καὶ ἀκόλουθα καὶ πρέποντα ἐντὶ βασιλέως ὑπεροχᾷ τε καὶ ἀρετᾷ. κυβερνάτα μὲν γὰρ ἔργον ἐντὶ, τὰν ναῦ σώζεν. ἁνιόχω δὲ, τὸ ἅρμα. ἰατρῶ δὲ, τὼς νοσίοντας. βασιλέως δὲ καὶ τῶ στραταγῶ, τὼς ἐν πολέμῳ κινδυνεύοντας. ὧ γὰρ ἕκαστος ἁγεμὼν ἐντὶ συστάματος, τούτω καὶ ἐπιστάτας καὶ δαμιουργός. καὶ μὰν τό, τε δικασπολὲν καὶ διανέμεν τὸ δίκαιον, ξυνᾷ μὲν καθόλω. ἰδίᾳ καθ' ἕκαστον οἰκήιον βασιλέως, ὥσπερ θεῶ ἐν τῷ κόσμῳ, ἁγεμών τε καὶ προστάτας ἐντί. ξυνᾷ μὲν, τὸ ποτὶ μίαν ἀρχάν τε καὶ ἁγεμονίαν τὸ ὅλον ξυναρμόζεν. καθ' ἕκαστον δὲ, τὸ καὶ τὰ κατὰ μέρος ταν αὐτὰν ἁρμονίαν τε καὶ ἁγεμονίαν συναρμόζεν. Διωτογένεως Πυθαγορείου,



Ayuntamiento de Madrid

σθαι. ἔτι δ' ἐν τῷ ποιεῖν εὖ καὶ εὐεργετέν τὼς ὑποτεταγμένως ὁ βασιλεὺς ἐντί. ταῦτα δ' οὐκ ἄνευ δικαιοσύνας καὶ νόμω, τόγε μὰν τρίτον, λέγω δὲ τὸ θεραπεύεν τὼς θεώς, βασιλέως ἀντάξιον. δεῖ γὰρ τὸ ἄριστον ὑπὸ τῶ ἀρίστω τιμᾶσθαι, καὶ τὸ ἁγεμονοῦν ὑπὸ τῶ ἁγεμονεύοντος. τῶν μὲν ὦν φύσει τιμιωτάτων, ἄριστον ὁ θεός. τῶν δὲ περὶ γᾶν καὶ τὼς ἀνθρώπως, ὁ βασιλεύς. ἔχει δὲ καὶ ὡς θεὸς ποτὶ κόσμον, βασιλεὺς ποτὶ πόλιν. καὶ ὡς πόλις ποτὶ κόσμον, βασιλεὺς ποτὶ θεόν. ἁ μὲν γὰρ πόλις, ἐκ πολλῶν καὶ διαφερόντων συναρμοσθεῖσα, κόσμω σύνταξιν καὶ ἁρμονίαν μεμίμαται. ὁ δὲ βασιλεὺς ἀρχὰν ἔχων ἀνυπεύθυνον, καὶ αὐτὸς ὢν νόμος ἔμψυχος, θεὸς ἐν ἀνθρώποις παρεσχαμάτισται.

Εν τῷ αὐτῷ. Ὅθεν δεῖ τὸν βασιλέα μὴ νενικῆσθαι ὑφ' ἁδονᾶς, ἀλλ' αὐτὸν νικᾶν ταύταν. μηδ' ὅμοιον ἦμεν τοῖς πολλοῖς, ἀλλὰ αὐτὸν πολλὸν διαφέροντα τούτων. μηδ' ἔργον ἁγεῖσθαι τὰν ἁδονάν, ἀλλὰ μᾶλλον τὰν ἀνδραγαθίαν. ἅμα δὲ καὶ πρέπει τὸν ἑτέρων ἄρχεν χρήζοντα, τῶν αὐτ' αὐτῷ παθέων πρᾶτον δύνασθαι ἄρχεν. περί γε μὰν τὰς πλεονεκτικάς, ὅδε λόγος. δεῖ γὰρ ἐς τοῦτο πεπᾶσθαι τὰ χρήματα, ὥστε φίλως εὐεργετέν καὶ δεομένως ὑπολαμβάνεν. καὶ ἐχθρὼς δὲ μετὰ δίκας ἀμύνασθαι. ἁδίστα γὰρ ἁ μετ' ἀρετᾶς ἀπόλαυσις τᾶς εὐτυχίας. ὁ δ' αὐτὸς τρόπος καὶ περὶ τὰς ὑπεροχάς. ἀεὶ γὰρ καθυπερέχων τὼς ἄλλως ἀρετᾷ, καὶ κατ' αὐτὰν ἄξιον κρίνεσθαι τὸ ἄρχεν, ἀλλὰ μὴ κατ' αὐτὸν πλοῦτον, ἢ τὰν δύναμιν, ἢ τὰν ῥώμαν τὰν τῶν ὅπλων. ὁ μὲν γάρ τι κοινόν ἐντι καὶ τῶν τυχόντων, ὁ δὲ κοινὸν καὶ τῶν ἀλόγων ζώων. ὁ δὲ κοινὸν καὶ τῶν τυράννων. ὁ δὲ μόνον ἴδιον τῶν ἀγαθῶν ἀνθρώπων, ὥστε ὅστις βασιλεὺς, σώφρων μὲν ἐντὶ περὶ τὰς ἁδονάς, κοινωνικὸς δὲ περὶ τὰ χρήματα, φρόνιμος δὲ καὶ δεινὸς περὶ τὰν ἀρχάν, οὗτος κ' εἴη κατ' ἀλάθειαν βασιλεύς. ἔχει δὲ καὶ ὁ δᾶμος τῶν μερέων τὰς τῶ ἀνθρώπου ψυχᾶς τὰν ἀναλογίαν ταύταν τῶν ἀγαθῶν καὶ τῶν κακῶν. ἁ μὲν γὰρ πλεονεκτία γίνεται περὶ τὸ ἁγούμενον μέρος τᾶς ψυχᾶς. λογικὰ γὰρ ἁ αὐθυμία. ἁ δὲ φιλοτιμία καὶ θηλειότας, περὶ τὸ θυμοειδές. τοῦτο γὰρ τὸ ζέον καὶ δυναμικὸν μέρος τᾶς ψυχᾶς. ἁ δὲ φιλοδονία, περὶ τὸ ἐπιθυματικόν. τοῦτο γὰρ θῆλυ καὶ ὑγρὸν μέρος τᾶς ψυχᾶς. ἁ δέ γε ἀδικία, πλεοστάτη κακία καὶ σύνθετος ἔασα, περὶ ὅλαν γίνεται τὰν ψυχάν. ὅθεν ὡς λύραν καὶ πόλιν εὐνομουμένην δεῖ συναρμόσασθαι βασιλέα ὅρον δικαιότατον. καὶ νόμω τάξιν ἐν αὐτῷ πρᾶτον κατασησάμενον. εἰδότα διότι τῷ πλάθεος ᾧ δέδωκεν ὁ θεὸς αὐτῷ τὰν ἁγεμονίαν, ἁ συναρμογὰ ποτ' αὐτὸν ὀφείλει συναρμοσθῆμεν

Ayuntamiento de Madrid

μαθήκαμεν. ποτὶ δὲ τοῖς ἀγορευομένοις, δεῖ καὶ θέσιας καὶ ἕξιας ἐπιπρεπέας ἐπιτάσσειν τὸν ἀγαθὸν βασιλέα. πολιτικῶς αὐτὸν πλάσσοντα καὶ πραγματωδέως. ὅπως μήτε τραχὺς φαίνηται τοῖς πλάθεσι, μήτ' εὐκαταφρόνατος. ἀλλὰ καὶ ἁδὺς καὶ ἀμφιστραφής. τεύξεται δὲ τούτων, αἴ κα πρᾶτον μὲν σεμνὸς ᾖ, καὶ ἐκ τῶ ἰδὲν, καὶ ἐκ τῶ ἀκοῦσαι, καὶ ἐκ τῶ ἄξιος εἶμεν φαίνεσθαι τᾶς ἀρχᾶς. δεύτερον δὲ χρηστὸς καὶ ἐκ τᾶς ἐντεύξιος, καὶ ἐκ τᾶς ποτιβλέψιος, καὶ ἐκ τᾶς εὐεργεσίας. τρίτον δὲ, δεινὸς καὶ ἐκ τᾶς μισοπονηρίας, καὶ ἐκ τᾶς ἀκολασίας καὶ ἐκ τᾶς ἐπιταχύνσιος. καὶ ὅλως ἐκ τᾶς ἐμπειρίας καὶ τριβᾶς τᾶς περὶ τὸ βασιλεύεν. ἁ μὲν γὰρ σεμνότας θεόμιμον ὑπάρχουσα πρᾶγμα, δύναται θαυμαζόμενον, καὶ τιμώμενον αὐτὸν παρέχεσθαι τοῖς πλάθεσιν. ἁ δὲ χρηστότας, φιλεύμενον καὶ ἀγαπαζόμενον. ἁ δὲ δεινότας, φοβερὸν μὲν καὶ ἀνίκατον ποτὶ πολεμίως. μεγαλόψυχον δὲ καὶ θαρσαλέον ποτὶ φίλως. δεῖ δὲ τὰ σεμνότατα καθίστασθαι περὶ αὐτὸν μηδὲν ταπεινὸν ἐπιταδεύοντα. μὴ γὰρ τῶν πολλῶν ἀντάξιον, ἀλλὰ τῶν θαυμαζομένων, καὶ τῶν ἁγεμονικῶν, καὶ σκαπτουχικῶν ποτιφυῶν, ἁμιλλώμενον ἀεὶ μὴ τοῖς μειόνεσι μηδὲ τοῖς ἴσοις, ἀλλὰ τοῖς μείζονεσι. καὶ κατὰ τὸ μέγεθος τᾶς ἁγεμονίας, ἃ δυνὰς ὑπολαμβάνοντα μεγίστας ἦμεν, τὰς ἐπὶ τοῖς καλοῖς ἔργοις, καὶ μεγάλοις, ἀλλὰ μὴ τὰς ἐπὶ τοῖς ἀπολαύστοις χωρίζοντα μὲν ἑαυτὸν ἀπὸ τῶν ἀνθρωπίνων παθέων, συνεγγίζοντα δὲ τοῖς θεοῖς, οὐδ' ὑπερηφανίαν, ἀλλὰ διὰ μεγαλοφροσύναν, καὶ μέγεθος ἀρετᾶς ἀνυπέρβλατον. τοιαύταν αὐτῷ ἐπιπρέπειαν, καὶ προστασίαν ἀμφιβαλλόμενον, καὶ κατὰ τὰν ὄψιν, καὶ κατὰ τὼς λογισμώς, καὶ κατὰ τὰ ἐνθυμάματα, καὶ κατὰ τὸ ἆθος τῆς ψυχῆς, καὶ κατὰ τὰς πράξιας, καὶ κατὰ τὰν κίνασιν, καὶ κατὰ τὰν θέσιν τῶ σώματος. ὥστε τὼς ποτ' αὐτὰς μὲν ὡς αὐτὸν κατακεσμηθῆμεν καταπεπλασμένως αἰδοῖ, καὶ σωφροσύνα τε, διαθέσει τε περὶ τὰν ἐπιπρέπειαν, τὸ γὰρ μεῖον αὐλῶ καὶ ἁρμονίας τῶ ἀγαθῶ βασιλέως ποταύγασις ὀφείλει τρέπειν τὰς ψυχὰς τῶν ποτ' αὐτάς. καὶ περὶ μὲν σεμνότατος, ἅλις εἰρήσθω. περὶ δὲ χρηστότητος νῦν ὑποθέσθαι πειρασεῦμαι, χραστὸς γὰρ ἐσσεῖται ὁ βασιλεὺς, τὸ μὲν, καθόλου, δίκαιός τε ὢν καὶ ἐπιεικὴς καὶ εὐγνώμων, ἐντὶ γὰρ ἁ δικαιότας, κοινωνίας συνακτικὰ, καὶ μόνα γε ὢν περὶ τὸ πλατίον ἁ τοιαύτα διάθεσις ἁρμόσσαι τὰς ψυχὰς, ὃν λόγον παρέχει ῥυθμὸς ποτὶ κίνασιν, καὶ ἁρμονία ποτὶ φωνάν τοῦτον ἔχει τὸν λόγον δικαιότας ποτὶ κοινωνίαν, κοινὸν γὰρ ἀγαθὸν ἐντὶ καὶ ἀρχόντων καὶ ἀρχομένων. ἔγε δὴ συναρμοστικά ἐντὶ κοινωνίας πολιτικᾶς. ἁ δὲ ἐπιείκεια, καὶ εὐγνωμοσύνα, πάρεδροι τινές ἐντὶ

Ayuntamiento de Madrid

τὰς δικαιοσύνας, ἃ μὲν, τὸ ἐπιεικές· ἃ δὲ, τὸ ἀπότομον τὰς βλάβας μὰν κλίνοισα· ἃ δὲ τοῖς ἐπὶ ποσὸν ἀμπλακίσκουσι, συγγνώμας ἀπομείζουσα· δεῖ δὲ τὸν ἀγαθὸν βασιλέα μαθηματικόν τε ἦμεν τῶν δεομένων, καὶ εὐχάριστον δὲ, βοήθειαν δὲ, μὴ καθ' ἕνα ποιήσασθαι τρόπον, ἀλλ' ὅπως ἂν δυνατὸν ᾖ, εὐχάριστον δ' ἦμεν δεῖ, μὴ ποτὶ τὸ μέγεθος ἀποβλέποντα τᾶς τιμᾶς, ἀλλὰ ποτὶ τὸν τρόπον, καὶ τὰν προαίρεσιν τῶ τιμέοντος, ἀβαρέα δεῖ ἦμεν ποτὶ πάντας ἀνθρώπως, μάλιστα δὲ, ποτὶ τὼς μήονας καὶ καταδεεστέρως ταῖς τύχαις· οὗτοι γὰρ ὥσπερ τοὶ νοσέοντες τοῖς σώμασιν, οὐδὲν ὑπομένειν δύνανται τῶν βαρέων, ἔχοντι γὰρ τὰς διαθέσιας τοιαύτας καὶ οἱ θεοὶ, καὶ μάλιστα ὁ κρατέων πάντων Ζεὺς, καὶ γὰρ οὗτος, σεμνός τε ἐντὶ καὶ τίμιος, διά τε τὰν ὑπεροχὰν, καὶ τὸ μέγεθος τᾶς ἀρετᾶς· χρηστὸς δὲ, διὰ τὸ εὐεργετικός τε ἦμεν, καὶ ἀγαθοδότας ἀνδρῶν τε θεῶν τε· δεινὸς δὲ, διὰ τὸ κολάζεν τὼς ἀδικέοντας, καὶ κρατὲν, καὶ κυριεύεν πάντων· ἔχει δὲ καὶ τὸν κεραυνὸν μετὰ χεῖρα, σύμβολον τᾶς δεινότατος· ἐπὶ πᾶσι δὲ τούτοις, μναμονεύεν δεῖ, ὅτι θεόμιμόν ἐντι πρᾶγμα βασιλεία.

Σθενίδα λοκρῶ πυθαγορείου.

Χρὴ τὸν βασιλέα σοφὸν ἦμεν· οὕτω γὰρ ἐσσεῖται ἀντίμιμος, καὶ ζηλωτὰς τῶ πράτω θεῶ, οὗτος γὰρ καὶ φύσει ἐντὶ καὶ πρᾶτος βασιλεύς τε, καὶ δυνάστας. ὁ δὲ, γενέσει καὶ μιμάσει. καὶ ὁ μὲν, ἐν τῷ παντὶ καὶ ὅλῳ· ὁ δὲ, ἐπὶ γᾶς. καὶ ὁ μὲν ἀεὶ τὰ πάντα διοικεῖ τε, καὶ ζώει, αὐτὸς ἐν αὐτῷ κεκταμένος τὰν σοφίαν. ὁ δ' ἐν χρόνῳ ἐπιστάμαν, ἄριστα δὲ καὶ μιμέοιτο τοῦτον, εἰ μεγαλόφρονά τε, καὶ ἁβρὸν καὶ ὀλιγοδεέα παρασκευάζοι αὐτὸν, πατρικὰν διάθεσιν ἐνδεικνύμενος τοῖς ὑφ' αὐτῷ, διὰ τοῦτο γάρ τοι μάλιστα καὶ νενομίχθαι τὸν θεόν· πατέρα μὲν θεῶν πρᾶτον, πατέρα δὲ ἀνθρώπων ἦμεν, ὅτι ἤπιος πρὸς πάντα τὰ ὑπ' αὐτῷ γενόμενα ἐντὶ, καὶ ἀμελούμενος, τᾶς προστασίας οὐδέποκα παύεται, οὐδὲ ἤρκεσται τῷ ποιητὰς μόνον γεγενέναι, ἀλλὰ καὶ τροφεὺς, διδάσκαλός τε τῶν καλῶν πάντων, καὶ νομοθέτας πέφυκε πᾶσιν ἐπίσας. τοιοῦτον ἐπιστῆμεν καὶ τὸν ἐπὶ γᾶς, καὶ παρ' ἀνθρώποις ἁγεμονεῖν μέλλοντα βασιλέα· οὐδὲν δὲ ἀβασίλευτον καλὸν, οὐδὲ ἄναρχον· ἄνευ δὲ σοφίας καὶ ἐπιστήμας, οὔτε μὰν βασιλέα, οὔτε ἄρχοντα οἷόν τε ἦμεν, μιματὰς ἄρα καὶ ὑπηρέτας ἐσσεῖται νόμιμος τῷ θεῷ ὁ σοφός τε καὶ βασιλεύς.

Ἐκφάντου πυθαγορείου.

Ὅτι μὲν ἅπαντος ζώω φύσις, ποτί τε τὸν κόσμον ἁρμόκται καὶ τὰ ἐν τῷ κόσμῳ, πολλοῖς μοι δοκεῖ τεκμαρίοις φανερὸν ἦμεν, συμπνέοντα γὰρ οὕτω καὶ συνδεδεμένα, τὰν ἀρίσταν τε ἅμα καὶ ἀναγκαίαν ἀκολουθίαν ὀπηδεῖ· ῥύματι τῶ παντὸς περὶ αὖ γενομένα, ποτί τε τὰν κοινὰν εὐκοσμίαν καὶ ποτὶ αὐ-

ἴδιον ἑκάστῳ δαιμόνιον· παρὸ καὶ τόδε κόσμος προσαγορεύεται, καὶ ἔστι τῶν ὄντων ζώων τελειότατον. ἐν δὲ τοῖς μέρεσιν αὐτῶ, πολλοῖς τε ὄντεσι, καὶ διαφόροις τὰν φύσιν, ἐξάρχει τι ζῶον καὶ οἰκειότατον ἐν γενοῖν, καὶ διὰ τὸ μετέχειν πλέον τῶ θείω, καὶ ἐν μὲν τᾶ τῶ θεῶ ὄντος ἀεὶ φύσει, τὰ τὰν πράταν καὶ μεγίσταν ἀκολουθίαν ἔχοντα, ἀσπάζεται. οἱ πλανᾶτες ἀστέρες. ἐν δὲ τᾶ χώρᾳ τᾶς σελάνας ἔνερθεν, τὰ δι' εὐθείας ἰόντα σώματα, ἁ τῶ δαίμονος φύσις ἔχει τὰν διεξαγωγάν. ἐν δὲ τᾶ γᾶ καὶ παρ' ἁμῶν, ἀριστοφυέστατον μὲν ἄνθρωπος, θειότατον δ' ὁ βασιλεύς. ἔν τε κοινᾶ φύσει πλεονεκτῶν τῶ κρέσσονος. τὸ μὲν σκᾶνος τοῖς λοιποῖς ὅμοιος· οἷα γεγονὼς ἐκ τᾶς αὐτᾶς ὕλας, ὑπὸ τεχνίτα δ' εἰργασμένος λώστω. ὃς ἐτεχνίτευσεν αὐτὸν, ἀρχετύπῳ χρώμενος ἑαυτῷ κατασκεύασμα. δι' ὧν ὁ βασιλεὺς ἓν καὶ μόνον, ἐν οἷς τινος τῶ ἀνωτέρω βασιλέως. τῶ μὲν πεποιηκότι γνώριμον ἀεί· τοῖς δ' ἀρχομένοις ὡς ἐν φωτὶ τᾷ βασιλείᾳ βλεπόμενον. τάδε γὰρ κρίνεταί τε καὶ δοκιμάζεται, ὡς τὸ κράτιστον ἐν πετανοῖς ζῶον αἰετὸς, ἀντωπὸν ἀλίω γενόμενον. χ' ὠπὶ τᾶς βασιλείας δὲ λόγος ὡυτός. θείας τε ἐάσας καὶ δι' ὑπερβολὰν λαμπρότατος δυσοράτω. ἃ μὴ τοῖς γυμνασίοις. μαρμαρυγαί τε γὰρ πολλαὶ καὶ σκοτοδινιάσεις ὡς ἐφ' ὕψος ὀθνεῖον ἐπιβαίντας τὼς νόθως ἀπήλεγξαν. τοῖς δὲ προσήκοντος κατ' οἰκειότατα πρὸς αὐτὰν ἐπὶ τούτῳ ἀφιγμένοις. οἰκήσιμος κεχρῆσθαι δυναμένων. αὐτὰ μὲν ὦν βασίλεια, χρῆμα εἰλικρινές τε καὶ ἀδιάφθορον ἐντί. καὶ δι' ὑπερβολὰν θειότατος, δυσέφικτον ἀνθρώπῳ. δεῖ δὲ καὶ τὸν ἐς αὐτὰν καταστάντα, καθαρώτατόν τε ἦμεν καὶ διαυγέστατον τὰν φύσιν. ὡς μὴ τὸ λαμπρότατον ἀφανίζει, ἐν σπίλοις τοῖς ὑφ' αὐτῷ. καθὸ καὶ τὼς ἁγιωτάτως τόπως ἐκαλίδωσάν τινες. καὶ τῶν ἀντιπασάντων ἐνίοι μιαροὶ τὼς ἀντιπάξαντας αὐτοῖς. βασιλῆα δὲ τὸν ὁμιλήσαντα φύσιός τε ἀχθραντω δεῖ μετέχειν, ἐπιστάμενον τὲ αὐτὸν, ὅσω τῶν ἄλλων ἐντὶ θειότερος. ὅσα τε ἄτερα αὐτῶ. οἷς δὴ κατὰ λόγον ἀπεικάζων ἑαυτὸν, ἄρις' ἂν ἑαυτῷ τε χρᾶτο, καὶ τοῖς ὑποτεταγμένοις. καὶ τοῖς μὲν ἄλλοις ἀνθρώποις, αἴκα ἁμαρτάνοντι, ὁσιωτάτα κάθαρσις, ἐξομοιωθῆμεν τοῖς ἄρχοντεσιν. αἴτε νόμος, αἴτε βασιλεύς. δέποι τὰ κατ' αὐτώς. οἳ δ' ἔπι τῶ κρέσσονος δέοντος διὰ τὰν φύσιν ἀμπλακόντες, οὐ μακρὰν οὐδ' ἀπῳκισμένως οἱ, χρὴ θεῶ μὲν εὐθὺ τᾶς ὠφελείας τυγχάνειν. οὔτε γὰρ τὸν κόσμον δίζοιτο αὔτις ἐν αὐτῷ τε ὢν καὶ μέρος ἐκείνω, οὔτ' ἂν ἀνόητος εἴη τῶ δέεποντος αὐτὸν ὁ ἑτέρων αὐτὸς ἄρχων, ἁ δ' εὐκοσμία πολλά, καὶ τὸ μηδὲν ἄναρχον εὑρεῖν δύνασθαι. καὶ τῷ τρόπῳ τᾶς ἀρχᾶς διδάσκαλον,

Ayuntamiento de Madrid

ἐκλάμπει γὰρ αὐτᾶς εὐθὺ τὸ καλόν, αὖ ὀμματωσάμενος δι' ἀρετὰν αὐτῷ τε φίλος, ὃν μεμίμαται· καὶ πολὺ πλέον τοῖς ὑπ' αὐτὸν τετιμαμένοις. οὐ γὰρ αὐτὸς θεοφιλὴς ὤν, μισοῖτο ὑπ' ἀνθρώπων· ἐπεὶ οὐδὲ τὰ ἄστρα, οὐδ' ὁ σύμπας κόσμος ἐχθαίρει τὸν θεόν· οὐδὲ κα ἐμίσει τὸν ἀγεμονεύοντα, οὐκ αἰεί ποτε αὖ πειθόμενος αὐτῷ. τὸ δ' ἐκεῖνον ἄρχεν εὖ, αἴτιον τῶ καὶ τὼς δὲ ἄρχεσθαι καλῶς. ἐγὼ μὲν ὦν ὑπολαμβάνω καὶ τὸν ἄλλον τᾶς γᾶς βασιλέα, δύνασθαι μὴ δὲ μιᾷ τῶν ἀρετῶν ἐλαττοῦσθαι τῶ κατ' οὐρανὸν βασιλέως. ἀλλ' ὥσπερ αὐτὸς ἀποδαμόντι ἐντὶ χρῆμα καὶ ξένον· ἐκεῖθεν ἀφιγμένον πρὸς ἀνθρώπως. καὶ τὰς ἀρετὰς αὐτοῦ αὐτῷ ἔργα ὑπολάβοι τῶ θεῶ. καὶ δι' ἐκεῖνον αὐτῷ. σκοπέοντι δ' ἀρχᾶθεν, ἀλάθεια λέγει· κοινωνία τε γὰρ πρᾶτα τε πάντων καὶ ἀναγκαιοτάτα, τᾶς τῶν ἀνθρώπων γενεᾶς μετέχει μὲν ὁ παρ' ἁμῖν βασιλεύς· μετέχει δὲ καὶ ὁ ἐν τῷ παντὶ πάντα διέπων. συνεστάναι γὰρ χωρὶς φιλίας καὶ κοινωνίας ἀμάχανον. σκοπεῖν δ' αὐτὸς ταῦτα καὶ ἄλλη τᾶν συμπολιτευομέναν, ὀξὺ λαὸν τῷ λόγῳ τὰν κατὰ συνάθειαν κοινωνίαν. ἐλάττων γὰρ αὐτὰ τᾶς τε θείας φύσιος καὶ τᾶς βασιλικᾶς. οὐ γὰρ δέονται τᾶν τοιαύταν δέησιν. ἀλλ' ἄλλων καθ' ἑκάστω ἐκπορευόντες τῶν ὑστέρων, ἀναπληροῦντι κοιναὶ τὰν βοήθειαν. τέλειοι γὰρ κατ' ἀρετάν. ἁ δ' ἐν τᾷ πόλει φιλία κοινῶ τινος τέλεος ἐχομένα, τὰν τῶ παντὸς ὁμόνοιαν μιμεῖται. αὐδὲ δὲ τᾶς περὶ τὰς ἀρχὰς διατάξιος, οὐδεμία αὖ πόλις οἰκοῖτο. εἰς δὲ ταύταν, νόμων τε δεῖ, καί τινος προστασίας πολιτικᾶς. τό, τε ἄρχον καὶ τὸ ἀρχόμενον εἴπερ σώζοιτο δι' αὐτό. ἐκ τούτων κοινὸν ἀγαθὸν εὐαρμοστία τις, καὶ τῶν πολλῶν ὁμοφωνία μετὰ πειθοῦς συνωδεύοισα. ὁ κατ' ἀρετὰν ἐξάρχων καλεῖται βασιλεύς, καὶ ἐντὶ ταύταν ἔχων φιλίαν τε καὶ κοινωνίαν ποτὶ τὼς ὑπὸ τ' αὐτόν, ἅπερ ὁ θεὸς ἔχει ποτί τε τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ. ὅλαν δὲ τὰν εὔνοιαν χρὴ παρασκευάζεσθαι. πρῶτα μὲν παρὰ τῶ βασιλέως ἐς τὼς βασιλευομένως. δεύτερον δὲ παρὰ τῶνδε, ἐς τὸν βασιλέα. ὁποία γεννάτορος ποτὶ υἱέα, καὶ ποτὶ ποίμναν νομέως. καὶ νόμῳ ποτιχρώμενος αὐτῷ.

Ἐν ταυτῷ. Μία γὰρ ἀρετὰ πρὸς τὸ ἄρχεν αὐτῶν· καὶ πρὸς τὸν αὐτῶ βίον χρήσεται. οὐδενὸς δ' ἐνδεῆ ποτιλαμβάνων, ὡς ὑπηρετῆ τὰν αὐτὸς αὐτῶ ἄλλως κατὰ φύσιν συνεργῶν. κοινωνίας γὰρ ἐάσας, οὐδὲν ἔλαττον ἕκαστον αὐταρκέως βιώσει καθ' αὑτόν. δοκεῖ μὲν γὰρ ὁ αὐτάρκης μηδενὸς αὖ ἄλλω πρός τε τὰν αὐτῶ διεξαγωγὰν ποτιδεήσεσθαι. αὐδ' ἄρα δεῖ βίον ἐνεργέα ζώειν, δᾶλον, ὡς καὶ εἴπερ αὖ προσλάβοι, οὐδὲν πέλαττον αὐτὸν αὐταρκέα ποιήσει. φίλως τε γὰρ ἕξει

Ayuntamiento de Madrid

διὰ τὰν αὐτῶ ἀρετάν· καὶ τοῖσδε χρώμενος, οὐ κατ' ἄλλαν ἀρετὰν χρή-
σεται, ἢ ἅπερ καὶ ποτ' ἴδιον αὐτῷ βίον· ἀνάγκα δὲ ἀκολουθεῖν καὶ τὰ τοιᾶδε
οὐχ ἁτέρας τινὸς ἐξαιρέτω ποτ' αὐτὰ παρεσκευασμένως. χ' ὡ μὲν θεὸς
οὔτε διακόνως ἔχων, οὔτε ὑπηρέτας, οὔτ' αὖ προστάξει τινὶ χρώμενος, οὐδὲ
στεφανῶν ἢ ἀναγορεύων τὼς πειθομένως, ἢ ἀτιμάζων τὼς ἀπειθέοντας,
οὕτως ἄλλος ἄρχει ποτὶ τοσόνδε μέγεθος ἀρχᾶς· ἀλλ' οἶμαι παρέχων ἀξιο-
μίματον ὡυτόν, ζᾶλον ἐντίθησι πᾶσι τᾶς αὐτῶ φύσιος. ἐν τι δὲ ἄλλος μὲν ἀ-
γαθὸς· καὶ τόδε μόνον τε καὶ ῥάδιον ἔργον αὐτῶ. οἱ δὲ μιμεύμενοι τῶν αὐ-
τῶν. κρέσσον τῶδε πάντα ἐργάζονται. ἁ δὲ ὁμοίωσις, καὶ ἑκάστῳ τῶδε αὐ-
ταρκές ἐντι. οὐ γὰρ ἄλλα μὲν ἀρετὰ ποιεῖ τὰ ἀρεστὰ τῷ θεῷ, μιμέεται δ'
αὐτὸν ἑτέρα. ὁ δ' ἐπίγειος ἁμῖν βασιλεύς, πῶς οὐχ ὁμοίως αὐτάρκης. ἀπει-
κάζων τε γὰρ ἄλλον, ἐν ἰδίᾳ ἀπεικάσσει τῷ κρατίστῳ. καὶ πᾶς ἑαυτῷ πειρώμε-
νος ὁμοιοῦν αὐθ' ὃς ἔσσεται. τὰ δ' ὅσα βίας καὶ ἀνάγκας τὰς τῶν ὑποτε-
ταγμένων, ἐνίοτε ἑκάστῳ τὰν περὶ τὰν μίμασιν, προθυμίαν ἀφαιρέεται.
χωρὶς εὐνοίας γάρ, ἀμάχανον ἐξομοιωθῆμεν. ἃ μάλιστα πάντων ἀφανίζει τὸ
φοβερόν, ὡς εἴθε ἦν τᾶς ἀνθρωπίνας φύσιος δυνατὸν ἀφέμεν, καὶ τὸ πα-
θοῦς τινος δέχεσθαι. τόδε γὰρ τᾶς ἐπιγείου φαυλότατος τὸ λεῖψαι ον. καθ'
αὖ ἐπίκαιρον ὂν τὸ ζῶον, ταύτας οὐκ ἀμοιρεῖ. ἐπειδὴ πειθὼ ἔργον τί ἐντι
παροικέον ἀνάγκᾳ. πρᾶτα γὰρ ἀφ' αὐτᾶς αὐτὰ κατεργάζεται, τὰ παρ' ἐ-
κείναν διέφυγεν. ὅσα δ' αὐτοφυῶς τῷ καλῷ χρῆται. τούτοις οὐδεμία πα-
θοῦς αἰδώς. ἐπειδὴ περ οὐδὲ φόβος ἀνάγκας. ἐνεργάσαιτο δ' αὖ μόνος ὁ
βασιλεὺς ἀνθρώπω φύσει καὶ τόδε τὸ ἀγαθόν. ὡς διὰ μίμασιν ἄλλῳ τῶ κρέσ-
σονος ποτὶ τὸ δέον ἕπεσθαι. τὼς δὲ ὥσπερ ὑπὸ μέθας διεφθαρμένως, καὶ
διὰ κακὰν τροφὰν ἐς λάθαν ἐμπεσόντας ἄλλῳ παραλαφθεὶς ὁ λόγος, ἐπέρ-
ρωσέν τε καὶ κάμνοντας ἰάσατο. καὶ τὰν ἐκ τᾶς κακίας ἐνοικεῦσαν ἄλλοις
λάθαν ἐκβαλών. τὰν μνάμαν ἐσώκισεν. ἐξ ἆς ἁ πέτεχθη ἁ καλεομένα πί-
θω. καὶ τὰν ἀρχὰν ἐκ φαύλων σπερμάτων λαβοῦσα αὕτα, τὶ σπουδαῖον ἔφυ.
τὰν ἐπίγηον οἰκεῦσαι χώραν. ἐν ᾇ δ' ἀσθένεια τᾶς ἁμῶν φύσιος, ὁ λόγος
ἀνθρώποις ὁμιλέων, ἀναπληροῖ τε τῶν διὰ κακίαν ὑστερούντων.

A περ ἱερὰν καὶ θείαν ἔχων ἔννοιαν, τῷ ὄντι βασιλεὺς εἴη. τᾶδε γὰρ πεπεισμέ- Ἐν ταὐτῷ.
νος, ἀγαθῶν μὲν πάντων αἴτιος ἔσεται. κακῶν δέ, οὐδενός. οὐ μάν, ἀλλ'
ὅτι γε δίκαιος ἔσεται κοινωνικὸς ὤν, παντὶ τὸ δῆλον. ἰσότατι γὰρ ἁ κοινω-
νία. καὶ ἐν τᾷ ταύτας ἀποδιανομᾷ. ἐξάρχει μὲν ἁ δικαιοσύνα. μετέχει δ' ἁ
κοινωνία. οὐ γὰρ δυνατὸν ἄδικον μὲν ἦμεν, μεταδιδοῦμεν δὲ ἰσότατος. ἢ μέ-

Ayuntamiento de Madrid

παιδεύμεν ἰσότατος, μὴ κοινωνὸν δὲ ἦμεν. ἐγκρατεία δὲ πῶς οὐκ ἂν ὑπολάβοι τις τὰν αὐτάρκειαν· ἁ γὰρ πολυτέλεια, μάτηρ τᾶς ἀκρασίας· αὕτα δὲ, τᾶς ὕβριος· ἐξ ἇς τῶν ἐν ἀνθρωπίνοις κακῶν τὰ πολλά· ἁ δ' αὐτάρκεια, οὐδέν τι· καὶ πολυτέλειαν, οὔτε τὰ ἀπ' αὐτᾶς· ἀλλὰ αὐτά τις οὖσα ἀρχὰ, πάντα μὲν, ἄγοι· ἄγοιτο δ' ἂν ὑπ' οὐδενός· ὅπερ ἐντὶ μὲν τῷ θεῷ. ἐντὶ καὶ τῷ βασιλεῖ· αὐτῷ μὲν ἄρχεν ἀφ' ὅπερ καὶ ὁ αὐτάρκης καλέεται· ἄρχεσθαι δ' ὑπ' οὐδενός· ταῦτα δ' ὅτι μὲν φρονάσιος χωρὶς οὐκ ἂν γένοιτο, δῆλον· ὅτι δ' ἁ τῶ κόσμω φρόνασις ὁ θεός ἐντι, φανερόν· συνέχεται γὰρ εὐκοσμίᾳ τε καὶ τάξει τᾷ δεούσᾳ· νόω δὲ χωρὶς, οὐκ ἂν αὐτὰ γένοιτο· οὐδ' ὁ βασιλεὺς δὴ χωρὶς φρονάσιος ταύτας ἂν ἔχοι τὰς ἀρετάς· δικαιοσύνας φαμὶ καὶ ἐγκράτειαν καὶ κοινωνίαν, καὶ ὅσα τούτων ἀδελφά·

Μυσωνίου

Εἰσελθόντος δέ ποτε ὡς αὐτὸν τῶν βασιλέων τινὸς τῶν ἀπὸ τῆς συρίας, ἦσαν γὰρ ἔτι τότε ἐν συρίᾳ βασιλεῖς ῥωμαίων ὑπήκοοι, ἄλλα τε πολλὰ εἶπε πρὸς τὸν ἄνδρα, καὶ δὴ καὶ ταῦτα· μὴ οἴου ἔφη ἄλλῳ τινὶ μᾶλλον προσήκειν φιλοσοφεῖν, ἢ σοί· μὴ δ' ἄλλου του χάριν μᾶλλον, ἢ ὅτι βασιλεὺς τυγχάνεις ὤν· δεῖ μὲν γὰρ δή που δύνασθαι τὸν βασιλέα σώζειν ἀνθρώπους καὶ εὐεργετεῖν· τὸν δέ γε σώσοντα καὶ εὐεργετήσοντα χρὴ ἐπίστασθαι, τί μὲν ἀγαθὸν ἀνθρώπῳ, τί δὲ κακόν· καὶ τί μὲν ὠφέλιμον, τί δὲ βλαβερόν· καὶ συμφέρον γε καὶ ἀσύμφορον· εἴ γε ἀπόλλυνται μὲν οἱ περιπίπτοντες τοῖς κακοῖς· σώζονται δὲ οἱ τυγχάνοντες τῶν ἀγαθῶν· καὶ εὐεργετοῦνται μὲν οἱ ἀξιούμενοι τῶν ὠφελίμων καὶ συμφερόντων· κακοποιοῦνται δὲ, οἱ ἐμβαλλόμενοι τοῖς ἀσυμφόροις καὶ βλαβεροῖς· ἀγαθὸν μέν τοι ἢ κακὸν ἢ συμφέρον ἢ ἀσύμφορον, ἢ ὠφέλιμον, ἢ βλαβερὸν, οὐκ ἄλλου του διαγιγνώσκειν, ἢ τοῦ φιλοσόφου ἐστὶν, ὃς αὐτὸ τοῦτο διατελεῖ πραγματευόμενος· ὅπως μὴ δὲ ἓν τούτων ἀγνοήσῃ· καὶ τέχνην πεποίηται ταύτην εἰδέναι, τί φέρει πρὸς ἀνθρώπου εὐδαιμονίαν. διὸ φαίνεται δεῖν τὸν βασιλέα φιλοσοφεῖν· καὶ μὴν προσήκει μὲν τῷ βασιλεῖ· μᾶλλον δ' ἀνάγκη ἐστὶν αὐτῷ, τὰ δίκαια βραβεύειν τοῖς ὑπηκόοις· ὡς μήτε πλέον ἔχειν, μήτε ἐλαττοῦσθαι μηδένα παρὰ τὴν ἀξίαν· ἀλλὰ καὶ τιμῆς καὶ τιμωρίας τυγχάνειν τοὺς ἀξίους. ταῦτα δὲ πῶς ποτε δυνηθείη ἄν τις, δίκαιος οὐκ ὤν· δίκαιος δὲ πῶς ἂν εἴη τίς μὴ ἐπιστάμενος δικαιοσύνην, ὁποῖόν τι ἐστί· πάλιν οὖν καὶ ταύτῃ φιλοσοφητέον τῷ βασιλεῖ· ὅτι δικαιοσύνην καὶ τὸ δίκαιον οὐκ ἂν ἄλλως φαίνοιτο γνοὺς, εἰ μὴ φιλοσοφήσειεν. οὐ γὰρ οὐδ' ὡς οὐχ ὁ μαθὼν, μᾶλλον ἤδει τὰ δίκαια τοῦ μὴ μαθόντος ἐστὶν εἰπεῖν. οὐδ' ὡς οὐκ ἀμαθεῖς εἰσὶ τῶν τοιούτων πάντες,

Ayuntamiento de Madrid

οἱ μὴ φιλοσοφήσαντες. στασιάζουσι γοῦν καὶ πολεμοῦσι περὶ τῶν δικαίων πρὸς ἀλλήλους· οἱ μὲν, ταῦτα φάσκοντες· οἱ δὲ, ἐκεῖνα δικαιότερα εἶναι. καίτοι περί γε ὧν ἐπίστανται ἄνθρωποι, περὶ τούτων οὐ διαφέρονται. οὔτε περὶ λευκῶν ἢ μελάνων, ἢ θερμῶν ἢ ψυχρῶν, οὔτε περὶ μαλακῶν ἢ σκληρῶν. ἀλλὰ κατὰ ταὐτὰ περὶ τούτων ἅπαντες φρονοῦσί τε καὶ λέγουσιν. ὥστε καὶ περὶ τῶν δικαίων ὡμονόουν ἂν παραπλησίως, εἴπερ ᾔδεσαν, ἅτινά ἐστιν, ἐν ᾧ δ' οὐχ ὁμονοοῦσιν, ἀγνοοῦντες φαίνονται. καὶ οὐδὲ σὺ ταύτης ἐκτὸς εἶ τῆς ἀγνοίας ὡς ἐγὼ δοκῶ. ὅθεν ἐπιμελητέον σοι τῆς γνώσεως μᾶλλον, ἢ ἄλλῳ ὁτῳοῦν. καὶ τοσούτῳ γε μᾶλλον αἴσχιον ἀνδρὶ βασιλεῖ ἢ ἰδιώτῃ, εἶναι ἐν ἀγνοίᾳ δικαιοσύνης.

E Ἔτι τοίνυν δεῖ τὸν βασιλέα μὲν, σωφρονεῖν αὐτὸν, δεῖ δὲ τοὺς ὑπηκόους σωφρονίζειν· ἵν' ὁ μὲν, ἄρχῃ σωφρόνως, οἱ δ' ἄρχωνται κοσμίως. μηδέτεροι δὲ τρυφῶσι. λυμαντικὸν γὰρ ἄρχοντός τε καὶ ἰδιώτου παντὸς ἡ τρυφή. πῶς δ' ἂν ἢ αὐτὸς σωφρονήσαιέ τις, μὴ μελετήσας κρατεῖν τῶν ἐπιθυμιῶν. ἢ ἀκόλαστος ὢν, ἄλλους ποιήσαι σώφρονας· τίς μέντοι ἐπιστήμη πρὸς σωφροσύνην ἄγει, πλὴν φιλοσοφίας, οὐκ ἔστιν εἰπεῖν. αὕτη γὰρ διδάσκει μὲν ἐπάνω ἡδονῆς εἶναι. διδάσκει δ' ἐπάνω πλεονεξίας. διδάσκει δὲ ἀγαπᾶν εὐτέλειαν. ἐθίζει δ' αἰδῶ ἔχειν. ἐθίζει δὲ γλώττης κρατεῖν. τάξιν δὲ καὶ κόσμον. καὶ εὐσχημοσύνην περιποιεῖ. καὶ ὅλως τὸ ἐν κινήσει καὶ σχέσει πρέπον. ταῦτα δὲ ἀνθρώπῳ προσόντα παρέχεται σεμνὸν καὶ σώφρονα αὐτόν. καὶ δὴ καὶ βασιλεὺς ὅτῳ ὑπάρχει ταῦτα, μάλιστα ἂν εἴη θεοπρεπής τε καὶ αἰδοῦς ἄξιος. τό γε μὴν ἄφοβον καὶ ἀνέκπληκτον καὶ θαῤῥαλέον ἔστι μὲν ἀνδρείας ἔργον. πῶς δ' ἂν ἄλλως μᾶλλον ἀνθρώπῳ ὑπάρξειεν, ἢ εἴ τις περὶ θανάτου καὶ πόνου λάβοι πίστιν ἰσχυράν· ὡς οὐ κακοῖν ὄντοιν αὐτοῖν. ταῦτα γὰρ δὴ τὰ ἐξιστάντα καὶ φοβοῦντα τοὺς ἀνθρώπους ἐστὶν, ὅ, τε θάνατος, καὶ ὁ πόνος ὅταν ὡς περὶ κακῶν πεπεισμένοι ὦσιν αὐτῶν. μὴ κακὰ δ' εἶναι ταῦτα. φιλοσοφία διδάσκει μόνη. ὥστ' εἴπερ ἀνδρείαν κτητέον τοῖς βασιλεῦσι, κτητέον δὲ, παντὸς οὖν ἑτέρου μᾶλλον ἐπιμελητέον τοῦ φιλοσοφεῖν αὐτοῖς ὡς οὐκ ἂν ἑτέρως ἀνδρείοις γενομένοις. καὶ δὴ βασιλικὸν μὲν εἴ τι ἄλλο, καὶ τὸ ἀήττητον ἐν λόγῳ εἶναι. καὶ δύνασθαι κρατεῖν ὥσπερ ὅπλοις τῶν μαχομένων, οὕτω λόγοις διαλεγομένων. ὡς ἄν τε ταύτῃ ἀσθενήσωσιν οἱ βασιλεῖς, ἀνάγκη πολλάκις περιάγεσθαι αὐτοὺς, καὶ βιάζεσθαι τὰ ψευδῆ ὡς ἀληθῆ προσίεσθαι. ὅπερ ἀφροσύνης ἔργον, καὶ ἀμαθίας τῆς ἐσχάτης. φιλοσοφία δ' οὐκ οἶδ' εἴ τι μᾶλλον, ἢ τοῦτο παρέχειν τοῖς μετιοῦσιν αὐτὴν πέφυκεν. ὥστε περιεῖναι λόγῳ τῶν πλη-

Ayuntamiento de Madrid

σιον· καὶ τὰ ψευδῆ διακρίνειν ἀπὸ τῶν ἀληθῶν· καὶ τὰ μὲν, ἐλέγχειν, τὰ δὲ, βεβαιοῦν. οἱ γοῦν ῥήτορες, ὁπόταν ἔλθωσιν εἰς ταυτὸ τοῖς φιλοσόφοις, καὶ διδῶσι καὶ λαμβάνωσι λόγον, ἔστιν ὁρᾶν αὐτοὺς συγκρουομένους· ἀπορουμένους· ἐναντία λέγειν αὑτοῖς ἀναγκαζομένους· καίτοι ὁπόταν οἱ ῥήτορες, οἱ τοῦτο πεποιημένοι ἔργον, λόγους μελετᾶν, ἀσθενέστεροι περὶ λόγους ἁλίσκωνται τῶν φιλοσόφων ὄντες, τί χρὴ τοὺς ἄλλους ἀνθρώπους ὑπολαμβάνειν· ὅθεν εἴ τινι ὄντι βασιλεῖ, ἔστιν ἐπιθυμία τοῦ ἐν λόγοις κράτους, φιλοσοφητέον αὐτῷ. ἵνα μὴ δεδίῃ μὴ δὲ ταύτῃ μηδένα, ὥσπερ γενησόμενος αὐτοῦ· δέον ἁπανταχοῦ ἀδεῆ εἶναι τὸν βασιλέα καὶ θαρραλέον καὶ ἀήττητον. καθόλου δὲ τὸν μὲν βασιλέα τὸν ἀγαθὸν, ἀνάγκη πᾶσα, καὶ λόγῳ καὶ ἔργῳ καὶ εἶναι ἀναμάρτητον καὶ τέλειον. εἴπερ δι' αὐτὸν ὥσπερ ἐδόκει τοῖς παλαιοῖς, νόμον ἔμψυχον εἶναι. εὐνομίαν μὲν καὶ ὁμόνοιαν μηχανώμενον· ἀνομίαν δὲ καὶ στάσιν ἀπείργοντα· ζηλωτὴν δὲ τοῦ Διὸς ὄντα καὶ πατέρα τῶν ἀρχομένων, ὥσπερ ἐκεῖνον· τοιοῦτος δὲ, πῶς ἂν εἴη τις, μὴ φύσει τε διαφερούσῃ κεχρημένος, παιδείαν δὲ τὴν ἀρίστην πεπαιδευμένος, ἀρετάς τε ἁπάσας ἔχων, ὅσαι περ ἀνθρώπῳ προσήκουσιν. εἰ μὲν οὖν ἡ ἑτέρα ἐπιστήμη ἐπιστήμη ἐστὶν, ἡ ποδηγοῦσα πρὸς ἀρετὴν ἀνθρώπου φύσιν, καὶ ἀσκεῖν καὶ μετιέναι τὰ καλὰ διδάσκουσα, παραβλητέον ἂν εἴη καὶ συγκριτέον, εἴτε ἐκείνη, εἴτε φιλοσοφία κρείττων, καὶ ἀποχρῶσα μᾶλλον ἀγαθὸν ἀποδεῖξαι βασιλέα· καὶ τῇ κρείττονι χρῷτ' ἂν εἰκότως ὁ βασιλεὺς, βουλευόμενός τε δὴ εἶναι ἀγαθός. εἰ δ' ἄλλη μὲν οὐδ' ὑπισχνεῖται τέχνη, οὐδεμία παράδοσιν καὶ διδασκαλίαν ἀρετῆς. ἀλλ' αἱ μὲν περὶ τὸ σῶμα τὸ ἀνθρώπινον, καὶ τὰ τούτῳ χρήσιμα πραγματευόμεναι μόνον, ὅσαι δὲ τῆς ψυχῆς ἐφάπτονται, πάντα σκοπούμεναι μᾶλλον, ἢ ὅθεν αὐτὴ σωφρονήσει, μόνη δὲ φιλοσοφία τοῦτο σκοπεῖ· καὶ τοῦτο μηχανᾶται, πῶς ὁ ἄνθρωπος κακίαν μὲν ἐκφύγοι, κτήσαιτο δὲ ἀρετὴν, εἰ ταῦτα ταύτῃ ἔχει· τί ἂν ἄλλο εἴη βασιλεῖ τῷ γε ἀγαθῷ εἶναι βουλομένῳ προυργιαίτερον τοῦ φιλοσοφεῖν· μᾶλλον δὲ καὶ τίνα τρόπον δύναιτο ἄν τις βασιλεῦσαι, ἢ βιῶναι καλῶς, εἰ μὴ φιλοσοφήσειεν. ἐγὼ μὲν οἶμαι τὸν βασιλέα τὸν ἀγαθὸν, εὐθὺς καὶ φιλόσοφον ἐξ ἀνάγκης εἶναι· καὶ τόν γε φιλόσοφον, εὐθὺς καὶ βασιλικὸν εἶναι· πρῶτον δὲ, τὸ πρότερον θεασώμεθα· ἆρ' ἔσθ' ὅπως βασιλεὺς ἀγαθὸς εἴη τις, ἂν μὴ ἄνθρωπος ἀγαθὸς ὤν; οὐκ ἔστιν εἰπεῖν· ἀγαθὸς δέ τις ἀνὴρ, οὐκ ἂν φιλόσοφος εἴη ἄν· νὴ Δία, εἴγε τὸ φιλοσοφεῖν, καλοκαγαθίας ἐπιτήδευσίς ἐστιν· ὥσθ' ὁ βασιλεὺς ὁ ἀγαθὸς, ἐξ ἀνάγκης εὐθὺς καὶ φιλόσοφος εὑρίσκεται ὤν· καὶ μὴν

ὅγε φιλόσοφος,

Ayuntamiento de Madrid

ὅγε φιλόσοφος, ὅτι πάντως καὶ βασιλεύς, οὕτως ἂν μάθοις. τοῦ γὰρ βασιλικοῦ δή που ἐστὶ, τὸ δύνασθαι καλῶς ἐπιτροπεύειν ἔθνη καὶ πόλεις. καὶ εἶναι ἄξιον ἀνθρώπων ἄρχειν. τίς δ᾽ ἂν ἢ ἱκανώτερος εἴη πόλεως προστάτης, ἢ ἀξιότερος ἀνθρώπων ἄρχειν τοῦ φιλοσόφου ὥγε προσήκει, ἄν περ ἦ ἀληθῶς φιλόσοφος, εἶναι φρονίμῳ, σώφρονι. τῶν δικαίων κριτικῷ καὶ τῶν πρεπόντων, καὶ τὰ πρακτικῷ τῶν νοηθέντων. καρτερικῷ τῶν ἐπιπόνων. πρὸς δὲ τούτοις, θαρραλέος. ἀδεὴς. ὑποστατικὸς τῶν δοκούντων δεινῶν εἴη ἄν. ἔτι δὲ, εὐεργετικός. φιλάνθρωπος. χρηστός. τοῦ δὲ τοιούτου, τίς ἂν εὑρεθείη ἄρχων ἐπιτηδειότερος, ἢ δυνατώτερος. οὐδείς. ἂν δὲ μὴ ἔχῃ πολλοὺς τοὺς ὑπακούοντας καὶ πειθομένους αὐτῷ, οὔπω διὰ τοῦτο τοῦ βασιλικοῦ εἶναι ἐστέρηται. ἐξαρκεῖ γὰρ καὶ τὸ τῶν φίλων ἄρχειν τῶν ὑπαρχόντων. ἢ γυναικός τε καὶ παίδων. ἢ καὶ νὴ Δία αὐτὸν αὐτοῦ μόνου. καὶ γὰρ ἰατρὸς οὐδὲν ἧττον τοῦ θεραπεύοντος πολλοὺς, ὁ θεραπεύων ὀλίγους, εἴγε ἔχοι τὴν ἐμπειρίαν, τὴν ἰατρικὴν, καὶ μουσικὸς οὐδὲν ἧττον τοῦ διδάσκοντος πολλοὺς ὁ διδάσκων ὀλίγους, εἴγε ἔχοι τὴν μουσικήν. καὶ ἱππικὸς ὁμοίως τῷ χρωμένῳ πολλοῖς ἵπποις, ὁ χρώμενος ἑνὶ ἢ δυσὶν, ἄν γε ἐπιστήμων τῆς ἱππικῆς ᾖ. καὶ δὴ καὶ βασιλικὸς παραπλησίως τῷ κεκτημένῳ πολλοὺς ὑπηκόους ὁ ἔχων ἕνα ἢ δύο τοὺς πειθομένους αὐτῷ. μόνον ἐχέτω τὴν τοῦ βασιλεύειν ἐμπειρίαν, ὥστε καὶ βασιλικὸς εἴη ἄν. διὰ τοῦτό μοι δοκεῖ καὶ Σωκράτης τὴν φιλοσοφίαν πολιτικήν τε καὶ βασιλικὴν ἐπιστήμην ὀνομάζειν, ὅτι ὁ ταύτην ἀναλαβὼν, εὐθὺς πολιτικός ἐστι. τοιαῦτα τοῦ Μουσωνίου εἰπόντος, ἡσθεὶς ὁ βασιλεὺς τοῖς λόγοις, χάριν τε ἔχειν ὡμολόγει τῶν εἰρημένων αὐτῷ. καὶ ἀντὶ, τούτων ἔφη αἴτησον ὅ, τι βούλει με. οὐ γὰρ ἂν ἀντείποιμί σοι περὶ οὐδενός. ὁ δὲ Μουσώνιος, αἰτῶ σε ἔφη τούτοις στοιχεῖν καὶ ἕπεσθαι τοῖς λόγοις, οὓς ἐπαινεῖς. καὶ γὰρ ἐμοὶ οὕτω χαριεῖ μάλιστα, καὶ ὠφεληθήσῃ αὐτὸς, οὐχ ἑτέρως μᾶλλον.

Καὶ μὲν δὴ ἔφη ὦ πάτερ ὁ Κῦρος· ὅπως ἂν ἵλεω θεοὶ ὄντες ἡμῖν συμβουλεύειν ἐθέλωσιν, ὅσον δύναμαι κατὰ τὸν σὸν λόγον διατελέσω ἐπιμελούμενος. μέμνημαι γὰρ ἀκούσας ποτέ σου, ὅτι εἰκότως ἂν καὶ παρὰ τῶν θεῶν, πρακτικώτερος εἴη, ὥσπερ καὶ παρ᾽ ἀνθρώπων. ὅστις μὴ ὁπότε ἐν ἀπόροις εἴη, τότε κολακεύοι. ἀλλ᾽ ὅτε ἄριστα πράττοι, τότε μάλιστα τῶν θεῶν μέμνηται. καὶ τῶν φίλων δ᾽ ἔφησθα χρῆναι. ὡσαύτως οὕτως ἐπιμελεῖσθαι. οὐκοῦν ἔφη ὦ παῖ δι᾽ ἐκείνας τὰς ἐπιμελείας, ἥδιον ἔρχῃ πρὸς τοὺς θεοὺς δεησόμενος. ἐλπίζεις δὲ μᾶλλον τεύξεσθαι ὧν ἂν δέῃ. ὅτι ξυνειδέναι ἑαυτῷ δοκεῖς, οὐπώποτε ἀμελήσας αὐτῶν. πάνυ μὲν οὖν ὦ πάτερ, ὡς προσφιλεῖς μοι τοὺς Ξενοφῶντος.



Ayuntamiento de Madrid

θεοὺς ὄντας, οὕτω διάκειμαι. τί γὰρ ἔφη ὦ παῖ ἐκεῖνα μέμνησαι ἅ ποτε ἐδόκει ἡμῖν. ὁπόσα γὰρ δήπου δεδώκασιν ἡμῖν οἱ θεοὶ μαθόντας αὐτοὺς βέλτιον πράσσειν, ἢ ἀνεπιστήμονας αὐτῶν ὄντας, καὶ ἐργαζομένους μᾶλλον ἀνύειν, ἢ ἀργοῦντας, καὶ ἐπιμελομένους ἀσφαλέστερον ἂν διάγειν, ἢ ἀφυλακτοῦντας· καὶ παρέχοντας ἑαυτοὺς οἵους δεῖ, οὕτως ἡμῖν ἐδόκει δεῖν καὶ αἰτεῖσθαι τἀγαθὰ παρὰ τῶν θεῶν. ναὶ μὰ Δί' ἔφη ὁ Κῦρος· καὶ γὰρ ἀνάγκη με πείθεσθαι τῷ λόγῳ τούτῳ· καὶ οἶδα προστιθέντα ἀεί, ὡς οὐδὲ θέμις εἴη αἰτεῖσθαι παρὰ τῶν θεῶν, οὔτε ἱππεύειν μὴ μαθόντας ἱππομαχοῦντας νικᾶν, οὔτε μὴ ἐπισταμένους τοξεύειν, τοξεύοντας κρατεῖν, τῶν ἐπισταμένων τοξεύειν· οὔτε μὴ ἐπισταμένους κυβερνᾶν σῴζειν εὔχεσθαι ναῦν κυβερνῶντας· οὔτε μὴ σπείραντάς γε σῖτον, εὔχεσθαι καλὸν αὐτοῖς σῖτον φύεσθαι· οὐδὲ μὴ φυλαττομένους γε ἐν πολέμῳ σωτηρίαν αἰτεῖσθαι· παρὰ γὰρ τοὺς τῶν θεῶν θεσμοὺς ταῦτα καὶ τὰ τοιαῦτα πάντα εἶναι· τοὺς δὲ ἀθέμιστα εὐχομένους, ὁμοίως ἔφησθα εἰκὸς εἶναι παρὰ θεῶν ἀτυχεῖν, ὥσπερ καὶ παρ' ἀνθρώπων ἀπρακτεῖν, τοὺς παράνομα δεομένους.

Καὶ τοῦτό σου λέγοντος, συνεδόκει καὶ ἐμοὶ ὑπερμέγεθες ἔργον εἶναι τὸ καλῶς ἄρχειν. καὶ νῦν ἔφη ταῦτά μοι δοκεῖ, ὅταν πρὸς αὐτὸ τὸ ἄρχειν σκοπῶν λογίζωμαι. ὅταν μέντοι πρὸς ἄλλους ἀνθρώπους ἰδὼν κατανοήσω, ἀρξάμενος ἀπὸ τῶν ἡμετέρων φίλων τούτων, ἡγουμένους δεῖν τὸν ἄρχοντα τῶν ἀρχομένων διαφέρειν, τῷ πολυτελέστερον δειπνεῖν, καὶ πλεῖον ἔχειν ἔνδον χρυσίον, καὶ πλείονα χρόνον καθεύδειν, καὶ πάντα ἀπονώτερον τῶν ἀρχομένων διάγειν. ἐγὼ δ' οἶμαι ἔφη τὸν ἄρχοντα, οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων, ἀλλὰ τῷ προνοεῖν καὶ φιλοπονεῖν.

Ἐρωτᾷς ἔφη τοῦτο ὦ παῖ εἴ τις ἀπὸ σοῦ πόρος προσγένοιτο. ἀπὸ τίνος δὲ μᾶλλον εἰκὸς πόρον γενέσθαι, ἢ ἀπὸ τοῦ δύναμιν ἔχοντος.

Τόδε δὲ πάντων μάλιστά μοι μέμνησο· μηδέποτ' ἀναμένειν πορίζεσθαι τὰ ἐπιτήδεια, ἔστ' ἂν ἡ χρεία γε ἀναγκάσῃ· ἀλλ' ὅταν μάλιστα εὐπορῇς, τότε πρὸ τῆς ἀπορίας μᾶλλον μηχανῶ· καὶ γὰρ τεύξει μᾶλλον παρ' ὧν ἂν δέῃ μὴ ἀπορεῖν δοκῶν, καὶ ἀναίτιος ἔσῃ παρὰ τοῖς σαυτοῦ στρατιώταις. ἐκ τούτου δὲ μάλιστα καὶ ὑπὸ τῶν ἄλλων αἰδοῦς τεύξῃ· καὶ ἐάν τινα βούλῃ τῇ δυνάμει ἢ εὖ ποιῆσαι ἢ κακῶς, μᾶλλον ὑπηρετήσουσιν οἱ στρατιῶται ἔχοντες τὰ δέοντα· καὶ πιστοτάτους τοὺς λόγους σαφῶς ἴσθι τότε δυνήσῃ λέγειν, ὅταν περ καὶ ἐνδείκνυσθαι μάλιστα δύνῃ ποιεῖν ἱκανὸς ὢν καὶ εὖ καὶ κακῶς.

Τὸ τέλος δή μοι ἐπῆρον, τί ποτε διδάσκων στρατηγίαν φαίη με διδάσκειν.

κἀγὼ δὴ ἐνταῦθα ἀπεκρινάμην ὅτι τὰ τακτικά. καὶ σὺ γελάσας διῆλθές μοι παρατιθεὶς ἕκαστον, τί εἴη ὄφελος στρατιᾷ τακτικῶν ἄνευ τῶν ἐπιτηδείων, τί δὲ ἄνευ τοῦ ὑγιαίνειν. τί δὲ ἄνευ τοῦ ἐπίστασθαι τὰς εὑρημένας εἰς πόλεμον τέχνας. τί δὲ ἄνευ τοῦ πείθεσθαι. ὡς δὲ καταφανὲς ἐποίησας, ὅτι μικρόν τι μέρος εἴη στρατηγίας τὰ τακτικά, ἐπηρόμην, εἴ τι τούτων σύ με διδάξαι ἱκανὸς εἴης.

Δ εἰ γὰρ δήπου στρατιάν. ἣ μέλλει πράξειν τὰ δέοντα, μήποτε παύεσθαι τοῖς πολεμίοις κακὰ πορσύνουσαν, ἢ ἄλλοις ἀγαθά. ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν φέρεσθαι. πολὺ δ' ἔτι ὦ παῖ χαλεπώτερον οἶκον ὅλον. πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὴν φέρειν. πλεῖστα γὰρ ἐσθίει στρατιά, καὶ ἀπ' ἐλαχίστων ὁρμώμενα. καὶ οἷς ἂν λάβῃ, δαψιλέστατα χρωμένη. ὥστε οὐδέποτε προσήκει στρατιὰν ἀργεῖν. λέγεις σὺ ἔφη πάτερ, ὡς ἐμοὶ δοκεῖ, ὥσπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφελος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι. τὸν δέ γε ἐργάτην στρατηγὸν ἔφη, ἀναδέχομαι ἢν μή τι θεὸς βλάπτῃ, ἅμα καὶ τὰ ἐπιτήδεια ἔχοντας μάλιστα τοὺς στρατιώτας ἀποδείξειν καὶ τὰ σώματα ἄριστα ἔχοντας παρασκευάσειν. ἀλλὰ μέντοι τό γε ἔφη μελετᾶσθαι ἕκαστα τῶν πολεμικῶν ἔργων, ἀγῶνας ἄν τίς μοι δοκεῖ ὦ πάτερ προειπὼν ἑκάστοις, καὶ ἆθλα προτιθεὶς μάλιστα ποιεῖν ἀσκεῖσθαι ἕκαστα. ὥστε ὁπότε δέοιτο ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. κάλλιστα λέγεις ὦ παῖ ἔφη. τοῦτο γὰρ ποιήσας σάφ' ἴσθι. ὥσπερ χοροὺς τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετώσας θεάσῃ. ἀλλὰ μὴν ἔφη ὁ Κῦρος, τό γ' εὐθυμίαν ἐμβαλεῖν τοῖς στρατιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι, ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν αὐτοῖς. ἀλλὰ μὴν ἔφη ὦ παῖ τοῦτό γε τοιοῦτόν ἐστιν. οἷόν περ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει, οἷάπερ ὅταν θηρίον ὁρᾷ, τὸ μὲν γὰρ πρῶτον προθύμως οἶδ' ὅτι ἔχει ὑπακουούσας. ἂν δὲ πολλάκις ψεύδηται αὐτάς, τελευτῶσαι, οὐδ' ὁπόταν ἀληθῶς ὁρῶν καλῇ πείθονται αὐτῷ, οὕτω καὶ τὸ περὶ τῶν ἐλπίδων ἔχει. ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβάλλων ψεύδηταί τις, τελευτῶν, οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ. ὁ τοιοῦτος πείθειν δύναται. ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν ἐὰν μὴ σαφῶς εἰδῇ. φείδεσθαι δεῖ ὦ παῖ. τὴν δ' ἄλλου παρόρμησιν, εἰς τοὺς μεγίστους κινδύνους δεῖ μάλιστα ἐν πίστει διασώζειν.

N, όμοι δὲ δοκοῦσί μοι οἱ πολλοί, δύο ταῦτα μάλιστα διδάσκειν. ἄρχειν τε καὶ ἄρχεσθαι. καὶ τοίνυν κατανοῶν περὶ τούτων, ἐν πᾶσιν ὁρᾶν μοι δοκῶ τὸ προτρέπειν πείθεσθαι μάλιστα ὄν, τῷ τὸν μὲν πειθόμενον ἐπαινεῖν τε καὶ τιμᾶν. τὸν δ' ἀπειθοῦντα, ἀτιμάζειν τε καὶ κολάζειν. καὶ ἐπὶ μέν γε τῇ ἀνάγκῃ πείθεσθαι ἔφη



Ayuntamiento de Madrid

αὕτη ἡ ὁδὸς ὦ παῖ ἐστίν. ἐπὶ δὲ τὸ πολὺ κρεῖσσον τούτου, τὸ ἑκόντας πείθεσθαι, ἄλλη ἐστὶ συντομωτέρα. ὃν γὰρ ἂν ἡγήσωνται περὶ τοῦ συμφέροντος ἑαυτοῖς φρονιμώτερον εἶναι ἑαυτῶν, τούτῳ οἱ ἄνθρωποι ὑπερηδέως πείθονται. γνοίης δ' ἂν ὅτι τοῦθ' οὕτως ἔχει ἐν ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν· ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ, τι χρὴ ποιεῖν καλοῦσι. καὶ ἐν θαλάσσῃ ὡς προθύμως τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται.

Φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος, πῶς ἄν τις τῷ ὄντι γένοιτο. δῆλον ὅτι ἔφη ὦ παῖ ὅσα μὲν ἔστι μαθόντα εἰδέναι, μαθὼν ἂν ὥσπερ τὰ τακτικὰ ἔμαθες. ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος, φρονιμώτερος ἄλλων ἂν εἴης. ὅτι δὲ γνοίης, βέλτιον ἂν πραχθῆναι, ἐπιμελόμενος ἂν τούτου, ὡς πραχθείη. καὶ γὰρ τὸ ἐπιμελεῖσθαι τούτου οὐκ ἂν δέῃ φρονιμωτέρου ἀνδρός, ἢ τὸ ἀμελεῖν. ἀλλὰ μέν τοι ἐπί γε τῷ φιλεῖσθαι ὑπὸ ἀρχομένων, ὅπερ ἔμοιγε ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι, δῆλον ὅτι ἡ αὐτὴ ὁδός, ἥπερ εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη. εὖ γὰρ οἶμαι δεῖ ποιοῦντα φανερὸν εἶναι. ἀλλὰ τοῦτο μὲν ἔφη ὦ παῖ χαλεπόν, τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν οὓς ἄν τις θέλῃ. τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον ἤν τι κακόν, καὶ συνεπικουρεῖν πρόθυμον ταῖς ἀπορίαις αὐτῶν, καὶ προφοβούμενον μή τι σφαλῶσι, καὶ προνοεῖν πειρώμενον, ὡς μὴ σφάλλωνται, ταῦτά πως δεῖ παρομαρτεῖν καὶ τὸ τῶν πράξεών γε. ἐπὶ μὲν ἐν θέρει ὦσι, τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα εἶναι. ἐπὶ δὲ χειμῶνι, τοῦ ψύχους. ἐπὶ δὲ δεῖ μοχθεῖν, τῶν πόνων. πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμβάνει. λέγεις σὺ ἔφη ὦ πάτερ ὡς καὶ καρτερὸν δεῖ πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων μᾶλλον εἶναι. ἐγὼ γὰρ οὖν ἔφη. θάρρει μέν τοι ὦ παῖ. εὖ γὰρ ἴσθι τοῦτο ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται. ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου. ἀλλὰ κουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι. καὶ τὸ αὐτὸν εἰδέναι, ὅτι οὐ λανθάνει ὅ, τι ἄν ποτε ποιῇ. ὁπότε δὲ ὦ πάτερ ἤδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιεν δέ, πονεῖν δὲ δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δὲ ἔχοιεν, πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν ἤδη τηνικαῦτα σωφρονεῖν ἄν τις σοι δοκοίη διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; ναὶ μὰ Δί' ἔφη, εἰ μέλλοι γε πλέον ἕξειν. εἰ δὲ μή, ἔγωγ' ἂν ὅσῳ οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι, καὶ τοὺς ἑπομένους βελτίονας ἔχειν, τόσῳ δ' ἂν μᾶλλον φυλαττοίμην,

Ayuntamiento de Madrid

τοίμην, ὥσπερ καὶ τὰ ἄλλα ἂν οἰώμεθα πλείστου ἄξια ἡμῖν εἶναι. ταῦτα πειρώμεθα ὡς ἐνεχυρωτάτῳ ποιεῖσθαι. πλέον δ' ἔχειν ὦ πάτερ πολεμίων, πῶς ἄν τις δύναιτο. οὐκέτι τοῦτο ὦ παῖ φαῦλον οὐδὲ ἁπλοῦν ἔργον ἐρωτᾷς. ἀλλ' εὖ ἴσθι ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν, καὶ ἐπίβουλον εἶναι καὶ κρυψίνουν. καὶ ἀπατεῶνα. καὶ κλέπτην καὶ ἅρπαγα, καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. καὶ ὁ κῦρος ἐπιγελάσας εἶπεν. ὦ ἡράκλεις. οἷον σὺ λέγεις ὦ πάτερ δεῖν ἄνδρα με γενέσθαι. οἷος ἂν ἔφη ὦ παῖ δικαιότατός τε καὶ ἐννομώτατος ἀνὴρ εἴη. πῶς μὴν ἔφη παῖδας ὄντας ἡμᾶς ἐναντία τούτων ἐδιδάσκετε. ναὶ μὰ Δί' ἔφη καὶ νῦν γε πρὸς τοὺς φίλους καὶ τοὺς πολίτας.

B Βασιλέας δὲ καὶ ἄρχοντας, οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη, οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας. οὐδὲ τοὺς κλήρῳ λαχόντας. οὐδὲ τοὺς βιασαμένους. οὐδὲ τοὺς ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν. ὁπότε γάρ τις ὁμολογήσειε, τοῦ μὲν ἄρχοντος εἶναι τὸ προστάττειν ὅ,τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου τὸ πείθεσθαι, ἐπεδείκνυεν ἔν τε νηΐ, τὸν μὲν ἐπιστάμενον ἄρχοντα, τὸν δὲ ναύκληρον, καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ νηΐ. πάντας πειθομένους τῷ ἐπισταμένῳ. καὶ ἐν γεωργίᾳ τοὺς κεκτημένους ἀγρούς. καὶ ἐν νόσῳ τοὺς νοσοῦντας. καὶ σωμασκίᾳ τοὺς σωμασκοῦντας. καὶ τοὺς ἄλλους πάντας, οἷς ὑπάρχει τι ἐπιμελείας δεόμενον, ἂν μὲν αὐτοὶ ἡγῶνται ἐπίστασθαι ἐπιμελεῖσθαι. εἰ δὲ μή, τοῖς ἐπισταμένοις οὐ μόνον παροῦσι πειθομένους, ἀλλὰ καὶ ἀπόντας μεταπεμπομένους, ὅπως ἐκείνοις πειθόμενοι τὰ δέοντα πράττωσιν. ἐν δὲ ταλασίᾳ, καὶ τὰς γυναῖκας ἐπεδείκνυεν ἀρχούσας τῶν ἀνδρῶν, διὰ τὸ τὰς μὲν, εἰδέναι ὅπως χρὴ ταλασιουργεῖν. τοὺς δὲ, μὴ εἰδέναι. εἰ δέ τις πρὸς ταῦτα λέγοι, ὅτι τῷ τυράννῳ ἔξεστι μὴ πείθεσθαι τοῖς ὀρθῶς ἔχουσι. καὶ πῶς ἂν ἔφη ἐξείη μὴ πείθεσθαι ἐπικειμένης δὲ ζημίας. ἐάν τις τῷ εὖ λέγοντι μὴ πείθηται. ἐν ᾧ γὰρ ἄν τις πράγματι μὴ πείθηται τῷ εὖ λέγοντι, ἁμαρτήσεται δήπου. ἁμαρτάνων δὲ, ζημιωθήσεται. εἰ δὲ φαίη τις τῷ τυράννῳ ἐξεῖναι καὶ ἀποκτεῖναι τὸν εὖ φρονοῦντα. τὸν δὲ ἀποκτείναντα ἔφη τοὺς κρατίστους τῶν συμμάχων οἴει ἀζήμιον γίγνεσθαι, ἢ ὡς ἔτυχε ζημιοῦσθαι. πότερα γὰρ ἂν μᾶλλον οἴει σώζεσθαι τὸν τοῦτο ποιοῦντα, ἢ οὕτως. καὶ τάχιστ' ἂν ἀπολεῖσθαι. Τοῦ αὐτοῦ ἐν γ' ἀπομνημονευμάτων.



Ayuntamiento de Madrid

## ΠΕΡΙ ΨΟΓΟΥ ΚΑΙ ΤΥΡΑΝΝΙΔΟΣ.

### ΛΟΓΟΣ μζ΄.

Εὐριπίδου

Οὐδὲν τυράννου δυσμενέστερον·
ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶ νόμοι
κοινοί· κρατεῖ δ᾽ εἷς τὸν νόμον κεκτημένος·

Τυραννίδος δὲ τῆς πάλαι θρυλλουμένης·
τὸ μὲν πρόσωπον ἡδύ, τἄνδοθεν δέ,
λυπηρά· τίς γὰρ μακάριος, τίς εὐτυχής·
ὅστις δεδοικὼς καὶ περιβλέπων βίον,
αἰῶνα τείνει δημότης ἂν εὐτυχής.

Ζῶ ἂν θέλοιμι μᾶλλον, ἢ τύραννος ὤν.
οἷς τοὺς πονηροὺς ἡδονὴ φίλους ἔχειν.
ἐσθλοὺς δὲ μισεῖν κατθανεῖν φοβουμένοις.

Κακῶς δ᾽ ὄλλυνται πάντες οἱ τυραννίδι
χαίρουσιν· ὀλίγη τ᾽ ἐν πόλει μοναρχία.
τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον.
κἂν μικρὰ ἔχῃ τις, μεγάλ᾽ ἔχειν νομίζεται.

Ἡ γὰρ τυραννίς, πάντοθεν τοξεύεται.
δεινοῖς ἔρωσιν ἧς φυλακτέον πέρι.

Οὔτ᾽ εἰκὸς ἄρχειν, οὔτ᾽ ἐχρῆν εἶναι νόμον
τύραννον εἶναι· μωρία δὲ καὶ θέλειν.
ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.

Φεῦ, τὰ μεγάλα, μεγάλα καὶ πάσχει κακά.

Τὸ δ᾽ ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς,
τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον.
φίλους τε πορθεῖν καὶ κατακτανεῖν χρεών.

Ayuntamiento de Madrid

πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι.

Ω τρισάθλιοι τί πλέον ἔχουσι τῶν ἄλλων βίον.
ὡς οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια.
τηροῦντες. οἱ τὰς ἀκροπόλεις κεκτημένοι
εἰς πάντας ὑπονοοῦσιν οὕτω ῥαδίως.
ἐγχειρίδιον ἔχοντας αὐτοῖς προσιέναι.
οἵαν δίκην διδόασιν. Μενάνδρου

Η γὰρ τυραννὶς, ἀδικίας μήτηρ ἔφυ. Διονυσίου τυράννου.

Ω πλοῦτε καὶ τυραννὶς. καὶ τέχνη τέχνης. Σοφοκλ.
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται.

Υ βρις φυτεύει τύραννον ὕβρις·
ἢ πολλῶν ὑπερεπλήσθη μάτων.

Τ όν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.

Ο ὐ γάρ τις ἂν δύναιτο πρωρατῆς στρατοῦ.
τοῖς πᾶσι δεῖξαι καὶ προσαρκέσαι χάριν.
ἐπεὶ οὐδ' ὁ κρείσσων ζεὺς ἐμοῦ τυραννίδι
οὔτ' ἐξ ὄμβρων οὔτ' ἐπαυχμήσας φίλος.
βροτοῖς ἀνελθὼν ἐς δίκην λόγων ὄφλαι
πῶς δῆτ' ἐγὼ θνητὸς γ' ἂν ἐκ θνητῆς τε φὺς Φαβωρίνου
διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος.

Ω σπερ γὰρ τὰ θηρία τὴν σαγήνην ὑποχωροῦντα εἰς ἐλάττω τόπον συνάγεται, οὕτω δὲ καὶ τοὺς τυράννους ἔστιν ἰδεῖν ἐπαναχωροῦντας. ἐκ μὲν τῆς ἑλλάδος, εἰς τὴν πόλιν. ἐκ δὲ τῆς πόλεως, ἐς τὴν ἀκρόπολιν. εἶτ' εἰς τὴν οἰκίαν. εἶτ' εἰς τὸ δωμάτιον. εἶτα δύναται καταφυγεῖν ἄνθρωπος θεὸν φεύγων; ὅπου γὰρ ἂν καταφύγῃ, ἡ δίκη αὐτὸν εὑρήσει.

Κ αὶ ὅλως ἄπιστον οἶμαι ταῖς πολιτείαις ἡ τυραννίς. Δημοσθ.

Σ υγγνώμην ἔχωσι τῶν παραινέσεων. τύραννος γὰρ οὐ γεγονὼς, τυράννῳ συμβουλεύεις καταθέσθαι τὴν τυραννίδα. οὐκ εἰδὼς ὅτι τοῦ κτήσασθαι τὴν ἀρχὴν αὐτὴ ἀσφαλέστερόν ἐστι, τὸ καταθέσθαι. Ἐκ τῆς φαλαρίδος.

Α ναξιμένης ἐρωτηθεὶς τί ἀκοινώνητόν ἐστιν, εἶπε τυραννίς.

Α ντίγονος πρός τινα μακαρίζουσαν αὐτῷ γραῦν. εἰ ᾔδεις ἔφη ὦ μῆτερ ὅσων κακῶν μεστόν ἐστι τουτὶ τὸ ῥάκος, δείξας τὸ διάδημα, οὐκ ἂν ἐπὶ κοπρίας κείμενον αὐτὸ ἐβάστασας.



Ayuntamiento de Madrid

Πτολεμαῖος ὁ ἐπικληθεὶς φιλάδελφος, ἔλεγε τὴν τυραννίδα ἄλλα τε δύσκολα ἔχειν, καὶ τὸ μέγιστον, τὸ ἀναγκάζεσθαι τοὺς μηδὲν ἀδικοῦντας κτείνειν, τοῦ συμφέροντος εἵνεκα.

Τοῦ Διονυσίου λέγοντος πρὸς Ἀρίστιππον, οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ, ἀληθῆ λέγεις εἶπεν· εἰ γὰρ ὠφέλησο, ἐπέπαυσο ἂν τῆς τυραννίδος, ὥσπερ ἱερᾶς νόσου·

Δημοσθ. Βασιλεὺς γὰρ καὶ τύραννος ἅπας, ἐχθρὸς ἐλευθερίᾳ καὶ νόμοις ἐναντίον.

Αἰλιανοῦ. Φρύγιος οὗτος λόγος· ἔστι γὰρ Αἰσώπου τοῦ Φρυγός. ὁ δὲ λόγος φησὶ τὴν ὗν, ἐὰν αὐτῆς τις ἅψηται, βοᾶν· καὶ μάλα γε εἰκότως· οὔτε γὰρ ἔρια ἔχει ὗς, οὔτε γάλα, οὔτε ἄλλο τι, πλὴν τῶν κρεῶν· παραχρῆμα οὖν ὀνειροπολεῖν τὸν θάνατον, εἰδυῖαν εἰς ὅ τι τῶν χρησίμων αὐτῇ, πέφυκε λυσιτελὴς εἶναι. ἐοίκασι δὲ τῇ ὑῒ τῇ Αἰσώπου οἱ τύραννοι ὑποπτεύοντες καὶ δεδοικότες πάντα. ἴσασι γὰρ ὅτι ὥσπερ αἱ ὗς, ὀφείλουσι καὶ ἐκεῖνοι τὴν ψυχὴν πᾶσι.

Ἰσοκράτ. Τοὺς μὲν ἰδιώτας ἔστι πολλὰ τὰ παιδεύοντα· καὶ μάλιστα μὲν, τὸ μὴ τρυφᾶν· ἀλλ᾽ ἀναγκάζεσθαι περὶ τοῦ βίου κάλλιστα βουλεύεσθαι τὴν ὥραν· ἔπειθ᾽ οἱ νόμοι καθ᾽ οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν· ἔτι δὲ ἡ παρρησία.

Φαλάειδος. Ὁ γὰρ ἀμφοτέρων πεπειραμένος, τυραννεύεσθαι μᾶλλον εὔξαιτ᾽ ἂν ἢ τυραννῆσαι. ὁ μὲν γὰρ ἕνα φοβεῖται, τῶν ἄλλων χαλεπῶν ἀπηλλαγμένος τὸν τύραννον. ὁ τύραννος δὲ, τοὺς ἔξωθεν ἐπιβουλεύοντας, καὶ δι᾽ ὧν σώζεται. καὶ τὸ μὴ φανερῶς ἐξεῖναι τοῖς φίλοις ἐπιπλῆξαι, καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις. πρὸς δὲ τούτοις, καὶ τῶν ποιητῶν τινας τῶν προγεγενημένων ὑποθήκας ὡς χρὴ ζῆν καταλελοιπότας. ὥστ᾽ ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίνεσθαι. τοῖς δὲ τυράννοις, οὐδὲν ὑπάρχει τοιοῦτον.

Ἐκ τοῦ Διογένους διατριβῶν. Δοκεῖ δὲ τοῖς μὲν εὖ πράττουσι τῶν ἀνθρώπων, ὁ μὲν βίος ἀμείνων· ὁ δὲ θάνατος διὰ τοῦτο λυπηρότερος. οἱ δ᾽ αὖ κακῶς ζῶντες, τὸν μὲν βίον δυσχερέστερον φέρουσι· τὸν δὲ θάνατον, ἥδιον προσδέχονται. τοῖς δὲ τυράννοις ἀμφότερα ταῦτα χαλεπώτερα, ἢ τοῖς ἄλλοις. ζῶσι μὲν γὰρ πολὺ ἀηδέστερον, τῶν πάνυ ἐπιθυμούντων τεθνάναι. τὸν δὲ θάνατον οὕτω δεδοίκασιν, ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ.

Ἡροδότου. Πῶς δ᾽ ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστιν ἀνευθύνῳ ποιέειν τὰ βούλεται. καὶ γὰρ ἂν τὸν ἄριστον ἀνδρῶν πάντων ἐς αὐτὰ ἐς ταύτην τὴν ἀρχὴν ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειεν. ἐγγίνεται μὲν γὰρ οἱ ὕβρεις ὑπὸ τῶν παρόντων ἀγαθῶν. φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ᾽ ἔχων ταῦτα, ἔχει πᾶσαν κακότητα. τὰ μὲν γὰρ, ὕβρει κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα. τὰ δὲ, φθόνῳ καίτοι ἄνδρα γε τύραννον ἄφθονον ἔδει εἶναι, ἔχοντά γε

πάντα

Ayuntamiento de Madrid

πάντα τὰ ἀγαθά. τὸ δὲ ὑπεναντίον τούτου, ἐς τοὺς πολιήτας πέφυκε. φθονέει γὰρ τοῖσιν ἀρίστοισι περιεοῦσί τε καὶ ζώουσι, χαίρει δὲ τοῖσι κακίστοισι τῶν ἀστῶν. διαβολὰς δὲ ἄριστον ἐνδέχεσθαι ἀναρμοστότατον πάντων. ἤν τε γὰρ αὐτὸν μετρίως θαυμάζῃς, ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται. ἤν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων, νόμαιά τε κινεῖ πάτρια, καὶ βιᾶται γυναῖκας, κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον, πρῶτα μὲν ὄνομα πάντων κάλλιστον ἔχει ἰσονομίην. δεύτερα δὲ τούτων, τῶν ὁ μούναρχος ποιέει οὐδέν. πάλῳ μὲν ἀρχὰς ἄρχει. ὑπεύθυνον δὲ ἀρχὴν ἔχει. βουλεύματα δὲ πάντα ἐς τὸ κοινὸν ἀναφέρει. τίθεμαι οὖν γνώμην, μεθέντας ἡμέας μουναρχίην, τὸ πλῆθος ἀέξειν. ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα.

Ξενοφῶντος ἐκ τοῦ ἱέρωνος.

Σιμωνίδης ὁ ποιητής, ἀφίκετό ποτε πρὸς ἱέρωνα τὸν τύραννον. σχολῆς δὲ γενομένης ἀμφοῖν, εἶπεν ὁ σιμωνίδης. ἆρ' ἄν μοι ἐθελήσαις ὦ ἱέρων διηγήσασθαι, ἃ εἰκὸς εἰδέναι σε βέλτιον ἐμοῦ; καὶ ποῖα ταῦτ' ἐστὶν ἔφη ὁ ἱέρων, ὁποῖα ἂν ἐγὼ βέλτιον εἰδείην σοῦ, οὕτως ὄντος σοφοῦ ἀνδρός. οἶδά σε ἔφη ἐγὼ καὶ ἰδιώτην γεγενημένον, καὶ νῦν τύραννον ὄντα. καὶ εἰκὸς οὖν ἀμφοτέρων πεπειραμένον, καὶ εἰδέναι μᾶλλον ἐμοῦ. πῇ διαφέρει ὁ τυραννικός τε καὶ ἰδιωτικὸς βίος, εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώπων. τί οὖν ἔφη ὁ ἱέρων. οὐχὶ σύ, ἐπεὶ νῦν ἔτι ἰδιώτης εἶ, ὑπομνήσαις με τὰ ἐν τῷ ἰδιωτικῷ βίῳ, οὕτω γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνασθαι δηλοῦν τὰ διαφέροντα ἐν ἑκατέρῳ. οὕτω δὴ ὁ σιμωνίδης εἶπε, τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε ἱέρων δοκῶ καταμεμαθηκέναι, διὰ μὲν τῶν ὀφθαλμῶν, ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους. διὰ δὲ τῶν ὤτων, ἀκούσμασι, διὰ δὲ τῶν ῥινῶν, ὀσμαῖς. διὰ δὲ τοῦ στόματος, σίτοις καὶ ποτοῖς. τὰ δὲ ἀφροδίσια, δι' ὧν δὴ πάντες ἐπιστάμεθα. τὰ δὲ ψύχη καὶ θάλπη, καὶ σκληρὰ καὶ στριφνά, καὶ μαλθακά, καὶ βαρέα καὶ κοῦφα, ὅλῳ τῷ σώματί μοι δοκοῦμεν ἔφη κρίνοντες. καὶ ἥδεσθαι καὶ λυπεῖσθαι ἐπ' αὐτοῖς ἀγαθοῖς τε καὶ κακοῖς ἔστι μὲν ὅτε δι' αὐτῆς τῆς ψυχῆς μοι δοκοῦμεν ἥδεσθαί τε καὶ λυπεῖσθαι. ἔστι δὲ ὅτε κοινῇ διὰ τῆς ψυχῆς καὶ τοῦ σώματος. τῷ δὲ ὕπνῳ ὅτι μὲν ἡδόμεθα, δοκῶ αἰσθάνεσθαι, ὅπως δὲ καὶ ᾧ τινι καὶ ὁπότε, ταῦτα μᾶλλον πῶς ἔφη δοκῶ μοι ἀγνοεῖν. καὶ οὐδὲν δὴ ἴσως τοῦτο θαυμαστόν, εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται, ἢ τὰ ἐν τῷ ὕπνῳ. πρὸς ταῦτα δὴ ὁ ἱέρων ἀπεκρίνατο. ἐγὼ μὲν τοίνυν ἔφη ὦ σιμωνίδη, ἔξω τούτων ὧν εἴρηκας σύ, οὐδ' ὅπως ἂν αἴσθοιτό τινος ὁ τύραννος ἔχοιμ' ἂν εἰπεῖν. ὥστε μέχρι γε τούτων, οὐκ οἶδα ὅ,τι διαφέρει ὁ τυραννικὸς τοῦ ἰδιωτικοῦ βίου. καὶ ὁ σιμωνίδης εἶπεν. ἀλλὰ ἐν μὲν τοῖσδε διαφέροι ἄν, εἰ πολ-

Ayuntamiento de Madrid

πολλαπλάσια μὲν ἑκάστῳ τούτων εὐφραίνεται, πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει. καὶ ὁ ἱέρων εἶπεν, οὐχ οὕτως ἔχει ταῦτα. ἀλλ' εὖ ἴσθι ὅτι πολὺ μείω εὐφραίνονται οἱ τύραννοι τῶν μετρίως διαγόντων ὑπηρετῶν. πολὺ δὲ πλείω καὶ μείζω λυποῦνται, ἄπιστα ἔφη λέγεις ὁ σιμωνίδης. εἰ γὰρ οὕτω ταῦτα εἶχε, πῶς ἂν πολλοὶ μὲν ἐπεθύμουν τυραννεῖν, καὶ ταῦτα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι. πῶς δὲ πάντες ἐζήλουν ἂν τοὺς τυράννους. ὅτι ναὶ μὰ Δί' ἔφη ὁ ἱέρων ἄπειροι ὄντες ἀμφοτέρων τῶν ἔργων, σκοποῦνται περὶ αὐτοῦ. ἐγὼ δὲ πειράσομαί σε διδάσκειν, ὡς ἀληθῆ λέγω. πρῶτον μὲν γὰρ ἐν τοῖς διὰ τῆς ὄψεως θεάμασιν εὑρίσκω λογιζόμενος μειονεκτοῦντας τοὺς τυράννους. ἄλλα μέν γε ἐν ἄλλῃ χώρᾳ ἐστὶν ἀξιοθέατα. ἐπὶ δὲ τούτων ἕκαστα οἱ μὲν ἰδιῶται ἔρχονται καὶ εἰς πόλεις ἃς ἂν βούλωνται, θεαμάτων ἕνεκα, καὶ ἐς τὰς κοινὰς πανηγύρεις. οἱ δὲ τύραννοι, οὐ μάλα ἀμφὶ θεωρίας ἔχουσιν. οὔτε γὰρ ἰέναι αὐτοῖς ἀσφαλές. ἀλλ' ἅμα ἔρχεται αὐτοῖς τὰ τοιαῦτα, καὶ οἴκοι μένουσιν, ὀλίγα γε τῶν πολλῶν. καὶ ταῦτά τι· μεῖ α πωλεῖται τοῖς τυράννοις. καὶ ὁ σιμωνίδης εἶπεν. ἀλλ' εἰ ἐν τοῖς θεάμασι μειονεκτεῖτε, ἐν ταῖς ἀκοαῖς πλεονεκτεῖτε. ἐπειδὴ τοῦ μὲν ἡδίστου ἀκροάματος ἐπαίνου, οὔποτε σπανίζετε. πάντες γὰρ οἱ παρόντες, καὶ ὅσα ἂν λέγητε καὶ ὅσα ἂν ποιῆτε, ἐπαινοῦσι. τοῦ δ' αὖ χαλεπωτάτου ἀκροάματος λοιδορίας, ἀνήκοοι ἐστέ. οὐδεὶς γὰρ ἐθέλει τυράννου κατ' ὀφθαλμοὺς κατηγορεῖν. καὶ ὁ ἱέρων εἶπε. καὶ τί οἴει ἔφη τοὺς μὴ λέγοντας κακῶς εὐφραίνειν, ὅταν εἰδῇ τις σαφῶς, ὅτι οἱ σιωπῶντες οὗτοι πάντα κακὰ νοοῦσι τῶν τυράννων, ἢ τοὺς ἐπαινοῦντάς τι δοκεῖς εὐφραίνειν, ὅταν ὕποπτοι ὦσιν ἕνεκα τοῦ κολακεύειν τοὺς ἐπαίνους ποιούμενοι. καὶ ὁ σιμωνίδης εἶπε. συγχωρῶ τοὺς ἐπαίνους παρὰ τῶν ἐλευθεριωτάτων ἡδίστους εἶναι. ἀλλ' ὁρᾷς; ἐκεῖνο οὐκ ἂν ἔτι πείσαις οὐδένα ἀνθρώπων. ὡς οὐχὶ δι' ὧν τρεφόμεθα οἱ ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραίνεσθε. καὶ οἶδά γε ἔφη ὁ σιμωνίδης ὅτι τοῦτο κρίνουσιν οἱ πλεῖστοι, ἥδιον ὑμᾶς καὶ ἐσθίειν καὶ πίνειν τῶν ἰδιωτῶν. τὸ γὰρ εἰωθότα ὑπερβάλλον, τοῦτο παρέχει τὰς ἡδονάς. διὸ καὶ πάντες ἄνθρωποι τὰς ἑορτὰς τὰς ἡδέως προσδέχονται, πλὴν οἱ τύραννοι. ἔκπλεαι γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι, οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἔχουσιν αἱ τράπεζαι αὐτῶν ἐπίδοσιν. ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσιν. ἔπειτα δὲ ἔφη, ἐκεῖνο εὖ οἶδ' ὅτι καὶ σὺ ἔμπειρος εἶ. ὅτι ὅσα ἂν πλείω παραθῆτε τὰ περισσὰ τῶν ἱκανῶν, τοσούτῳ καὶ θᾶσσον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. ὥστε καὶ τῷ χρόνῳ τῆς ἐδω-

Ayuntamiento de Madrid

δῆς πλεονεκτεῖ ὁ πολλὰ παρατιθέμενος τῶν μετρίως διαιτωμένων. ἀλλὰ καὶ μὰ Δί᾽ ἔφη ὁ Σιμωνίδης ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦτον πολὺ μᾶλλον ἥδονται, οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς τρεφόμενοι. οὐκοῦν ἔφη ὁ Ἱέρων ὁρᾷς τι τοῖς τυράννοις ἥδιον ἐπὶ τὴν ἄλλων παρασκευὴν ἰόντας, ἢ τοὺς ἰδιώτας. οὐ μὰ τὸν Δί᾽ ἔφη οὐ μὲν δή. ἀλλὰ τί οὖν ἔφη ὁ Ἱέρων. οἶσθα ταῦτα ζητήματα εἶναι, ἢ ἅμα κακῆς καὶ ἀσθενοῦς τῆς ψυχῆς τροφῆς ἐπιθυμήματα. ἐπεὶ εὖ οἶδ᾽ ἔγωγε, ὅτι οἱ ἡδέως ἐσθίοντες, καὶ σύ που οἶσθα, ὅτι οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων. ἀλλὰ μέντοι ἔφη ὁ Σιμωνίδης, τῶν γε πολυτελῶν τούτων ὀσμῶν αἷς χρίεσθε, τοὺς πλησιάζοντας μᾶλλον οἴομαι ἀπολαύειν, ἢ αὐτοὺς ὑμᾶς. ὥσπερ γε καὶ τῶν ἀχαρίτων ὀσμῶν, οὐχ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται, ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες. οὕτω μέντοι ἔφη ὁ Ἱέρων καὶ τῶν σίτων, ὁ μὲν ἔχων παντοδαπὰ ἀεὶ, οὐδὲν μετὰ πόθον αὐτῶν λαμβάνει. ὁ δὲ σπανίσας τινὸς, οὗτός ἐστιν ὁ καὶ χαρμονῆς ἐμπιπλάμενος, ὅταν αὐτῷ προσφανῇ τι. κινδυνεύουσιν ἔφη ὁ Σιμωνίδης, αἱ τῶν ἀφροδισίων μόνον ὑμῖν ἀπολαύσεις, τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν. ἐν γὰρ τούτῳ ἔξεστιν ὑμῖν ὅ, τι ἂν κάλλιστον ἴδητε, τούτῳ συνεῖναι. νῦν γε ἔφη ὁ Ἱέρων εἴρηκας, ἐν ᾧ δὴ πλεῖστον μειονεκτοῦμεν. ὅτι μὲν γὰρ τὰ μετ᾽ ἔρωτος ἀφροδίσια πολὺ διαφερόντως εὐφραίνει, πάντες δή που ἐπιστάμεθα. ὁ δὲ ἔρως πολὺ ἥκιστα ἐθέλει τυράννῳ ἐμφύεσθαι. οὐ γὰρ τῶν ἑτοίμων ἥδεται ὁ ἔρως ἐφιέμενος, ἀλλὰ τῶν ἐλπιζομένων. ὥσπερ οὖν εἴ τις ἄπειρος ὢν δίψης πιεῖν ἀπολαύοι, οὕτω καὶ ὁ ἄπειρός ἐστι τῶν ἡδίστων ἀφροδισίων. ἀλλ᾽ ἐν ἐκείνοις γε ἔφη ὁ Σιμωνίδης, πολὺ διαφέρετε τῶν ἰδιωτῶν. ὅτι μεγάλα μὲν ἐπινοεῖτε, ταχὺ δὲ ταῦτα κατεργάζεσθε. πλεῖστα δὴ περισσὰ ἔχετε. κέκτησθε δὲ διαφέροντας ἀρετῇ ἵππους. διαφέροντα ὅπλα. κάλλει ὑπερέχοντα κόσμον γυναιξί. μεγαλοπρεπεστέρας οἰκίας. ἔτι δὲ πλήθει τε καὶ ἐπιστήμῃ θεράποντας ἀρίστους. ἱκανώτατοι δὲ ἐστὲ ὀνῆσαι φίλους, κακῶσαι δὲ ἐχθρούς. πρὸς ταῦτα δὴ ὁ Ἱέρων εἶπεν. ἡ τυραννὶς, τὰ μὲν δοκοῦντα ἄξια κτήματα εἶναι ἀνεπτυγμένα θεᾶσθαι, φανερῶς πᾶσι παρέχεται. τὰ δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς τῶν τυράννων ἀποκεκρυμμένα ἐν αἷσπερ καὶ τὸ εὐδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκειται. αὐτίκα γὰρ εἰρήνη δοκεῖ μέγα ἀγαθὸν ἀνθρώποις εἶναι. ταύτης ἐλάχιστον μέρος μέτεστι τοῖς τυράννοις. οὐδὲ πόλεμος, μέγα κακόν. τούτου πλεῖστον μετέχομεν οἱ τύραννοι. ἔπειτα δὲ τοῖς μὲν ἰδιώταις καὶ διὰ σπονδῶν καὶ δι᾽ εἰρήνης γί-

Ayuntamiento de Madrid

νεται πολέμου ἀνάπαυσις· τοῖς δὲ τυράννοις, οὐδὲ εἰρήνη ποτὲ, πρὸς τοὺς τυραννευομένοις γίνεται. οὔτε σπονδαῖς ἄν ποτε πιστεύσας, ὁ τύραννος θαρρήσειε. τοσοῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖσθαι εἶναι, ὥστε νομίζω τῷ ὄντι, ὡς αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ γίνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. βεβαιόταται μὲν δή που δοκοῦσι φιλίαι γονεῦσι πρὸς παῖδας, καὶ παισὶν πρὸς γονέας, καὶ ἀδελφοῖς πρὸς ἀδελφούς, καὶ γυναιξὶ πρὸς ἄνδρας, καὶ ἑταίροις πρὸς ἑταίρους. εἰ τοίνυν ἐθέλοις κατανοεῖν, εὑρήσεις τοὺς μὲν ἰδιώτας ὑπὸ τούτων πάντων μάλιστα φιλουμένους. τοὺς δὲ τυράννους, πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας. πολλοὺς δὲ ὑπὸ παίδων αὐτοὺς ἀπολωλότας. πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους γιγνομένους. πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους. καὶ ὑπὸ ἑταίρων γε μάλιστα δοκούντων φίλων εἶναι. οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖσθαι, οὕτω μισοῦνται, πῶς ὑπό γε ἄλλου τινὸς οἴεσθαι χρὴ αὐτοὺς φιλεῖσθαι. ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ. καὶ τούτου τοίνυν τοῦ πιστῶς πρός τινας ἔχειν, ἐλάχιστον μέρος τυράννῳ μέτεστιν. ὅτε γε οὐδὲ σιτίοις οὐδὲ ποτοῖς διάγει πιστεύων, ἀλλὰ καὶ τούτων τοῖς διακόνοις κελεύουσιν ἀπογεύεσθαι. τὸ δὲ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀποθνήσκειν. οὕτω πόρρω προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται πολλοὶ νόμοι τῷ μιαιφόνῳ, μὴ δὲ τὸν συνόντων καθαρεύειν. ὅθεν διὰ τὰς πατρίδας ἀσφαλῶς ἕκαστος βιοτεύει τῶν πολιτῶν. τοῖς δὲ τυράννοις, καὶ τοῦτο ἔμπαλιν ἀνέστραπται, ἀντὶ γὰρ τοῦ τιμωρεῖν αἱ πόλεις αὐτοῖς, μεγάλως τιμῶσι τὸν κατακτείναντα τὸν τύραννον. καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις, οὐδέ γε θαυμαστόν τι γίνεται τῷ τυράννῳ ἢ τῷ ἰδιώτῃ ὧν ἐπιθυμεῖ. ὁ μὲν γὰρ ἰδιώτης, ἢ ἀγροῦ, ἢ οἰκέτου ἐπιθυμεῖ. ὁ δὲ τύραννος, ἢ πόλεως ἢ χώρας πολλῆς ἐνειλημμένων, ἢ ἀκροπόλεων ἰσχυρῶν, ἃ πολύ ἐστι χαλεπώτερα καὶ ἐπικινδυνώτερα κατεργάζεσθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων, ἀλλὰ μὴν καὶ πένητας ὄψει ὀλίγους τῶν ἰδιωτῶν, πολλοὺς δὲ τῶν τυράννων, οὐ γὰρ τῷ ἀριθμῷ οὔτε τὰ πολλὰ κρίνεται, οὔτε τὰ ἱκανά, ἀλλὰ πρὸς τὰς χρήσεις. ὥστε τὰ μὲν ὑπερβάλλοντα τὰ ἱκανὰ πολλά ἐστι. τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα, ὀλίγα. τῷ οὖν τυράννῳ τὰ πολλαπλάσια ἧττον ἱκανά ἐστιν, ἢ τὰ ἀναγκαῖα δαπανήματα τῷ ἰδιώτῃ, καὶ γὰρ τοῖς μὲν ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν. τοῖς δὲ τυράννοις, μέγισται μὲν εἰσὶ δαπάναι, εἰς τὰς τῆς ψυχῆς φυλακάς. τὸ δὲ τούτων τι συντέμνειν, ὄλεθρος δοκεῖ εἶναι.

Ayuntamiento de Madrid

ἔπειτα δέ, ὅσοι μὲν δύνανται ἀπὸ τοῦ δικαίου ἔχειν ὧν δέονται, τί ἂν τούτους οἰκτείροις ὡς πένητας. ὅσοι δὲ ἀναγκάζονται δι᾽ ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ τούτους ἀθλίους ἄν τις δικαίως καὶ πένητας νομίζοι. οἱ τύραννοι τοίνυν πάντα ἀναγκάζονται συλᾶν ἀδίκως, διὰ τὸ εἰς τὰς ἀναγκαίας δαπάνας ἀεὶ προσδεῖσθαι χρημάτων, γιγνώσκουσι δὲ οὐδὲν ἧττον τῶν ἰδιωτῶν καὶ τοὺς ἀλκίμους, καὶ τοὺς σοφούς, καὶ τοὺς δικαίους. τούτους δὲ ἀντὶ τοῦ ἄγασθαι φοβοῦνται. τοὺς μὲν ἀνδρείους, μὴ τολμήσωσι τῆς ἐλευθερίας ἕνεκα. τοὺς δὲ σοφούς, μή τι μηχανήσωνται. τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ᾽ αὐτῶν προστατεῖσθαι. τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δὲ ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φύλακας, καὶ μήτε ἀόπλους ἔχειν ἐθέλειν, μήτε ὁπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐ χαλεπόν ἐστι πρᾶγμα. ἔτι δὲ ξένοις μᾶλλον ἢ πολίταις πιστεύειν, βαρβάροις μᾶλλον ἢ Ἕλλησιν. ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν, τοὺς δὲ δούλους ἐλευθέρους ἀναγκάζεσθαι ποιεῖν, οὐ πάντα ταῦτά σοι δοκεῖ ψυχῆς ὑπὸ φόβων παραπεπληγμένης τεκμήρια εἶναι; ὁ δέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρομαρτῶν λυμαντήρ ἐστιν.

Ἀντισθένης ὁ φιλόσοφος, τοὺς δημίους εὐσεβεστέρους ἔλεγεν εἶναι τῶν τυράννων, πυθομένου δέ τινος τὴν αἰτίαν, ἔφη· ὅτι ὑπὸ μὲν τῶν δημίων, οἱ ἀδικοῦντες ἀναιροῦνται. ὑπὸ δὲ τῶν τυράννων, οἱ μηδὲν ἁμαρτάνοντες.

Ἀλλ᾽ ἐγὼ βούλομαι ἡδονήν τινα τῷ τυράννῳ μηνῦσαι. εἰ μὲν ἀνθρωπίνην θέλεις ὦ Διονύσιε, πείνησον ἵνα φάγῃς. δίψησον ἵνα πίῃς. εἰ δὲ δεξιάν τινα καὶ ὑπέρτερον ἡδονὴν καὶ τηλικαύτην ἡλίκην οὐδεὶς πρὸ σοῦ, ἀπόθου τὴν τυραννίδα, τῶν γὰρ μυρίων καὶ πεντακισχιλίων χλαμύδων δεόμενον, οὐκ ἔστι μὴ πλειόνων δεῖσθαι. οἷς γὰρ ἔχω προσδεόμενος, ἀφελὼν ὧν ἔχω, ἀρκοῦμαι οἷς ἔχω. Φαβωρίνου

Φάλαρις ἀκραγαντίνων τύραννος, ἀπότομος καὶ ἀπαθὴς ὑπάρχων, ξέναις καὶ παρευρημέναις βασάνοις, ἔτρυχε καὶ ἐξέβλου τοὺς ὁμοφύλους. Περίλαος δὲ τῇ τέχνῃ χαλκουργὸς κατασκευάσας δάμαλιν, ἔδωκε τῷ βασιλεῖ δῶρον, ἵνα τοὺς ξένους εἰς αὐτὴν βάλλων, κατακαίῃ ζῶντας. μυκηθμὸν δὲ ἡ δάμαλις ἀναδίδου τῷ φυσικῷ παρόμοιον. φάλαρις δὲ τότε μόνον γενόμενος δίκαιος, αὐτὸν τὸν τεχνίτην πρῶτον ἐνέβαλεν. Δωροθέου ἐν αʹ. σικελικῶν.

Ἆρ᾽ οὖν οὐκ ἐν τοιούτῳ δεσμωτηρίῳ δέδεται ὁ τύραννος φύσει ὢν διελη- Πλάτωνος

λύθαμεν, πολλῶν καὶ παντοδαπῶν φόβων καὶ ἐρώτων μεστός; λίχνῳ δὲ ὄντι αὐτῷ τὴν ψυχὴν, μόνῳ τῶν ἐν τῇ πόλει, οὔτε ἀποδημῆσαι ἔξεστιν οὐδαμόσε, οὔτε θεωρῆσαι, ὅσων δὴ καὶ οἱ ἄλλοι ἐλεύθεροι ἐπιθυμηταί εἰσι. καταδεδυκὼς δὲ ἐν τῇ οἰκίᾳ, τὰ πολλὰ ὥσπερ γυνὴ ζῇ, φθονῶν καὶ τοῖς ἄλλοις πολίταις ἐάν τις ἔξω ἀποδημῇ, καί τι ἀγαθὸν ὁρᾷ· παντάπασι μὲν οὖν ἔφη· οὐκοῦν τοῖς τοιούτοις κακοῖς, πλείω καρποῦται ἀνὴρ, ὃς ἂν κακῶς ἐν ἑαυτῷ πολιτευόμενος, ὃν νῦν δὴ σὺ ἀθλιώτατον ἔκρινας τὸν τυραννικὸν, μὴ ὡς ἰδιώτης καταβιῷ, ἀλλ᾽ ἀναγκασθῇ ὑπό τινος τύχης τυραννεῦσαι, καὶ ἑαυτοῦ ὢν ἀκράτωρ, ἄλλων ἐπιχειρήσει ἄρχειν, ὥσπερ εἴ τις κάμνοντι σώματι καὶ ἀκράτορι ἑαυτοῦ μὴ ἰδιωτεύων, ἀλλ᾽ ἀγωνιζόμενος πρὸς ἄλλα σώματα καὶ μαχόμενος ἀναγκάζοιτο διάγειν τὸν βίον. παντάπασιν ἔφη ὁμοιότατά τε καὶ ἀληθέστατα λέγεις ὦ σώκρατες· οὐκοῦν ἦν δ᾽ ἐγὼ ὦ φίλε γλαύκων παντελῶς τὸ πάθος ἄθλιον, καὶ τοῦ ὑπὸ σοῦ κριθέντος χαλεπώτατα ζῆν, χαλεπώτερον ἔτι ζῇ ὁ τυραννῶν; κομιδῇ γε ἔφη. ἔστιν ἄρα τῇ ἀληθείᾳ, κἂν εἰ μή τῳ δοκῇ, ὁ τῷ ὄντι τύραννος τῷ ὄντι δοῦλος· τὰς μεγίστας θωπείας καὶ δουλείας, καὶ κόλαξ τῶν πονηροτάτων, καὶ τὰς ἐπιθυμίας οὐδ᾽ ὁπωστιοῦν ἀποπιμπλὰς, ἀλλὰ πλείστων ἐπιδεέστατος καὶ πένης τῇ ἀληθείᾳ φαίνεται. ἐὰν δέ τις ὅλην ψυχὴν ἐπίστηται θεάσασθαι, καὶ φόβου γέμων διὰ παντὸς τοῦ βίου, σφαδασμῶν τε καὶ ὀδυνῶν πλήρης, εἴπερ τῇ τῆς πόλεως διαθέσει ἧς ἄρχει ἔοικεν. ἔοικε γάρ; καὶ μάλα ἔφη· οὐκοῦν καὶ πρὸς τούτοις ἔτι ἀποδώσομεν τῷ ἀνδρὶ, καὶ ἃ τὸ πρότερον εἴπομεν· ὅτι ἀνάγκη καὶ εἶναι, καὶ ἔτι μᾶλλον γίγνεσθαι αὐτῷ ἢ πρότερον διὰ τὴν ἀρχὴν φθονερῷ, ἀπίστῳ, ἀδίκῳ, ἀφίλῳ, ἀνοσίῳ, πάσης κακίας πανδοκεῖ τε, καὶ τροφεῖ, καὶ ἐξ ἁπάντων τούτων, μάλιστα μὲν αὐτῷ δυστυχεῖ εἶναι, ἔπειτα δὲ καὶ τοὺς πλησίον αὐτῷ τοιούτους ἀπεργάζεσθαι. οὐδείς σοι ἔφη τῶν νοῦν ἐχόντων ἀντερεῖ.

Ayuntamiento de Madrid

## ΠΕΡΙ ΠΟΛΕΜΟΥ

### ΛΟΓΟΣ. μή.

Φιλεῖ τι πόλεμος, οὐ πάντ' εὐτυχεῖν· Εὐριπίδου.
ἐσθλῶν δὲ χαίρει πτώμασιν νεανίσκων.
κακοὺς δὲ μισεῖ. τῇ πόλει μὲν οὖν νόσος
τόδ' ἐστί, τοῖσι δὲ κατθανοῦσιν, εὐκλεές.
Χαλκείη γενεὴ προτέρων ὀλοώτεροι ἄνδρες, Ἀράτου
οἳ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν, φαινόμενα
εἰνοδίην. πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων.
Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος, Ὁμήρου.
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαλθώσει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.
Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ Τυρταίου
θαρσεῖτ' οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε μηδὲ φοβεῖσθε.
ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω.
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας αὐγαῖσιν ἠελίοιο φίλας.
ἴστε γὰρ ὡς Ἄρεως πολυδακρύου ἔργ' ἀΐδηλα,
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου,
καὶ μετὰ φευγόντων διωκόντων τ' ἐγένεσθε.
ὦ νέοι. ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε,
οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες,
ἔς τ' αὐτοσχεδίην, καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω.
τρεσσάντων δ' ἀνδρῶν, πᾶσ' ἀπόλωλ' ἀρετή.

οὐδεὶς ἄν ποτε ταῦτα λέγων, ἀνύσαιεν ἕκαστα,
ὅσ᾽ ἂν αἰσχρὰ πάθῃ γίνεται ἀνδρὶ κακά,
ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ,
αἰσχρὸν δ᾽ ἐστὶ νέκυς κατακείμενος ἐν κονίῃσι.
νῶτον ὄπισθ᾽ αἰχμῇ δουρὸς ἐληλάμενος.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι,
στηριχθεὶς ἐπὶ γῆς χεῖλος ὀδοῦσι δακών.
μηρούς τε, κνήμας τε κάτω, καὶ στέρνα καὶ ὤμους,
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος.
δεξιτερῇ δ᾽ ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος.
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
ἔρδων δ᾽ ὄβριμα ἔργα, διδασκέσθω πολεμίζειν,
μὴ δ᾽ ἐκτὸς βελέων ἑστάτω ἀσπίδ᾽ ἔχων,
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ,
ἢ ξίφει οὐτάζων, δήϊον ἄνδρ᾽ ἑλέτω,
καὶ πόδα πὰρ ποδὶ θεὶς, καὶ ἐπ᾽ ἀσπίδος ἀσπίδ᾽ ἐρείσας.
ἐν δὲ λόφον τε λόφῳ, καὶ κυνέην κυνέῃ,
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω.
ἢ ξίφεος κώπην, ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ᾽ ὦ γυμνῆτες ὑπ᾽ ἀσπίδος ἄλλοθεν ἄλλος.
πτώσσοντες, μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς.
τοῖσι πανοπλίοισι πλησίον ἱστάμενοι.

Θουκυδίδου Τοῦ πολέμου τὸ παράλογον, ὅσον ἐστὶ, πρὶν ἐν αὐτῷ γενέσθαι προδιάγνωτε, μηκυνόμενος γὰρ, φιλεῖ εἰς τύχας τὰ πολλὰ περιΐστασθαι.

Ἀλλά τε, ὅσα οὐκ ἄν τις νῦν προΐδοι, ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ. αὐτὸς δ᾽ ἐφ᾽ αὑτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ τυγχάνον. ἐν ᾧ, ὁ μὲν εὐοργήτως αὐτῷ προσομιλήσας, βεβαιότερος. ὁ δὲ ὀργισθεὶς, περὶ αὐτὸ, οὐκ ἐλάσσω πταίει.

Δημοσθένους. Πόλεμος ἔνδοξος, εἰρήνης αἰσχρᾶς αἱρετώτερος.

Ἀντισθένης ὁ σωκρατικὸς, εἰπόντος τινὸς, ὅτι ὁ πόλεμος ἀπολλεῖ τοὺς πένητας, πολλοὺς μὲν οὖν ποιήσει.

Ἀρχίδαμος ὁ ἀγησιλάου, ἰδὼν βέλος τότε πρῶτον ἐκ σικελίας κομισθὲν, ἀνεβόησεν.

Ayuntamiento de Madrid

κινεβόησεν· ὦ ἡράκλεις· ἀπόλωλεν ἀνδρὸς ἀρετή.

Ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν· ἀγαθῶν δὲ, ἀδικουμένους, ἐκ μὲν εἰρήνης, πολεμεῖν· εὖ δὲ παρασχὸν, ἐκ πολέμου πάλιν ξυμβῆναι. καὶ μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι, μήτε τῷ ἡσύχῳ τῆς εἰρήνης ἡδόμενον, ἀδικεῖσθαι, ὅτε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν, τάχιστ' ἂν ἀφαιρεθείη τῆς ῥᾳστώνης τὸ τερπνὸν, δι' ὅπερ ὀκνεῖ, εἰ ἡσυχάζοι ὅ,τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων, οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος, πολλὰ γὰρ κακῶς γνωσθέντα, ἀβουλοτέρων τῶν ἐναντίων τυχόντα, κατώρθωκε. καὶ ἔτι πλείω τὰ καλῶς δοκοῦντα βουλευθῆναι, ἐς τοὐναντίον αἰσχρῶς περιέστη, ἐνθυμεῖται γὰρ οὐδεὶς ὅμοια τῇ πίστει καὶ ἔργῳ ἐπεξέρχεται. ἀλλὰ μετ' ἀσφαλείας μὲν, δοξάζομεν, μετὰ δέους δ' ἐν τῷ ἔργῳ ἐλλείπομεν. Θουκυδίδου

Ἣν γὰρ καλοῦσι τῶν ἀνθρώπων οἱ πλεῖστοι εἰρήνην, τοῦτ' εἶναι μόνον ὄνομα. τῷ δὲ ἔργῳ, πάσαις πρὸς πάσας ἀεὶ τὰς πόλεις πόλεμον ἀκήρυκτον κατὰ φύσιν εἶναι. καὶ σχεδὸν ἀνευρήσεις οὕτω σκοπῶν τὸν κρητῶν νομοθέτην, ὡς εἰς τὸν πόλεμον ἅπαντα δημοσίᾳ καὶ ἰδίᾳ τὰ νόμιμα ἡμῶν ἀποβλέπων, ξυνετάξατο, καὶ κατὰ ταῦτα οὕτω φυλάττειν παρέδωκε τοὺς νόμους, ὡς τῶν ἄλλων οὐδενὸς οὐδὲν ὄφελος ὂν, οὔτε κτημάτων, οὔτε ἐπιτηδευμάτων· ἂν μὴ τῷ πολέμῳ ἄρα κρατῇ τις, πάντα δὲ τὰ τῶν νικωμένων ἀγαθὰ. τῶν νικώντων γίγνεσθαι. Πλάτωνος

Ἐπίστασθε γὰρ δὴ ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα, ἀλλ' ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς ἐρρωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τούτους ὡς ἐπὶ τὸ πολὺ οἱ ἐναντίοι οὐ δέχονται. Ξενοφῶντος.

Καὶ μὴν ὦ μενέξενε πολλαχῇ κινδυνεύει καλὸν εἶναι τὸ ἐν πολέμῳ ἀποθνήσκειν, καὶ γὰρ ταφῆς καλῆς τε καὶ μεγαλοπρεποῦς τυγχάνει. καὶ ἐὰν πένης τις ὢν τελευτήσῃ, καὶ ἐπαίνου αὖ ἔτυχε. καὶ ἐὰν φαῦλος ᾖ, ὑπ' ἀνδρῶν σοφῶν τε, καὶ οὐκ εἰκῇ ἐπαινούντων. ἀλλ' ἐκ πολλοῦ χρόνου λόγους παρεσκευασμένων. Πλάτωνος

X



Ayuntamiento de Madrid

## ΕΡΑΙΝΟΣ ΤΟΛΜΗΣ,

### ΛΟΓΟΣ. μθ΄.

Τυρταίου. Οὔτ᾽ ἂν μνησαίμην, οὔτ᾽ ἂν λόγῳ ἄνδρα τιθείην,
οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαιμοσύνης.
οὐδ᾽ εἰ κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων θρηΐκιον βορέην,
οὐδ᾽ εἰ τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ μίδεω καὶ κινυρέοιο μᾶλλον.
οὐδ᾽ εἰ τανταλίδεω πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ᾽ ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ᾽ εἰ πᾶσαν ἔχοι δόξαν, πλὴν θούριδος ἀλκῆς.
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ,
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
καὶ δηΐων ὀρέγοι τ᾽ ἐγγύθεν ἱστάμενος.
ἥδ᾽ ἀρετή, τόδ᾽ ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον.
κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ νέῳ.

Εὐριπίδου. Ο ὐκ ἔστι κρεῖττον ἄλλο, πλὴν κρατεῖν δορί.
τολμᾶν δὲ χρεών. ὁ γὰρ ἐν καιρῷ μόχθος πολλὴν
εὐδαιμονίαν τίκτει θνητοῖσι τελευτῶν.

Ν εανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί,
οὐδεὶς γὰρ ὢν ῥάθυμος εὐκλεὴς ἀνήρ.
ἀλλ᾽ οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν.

Τυρταίου Ξ υνὸν δ᾽ ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ,
νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται.
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δὲ πεσεῖν τὸν πλησίον ἄνδρα παρεστώς.
οὗτος ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ.

Ayuntamiento de Madrid

αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας,
τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης.
αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμόν.
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις.
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.
οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' αὐτοῦ.
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίνεται ἀθάνατος.
ὅντιν' ἀριστεύοντα, μένοντά τε μαρνάμενόν τε,
γῆς πέρι καὶ παίδων θοῦρος ἄρης ὀλέσῃ.
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ.
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί.
πολλὰ δὲ τερπνὰ παθὼν, ἔρχεται εἰς ἀΐδην.
γηράσκων δ' ἀστοῖς μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν, οὔτ' αἰδοῦς, οὔτε δίκης ἐθέλει.
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι, οἵ τε κατ' αὐτὸν
εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι,
πειράσθω θυμὸν, μὴ μεθιεὶς πόλεμον.

Σὺν τοῖσι δεινοῖς αὔξεται κλέος βροτοῖς. Εὐριπίδου.

Ἐμὲ δ' ἄρ' οὐ μοχθεῖν δίκαιον; τίς δ' ἀμόχθητος εὐκλεὴς
τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο.

Τόλμ' ἀεὶ, κἄν τι τραχὺ νέμωσιν θεοί.

Ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν.

Οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι.
τολμήμασι δὲ καὶ χερῶν ὑπερβολαῖς,
ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.

Τά τοι μέγιστα πάντ' ἀπεργάζεται βροτοῖς,
τόλμα, ὥστε νικᾶν, οὔτε γὰρ τυραννίδες.



Ayuntamiento de Madrid

χωρὶς πόνου γένοιτ' ἂν, οὔτ' οἶκος μέγας.
Π ολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ
κρείσσων. τί γὰρ δεῖ δειλὸν ὄντ' εὐσωματεῖν.
κρεῖττον τ' ἀμείνων, κατθανεῖν γὰρ εὐκλεῶς,
ἢ ζῆν θέλοι μ' ἂν δυσκλεῶς γε κατθανών.
Ν εανίας γὰρ ὅστις ὢν ἄρη στυγῇ.
κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ.
ὁρᾷς τὸν εὐτράπελον, ὡς ἡδὺς βίος;
ὅτ' ὄλβος ἔξωθεν τίς ἐστι πραγμάτων;
ἀλλ' οὐκ ἔνεστι στέφανος, οὐδ' εὐανδρεία
ᾗ μή τι καὶ τολμῶσι κινδύνου μέτα,
οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρείαν.
ἡ δ' εὐλάβεια, σκότον ἔχει ἀν' Ἑλλάδα,
τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.

Ὁμήρου. Τ οῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλη,
οὐδέ οἱ ἀτρέμας ἐρητύεται ἐνὶ φρεσὶ θυμός,
ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει.
κῆρας ὀϊομένῳ, πάταγος δέ γε γίνετ' ὀδόντων.
τοῦ δ' ἀγαθοῦ, οὔτ' ἂρ τρέπεται χρὼς, οὔτέ τι ταρβεῖ.

Δημοκρ. Τ όλμα πρήξιος ἀρχὴ, τύχη δὲ τέλεος κυρίη.

Εὐήνου. Π ρὸς σοφίαν μὲν ἔχειν τόλμαν, μάλα σύμφορόν ἐστι,
χωρὶς δὲ βλαβερὴ, καὶ κακότητα φέρει.

Ἀντιφάνους. Ε πεὶ γὰρ ἀποθνήσκειν ἀνάγκη γίνεται, τὸ προῖκ' ἀποθανεῖν, ἔστι φανερὰ ζημία.

Καλλίνου. Μ έχρις τοῦ κατάκεισθε. κότ' ἄλκιμον ἕξετε θυμὸν,
ὦ νέοι. οὐδ' αἰδεῖσθ' ἀμφιπερικτίονας,
ὧδε λίην μεθιέντες, ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.
καί τις ἀποθνήσκων, ὕστατ' ἀκοντισάτω,
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι.
γῆς πέρι καὶ παίδων, κουριδίης τ' ἀλόχου
δυσμενέσιν, θάνατος δέ ποτ' ἔσσεται, ὁππότε κεν δὴ
μοῖραι ἐπικλώσωσ'. ἀλλά τις ἰθὺς ἴτω,
ἔγχος ἀνασχόμενος, καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἔλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.

οὐ γάρ κως

Ayuntamiento de Madrid

οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
ἀνδρ', οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων,
πολλάκι δηϊοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
ἀλλ' ὁ μὲν, οὐκ ἔμπας δήμῳ φίλος, οὐδὲ ποθεινός.
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ,
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρός.
θνήσκοντος, ζωὼν δ' ἄξιος ἡμιθέων.
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν,
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

Οὐκ ἔστι τόλμης ἐφόδιον μεῖζον βίου. Μενάνδρου

Καὶ γὰρ συνάπταις βραχεῖ πολὺς σιδήρῳ κείρεται πεύκης κλάδος·
καὶ βαιὸς ὄχλος μυρίας λόγχης κρατεῖ.

Ο μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει. Πινδάρου.

Εἷς μυρίους ὄρνιθας ἀετὸς στοβεῖ. Σωσιθέου.
λαῶν τε δειλῶν πλῆθος εὖ φραχθεὶς ἀνήρ.

Φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους. Σοφοκλ.

Αλλ' ἄρης φιλεῖ ἀεὶ τὰ λῷστα πάντα τ' ἀνθρώπων στρατοῦ. Αἰσχύλου

Τὰ γὰρ τολμηρὰ τῶν ὄχλων, ἔχει ἐν τοῖς λογισμοῖς μὲν τὰς ἐπιδείξεις δυσκόλους. ἐν τῷ δὲ πράττειν, ἀναλαβὼν τὸν καιρὸν εὖ, ἀπροσδόκητόν τι τῆς τέχνης ἐξεύρατο. Μενάνδρου

Μᾶλλον εὐλαβοῦ ψόγον, ἢ κίνδυνον, δεῖ γὰρ εἶναι τοῖς μὲν φαύλοις φοβερὰν τὴν τοῦ βίου τελευτήν. τοῖς δὲ σπουδαίοις, τὴν ἐν τῷ βίῳ ἀδοξίαν. ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης, τὸ μὲν γὰρ τελευτῆσαι, πάντων ἡ πεπρωμένη κατέκρινεν. τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τῶν σπουδαίων ἡ φύσις ἀπένειμεν. Ἰσοκράτους.

Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν, οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους, ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην καταλείψωσιν.

Εν δὲ τῷ παρόντι δίκαιός εἰμι εἰπεῖν, ἃ οἱ πατέρες ἡμῖν ἐπέσκηπτον ἀπαγγέλλειν τοῖς ἀεὶ λειπομένοις. εἴ τι πάσχοιεν, ἡνίκα κινδυνεύσειν ἔμελλον. ἀλλὰ νομίζειν χρὴ αὐτῶν ἀκούειν ἐκείνων, ἃ ἂν ἀπαγγέλλω. ἔλεγον δὲ τάδε. ὦ παῖδες. ὅτι μὲν ἐστὲ πατέρων ἀγαθῶν, αὐτὸ μηνύει τὸ νῦν παρὸν ἡμῖν. ἐξὸν Πλάτωνος



Ayuntamiento de Madrid

ζῆν μὴ καλῶς, καλῶς αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ὑμᾶς τε καὶ τοὺς ἔπειτα ἐς ὀνείδη καταστῆσαι, καὶ πρὶν τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχύναι ἡγούμενοι τῷ τοὺς αὑτοῦ αἰσχύνοντι, ἀβίωτον εἶναι. καὶ τῷ τοιούτῳ, οὔτε τινὰ ἀνθρώπων, οὔτε θεῶν φίλον εἶναι. οὔτ᾽ ἐπὶ γῆς, οὔτ᾽ ὑπὸ γῆς τελευτήσαντι. χρὴ οὖν μεμνημένους τῶν ἡμετέρων λόγων, ἐάν τι καὶ ἄλλο ἀσκῆτε, ἀσκεῖν μετ᾽ ἀρετῆς, εἰδότας ὅτι τούτου λειπόμενα πάντα, καὶ κτήματα καὶ ἐπιτηδεύματα, καὶ αἰσχρὰ καὶ κακά, οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ μετὰ ἀνανδρείας, ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ καὶ οὐχ ἑαυτῷ, οὔτε κάλλος σώματος καὶ ἰσχὺς, δειλῷ καὶ κακῷ ξυνοικοῦντα, πρέποντα φαίνεται, ἀλλ᾽ ἀπρεπῆ καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα, καὶ ἐκφαίνει τὴν δειλίαν. πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης. καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία, οὐ σοφία φαίνεται. ὧν ἕνεκα καὶ πρῶτον καὶ ὕστερον καὶ διαπαντὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθε ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ τοὺς πρόσθεν εὐκλείᾳ. εἰ δὲ μή, ἴστε ὡς ἡμῖν, ἐὰν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει, ἡ δὲ ἧττα ἐὰν ἡττώμεθα, εὐδαιμονίαν. μάλιστα δ᾽ ἂν νικώμεθα, καὶ ὑμεῖς νικῶτε· εἰ παρασκευάζεσθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησάμενοι μὴ δ᾽ ἀναλώσαντες αὐτὴν γνόντες ὅτι ἀνδρὶ οἰομένῳ τι εἶναι, οὐκ ἔστιν αἴσχιον παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι᾽ ἑαυτὸν, ἀλλὰ διὰ δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής. χρῆσθαι δὲ καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι αἰσχρὸν καὶ ἄνανδρον, ἀπορείᾳ ἰδίων αὑτοῦ κτημάτων τε, καὶ εὐδοξιῶν. καὶ ἐὰν μὲν ταῦτα ἐπιτηδεύσητε φίλοι, παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν ὑμᾶς ἡ προσήκουσα μοῖρα κομίσῃ. ἀμελήσαντας δὲ ὑμᾶς καὶ κακισθέντας, οὐδεὶς εὐμενῶς δέξεται.

Ayuntamiento de Madrid

## ΛΟΓΟΣ. ν'.

Κακόν γε θνητοῖς τὸ νέον· ἐν δὲ τῷ νέῳ, — Εὐριπίδου
τὸ μὴ δίκαιον, ὅστις ἀνθρώπων ἔχει.
Νεότης μ᾽ ἐπῆρε, καὶ θράσος τοῦ νοῦ πλέον.
Παπαί· νέος καὶ σκαιὸς οἷος εἶς ἀνήρ.

Νεανίας τε καὶ πένης σοφὸς θ᾽ ἅμα
ταῦτ᾽ εἰς ἓν ἐλθόντ᾽ ἄξι᾽ ἐνθυμήσεως.

Νέων γὰρ ἀνδρῶν πολλὰ κάμπτονται φρένες. — Ἀγάθωνος

Νέος φιλοδοξῶν πρώϊμος πονηρία. — Μητροδώρου.

Τὸ νέον ἅπαν ὑψηλόν τε καὶ θρασύ. — Μενάνδρου

Μὴ τοῦτο βλέψῃς, εἰ νεώτερος λέγω,
ἀλλ᾽ εἰ φρονούντως τοὺς λόγους ἀνδρὸς ἐρῶ.

Οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν,
ἀλλ᾽ ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων.

Ἥβης ἐκείνης· νοῦ δὲ τοῦδε καὶ φρενῶν καταλληλος. — Κρατίνου

Ἥβη καὶ νεότης, ἐπικουφίζει νόον ἀνδρός. — Θεόγνιδος
πολλῶν δ᾽ ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Τῷ γὰρ ὄντι ἡ νεότης, εἰς πᾶν ἐπίδοσιν ἔχει. — Πλάτωνος

Τὸ δὲ τοσόνδε οἶδε· ὅτι πᾶν ζῶον ὅσον αὐτῷ προσήκει νοῦν ἔχειν τελεωθέντι τοῦτον καὶ τοσοῦτον οὐδὲν ἔχον ποτὲ φύεται. ἐν τούτῳ δὴ τῷ χρόνῳ ἐν ᾧ μή πω κέκτηται τὴν οἰκείαν φρόνησιν πᾶν μαίνεταί τε καὶ βοᾷ ἀτάκτως. καὶ ὅτ᾽ ἂν ἀκτουνώσῃ ἑαυτό, τάχιστα ἀτάκτως αὖ πηδᾷ. — Τοῦ αὐτοῦ νόμων β'.

Χαλεπὸν καταμαντεύεσθαι περὶ τῶν νέων· ἀστόχαστος γὰρ ἡλικία, καὶ πολλὰς ἔχουσα μεταβολὰς, ἄλλοτε ἐπ᾽ ἄλλο φερομένη. — Θεοφάνους

Τὰ γὰρ τῶν νέων ἤθη· πολλὰς μεταβολὰς ἐν τῷ βίῳ μεταβάλλειν ἑκάστοτε πέφυκε. — Πλάτωνος νόμων ιά.

Χρῶν δὲ καὶ νόμων εἶναι, μὴ ἐρᾶν παίδων· ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀναλίσκηται, τὸ γὰρ τῶν παίδων τέλος, ἄδηλον· οἷ τελευτᾷ κακίας ἢ ἀρετῆς, ψυχῆς τε πέρι καὶ σώματος.

Αἰεὶ δ᾽ ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται. — Ὁμήρου.



Ayuntamiento de Madrid

## ΛΟΓΟΣ να.

Μενάνδρου. Οἱ μόνον χρὴ, καὶ μόνον ἐλεύθερον.
Στρατεία δ' οὐ φέρει περιουσίαν οὐδεμίαν,
ἐφήμερον δὲ καὶ πρόπετη βίον.
οὐ πεῖραν ἔχομεν, ὄντος οὐ σωτήριον.

Εὐλοιδόρητον ὡς ἔοικε φαίνεται.
τὸ τοῦ στρατιώτου σχῆμα, καὶ τὸ τοῦ ξένου.

Αὐτοῦ. Κομψὸς στρατιώτης οὐδ' ἂν εἰ πλάττοι θεὸς οὐδεὶς γένοιτ' ἄν.

Ἀπολλω. Ταχύ γε στρατιώτης γέγονας ἀντ' ἐλευθέρου.

Φιλήμ. Στρατιῶται οὐκ ἄνθρωποι. καὶ σιτούμεθ' ὡς τὰ ἱερεῖα. ἵν' ὅταν ᾖ καιρὸς τυθῆς.

Ἀντιφάνους. Τίς δ' οὐχὶ θανάτου μισθοφόρων ὦ φίλτατε. οὗ ἕνεκα τοῦ ζῆν ἔρχεται ἀποθανούμενος.

Ἰσοκράτ. Ῥώμη δὲ μετὰ μὲν φρονήσεως, ὠφέλησεν, ἄνευ δὲ ταύτης, πλείω τοὺς ἔχοντας ἔβλαψε. καὶ τὰ σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν.

Ἔτι δὲ κολάσεως ἀπαραίτητος φόβος, αἴτιός ἐστιν ἀπονοίας. ὁ γὰρ ὄλεθρον αὐτοῦ προλαβὼν, ὁμόσε χωρεῖ κινδύνοις.

Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεύς. θεασάμενος τὸν ἴδιον παῖδα ἄγαν προπετῶς μαχόμενον τοῖς Ἀθηναίοις εἶπεν. ἢ τῇ δυνάμει πρόσθες, ἢ τοῦ θράσους ἄφελε.

Κλέαρχος ὁ ἱστοριογράφος, εἶπε. πᾶσαν τόλμαν καὶ τὰ τῆς δυνάμεως ὑπερβαίνειν μέτρα.

Πλουτάρχου. Τί δαί σοι τοιοῦτον ἀγαθὸν εὐτυχεῖται μᾶλλον. ὡς ἕνεκα τούτου μὴ ψυχὴν μὲν τῶν ἀνθρώπων, μητέρα δὲ τῶν ἀλόγων ζώων γεγενῆσθαι τὴν φύσιν. μεγέθους καὶ ὀξύτητος, καὶ ὀξυωπίας χάριν. ἡ δὲ ἀνθρώπων ἴδιος ἰσχὺς, ὁ ψυχῆς ἐστι λογισμός. ὃ καὶ ἐλέφαντας ὑπὸ δρυμὸν εἷλε ποδάγραις. καὶ ἵππους ἐχαλίνωσε, καὶ βόας ἀρότροις ὑπέζευξε, καὶ τὰ ἐναέρια κατέσπασε καλάμοις, καὶ τὰ βύθια δεδυκότα δικτύοις ἀνήγαγε. τοῦτ' ἐστὶν ἰσχύς. ἡ δ' ἔτι μείζων, ὅταν γῆς περιόδους, καὶ οὐρανοῦ μεγέθη, καὶ ἀστέρων κύκλους διώκουσα μὴ κάμῃ. ταῦτ' ἐστὶν ἡρακλέους ἄξια. τίς γὰρ οὐκ ἂν βούλοιτο μᾶλλον ὀδυσσεὺς εἶναι, ἢ κύκλωψ.

Ἄρατος ὁ Σικυώνιος, ἐπαινοῦντός τινος ἄνθρωπον ἀπονενοημένον καὶ

θρασὺν

Ayuntamiento de Madrid

θρασὺν, καὶ διὰ τοῦτο καὶ ἐν τοῖς πολέμοις ἐκπρεπῆ, διαφέρειν ἔφη τὸ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν εἶναι νομίζειν, καὶ τὸ ζῆν τοῦ μηδενός.

Ἄνθρωποι ἰσχὺν, καὶ ῥώμην, καὶ τάχος μοῦνα ἀσκέοντες, καὶ ὅκως ταῦτα ἔχοντες ἀπὸ τούτων μούνων εὐδοκιμέωσιν ἐσπουδακότες. τῆς δὲ τῆς ψυχῆς ἐπιμέλεσθαι, οὐκ ἐκαπιγιγνόμενοι ἀγνοεῦσι. καὶ τούτων μὲν ὁκόσα κοινὰ πρὸς θηρία ἔχουσι, καὶ τῶν πολλῶν ἀσθενέστερον. τούτων μὲν ἐπιμελόμενοι, τοῦ δὲ ἐν ἑωυτοῖσι θειοτάτου, καὶ καθ' ὅτι ἄλλοις ἐστὶν, ᾧ οἷόν τε τοῖς θεοῖς ἐξομοιοῦσθαι, ἀμελέοντες. Εὐσεβίου.

Θάρσος τὸ πρὸς τὰ φοβερὰ σὺν λόγῳ, αἴνει. ἀνδρήϊα γάρ. τὴν δὲ μετὰ ἀλογίης ὁρμὴν, θράσος νόμιζε καὶ ἀποσύγε.

## ΠΕΡΙ ΣΤΡΑΤΗΓΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΠΟΛΕΜΟΝ ΧΡΕΙΩΝ, ΥΠΟΘΗΚΑΙ.

### ΛΟΓΟΣ νβ'.

Γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις σοφοί. Σοφοκλέ.
βουλαί τάγ' ἐξέπραξαν οὐ χερῶν σθένος.

Γνῶμαι πλέον κρατοῦσιν, ἢ σθένος χερῶν.

Γνώμη δὲ κρεῖσσόν ἐστιν ἢ ῥώμη χερῶν. Ἀγάθωνος

Γνώμη γὰρ ἀνδρὸς, εὖ μὲν οἰκοῦνται πόλεις. Εὐριπίδου.
εὖ δ' οἶκον, εἰς τ' αὖ πόλεμον ἰσχύει μέγα.
σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ. σὺν ὄχλῳ δ' ἀμαθία, πλέον κακόν.

Βραχύ τοι σθένος ἀνδρὸς, ἀλλὰ ποικιλίαι πραπίδων

Ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει,
ἧσσον δέδοικα τ' ἀσθενοῦς τε καὶ σοφοῦ.

Στρατηλάται τ' ἂν μυρίοι γενοίμεθα.
σοφὸς δ' ἂν εἷς τις, ἢ δύ' ἐν μακρῷ χρόνῳ

Ayuntamiento de Madrid

## Ὑποθῆκαι περὶ στρατηγῶν καὶ περὶ τῶν κατὰ πόλεμον χρειῶν.

Εἶθ' ἦν δ' ἀνὴρ σύμβουλος ὡς δρᾶσαι χρεών.
ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι χρεὼν
πέφυκεν· ἄλλῳ δ' ἄλλο πρόσκειται γέρας·
σὲ μὲν μάχεσθαι· τοὺς δὲ, βουλεύειν καλῶς.
Ὀλίγον ἄλκιμον δόρυ, κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος.
Ἔχει δὲ καὶ τοῦτ' οὐχὶ μικρὸν εὐγενὴς
ἀνὴρ, στρατηγῶν, εὔκλειάν τ' ἔχων φάτιν.
Ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ.
στρατηλάτας χρὴ, τῶν θεῶν δὲ μὴ βίᾳ.
Μισῶ δ' ὅταν τις καὶ χθονὸς στρατηλάτης,
μὴ πᾶσι πάντων προσφέρῃ μαλίγματα,
τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών.
μέλλει γὰρ αὐτοῖς οὐδὲν ἀλλ' οὖν τυγχάνον.
τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ πράσσει καλῶς.
Τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω καλῶς,
γνῶναι τὸν ἐχθρὸν ᾗ μάλιστ' ἁλώσιμος.
Ἄρξεις ἄρ' οὕτω· χρὴ δὲ τὸν στρατηλάτην
ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρατόν.
Ῥώμη δέ τ' ἀμαθὴς, πολλάκις τίκτει βλάβην.
Ἀσφαλὴς γὰρ ἐστ' ἀμείνων, ἢ θρασὺς στρατηλάτης.
Νίκη γὰρ ἀνδρῶν φονία καὶ μάχας χερῶν
δόλοισι κλέπτειν· τοῖς δ' ἀληθείας ὁδοῖς
φαύλη τις ἐστὶ, ψεύδεσι δ' αὐτῆς φίλος.
Ἴσθι τὸ τολμᾶν ἀδύνατ', ἀνδρὸς οὐ σοφοῦ.
Τὴν δ' εὐσέβειαν, εὐτυχοῦσι μὲν, καλὸν,
τιμᾶν· ὅπου δὲ πολεμίους δρᾶσαι κακῶς
θέλῃ τις, οὐδεὶς ἐμποδὼν κεῖται νόμος.
Ὅστις στρατηγεῖ μὴ στρατιώτης γενόμενος,
οὗτος ἑκατόμβην ἐξάγει τοῖς πολεμίοις.

Θουκυδίδου Ἐκ πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται, ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι, οὐχ ὁμοίως ἀκίνδυνον.

Ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται ὥσπερ τάδε, λογισμῶν ἥκιστα ἐνδεχόμενα, κινδύνου τοῦ ταχίστου προσδεῖται.

Ξενοφῶντος Καὶ λέγειν αὐτὸν ἔφασαν· ὡς δέοι τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρχοντος.

Ayuntamiento de Madrid

χοντα, ἢ τοὺς πολεμίους. ἃ μέλλοι, ἢ φύλακας φυλάξειν, ἢ φίλων ἀφέξεσθαι· ἢ ἀπροφασίστως ἰέναι τοὺς πολεμίους.

A Ἀκούσας δέ ποτε Διονυσόδωρον εἰς τὴν πόλιν ἥκειν, ἐπαγγελλόμενον στρατηγεῖν διδάξειν, ἔλεγε πρός τινα τῶν συνόντων, ὃν ᾐσθάνετο βουλόμενον τῆς τιμῆς ταύτης ἐν τῇ πόλει τυχεῖν, ἵνα κἂν ἡμῶν τις ἢ ταξιαρχῇ, ἢ λοχαγῇ σοι, ἐπιστημονέστεροι τῶν πολεμικῶν ὦμεν. λέξον ἡμῖν πόθεν ἤρξατό σε διδάσκειν τὴν στρατηγίαν. καὶ ὃς ἐκ τοῦ αὐτοῦ ἔφη, ἐς ὅπερ καὶ ἐτελεύτα, τὰ γὰρ τακτικὰ ἐμέ γε, καὶ ἄλλ' οὐδὲν ἐδίδαξεν. ἀλλὰ μὴν ἔφη ὁ Σωκράτης, τοῦτό γε πολλοστὸν μέρος ἐστὶ στρατηγίας, καὶ γὰρ παρασκευαστικὸν τῶν εἰς πόλεμον τὸν στρατηγὸν εἶναι χρὴ, καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις, καὶ μηχανικὸν, καὶ ἐργαστικὸν, καὶ ἐπιμελῆ καὶ καρτερικὸν, καὶ ἀγχίνουν, καὶ φιλόφρονά τε καὶ ὠμὸν, καὶ ἁπλοῦν, καὶ ἐπίβουλον. καὶ φυλακτικόν τε καὶ κλέπτην, καὶ προετικὸν, καὶ ἅρπαγα, καὶ φιλόδωρον, καὶ πλεονέκτην, καὶ ἀσφαλῆ, καὶ ἐπιθετικὸν, καὶ ἄλλα πολλὰ, καὶ φύσει καὶ ἐπιστήμῃ δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν. καλὸν δὲ καὶ τὸ τακτικὸν εἶναι, πολὺ γὰρ διαφέρει στράτευμα τεταγμένον, ἀτάκτου. ὥσπερ λίθοι τε καὶ πλίνθοι, καὶ ξύλα καὶ κέραμος. ἀτάκτως μὲν ἐρριμμένα, οὐδὲν χρήσιμά ἐστιν, ἐπειδὰν δὲ ταχθῇ, καὶ τῷ μὲν καὶ ἐπιπολῆ τὰ μήτε σηπόμενα, μήτε τηκόμενα, οἵ τε λίθοι καὶ ὁ κέραμος, ἐν μέσῳ δὲ αἵ τε πλίνθοι καὶ τὰ ξύλα ὥσπερ ἐν οἰκοδομίᾳ συντίθεται, τότε γίνεται πολλοῦ ἄξιον κτῆμα οἰκία. ἀλλὰ πάνυ ἔφη ὁ νεανίσκος ὦ Σώκρατες ὅμοιον εἴρηκας. καὶ γὰρ ἐν τῷ πολέμῳ τοὺς πρώτους ἀρίστους δεῖ τάττειν καὶ τοὺς τελευταίους. ἐν μέσῳ δὲ τοὺς χείρους, ἵνα ὑπὸ μὲν τῶν ἄγωνται. ὑπὸ δὲ τῶν ὠθῶνται. εἰ μὲν τοίνυν ἔφη καὶ διαγινώσκειν σε τοὺς ἀγαθοὺς, καὶ τοὺς κακοὺς ἐδίδαξεν. εἰ δὲ μὴ, τί σοι ὄφελος ὧν ἔμαθες, οὐδὲ γὰρ εἴ σε ἀργύριον ἐκέλευσε, πρῶτον μὲν καὶ τελευταῖον τὸ κάλλιστον τάττειν, μέσον δὲ τὸ χείριστον, μὴ διδάξας διαγινώσκειν τό, τε καλὸν καὶ τὸ κίβδηλον, οὐδὲν ἄν σοι ὄφελος ἦν. ἀλλὰ μὰ Δί' ἔφη, οὐκ ἐδίδαξεν, ὥστε αὐτοὺς ἂν ἡμᾶς δέοι τούς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν. τί οὖν οὐ σκοποῦμεν ἔφη. πῶς ἂν αὐτῶν μὴ διαμαρτάνοιμεν. βούλομαι ἔφη ὁ νεανίσκος. οὐκοῦν ἔφη. εἰ μὲν ἀργύριον δέοι ἁρπάζειν, τοὺς φιλαργυρωτάτους πρώτους καθιστάντες ὀρθῶς ἂν τάττοιμεν; ἔμοιγε δοκεῖ. τί δαὶ τοὺς κινδυνεύειν μέλλοντας, ἆρα τοὺς φιλοτιμοτάτους προτακτέον, οὗτοι γοῦν εἰσὶν ἔφη, οἱ ἕνεκα ἐπαίνου κινδυνεύειν ἐθέλοντες. οὐ τοίνυν οὗτοί γε ἄδηλοι, ἀλλ' ἐπιφανεῖς πανταχοῦ ὄντες, εὐαίρετοι ἂν

Τοῦ αὐτοῦ ἐν τρίτῳ ἀπομνημονευμάτων

εἶεν. ἀλλὰ μὴν ἔφη, πότερά σε τάττειν μόνον ἐδίδαξεν, ἢ καὶ ὅποι καὶ ὅπως χρηστέον ἑκάστῳ τῶν ταγμάτων. οὐ πάνυ ἔφη. καὶ μὴν πολλά γ' ἐστὶ πρὸς ἃ οὔτε ἄγειν, οὔτε τάττειν ὡσαύτως προσήκει. μὰ δί' ἔφη οὐ διεσαφήνιζεν.

Εν ταύτῳ. Ἐντυχὼν δέ ποτε στρατηγεῖν ᾑρημένῳ, τοῦ τοῦ ἕνεκα Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν. ἆρά γε ὅτι ὥσπερ τὸν ποιμένα δεῖ ἐπιμελεῖσθαι ὅπως σῶαί τε ἔσονται αἱ οἶες, καὶ τὰ ἐπιτήδεια ἕξουσι. καὶ οὗ ἕνεκεν στρατεύονται, τοῦτο ἔσται. στρατεύονται δέ, ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν. ἢ τί δή ποτε οὕτως ἐπῄνεσε τὸν Ἀγαμέμνονα εἰπών, ἀμφότερον βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής. ἆρ' ἄγ' ὅτι αἰχμητής τε κρατερὸς ἂν εἴη. οὐκ εἰ μόνος αὐτὸς εὖ ἀγωνίζοιτο πρὸς τοὺς πολεμίους. ἀλλ' εἰ καὶ παντὶ τῷ στρατοπέδῳ τούτου αἴτιος εἴη, καὶ βασιλεὺς ἀγαθός, οὐκ εἰ μόνον τοῦ ἑαυτοῦ βίου καλῶς προεστήκοι. ἀλλ' εἰ καὶ ὧν βασιλεύοι, τούτοις εὐδαιμονίας αἴτιος εἴη, καὶ γὰρ βασιλεὺς αἱρεῖται, οὐχ ἵνα ἑαυτοῦ καλῶς ἐπιμελῆται, ἀλλ' ἵνα καὶ οἱ ἑλόμενοι διὰ τοῦτον εὖ πράττωσι. καὶ στρατεύονται δὲ πάντες, ἵνα ὁ βίος αὐτοῖς, ὡς βέλτιστος εἴη, καὶ στρατηγοὺς αἱροῦνται τούτου ἕνεκα, ἵνα πρὸς τοῦτο αὐτοῖς ἡγεμόνες ὦσιν. δεῖ οὖν τὸν στρατηγοῦντα τοῦτο παρασκευάζειν τοῖς ἑλομένοις αὐτὸν στρατηγόν, καὶ γὰρ οὔτε κάλλιον τούτου ἄλλο ῥᾴδιον εὑρεῖν, οὔτε αἴσχιον τοῦ ἐναντίου. καὶ οὕτως ἐπισκοπῶν τίς εἴη ἀγαθοῦ ἡγεμόνος ἀρετή, τὰ μὲν ἄλλα περιῄρει. κατέλειπε δὲ τὸ εὐδαίμονας ποιεῖν ὧν ἂν ἡγῆται.

Καὶ ἱππαρχεῖν δέ τινι ᾑρημένῳ οἶδά ποτε αὐτὸν τοιάδε διαλεχθέντα. ἦ ἀρχή που ἔφη ἐφ' ἧς ᾕρησαι ἵππων τε ἀμβατῶν ἐστίν, ἔστι γὰρ οὖν ἔφη. ἴθι δὴ λέξον ἡμῖν τοῦτο πρῶτον, ὅπως διανοῇ τοὺς ἵππους βελτίους ποιῆσαι. καὶ ὅς, ἀλλὰ τοῦτο μὲν ἔφη, οὐκ ἐμὸν εἶναι τὸ ἔργον οἶμαι, ἀλλὰ ἰδίᾳ ἕκαστον δεῖν τοῦ ἑαυτοῦ ἵππου ἐπιμελεῖσθαι, ἐὰν οὖν ἔφη ὁ Σωκράτης παρέχωνταί σοι τοὺς ἵππους, οἱ μέν, οὕτω κακόποδας ἢ κακοσκελεῖς, ἢ ἀσθενεῖς, οἱ δέ, οὕτως ἀτρόφους ὥστε μὴ δύνασθαι ἀκολουθεῖν, οἱ δέ, οὕτως ἀναγώγους, ὥστε μὴ μένειν ὅπου ἂν σὺ τάξῃς. οἱ δέ, οὕτω λακτιστάς, ὥστε μηδὲ τάξαι δυνατὸν εἶναι, τί σοι τοῦ ἱππικοῦ ὄφελος ἔσται. ἢ πῶς δυνήσῃ τοιούτων ἡγούμενος, ἀγαθόν τι ποιῆσαι τὴν πόλιν. ἀλλὰ καλῶς γε λέγεις ἔφη καὶ πειράσομαι τῶν ἵππων εἰς τὸ δυνατὸν ἐπιμελεῖσθαι. τί δὲ τοὺς ἱππέας, οὐκ ἐπιχειρήσεις ἔφη βελτίους ποιῆσαι; ἔγωγ' ἔφη. οὐκοῦν πρῶτον μὲν ἀναβατικωτέρους ἐπὶ τοὺς ἵππους ποιήσεις; δεῖ γοῦν ἔφη. καὶ γὰρ εἴ τις αὐτῶν καταπέσοι, μᾶλλον ἂν οὕτω σώζοιτο, τί γὰρ ἐάν που

κινδυνεύειν δέῃ. πότερον ἀπάγειν τοῖς πολεμίοις ἐπὶ τὴν ἄμμον κελεύσας, ἔνθα εἰώθατε ἱππεύειν, ἢ πειράσῃ τὰς μελέτας ἐν τοιούτοις ποιεῖσθαι χωρίοις, ἐν οἵοισπερ οἱ πόλεμοι γίγνονται. βέλτιον γοῦν ἔφη καὶ τοῦτο. τί δὲ τοῦ βάλλειν τοὺς πλείστους ἀπὸ τῶν ἵππων, ἐπιμέλειάν τινα ποιήσῃ; ἔφη καὶ τοῦτο. θήγειν δὲ τὰς ψυχὰς τῶν ἱππέων, καὶ ἐξοργίζειν πρὸς τοὺς πολεμίους, ἅπερ ἀλκιμωτέρους ποιεῖ διανενόησαι; ἀλλὰ νῦν πειράσομαι ἔφη. ὅπως δέ σοι πείθονται οἱ ἱππεῖς, πεφρόντικάς τι; ἄνευ γὰρ δὴ τούτου, οὔτε ἵππων οὔτε ἱππέων ἀγαθῶν καὶ ἀλκίμων, οὐδὲν ὄφελος. ἀληθῆ λέγεις ἔφη. ἀλλὰ πῶς ἄν τις μάλιστα ἔφη ὦ Σώκρατες ἐπὶ τοῦτο αὐτοὺς προτρέψαιτο. ἐκεῖνο μὲν δή που οἶσθα, ὅτι ἐν παντὶ πράγματι οἱ ἄνθρωποι τούτοις μάλιστα ἐθέλουσι πείθεσθαι, οὓς ἂν ἡγῶνται βελτίστους εἶναι, καὶ γὰρ ἐν νόσῳ ὃν ἂν ἡγῶνται ἰατρικώτατον εἶναι, τούτῳ μάλιστα πείθονται. καὶ ἐν πλοίῳ οἱ πλέοντες, ὃν ἂν κυβερνητικώτατον. καὶ ἐν γεωργίᾳ, ὃν ἂν γεωργικώτατον; καὶ μάλα ἔφη. οὐκοῦν εἰκός τε καὶ ἐν ἱππικῇ, ὃς ἂν μάλιστα εἰδὼς φαίνηται, ἃ δεῖ ποιεῖν, τούτῳ μάλιστα ἐθέλειν τοὺς ἄλλους πείθεσθαι. ἐὰν οὖν ἔφη ἐγὼ ὦ Σώκρατες βέλτιστος ὢν αὐτῶν δῆλος ὦ, ἀρκέσει μοι τοῦτο εἰς τὸ πείθεσθαι αὐτοὺς ἐμοί; ἐάν γε πρὸς τοῦτο ἔφη διδάξῃς αὐτούς, ὡς τὸ πείθεσθαί σοι κάλλιόν τε, καὶ σωτηριώτερον αὐτοῖς ἔσται. πῶς οὖν ἔφη τοῦτο διδάξω. πολὺ νὴ δί' ἔφη ῥᾷον, ἢ εἴ σε δέοι διδάσκειν, ὡς τὰ κακὰ τῶν ἀγαθῶν ἀμείνω καὶ λυσιτελέστερά ἐστι. λέγεις ἔφη σὺ τὸν ἵππαρχον πρὸς τοῖς ἄλλοις, ἐπιμελεῖσθαι δεῖν καὶ τοῦ δύνασθαι λέγειν. σὺ δ' ᾤου ἔφη χρῆναι σιωπῇ ἱππαρχεῖν. ἢ οὐκ ἐντεθύμησαι, ὅτι ὅσα τε νόμῳ μεμαθήκαμεν κάλλιστα ὄντα, δι' ὧν γε ζῆν ἐπιστάμεθα, ταῦτα πάντα δι' ὀλίγου ἐμάθομεν. καὶ εἴ τι ἄλλο καλὸν μανθάνει τις μάθημα, δι' ὀλίγον μανθάνει. καὶ οἱ ἄριστα διδάσκοντες, μάλιστα λόγῳ χρῶνται. καὶ οἱ τὰ σπουδαιότατα μάλιστα ἐπιστάμενοι, κάλλιστα διαλέγονται.

Ο δὲ ἀτάρβαζος ἀμείβετο λέγων. ὦ βασιλεῦ, οὔτε στρατὸν τόν, ὅστις γε συνεσιν ἔχοι μέμφοιτ' ἄν, οὔτε τῶν νεῶν τὸ πλῆθος. ἤν τε πλεῦνας συλλέξῃς, τὰ δύο ταῦτα λέγω πολλῷ ἔτι πολεμιώτερα γίνονται. τὰ δὲ, δύο ταῦτα, ἐστὶ γῆ τε καὶ θάλασσα, οὔτε γὰρ τῆς θαλάσσης ἐστὶ λιμὴν τοσοῦτος, ὅστις ἐγειρομένου χειμῶνος δεξάμενος σεῦ τοῦτο τὸν ναυτικὸν φερέγγυος ἔσται διασῶσαι τὰς νέας. καί τοι οὐκὶ ἕνα αὐτὸν δεῖ εἶναι τὸν λιμένα, ἀλλὰ παρὰ πᾶσαν τὴν ἤπειρον, παρ' ἣν δὴ κομίζεαι. οὐκ ὦν δὴ ἐόντων τῶν λιμένων ὑποδεξίων, μάθε ὅτι αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι, καὶ οὐκὶ ἄνθρω- Ηροδότου.

Ayuntamiento de Madrid

ποι τῶν συμφορῶν· καὶ δὴ τῶν δύο τι τοῦ ἑτέρου ᾑρημένου, τὸ ἕτερον ἔρχομαι ἐρέων. γῆ δὲ πολεμίη δέ τοι καθίσταται, ἤθελε τοι μηδὲν ἀντίξοον καταστῆναι. τοσούτῳ τοι γίνεται πολεμιωτέρη, ὅσῳ ἂν προβαίνῃς ἑκατέρω τὸ πρόσω αἰεὶ βλεπόμενος. εὐπρηξίης γὰρ οὐκ ἔστιν ἀνθρώποις οὐδὲ μὴν πληθώρη, καὶ δή τοι ὡς οὐδενὸς ἐναντιευμένου, λέγω τὴν χώρην πλεῦνα ἐν πλεῦνι χρόνῳ γινομένην, λιμὸν τέξεσθαι. ἀνὴρ δὲ οὕτως ἂν εἴη ἄριστος, εἰ βουλευόμενος ἀῤῥωδέοι, πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ τῷ ἔργῳ.

Θουκυδίδου Γ έφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς, ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν.

Δημοσθένους. Ο ὐ γὰρ ὁμοίως οὐδείς. ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν, πολεμήσειεν ἂν καὶ τῶν ἑαυτοῦ, ἀλλ᾽ ὑπὲρ μὲν ὧν ἂν ἐλαττῶνται, μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν· ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν, οὐχ οὕτως· ἀλλ᾽ ἐφίενται μὲν, ἐάν τις ἐᾷ· ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι τοὺς ἐναντιωθέντας ἑαυτοὺς ἡγοῦνται.

Θουκυδίδου Ε ἰώθασί τε οἱ ἰσχύος τοῦ θράσει τοῖς πέλας ὥσπερ Ἀθηναῖοι νῦν ἐπιόντες, τὸν μὲν ἡσυχάζοντα, καὶ ἐν τῇ αὑτῶν μόνον ἀμυνόμενον, ἀδεέστερον ἐπιστρατεύειν· τὸν δὲ καὶ ἔξω ὅρων προαπαντῶντα, καὶ ἢν καιρὸς ᾖ, πολέμου ἄρχοντα, ἧσσον ἑτοίμως κατέχειν.

Κ αὶ νομίσατε τρία εἶναι τοῦ καλῶς πολεμεῖν, τὸ ἐθέλειν, καὶ αἰσχύνεσθαι, καὶ τοῖς ἄρχουσι πείθεσθαι.

Ε λπὶς δὲ κινδύνων παραμύθιον οὖσα, τοὺς μὲν ἀπὸ περιουσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλε· τοῖς δ᾽ ἐς ἅπαν τὸ ὑπάρχον ἀναῤῥιπτοῦσι, δάπανος γὰρ φύσει, ἅμα τε γιγνώσκεται σφαλέντων· καὶ ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν, οὐκ ἐλλείπει.

Τ ὸ γὰρ ἐπιὸν ὕστερον, δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος, καὶ μαχομένου.

Ἐκ τῶν Νικολάου ἐθῶν. Α ὑπαρχίαται τοὺς ἀδυνάτους τῶν στρατιωτῶν ἐν ταῖς ὁδοιπορίαις οὐδέποτε ζῶντας ἀπολείπουσι.

Τ ριβαλλοὶ, τέτταρας φάλαγγας ἐν ταῖς μάχαις ποιοῦνται· τὴν μὲν τῶν ἀσθενῶν, τὴν ἐχομένην τῶν κρατίστων· τὴν τρίτην τῶν ἱππέων· τελευταίαν, τὴν τῶν γυναικῶν· αἳ αὐτοὺς εἰς φυγὴν τρεπομένους κωλύουσι βλασφημοῦσαι.

Α ντισθένης ἔλεγεν· ὅτι δεῖ τοῖς πολεμίοις εὔχεσθαι τἀγαθὰ παρεῖναι χωρὶς ἀνδρείας· γίνεται οὕτως, οὐ τῶν ἐχόντων, ἀλλὰ τῶν κρατούντων.

Δημοσθένους. Α ἰσχρόν ἐστι φενακίζειν ἑαυτοὺς, καὶ ἅπαντα ἀναβαλλομένους, ὅσα ἂν ᾖ δυσχερῆ, πάντων ὑστερεῖν τῶν ἔργων, καὶ μηδὲ τοῦτο δύνασθαι μαθεῖν, ὅτι δεῖ

Ayuntamiento de Madrid

τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων. καὶ τὸν αὐτὸν τρόπον, ὥσπερ τῶν στρατευμάτων ἀξιώσειέ τις ἂν τὸν στρατηγὸν ἡγεῖσθαι, ἵν' ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττηται, καὶ μὴ τὰ συμβαίνοντα ἀναγκάζωνται διώκειν.

Οἱ ῥήτορες Ἀθήνησιν Ἰφικράτει, καὶ Τιμοθέῳ Χάρητα παρέφερον ἰσχυρὸν ὄντα, καὶ τοιοῦτον ἠξίουν εἶναι τὸν στρατηγόν. ὁ δὲ Τιμόθεος, οὐ μὰ τοὺς θεοὺς εἶπεν, ἀλλὰ τοιοῦτον μὲν εἶναι τὸν μέλλοντα τῷ στρατηγῷ τὰ στρώματα κομίζειν. τὸν δὲ στρατηγόν, ἅμα πρόσω καὶ ὀπίσω ὁρᾶν. Πλουτάρχου

Ἀντίγονος ὑποχωρῶν ποτε τοῖς πολεμίοις ἐπερχομένοις, οὐκ ἔφη φεύγειν, ἀλλὰ διώκειν τὸ συμφέρον ὀπίσω κείμενον.

Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτάνοντι. τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν, οὐκ ἔστιν εἶπεν ἐν πολέμῳ δὶς ἁμαρτάνειν.

Ἀντίγονος ἐρωτηθείς, πῶς ἄν τις ἐπιθοῖτο τοῖς πολεμίοις, εἶπεν. ἢ δόλῳ, ἠὲ βίῃ, ἢ ἀμφαδὸν ἠὲ κρυφηδόν.

Δημάδης ὁ ῥήτωρ ληφθεὶς αἰχμάλωτος ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ, ὑπὸ Φιλίππου, καὶ συσταθεὶς αὐτῷ, ἐκείνου παρὰ πότον σεμνυνομένου, ποῦ ἡ εὐγένεια καὶ ἡ ὑπεροχὴ τῆς Ἀθηναίων πόλεως, ἔγνως ἂν ἔφη ὦ βασιλεῦ, τὴν τῆς πόλεως δύναμιν, εἰ Ἀθηναίων μὲν Φίλιππος, Μακεδόνων δὲ Χάρης ἐστρατήγει.

Ἀγησίλαος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς ἐρωτηθείς, τίνα δεῖ τὸν στρατηγὸν ἔχειν, εἶπε. πρὸς μὲν τοὺς πολεμίους τόλμαν. πρὸς δὲ τοὺς ὑποτεταγμένους, εὔνοιαν. πρὸς δὲ τοὺς καιροὺς λογισμόν.

Ἐπαμινώνδας ὁ Θηβαῖος ἰδὼν στρατόπεδον μέγα, καὶ καλὸν στρατηγὸν οὐκ ἔχον, ἡλίκον ἔφη θηρίον, κεφαλὴν οὐκ ἔχει.

Ἰφικράτης ἐρωτηθείς, τίς ὢν ἐν ἐκκλησίᾳ μέγα φρονεῖς, πότερον ἱππεύς, ἢ ὁπλίτης, ἢ τοξότης, ἢ πελταστής, οὐδεὶς ἔφη τούτων, ἀλλὰ τούτοις ἐπιτάττειν πᾶσιν ἐπιστάμενος.

Χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν, τοὺς μάλιστα γινώσκοντας, τὰ τῶν πολεμίων.

Ὅστις γὰρ εὖ βουλεύεται πρὸς τοὺς ἀντιπάλους, κρείσσων ἐστίν, ἢ μετ' ἔργων ἰσχύος, ἀνοίᾳ ἐπιών. Θουκυδίδου

Ἀπάτῃ γὰρ εὐπρεπεῖ, αἴσχιόν τι τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι, ἢ βίᾳ ἐμφανεῖ. τὸ μὲν γάρ, ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν ἐπέρχεται. τὸ δέ,

Ayuntamiento de Madrid

γνώμης ἀδήλου ἐστὶ βουλή.

B εβαιότατα δ' ἄν τις τοὺς πολεμίους οὕτω βλάπτοι, εἰ ἃ μάλιστα δεδιότας αὐτοὺς αἰσθάνοιτο, ταῦτα σαφῶς πυνθανόμενος ἐπιφέροι. ἐπειδὴ γὰρ αὐτοὺς ἀκριβέστατα ἑκάστου τὰ σφέτερα αὐτῶν δεινὰ ἐπισταμένους φοβεῖσθαι.

Γαράσω. Π ύρρος ἐπιζητούντων τινῶν παρὰ πότον, πότερος κρείσσων αὐλητής, ἀντιγενίδας ἢ σάτυρος, ἐμοὶ μὲν εἶπε, στρατηγὸς πολλοὺς ὑπέρχων. διδάσκων ὅτι ἀναγκαῖα δεῖ ζητεῖν, καὶ μὴ ἄχρηστα.

Ἀ νίβαλ, ἀκούσας στωϊκοῦ τινος ἐπιχαροῦντος, ὅτι ὁ σοφὸς μόνος στρατηγός ἐστιν, ἐγέλασε. νομίζων ἀδύνατον εἶναι, ἐκτὸς τῆς δι' ἔργων ἐμπειρίας, τὴν ἐν τούτοις ἐπιστήμην σχεῖν.

Π ύρρος πρὸς τὸν ὑπισχνούμενον τὰ τακτικὰ διδάξειν, ἐν δὲ παρατάξει οὐδέποτε γεγονότα, οὐκ ἔφη δεῖσθαι ἀπειροσαλπίγκτου στρατηγοῦ.

Φ ίλιππος ἔλεγε. κρεῖττον εἶναι στρατόπεδον ἐλάφων, λέοντος στρατηγοῦντος, ἢ λεόντων ἐλάφου στρατηγοῦντος.

Ἰ φικράτης τὸ στράτευμα οὕτως ἔφασκε δεῖν συντετάχθαι, ὡς ἐν σῶμα, θώρακα μὲν ἐχόντων φάλαγγα. χεῖρας δὲ τοὺς ψιλούς. πόδας δὲ τοὺς ἱππέας. κεφαλὴν δὲ, τὸν στρατηγόν.

Φ ίλιππος ἐρωτώμενος, οὕς τινας μάλιστα φιλεῖ, καὶ οὕς τινας μάλιστα μισεῖ. τοὺς μέλλοντας ἔφη προδιδόναι, μάλιστα φιλῶ. τοὺς δ' ἤδη προδεδωκότας, μάλιστα μισῶ.

Τ ιμόθεος πρὸς τὸν ἐρωτώμενον, ᾧ διαφέρει στρατηγικὴ ῥητορικῆς, ᾧ πόλεμος ἔφη εἰρήνης.

Ξενοφῶν. Ὅ υτε γὰρ αὖ φίλους τὶς ποιήσειεν ἄλλως πως πλείονα ἀγαθὰ ἐν πολέμῳ, ἢ πολέμιος δοκῶν εἶναι. οὔτ' αὖ ἐχθροὺς πλείους τὶ βλάψειεν ἄλλως πως, ἢ φίλος δοκῶν εἶναι.

ΠΕΡΙ

Ayuntamiento de Madrid

Εὐριπίδου

Εἰρώνη βαθύπλουτε· καὶ καλλίστα μακάρων θεῶν.
Ζῆλός μοι σέθεν ὡς χρονίζεις·
δέδοικα δὲ μὴ πρὶν πόνων ὑπερβάλῃ με γῆρας,
πρὶν γὰρ χαρίεσσαν πρόσιδε ὥραν
καὶ καλλιχόρους ἀοιδὰς, φιλοστεφάνους τε κώμους.
Ἴθι μοι πότνια πόλιν τάνδε, ἐχθρ' αὖ στάσιν εἶργ' ἀπ' οἴκων
τὰν μαινομέναν τ' ἔριν, θηκτῷ τερπομέναν σιδήρῳ.

Ἀριστοφάνους.

Εἰρώνη βαθύπλουτε· καὶ ζευγάριον βοϊκόν.
εἰ γὰρ ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο·
σκάψαι τ' ἀποκλάσαι, καὶ λουσαμένῳ διελκύσαι
τῆς τρυγὸς ἄρτον λιπαρὸν, καὶ ῥάφανον φέροντι.

Βακχυλίδου παιάνων.

Τίκτει δέ τε θνατοῖσιν εἰρώνη μεγάλα·
πλοῦτον, καὶ μελιγλώσσων ἀοιδῶν ἄνθεα·
δαιδαλέων τ' ἐπὶ βωμῶν θεοῖσιν ἔθεσθε βοῶν ξανθᾶ
φλογὶ μερίταν εὐτείχων τε μήλων·
γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλαν.
ἐν δὲ σιδαροδέτοισι πόρπαξιν αἴθαν ἀράχναν,
ἱστοὶ πέλονται· ἔγχεά τε λογχατὰ,
ξίφεα τ' ἀμφάκεια δάμναται, χαλκέων
δ' οὐκέτι σαλπίγγων κτύπος· οὐδὲ συλᾶτε μελίφρον ὕπνον
ἀπὸ βλεφάρων ἄμος, ὃς θάλπει κέαρ.
συμποσίων δ' ἐρατῶν βρίθον τἀγυιαὶ,
παιδικοί θ' ὕμνοι φλέγονται.

Εὐριπίδου

Ἀρκείτω μοι μίτον ἀμφιπλέκειν ἀράχναις.
μετὰ δ' ἡσυχίας πολιῷ γήραϊ συνοικοίην,
ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας.
Θρηΐκιον πέλταν πρὸς ἀθηνᾶς.
δέλτων τ' ἀναπτύσσοιμι γῆρυν ἃν σοφοὶ κλέονται.

Φιλήμονος.

Οἱ φιλόσοφοι ζητοῦσιν ὡς ἀκήκοα,
περὶ τοῦτό θ' ἑαυτοῖς πολὺς ἀναλοῦται χρόνος,
τί ἐστιν ἀγαθόν· κοὐδὲ εἷς εὕρηκέ πω, τίς ἐστιν.
ἀρετὴν καὶ φρόνησιν φασι· καὶ πλέκουσι ταῦτα



Ayuntamiento de Madrid

μᾶλλον, ἢ τί τ' ἀγαθόν. ἐν ἀγρῷ διατρίβων.
τήν τε γῆν σκάπτων ἐγὼ, νῦν δ' ὦρον εἰρήνης
τίν' ὦ ζεῦ φίλτατε. τῆς ἐπαφροδίτου, καὶ
φιλανθρώπου θεοῦ. γάμους, ἑορτὰς, συγγενεῖς,
παῖδας, φίλους, πλοῦτον, ὑγείαν, σῖτον, οἶνον,
αὕτη δίδωσι. ταῦτα πάντ' ἂν ἐκλίπῃ,
τέθνηκε κοινῇ πᾶς ὁ τῶν ζώντων βίος.

Εὐριπίδου. Ὅταν γὰρ ἔλθῃ πόλεμος εἰς ψῆφον λεῶ,
οὐδεὶς ἔτ' αὑτοῦ θάνατον ἐκλογίζεται,
τὸ δυστυχὲς δὲ τοῦτ' ἐς ἄλλον ἐκτρέπει.
εἰ δ' ἦν παρ' ὄμμα θάνατος ἐν ψήφου φορᾷ,
οὐκ ἄν ποθ' Ἑλλὰς δορυμανὴς ἀπώλλυτο.
καίτοι δυοῖν γε πάντες ἄνθρωποι λόγοιν,
τὸν κρείττονα ἴσμεν καὶ τὰ χρηστὰ καὶ κακά.
ὅσῳ τε πολέμου κρεῖττον εἰρήνη βροτοῖς,
ἣ πρῶτα μὲν μούσαισι προσφιλεστάτη.
γόοισι δ' ἐχθρά. τέρπεται δ' εὐπαιδίᾳ,
χαίρει δὲ πλούτῳ, ταῦτ' ἀφέντες οἱ κακοὶ
πολέμους ἀν αἱρούμεθα καὶ τὸν ἥττονα
δουλούμεθ' ἄνδρες ἄνδρα καὶ πόλις πόλιν.

Ἀριστοφάνους. Ὦ μῶρε μῶρε. ταῦτα πάντ' ἐν τῇδ' ἔνι.
οἰκεῖν μὲν ἐν ἀγρῷ τοῦτον ἐν τῷ γηδίῳ
ἀπαλλαγέντα τῶν κατ' ἀγορὰν πραγμάτων,
κεκτημένον ζευγάριον οἰκεῖον βοοῖν,
ἔπειτ' ἀκούειν προβάτων βληχωμένων,
αἰγός τε φωνὴν εἰς λεκάνην ὠθουμένης.
ὄψων δὲ χρῆσθαι πινιδίοις τε καὶ κίχλαις.
καὶ μὴ περιμένειν ἐξ ἀγορᾶς ἰχθύδια
τριταῖα πολυτίμητα βεβασανισμένα,
ἐπ' ἰχθυοπώλου χειρὶ παρανομωτάτῃ.

Μενάνδρου. Ὦ πότνια βοτρυόδωρε. τί προσείπω σ' ἔπος.
πόθεν λάβοιμ' ἂν ῥῆμα μνειάμφορον.

Εἰρήνη γεωργὸν κἂν πέτραις τρέφει καλῶς.
πόλεμος δὲ, κἂν πεδίῳ κακῶς ἔφυ.

Οὐδεὶς γὰρ οὕτως ἀνόητός ἐστιν, ὅς τις πόλεμον πρὸ εἰρήνης αἱρέεται.

Ayuntamiento de Madrid

# ΠΕΡΙ ΓΕΩΡΓΙΑΣ ΟΤΙ ΑΓΑΘΩΝ.

## ΛΟΓΟΣ. ΝΔ'.

Τῆς πᾶσιν ἀνθρώποισιν εἰρήνης φίλης. Ἀριστοφά-
πιστὴ· τροφός· ταμία· συνεργός· ἐπίτροπος· νους.
θυγάτηρ· ἀδελφή· πάντα ταῦτ' ἐχρῆτό μοι.
σοὶ δ' ὄνομα δή τί ἐστιν ὅτι γεωργία.
ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα.
ἄσμενός σε ἰδὼν προσειπεῖν βούλομαι, τὰς ἀμπέλους.
Χαῖρ' ὦ φίλη γῆ, διὰ χρόνου πολλοῦ σ' ἰδών. Μενάν-
ἀσπάζομαι, τουτὶ γὰρ οὐ πᾶσαν ποιῶ δρου.
τὴν γῆν, ὅταν δὲ τοὐμὸν ἐσίδω χωρίον.
τὸ γὰρ τρέφον με τοῦτ' ἐγὼ κρίνω θεόν.
Εἶτ' οὐχὶ χρυσίον ἐστὶ πρᾶγμ' ἐρημία; Ἀμφιδος.
ὁ πατήρ γε τοῦ ζῆν ἐστὶν ἀνθρώποις ἀγρός.
πενίαν τε συγκρύπτειν ἐπίσταμαι μόνος.
ἄστυ δὲ θέατρόν ἐστιν ἀτυχίας σαφῶς γέμον.
Ἄρ' ἐστὶν ἀρετῆς καὶ βίου διδάσκαλος. Μενάν-
ἐλευθέρου τοῖς πᾶσιν ἀγρός. δρου.
Χρήιζων πλούτου, μελέτην ἔχε πίονος ἀγροῦ, Φωκυλίδου
ἀγρὸν γάρ τε λέγουσ' ἀμαλθαίης κέρας εἶναι.
Ἀποβλέπων εἰς τὸν ἀγρὸν εἰρήνης ἐρῶν, Ἀριστοφά-
στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν, νους.
ὃς οὐδὲ πώποτ' εἶπεν ἄνθρακας πρίω.
οὐκ ὄξος· ὄψον· οὐκ ἔλαιον· οὐχὶ δεῖ πρίω.
ἀλλ' αὐτὸς ἔφερε πάντα· χὠ πρίων ἀπῆν.
Ἀγροῖκος εἶναι προσποιῇ, πονηρὸς ὤν. Μενάνδρου
Οὔπω λευγαλέου τότε νείκεος ἠπίσταντο, Ἀράτου.
οὐδὲ διακρίσιος περιμεμφέος, οὐδὲ κυδοιμοῦ,
αὔτως δ' ἔζωον, χαλεπὴ δ' ἀπέκειτο θάλασσα.
καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον.
ἀλλὰ βόες, καὶ ἄροτρα, καὶ αὐτὴ πότνια λαῶν,
μυρία πάντα παρεῖχε δίκη δώτειρα δικαίων.



Ayuntamiento de Madrid

Μενάνδρου. Ως ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους ἐρημία.

Ἀριστοφάνους. Εμοὶ γὰρ ἦν ἀγροικικὸς ἥδιστος βίος.
εὐρωτιῶν, ἀκόρητος, εἰκῆ κείμενος,
βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις.

Εὐριπίδου. Τοιαῦτ᾽ ἄειδε καὶ δόξεις φρονεῖν σκάπτων.
ἀρῶν γῆν ποιμνίων ἐπιστατῶν ἄλλοις.
τὰ κομψὰ ταῦτ᾽ ἀφεὶς σοφίσματα.

Αλλη πρὸς ἄλλο γαῖα χρησιμωτέρα.

Φιλήμονος. Δικαιότατον κτῆμ᾽ ἐστὶν ἀνθρώποις ἀγρός,
ὧν ἡ φύσις δεῖται γὰρ ἐπιμελῶς φέρει.
πυρούς, ἔλαιον, οἶνον, ἰσχάδας, μέλι.
τἀργυρώματα δ᾽ ἐστὶν ἥ τε πορφύρα
εἰς τοὺς τραγῳδοὺς εὔθετ᾽ οὐκ ἐς τὸν βίον.

Ο σωκράτης, τὸ τῆς ἀμαλθείας κέρας ἐξηγούμενος, τοιαύτης τινὸς ἀναφορᾶς ἠξίωσεν· εἶναι γὰρ σύμβολον, ἂν μή τις ἢ μάλθων, ἀλλὰ ἐργάτης, πάντα ἕξειν τἀγαθά· κατὰ μὲν τὴν ἀμάλθειαν, τοῦ μὴ μάλθωνος τασσομένου· κατὰ δὲ τὸ κέρας τοῦ βοὸς ἐργατικωτάτου ὄντος, τὸν ἐργάτην ἐνσημαίνεσθαι. βότρυς δέ, ἐν τῷ κέρατι εἶναι, καὶ τὰ ὅμοια, ὅτι ἐν τῇ γεωργίᾳ πάντα ἔνεστιν ὧν χρείαν ἔχομεν· διὸ καὶ ἔχοντες αὐτὸ εἰσάγονται, ὅ, τε ἀγαθὸς δαίμων, καὶ ἡ ἀγαθὴ τύχη.

Ξενοφῶν. Οἶνος τὰς μὲν λύπας, ὥσπερ μανδραγόρας ἄνδρας κοιμίζει· τὰς δὲ φιλοφροσύνας ὥσπερ ἔλαιον φλόγα ἐγείρει.

Μουσωνίου ἐκ τοῦ τίς ὁ φιλοσόφῳ προσήκων πόρος. Εστι καὶ ἕτερος πόρος, οὐδὲν τούτου κακίων· τάχα δὲ καὶ ἀμείνων νομισθεὶς ἂν οὐκ ἀλόγως ἀνδρί γε εὐρώστῳ τὸ σῶμα ὁ ἀπὸ γῆς· ἄν τ᾽ οὖν ἰδίαν ἔχῃ τις, ἄν τε καὶ μή· πολλοὶ γὰρ δὴ καὶ ἀλλοτρίαν γῆν γεωργοῦντες, ἢ δημοσίαν, ἢ ἰδιωτικὴν δύνανται τρέφειν οὐ μόνοι αὐτοὺς καὶ τέκνα δὲ καὶ γυναῖκας· ἔνιοί γε δὲ καὶ εἰς ἄγαν ἀπὸ τούτου εὐποροῦσιν, αὐτουργικοὶ καὶ φιλόπονοι ὄντες, ἀμείβει γὰρ ἡ γῆ κάλλιστα καὶ δικαιότατα τοὺς ἐπιμελουμένους αὐτῆς πολλαπλάσια ὧν λαμβάνει διδοῦσα, καὶ ἀφθονίαν παρέχουσα πάντων τῶν ἀναγκαίων πρὸς τὸν βίον τῷ βουλομένῳ πονεῖν, καὶ ταῦτα μὲν σὺν τῷ πρέποντι, σὺν αἰσχύνῃ δ᾽ οὐδὲν αὐτῶν· οὐ γὰρ ἔστιν ἀνθρώπων οὐδείς, μὴ θρυπτικός τε μηδὲ μαλακὸς ὤν, ὃς ἂν φαίη τῶν γεωργικῶν ἔργων ὁτιοῦν, αἰσχρόν, ἢ ἀνάρμοστον ἀνδρὶ ἀγαθῷ εἶναι. πῶς μὲν γὰρ οὐ καλὸν τὸ φυτεύειν· πῶς δὲ τὸ ἀροῦν· πῶς δὲ τὸ ἀμπελουργεῖν· τὸ δὲ σπείρειν, τὸ δὲ θερίζειν.

Ayuntamiento de Madrid

δεῖξαι. τὸ δὲ ἀλλοῖον; οὐ πάντ' ἐλευθέρια ταῦτα, καὶ ἀνδράσιν ἀγαθοῖς πρέποντα; καὶ μὴν τὸ ποιμαίνειν ὥσπερ Ἡσίοδον οὐ κατῄσχυνεν, οὐδὲ ἐκώλυεν εἶναι θεοφιλῆ τε καὶ μουσικὸν, οὕτως οὐδ' ἂν ἄλλον οὐδένα κωλύσειεν. ἐμοὶ μὲν δὴ καὶ χρηστὸν τοῦτο, πάντων τῶν ἐν γεωργίαις ἔργων, ὅτι τῇ ψυχῇ παρέχει σχολὴν πλείονα, διανοεῖσθαί τε καὶ ζητεῖν παιδείας ἐχόμενον. ὅσα μὲν γὰρ ἔργα πάνυ ἐντείνει τὸ σῶμα, καὶ κάμπτει, ταῦτα καὶ τὴν ψυχὴν ἀναγκάζει πρὸς αὐτοῖς εἶναι μόνοις, ἢ μάλιστα συνεντεινομένην τῷ σώματι. ὅσα δὲ τῶν ἔργων ἐφίησι μὴ ἄγαν ἐντετάσθαι τῷ σώματ' αὐτοῦ, καὶ παρέχει τὴν ψυχὴν ἐκλογίζεσθαί τι τῶν κρειττόνων, καὶ τῶν τοιούτων λογισμῶν αὐτὴν αὑτῆς γίνεσθαι σοφωτέραν, οὗ δὴ καὶ μάλιστα πᾶς φιλόσοφος ἐφίεται. διὰ ταῦτ' ἐγὼ τὴν ποιμενικὴν ἀσπάζομαι μάλιστα, εἴγε μὴν ἅμα φιλοσοφοῖ τις καὶ γεωργοῖ. οὐκ ἄλλον ἂν παραβάλλοιμι τούτῳ βίον, οὐδὲ πορισμὸν ἕτερον προτιμήσαιμι ἄν. πῶς μὲν γὰρ οὐ κατὰ φύσιν μᾶλλον ἀπὸ γῆς, ἣ τροφός τε καὶ μήτηρ ἐστὶν ἡμῶν, ἢ ἀπ' ἄλλου τοῦ τρέφεσθαι. πῶς δ' οὐκ ἀνδρικώτερον τοῦ καθῆσθαι ἐν πόλει, ὥσπερ οἱ σοφισταὶ τὸ ζῆν ἐν χωρίῳ. πῶς δ' οὐχ ὑγιεινότερον, τοῦ σκιατροφεῖσθαι τὸ ἔξω διαιτᾶσθαι. τί δὲ ἐλευθεριώτερον, αὐτὸν αὑτῷ μηχανᾶσθαι τὰ ἀναγκαῖα, ἢ παρ' ἑτέρων λαμβάνειν. ἀλλὰ φαίνεται τὸ μὴ δεῖσθαι ἄλλου πρὸς τὰς χρείας τὰς αὑτοῦ πολὺ σεμνότερον ἢ τὸ δεῖσθαι, οὕτω δ' ἄρα καλὸν, καὶ εὐδαιμονικὸν, καὶ θεοφιλὲς τὸ ζῆν ἀπὸ γεωργίας ἐστὶ σύν γε τῷ καλοκαγαθίας μὴ ὀλιγωρεῖν, ὥστε Μύσωνα τὸν Χηναῖον ὁ θεὸς ἀνεῖπε σοφόν. καὶ τὸν ψωφίδιον Ἀγλαὸν, εὐδαίμονα προσηγόρευσε, χωριτικῶς ἑκάτερον αὐτῶν βιοῦντα καὶ αὐτουργίᾳ χρώμενον, καὶ τῆς ἐν ἄστει διατριβῆς ἀπεχόμενον. ἆρ' οὖν οὐκ ἄξιον ζηλοῦν τε καὶ μιμεῖσθαι τούτους, περιέχεσθαι σπουδῆς τοῦ γεωργεῖν; τί οὖν οὐ δεινὸν φαίη τις ἂν ἴσως ἄνδρα παιδευτικὸν, καὶ δυνάμενον προβιβάζειν νέους εἰς φιλοσοφίαν ἐργάζεσθαι γῆν; καὶ τῷ σώματι πονεῖν τοῖς χωρίταις παραπλησίως; ναί. δεινὸν ἂν τοῦτο τῷ ὄντι ἦν, εἴπερ ἐκώλυεν ἡ ἐργασία τῆς γῆς φιλοσοφεῖν, ἢ ἄλλους πρὸς φιλοσοφίαν ὠφελεῖν. νῦν δὲ καὶ μᾶλλον ἄν μοι δοκοῦσιν ὠφελεῖσθαι οἱ νέοι, οὐκ ἐν πόλει τῷ διδασκάλῳ συνόντες, οὐδ' ἐν τῇ διατριβῇ ἀκούοντες αὐτοῦ λέγοντος. ἀλλ' ἐργαζόμενον ἐπὶ τῆς ἀγροικίας ὁρῶντες, καὶ ἔργῳ ἐνδεικνύμενον, ὥσπερ ὑφηγεῖται ὁ λόγος. ὅτι χρὴ πονεῖν καὶ κακοπαθεῖν τῷ σώματι μᾶλλον, ἢ ἑτέρου δεῖσθαι τοῦ τρέφοντος. τί δὲ τὸ κωλῦόν ἐστι καὶ ἐργαζόμενον μετὰ τοῦ διδασκάλου τὸν μαθητὴν, ἀκούειν τι ἅμα περὶ σωφροσύνης περὶ δικαιοσύνης, ἢ καρτερίας λέγοντος. πολλῶν



Ayuntamiento de Madrid

μὲν γὰρ λόγων οὐ δεῖ τοῖς φιλοσοφήσουσι καλῶς· οὐδὲ τὸν ὄχλον τούτων τῶν θεωρημάτων ἀναληπτέον πάντως τοῖς νέοις, ἐφ' ᾧ φυσωμένους τοὺς σοφιστὰς ὁρῶμεν, ταῦτα γὰρ δὴ τῷ ὄντι ἱκανὰ κατατρίψαι βίον ἀνθρώπου ἐστί. τὰ δ' ἀναγκαιότατα, καὶ χρησιμώτατα μαθεῖν, οὐκ ἀδύνατον, καὶ περὶ τὴν ἐργασίαν γεωργικὴν ὄντας· ἄλλως τε καὶ οὐ διαπαντὸς ἐργαζομένους, ἀλλὰ ἀναπαύλαις χρωμένους. ὀλίγοι μὲν οὖν τὸν τρόπον τοῦτον ἐθελήσουσι μανθάνειν. οἶδ' ἀκριβῶς ἐγώ. ἔστι δὲ ἄμεινον μηδὲ προσεῖναι τῷ φιλοσόφῳ τοὺς πλείονας τῶν φιλοσοφεῖν λεγόντων νέων, ὅσοι σαθροί τε καὶ μαλακοί, δι' οὓς προσιόντας ἀναπίμπλαται κηλίδων φιλοσοφία. τῶν μὲν γὰρ ἀληθινῶν ἐραστῶν φιλοσοφίας, οὐκ ἔστιν οὐδεὶς, ὃς οὐκ ἂν ἐθελήσειε μετ' ἀνδρὸς ἀγαθοῦ διάγειν ἐν χωρίῳ, καὶ ᾖ χαλεπώτατον τύχοι ὂν τὸ χωρίον, μέλλων γε ἀπολαύειν μεγάλα ταύτης τῆς διατριβῆς, τῷ συνεῖναι τῷ διδασκάλῳ νύκτωρ καὶ μεθ' ἡμέραν, τῷ ἀπεῖναι τῶν ἀστικῶν κακῶν, ἅπερ ἐμπόδιον τῷ φιλοσοφεῖν, τῷ μὴ δύνασθαι λανθάνειν εὖ, ἢ κακῶς τι ποιῶν· ὃ δὴ μέγιστον τοῖς παιδευομένοις ὄφελος, καὶ ἐσθίειν δὲ καὶ πίνειν καὶ καθεύδειν ὑφορώμενον ὑπ' ἀνδρὸς ἀγαθοῦ, μέγα ὄφελος· ἃ δὲ γένοιτ' ἂν ἐξ ἀνάγκης ἐν τῇ συνουσίᾳ τῇ κατ' ἀγρὸν, ταῦτα ἐπαινεῖ καὶ Θέογνις ἐν οἷς φησι· καὶ μετὰ τῶν γε σύμπινε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν ἵζεο, καὶ ἄνδανε. τοῖς δ' ὧν μεγάλη δύναμις. ὅτι γε μὴν οὐκ ἄλλους τινὰς ἢ τοὺς ἀγαθοὺς ἄνδρας λέγει μεγάλην ἔχειν δύναμιν, πρὸς ἀνθρώπων ὠφέλειαν, ᾗ συνεσθίοι καὶ συμπίνοι τις αὐτοῖς καὶ συγκαθέζοιτο δεδήλωκεν. ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι. ἢν δὲ κακοῖσι συμμιγῇς, ἀπολεῖς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον. μηδὲ λεγέτω τις, ὅτι τῷ μανθάνειν, ἢ τῷ διδάσκειν ἀχρῄ, τὸ γεωργεῖν ἐμπόδιον, οὐ γὰρ ἔοικεν οὕτως ἔχειν· ᾗ δὴ μάλιστ' ἂν οὕτω καὶ ἐνθάδε πλεῖστον ὁ μὲν μανθάνων συνείη τῷ διδάσκοντι, ὁ δὲ διδάσκων διὰ χειρὸς ἔχοι τὸν μανθάνοντα. τούτου δὲ τοιούτου ὄντος, ὁ πόρος ἐκ γεωργίας φαίνεται, ὢν τῷ φιλοσόφῳ πρεπωδέστατος.

Ξενοφῶντος.

Ταῦτα δὲ ὦ Κριτόβουλε. ἐγὼ διηγοῦμαι ἔφη ὁ Σωκράτης. ὅτι περὶ τῆς γεωργίας, οὐδὲ οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. ἔοικε γὰρ ἡ ἐπιμέλεια εἶναι ἅμα τε ἡδυπάθειά τις, καὶ οἴκου αὔξησις, καὶ σωμάτων ἄσκησις, καὶ εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις, καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι, προσεπιφέρει. ἔπειτα δὲ καὶ θεοὺς κοσμοῦσι καὶ ἀγάλματα καὶ βωμοὺς, καὶ οἷς αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ

θεαμάτων παρέχει· ἔπειτα δὲ ὄψα, τὰ μὲν πολλὰ φύει, τὰ δὲ τρέφει, καὶ γὰρ ἡ προβατικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ, ὥστ᾽ ἔχειν καὶ θεοῖς ἐξαρέσκεσθαι θύοντας, καὶ ἄλλους χρῆσθαι· παρέχουσα δὲ ἀφθονώτατα, οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχει τε χειμῶνος, καὶ θάλπει θέρους ἐθίζει καρτερεῖν· καὶ τοὺς μὲν αὐτουργοὺς γυμνάζουσα διὰ τῶν χειρῶν, ἰσχὺν αὐτοῖς προστίθησι· τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας ἀνδρείζει, πρῲ τε ἀγείρουσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα· καὶ γὰρ ἐν τῷ χωρίῳ, καὶ ἐν τῷ ἄστει ἐν ὥρᾳ, αἱ ἐπικαιρόταται πράξεις εἰσίν· ἔπειτα δὲ ἤν τε σὺν ἵππῳ ἀρήγειν τῇ χώρᾳ βουληθῇ τις, τὸν ἵππον ἱκανωτάτη ἡ γεωργία φέρειν· ἤν τε πεζῇ σφοδρὸν παρέχῃ τὸ σῶμα, ἐν ταῖς θήραις φιλοπονεῖσθαι, συνεπαίρει τε ἡ γῆ, καὶ κυσὶν εὐπετεῖς τροφὰς παρέχουσα, καὶ θηρία συμπαρατρέφουσα· ὠφελούμενοι δὲ ἀπὸ τῆς γεωργίας, καὶ οἱ κύνες, καὶ οἱ ἵπποι, ἀντωφελοῦσι τὸν χῶρον· ὁ μὲν ἵππος πρῲ τε κομίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν, καὶ ἐξουσίαν παρέχων τῆς δείλης ἀπιέναι, αἱ δὲ κύνες, τά τε θηρία συνεξαίρουσαι· συμπαρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ ἡ γεωργία, ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφουσα τῷ κρατοῦντι λαμβάνειν, καὶ δραμεῖν τε, καὶ βαλεῖν, καὶ πηδῆσαι· τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται· τίς δὲ τοῖς ἐργαζομένοις τέχνη πλείω ἀντιχαρίζεται· τίς δ᾽ ἥδιον τὸν ἐπιμελούμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ, τι χρήζοι· τίς δὲ ξένους ἥδιον, ἢ ἀφθονώτερον δέχεται· χειμάσαι δὲ πυρὶ ἀφθόνῳ, καὶ θερμοῖς λουτροῖς; ποῦ πλείω εὐχέρεια ἢ ἐν χωρίῳ· ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε, καὶ πνεύμασι, καὶ σκιαῖς, ἢ κατ᾽ ἀγρόν· τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέρας παρέχει, ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει, τίς δὲ οἰκέταις προσφιλεστέρα, γυναικὶ ἥδιον, ἢ τέκνοις ποθεινοτέρα· ἢ φίλοις εὐχαριστοτέρα· ἐμοὶ μὲν θαυμαστὸν δοκεῖ εἶναι· ἤ τις ἐλεύθερος ἄνθρωπος κτῆμά τι τούτου ἥδιον κτᾶται· ἢ ἐπιμέλειαν τινα ταύτης εὕρηκεν ἡδίω ἢ ὠφελιμωτέραν εἰς τὸν βίον· ἔτι δὲ ἡ γῆ θεὸς οὖσα τοὺς δυναμένους καταμανθάνειν καὶ δικαιοσύνην διδάσκει· τοὺς γὰρ ἄριστα θεραπεύοντας αὐτὴν, πλεῖστα ἀγαθὰ ἀντιποιεῖ· ἢν δ᾽ ἄρα ὑπὸ πλήθους ποτὲ στρατευμάτων τῶν ἔργων στερηθῇ ἡ γῆ, οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφόμενοι, καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, οὗτοι εὖ παρεσκευασμένοι τὰ σώματα καὶ τὰς ψυχὰς ἐὰν μὴ θεὸς κωλύῃ, δύνανται ἰόντες εἰς τὰ τῶν κωλυόντων λαμβάνειν, ἀφ᾽ ὧν θρέψονται, πολλάκις δ᾽ ἐν τῷ πολέμῳ καὶ ἀσφαλέστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν μαστεύειν, ἢ σὺν τοῖς



Ayuntamiento de Madrid

γεωργικοῖς ὀργάνοις. συμπαιδεύει δὲ καὶ εἰς τὸ ἄρχειν ἡ γεωργία. ὥσπερ τε γὰρ τοῖς πολεμίοις, μετ' ἀνθρώπων δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώποις ἐστὶν ἡ ἐργασία. τὸν οὖν μέλλοντα γεωργήσειν εὖ, δεῖ τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν, καὶ πείθεσθαι ἐθέλοντας. τόν τε ἐπὶ πολεμίους ἄγοντα ταὐτά, δεῖν μηχανᾶσθαι, δωρούμενόν τε οἷς δεῖ τοὺς ἀγαθούς, καὶ κολάζοντα τοὺς ἀτακτοῦντας, καὶ παρακελεύεσθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργάταις τὸν γεωργόν, ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις, καὶ ἐλπίδων δὲ ἀγαθῶν οὐδὲν ἧττον τῶν ἐλευθέρων οἱ δοῦλοι δέονται, ἀλλὰ καὶ μᾶλλον ὅπως μένειν ἐθέλωσι. καλῶς δὲ καὶ ἐκεῖνος εἶπεν, ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι, εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας, ἔρρωνται καὶ ἄλλαι τέχναι ἅπασαι. ὅπου δὲ ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν.

## ΕΤΙ ΠΕΡΙ ΓΕΩΡΓΙΑΣ, ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ.

### ΛΟΓΟΣ νε'.

Εὐριπίδου. Ὁ τῶν γεωργῶν ἡδονὴν ἔχει βίος.
ταῖς ἐλπίσιν τἄλγεινὰ παραμυθούμενος.

Διφίλου. Ἐν ὀνάριον ἐξ ἀγροῦ μοι καταβαίνει.
καθ' ἕκαστον ἐνιαυτὸν ἀγαπητῶς,
ὃ περὶ κανοῦν μοι πάντ' ἀνεσκευασμένον
σπουδὴν, ὀλάς. ἔλαιον. ἰσχάδας. μέλι.

Μενάνδρου. Ἐν τοῖς πολεμίοις ὑπερέχειν τὸν ἄνδρα δεῖ,
τὸ γὰρ γεωργεῖν ἔργον ἐστὶν οἰκέτου.

Αναξίων. Πῶς ἔχεις. εἰς ἰσχνὸς εἶ. ἀπόλλυμαι.
τρέφω γὰρ ἐν ἀγρῷ χωρίον.

Φιλήμονος. Ἐγὼ τὸν ἀγρὸν, ἰατρὸν ἐλελήθειν ἔχων,
τρέφει γὰρ οὗτος ὥσπερ ἀρρωστοῦντά με.
σιτάρια μικρὰ προσφέρων. οἶνον τὸ ὅσον,
ὀσμὴν λαχάνων ἄγει τι. καὶ νὴ τὸν Δία,
τὰ τραγήματα ταῦτ' ὀψάρια. κἄπειτα.

νύμον.

Ayuntamiento de Madrid

θύμον, ἀσπάραγον. ἀλλὰ ταῦτα καὶ δέδοικα
μὴ λίαν ἀποσχαίνων με ποιήσῃ νεκρόν.
Ἔγωγε ὁρῶ τὸν ἀγρὸν, οὐχ ὅπως φέρει — Κωμικοῦ ποιητοῦ.
αὐτός με, παρ᾽ ἐμοῦ δ᾽ ἵνα τροφὴν προσλαμβάνει.
σκάπτω γὰρ αὐτὸν ἐπιμελῶς, σπείρω τ᾽ ἀεί.
καὶ πάντα ποιῶ πρὸς τὸ δοῦναι, καὶ λαβεῖν.
ὁ δὲ, λαμβάνει μὲν ἀποδίδωσι δ᾽ οὐδὲ ἕν.
ἀποστερητὴν ἔλαθον ἀγοράσας ἀγρόν.
ἔσπειρα μὲν κριθῶν μεδίμνους εἴκοσι.
τούτων ἀπέδωκεν οὐδ᾽ ὅλους τρισκαίδεκα.
οἱ δ᾽ ἑπτὰ ἀπὸ θήβας ἐστράτευσάν μοι, δοκῶ
τὸ τῶν γυναικῶν σῆμα διατηρεῖ μόνον.
ὀνησιφόρα γένοιτο. τοῦτο γίνεται,
ὁ γὰρ φέρει νῦν οὗτος, εἷς ὄνος φέρει. — Φιλήμ.
Ἀεὶ γεωργὸς, ἐς νέωτα πλούσιος. — Μενάνδρου
Ἔχει τι, πικρὸν, τῆς γεωργίας γλυκύ. — Φαβωρίνου

Φασὶ δὲ καὶ ἐπιεικῆ τινα ἀναγκαζόμενον ὑπὸ τοῦ πατρὸς γεωργεῖν, ἀπάγξασθαι. γράψαντα ἐν γραμματιδίῳ, ὅτι ἀπέραντόν τι καὶ ἀκατάστροφον ἡ γεωργία, ἣν σπείρειν ὅπως θερίσωμεν. εἶτα θερίζειν ὅπως σπείρωμεν. ἄτοπόν τι τὸ χρῆμα τῆς περιόδου.

Σκάπτω, καὶ σπείρω, καὶ μάλα μικρὸν γήδιον. οὐ μέν τοι πονηρόν γε ἀλλὰ πάντων δικαιότατον, ὅτι γὰρ λάβοι σπέρμα, καλῶς καὶ δικαίως ἀπεδίδου αὐτό τε, καὶ τόκον οὐδέν τι πολὺν ἢ δή ποτ᾽ ἔδωκεν ὧν ἔλαβε. — Ξενοφῶντος.

Ζήνων ὁ στωϊκὸς φιλόσοφος, ὁρῶν τινὰ τῶν γνωρίμων ὑπὸ τοῦ ἀγροῦ περισπώμενον, εἶπεν. ἐὰν μὴ σὺ τοῦτον ἀπολέσῃς, οὗτός σε ἀπολέσει.

Ἀρίστιππος λέγοντος αὐτῷ τινος, διὰ σὲ ἀπόλωλεν ὁ ἀγρὸς, οὐκοῦν ἔφη κάλλιον δι᾽ ἐμὲ τὸν ἀγρὸν, ἢ διὰ τὸν ἀγρὸν ἐμέ.

## ΠΕΡΙ ΗΣΥΧΙΑΣ. ΛΟΓΟΣ. λϛ´.

Ὅς τις δὲ πράσσει πολλὰ, μὴ πράσσειν παρὸν, — Εὐριπίδου
μωρὸς παρὸν ζῆν ἡδέως ἀπράγμονα.
Ζηλῶ σε γέρον, ζηλῶ σε ἀνδρῶν ὃς ἀκίνδυνον βίον.
ἐξεπέρασας ἀγνὼς, ἀκλεής.

Ayuntamiento de Madrid

τοὺς δ' ἐν τιμαῖς, ἧσσον ἐπαινῶ.
Ὁ δὲ τᾶς ἡσυχίας βίοτος καὶ τὸ φρονεῖν ἀσάλευτον.
μένει, καὶ ξυνέχει δώματα.
πόρρω γὰρ ὅμως αἰθέρα ναίοντες
ὁρῶσι τὰ βροτῶν οὐρανίδαι.
Καλὸν δ' ἔξω πραγμάτων ἔχειν πόδα,
εὐβουλίας τυχόντα τῆς ἀμείνονος,
Αἰσχύλου. Ὁ πλεῖστα πράσσων, πλεῖσθ' ἁμαρτάνει βροτῶν.
Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
Ἐπιχάρμου Ἁ δ' ἡσυχία χαρίεσσα γυνά.
καὶ σωφροσύνης πλατίον οἰκεῖ.
Μενάνδρου Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους τρόπους
ἐρημία· καὶ τῷ μελετῶντι μηδὲν ἐν πονηρὸν,
ἱκανὸν κτῆμ' ἀγρὸς τρέφων καλῶς.
ἐκ τῶν ὄχλων δὲ ζῆλος, ἥ τε κατὰ πόλιν αὕτη
τρυφὴ λάμπει μὲν, ἐς δ' ὀλίγον χρόνον.
Πινδάρου. Τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ καταθεὶς,
ἐρευνησάτω μεγαλάνορος ἡσυχίας
ἱερὸν φάος· στάσιν ἀπὸ πραπίδος
ἐπίκοτον ἀνέμων, πενίας δότειραν.
ἐχθρὰν κουροτρόφον, οὐκ οἶδ' οἷ δ' ἐ-
πέοικεν, ἃ μὴ μάθομεν πονέεσθαι.
Ἐκ τοῦ βίω- Εἴ μοι καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μῶνα
νος βουκο- κῦδος ἐμοὶ θήσοντι, τά μοι πάρος ὤπασε μοῖρα.
λικῶν. εἰ δ' οὐχ ἁδέα ταῦτα, τί μοι πολὺ πλείονα μοχθεῖν.
εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν,
ἢ Κρονίδας, ἢ μοῖρα πολύτροπος ὥστ' ἀνύεσθαι
τὸν μὲν, ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ' ἐνὶ μόχθῳ
ἦν τάχα μοχθήσαντι ποθ' ὕστερον ἐσθλὰ δέχεσθαι.
εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθεῖν
ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μήονα πάντων,
ἐς πόσον αἱ δειλοὶ καμάτως κ' εἰς ἔργα πονεῦμες.
ψυχὰν δ' ἄχρι τίνος ποτὶ κέρδεα, καὶ ποτὶ τέχνας
βάλλομες ἱμείροντες ἀεὶ πολὺ πλήονος ὄλβω.

Ayuntamiento de Madrid

λαθόμεθ' ἢ ἄρα πάντες ὅτι θνατοὶ γενόμεθα,
χ' ὡς βραχὺν ἐκ μοίρας λάχομεν χρόνον.

Οὐ γάρ ἐστιν ὅστις ἀνθρώπων σωθήσεται οὔτε ὑμῖν οὔτε ἄλλῳ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος, καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι· ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν. Πλάτωνος

Σοφὸν ἔοικε χρῆμα τὸ τῆς ἡσυχίας· πρός τε ἄλλα, καὶ ἐς ἐπιστήμην καὶ φρονήσεως μελέτην. λέγω δὲ οὐ τὴν καπηλικὴν καὶ ἀγοραίαν, ἀλλὰ τὴν μεγάλην, ἥτις ἐξομοιοῖ θεῷ τὸν αὐτὴν ἀναλαβόντα. αἱ μὲν γὰρ ἐν ταῖς πόλεσι καὶ τοῖς τῶν ἀνθρώπων ὄχλοις γινόμεναι μελέται, γυμνάζουσι τὴν λεγομένην δριμύτητα πανουργίαν οὖσαν. ὥστε τοὺς ἐν αὐταῖς ἄκρους, οἷον ὑπὸ μαγείρων τῶν ἐν ταῖς πόλεσι χρειῶν διαπεπιλημένοις. πόσα δὲ οὐχὶ καὶ διακονήματα δεινὰ ἐργάζεσθαι. ἡ δὲ ἐρημία σοφίας οὖσα γυμνάσιον, ἠθοποιὸς ἀγαθή. καὶ πλάττει, καὶ μετευθύνει τῶν ἀνδρῶν τὰς ψυχάς, οὐδὲν γὰρ αὐταῖς ἐμπόδιόν ἐστι τῆς αὐξήσεως, οὐδὲ πρὸς πολλὰ καὶ μικρὰ νόμιμα προσπταίουσαι κάμπτονται εὐθύ, καθάπερ αἱ ταῖς πόλεσιν ἐναπειλημμέναι ψυχαί, ἀλλ' ἐν ἀέρι καθαρῷ, καὶ τὰ πολλὰ ἔξω διαιτώμεναι τῶν ἀνθρώπων, ἀνιᾶσιν ὀρθαὶ καὶ πτεροφυοῦσιν, ἀρδόμεναι τῷ διαυγεστάτῳ τε καὶ λειοτάτῳ ῥεύματι τῆς ἡσυχίας. ἐν ᾧ τά τε μαθήματα τοῦ νοῦ θειότερα, καὶ καθαρώτερον ὁρᾶν. διὰ τοῦτό σοι καὶ τῶν θεῶν τὰ ἱερά, ὅσα ἐκ τοῦ πάλαι ἀρχαῖον νενόμισται, τοῖς ἐρημοτάτοις χωρίοις οἱ πρῶτοι. μάλιστα δὲ μουσῶν τε καὶ πανός, καὶ νυμφῶν καὶ ἀπόλλωνος, καὶ ὅσοι μουσικῆς ἡγεμόνες θεοὶ διακείναντες ὡς οἶμαι τὰς παιδείας κατὰ τῶν ἐν ταῖς πόλεσι δεινῶν τε, καὶ μιαρῶν τινῶν. Πλουτάρχου

## ΠΕΡΙ ΝΑΥΤΙΛΙΑΣ ΚΑΙ ΝΑΥΑΓΙΟΥ.

### ΛΟΓΟΣ. νζ'.

Οὐ μὲν γάρ τί που ἐστὶ κακώτερον θαλάσσης,
ἄνδρα τε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη. Ὁμήρου.

Ὅστις διαπλεῖ θάλασσαν, ἢ μελαγχολᾷ,
ἢ πτωχός ἐστιν, ἢ θανατᾷ· τούτων τῶν τριῶν,
ἑνός τ' ἀποτυχεῖν τοὐλάχιστον οὐκ ἔνι. Εὐριπίδου

Ayuntamiento de Madrid

Σοφοκλ. Ἤ που τοιαῦται τῶν πολυπόρων βροτῶν
οἷς οὔτε δαίμων, οὔτε τις θεῶν νέμοι.
πλοῦτον πότ' αὖ νέμειαν ἀξίαν χάριν
λεπτῆς, ἐπιρρόπτουσιν ἐμπολὰς μακρὰς
ἀεὶ παρακρίπτοντες οἱ πολύφθοροι.
ἢ σῶς αὖ ἢ κέρδανον, ἢ διώλεσαν.

Αράτου. Τῆμος ἐπιρρήσσουσι νότοι, ὁπότ' αἰγοκερῆϊ
ἐμφέρετ' ἠέλιος· τότε δὲ κρύος ἐκ Διός ἐστι
ναύτῃ μαλκιόωντι κακώτατον, ἀλλὰ καὶ ἔμπης
ἤδη πάντα ἐνιαυτὸν ὑπὸ στείρῃσι θάλασσα
πορφύρει· ἴκελοι δὲ κολυμβάσιν αἰθυίῃσι,
πολλάκις ἐκ νηῶν πέλαγος περὶ παπταίνοντες
ἥμεθ' ἐπ' αἰγιαλοὺς τετραμμένοι· οἱ δ' ἔτι πόρρω
κλύζονται· ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει.

Φιλήτου. Γαῖαν μὲν φαίνουσι θεοί ποτε· νῦν δὲ πάρεστιν
αἰ ψηρῶν ἀνέμων μοῦνον ὁρᾶν τέμενος.

Αντιφάνους. Δύστηνος ὅς τις ζῇ θαλάττιον βίον,
τῶν γὰρ πλεόντων ζητεῖν ἑκατὸν στάδια
ἐλθεῖν που δεῖ κρεῖττον, ἢ πλεῦσαι πλέθρον.
πλείστην θάλατταν χοινίων πολουμένων.

Καλλιμάχου. Ὡς ἡδὺ τὴν θάλατταν ἀπὸ γῆς ὁρᾶν
ὦ μῆτερ ἐστὶ μὴ πλέοντα μηδαμοῦ.

Ομήρου. Τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται
σὺν θ' ἀνέμων μεγάλων κῦμα διωλύγιον.

Σοφοκλ. Τί τούτου χάρμα μεῖζον ἂν λάβοις ποτὲ
τοῦ γῆς ἐπιψαύσαντα καὶ ὑπὸ στέγῃ πυκνῆς
ἀκοῦσαι ψεκάδος εὐδούσῃ φρενί.

Ευριπίδου. Ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος.

Μενάνδρου. Τὰ μεγάλα κέρδη ῥᾳδίως ἢ πλουσίους
τοὺς παραβόλως πλέοντας, ἢ νεκροὺς ποιεῖ.

Αντιφά. Ἐν τῇ πένεσθαι κρεῖττον, ἢ πλουτοῦντα πλεῖν.

Ευφορίωνος. Τὸν δ' ἐκάλυψε θάλασσα λιλαιόμενον βιότοιο.
καί οἱ πήχεος ἄκρον ὑπερφαίνοντο ταθέντες·
ἀχρεῖα σπαίροντες ἅλις δολοπιονίδαο.

Ayuntamiento de Madrid

δυστήνου, ζωὴν δὲ μεθ' ὕδατος ἔμβαλε πᾶσαν
χεῖρας ὑπερπλάζων, ἀλμὴ δ' ἐκάλυψεν ὀδόντας.
Ἐπὶ χρήμασ' ἰδὼν ἔμπορος φρονεῖ μέγα, Ἀντιφά-
ὧν ἐστὶ πάντων ἐνίοτ' ἄνεμος κύριος. νους.
Μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει· Εὐριπίδου
ἐν γῇ δ' ὁ φόρτος, καὶ πάλιν ναυτίλλεται.
Τὰν ἅλα τὰν γλαυκὰν, ὅταν ὤνεμος ἀτρέμα βάλλει. Ἐκ τῶν Μό-
τὰν φρένα τὰν δειλὰν ἐρεθίζομαι, οὐδέ τι μοῖσα σχου βουκο-
ἐντὶ φίλα· ποθίη δὲ πολὺ πλέονα μεγάλαν ἅλα. λικῶν.
ἀλλ' ὅτ' ἀναχήσῃ πολιὸς βυθὸς, ἁ δὲ θάλασσα
κυρτὸν ἐπαφρίζῃ· τὰ δὲ κύματα μεμήνῃ,
ἐς χθόνα παπταίνων, καὶ δένδρεα· τὰν δ' ἅλα φεύγω.
γᾶ δέ μοι ἁ πιστά· τάχα δ' ἄσμιος εὔαδεν ὕλα.
ἔνθα καὶ ἢν πνεύσῃ πολὺς ὤνεμος, ἁ πίτυς ᾄδει.
ἦ κακὸν ὁ γριπεὺς ζώει βίον· ὧ δόμος, ἁ ναῦς.
καὶ πόνος ἐντὶ θάλασσα, καὶ ἰχθὺς ἁ πλανὼς ἄγρα.
αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ.
καὶ παγᾶς φιλέοιμι τὸν ἐγγύθεν ἦχον ἀκούειν,
ἃ τέρπει ψοφέοισα, τὸν ἀγροῖκ' οὐχὶ ταράσσει.

Ἕως ἂν σώζηται τὸ σκάφος, ἄν τε μεῖζον, ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ' ἄνδρα ἑξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ' ἑκὼν μηδεὶς ἀνατρέψῃ τοῦτο σκοπεῖσθαι, ἐπειδὰν δ' ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. Δημοσθένους.

## ὙΠΕΡ ΤΕΧΝΩΝ. ΛΟΓΟΣ. ΝΗ'.

Οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης Ἄμφιδος.
παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης,
ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς
αὑτοῦ, λέληθε παραπλέων τὰς συμφοράς.
Πολύ γ' ἐστὶ πάντων κτῆμα τιμιώτατον Ἱππάρχου
ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη,
τὰ μὲν γὰρ ἄλλα, καὶ πόλεμος, καὶ μεταβολαὶ
τύχης ἀνάλωσε, τέχνη δὲ σώζεται.

Ayuntamiento de Madrid

Ἑρμοδότου. Οὐχ ὁ λόγος αὔξει τὴν τέχνην πειστὸς ὤν.
ἀλλ' αὐτὰ κοσμεῖ τὴν τέχνην τὰ πράγματα.

Σιμύλου. Οὔτε φύσις ἱκανὴ γίνεται τέχνης ἄτερ,
πρὸς οὐδὲν ἐπιτήδευμα παράπαν οὐδενί,
οὔτε πάλιν τέχνη μὴ φύσιν κεκτημένη.
τούτων ὁμοίως τοῖν δυοῖν συνηγμένων
εἰς ταὐτὸν ἔτι δεῖ προλαβεῖν χορηγίαν,
ἔρωτα· μελέτην· καιρόν· εὐφυῆ χρόνον·
κριτὴν, τὸ ῥηθὲν δυνάμενον συναρπάσαι,
ἐν ᾧ γὰρ ἂν τούτων ἀπολειφθεὶς τύχῃ,
οὐκ ἔρχετ' ἐπὶ τὸ τέρμα τοῦ προκειμένου.
φύσις· θέλησις· ἐπιμέλεια· εὐταξία,
σοφοὺς τίθησι κἀγαθούς· ἐτῶν δέ τοι
ἀριθμὸς οὐδὲν ἄλλο πλὴν γῆρας ποιεῖ.

Μενάνδρου. Τὰ πατρῷα μὲν ποιεῖ καιρός ποτε ἀλλότρια.
σώζει δ' αὐτά που τὰ σώματα. βίου
δ' ἔνεστι μί' ἀσφάλεια ἐν ταῖς τέχναις.

Πλάτωνος. Ἀλλὰ μὴν τῶν γε τεχνῶν σχεδὸν πασῶν, εἴδη δύο πως. γεωργία μὲν, καὶ ὅση περὶ τὸ θνητὸν σῶμα θεραπεία. τό τ' αὖ περὶ τὸ σύνθετον καὶ πλαστὸν, ὃ δὴ σκεῦος ὠνομάκαμεν, ἥ τε μιμητική, ξύμπαντα ταῦτα δικαιότατα ἑνὶ προσαγορεύοιτο ἂν ὀνόματι. πῶς καὶ τίνι. πᾶν ὅπερ ἂν μὴ πρότερον εἰς οὐσίαν ἄγῃ, τὸν μὲν ἄγοντα ποιεῖν· τὸ δὲ, ἀγόμενον ποιεῖσθαί που φαμέν; ὀρθῶς. τὰ δέ γε νῦν διήλθομεν ἅπαντα ἔχειν εἰς τοῦτο τὴν αὑτοῦ δύναμιν; εἶχε γὰρ οὖν. ποιητικὴν τοίνυν αὐτὰ συγκεφαλαιωσάμενοι, προσείπωμεν. ἔστω. τὸ δὴ μαθηματικὸν αὖ μετὰ τοῦτο εἶδος ὅλον. καὶ τὸ τῆς γνωρίσεως τό τε χρηματιστικὸν, καὶ ἀγωνιστικὸν, καὶ θηρευτικόν. ἐπειδὴ δημιουργεῖ μὲν, οὐδὲν τούτων. τὰ δὲ ὄντα καὶ γεγονότα. τὰ μὲν χειροῦται λόγοις, καὶ πράξεσι. τὰ δὲ, τοῖς χειρουμένοις οὐκ ἐπιτρέπει. μάλιστ' ἄν που διὰ ταῦτα ξυνάπαντα τὰ μέρη, τέχνη τις κτητικὴ λεχθεῖσα ἐκπρέψειεν; ναί. πρέπει γὰρ ἂν κτητικῆς δὴ καὶ ποιητικῆς ξυμπασῶν οὐσῶν τῶν τεχνῶν, ἐν ποτέρᾳ τὴν ἀσπαλιευτικὴν ὦ Θεαίτητε τιθῶμεν. ἐν κτητικῇ δήπου δῆλον. κτητικῆς δὲ ἆρ' οὐ δύο εἴδη, τὸ μὲν ἑκόντων προσέχοντας μεταβλητικὸν ὂν, διά τε δωρεῶν καὶ μισθώσεων. τὸ δὲ λοιπὸν, ἢ κατ' ἔργα ἢ κατὰ λόγους χειρούμενον ξύμπαν χειρωτικὸν ἂν εἴη; φαίνεται γοῦν ἐκ τῶν εἰρημένων. τί δαὶ τὴν χειρωτι-

Ayuntamiento de Madrid

κήν. ἆρ' οὖν διχῇ τμητέον τήν. τὸ μὲν ἀμφαδὸν ὅλον ἀγωνιστικὸν θέντας, τὸ δὲ, κρυφαῖον αὐτῆς πᾶν θηρευτικόν; ναί. τὴν γε μὴν θηρευτικὴν, ἄλογον, τὸ μὴ οὐ τέμνειν διχῇ. λέγε ὅπῃ. τὸ μὲν, ἀψύχου γένους διελομένους, τὸ δὲ, ἐμψύχου. τί μήν. εἴπερ ἔστον γε ἄμφω. πῶς δ' οὐκ ἔστιν. καὶ δεῖ γε ἡμᾶς τὸ μὲν τῶν ἀψύχων ἀνώνυμον, πλὴν κατ' ἔνια τῆς κολυμβητικῆς ἄττα μέρη. καὶ τοιαῦτ' ἄλλα βραχέα χαίρειν ἐᾶσαι, τὸ δὲ τῶν ἐμψύχων ζώων οὖσαν, θήραν προσειπεῖν ζωοθηρικήν. ἔστω. ζωοθηρικῆς δὲ ἆρ' οὐ διπλοῦν εἶδος ἂν λέγοιτο ἐν δίκῃ. τὸ μὲν πεζοῦ γένους πολλοῖς εἴδεσι καὶ ὀνόμασι διῃρημένον, πεζοθηρικὸν νευστικοῦ ζώου πᾶν ἐνυγροθηρικόν. πάνυ γε. νευστικοῦ μὴν, τὸ μὲν, πτηνὸν φῦλον ὁρῶμεν. τὸ δὲ, ἔνυδρον. πῶς δ' οὔ. καὶ τοῦ πτηνοῦ μὲν γε πᾶσα ἡμῖν ἡ θήρα λέγεταί που ὀρνεοθευτική. λέγεται. τοῦ δ' ἐνύδρου σχεδὸν ἁλιευτικὴ τὸ σύνολον. τί δαί. ταύτην αὖ τὴν θήραν ἆρ' οὐκ ἂν κατὰ τὰ μέγιστα μέρη δύο διέλοιμεν; κατὰ ποῖα. καθ' ἃ τὸ μὲν, ἕρκεσιν αὐτόθι ποιεῖται τὴν θήραν. τὸ δὲ πληγῇ; πῶς λέγεις καὶ πῇ διαιρούμενος ἑκάτερον. τὸ μὲν, ὅτι πᾶν ὅσον ἂν ἕνεκα κωλύσεως εἴργει τι περιέχον, ἕρκος εἰκὸς ὀνομάζειν. πάνυ μὲν οὖν. κύρτους δὴ, καὶ δίκτυα, καὶ πόρκους, καὶ βρόχους καὶ τὰ τοιαῦτα, μῶν ἄλλο τι, πλὴν ἕρκη δεῖ προσαγορεύειν; οὐδέν. τοῦτο μὲν ἄρα ἑρκοθηρικὸν τῆς ἄγρας τὸ μέρος φήσομεν, ἤ τι τοιοῦτον. ναί. τὸ δὲ ἀγκίστροις καὶ τριόδουσι πληγῇ γινόμενον, ἕτερον μὲν ἐκείνου. πληκτικὴν δέ τινα θήραν ἡμᾶς προσειπεῖν ἐν τῷ νῦν χρεών, ἤ τι τὶς ἂν ὦ θεαίτητε εἴποι κάλλιον. ἀμελῶμεν τοῦ ὀνόματος, ἀρκεῖ γὰρ καὶ τοῦτο. τῆς μὲν τοίνυν πληκτικῆς, τὸ μὲν νυκτερινὸν οἶμαι πρὸς πυρὸς φῶς γιγνόμενον ὑπ' αὐτοῦ περὶ τὴν θήραν πυρευτικὴν ῥηθῆναι. πάνυ γε. τὸ δέ γε μεθημερινὸν, ὡς ἐχόντων ἐν ἄκροις ἄγκιστρα. καὶ τῶν τριοδόντων παναγκιστρευτικήν; ξυμπάσης τοιγαροῦν τέχνης, τὸ μὲν ἥμισυ μέρος, κτητικὸν ἦν. κτητικοῦ δὲ, χειρωτικόν. χειρωτικοῦ δὲ, θηρευτικόν. τοῦ δὲ θηρευτικοῦ, ζωοθηρικόν. ζωοθηρικοῦ δὲ, ἐνυγροθηρικόν. ἐνυγροθηρικοῦ δὲ, τὸ κάτωθεν τμῆμα ὅλον ἁλιευτικόν. ἁλιευτικῆς δὲ, πληκτικόν. πληκτικῆς δὲ, ἀγκιστρευτικόν. τούτου δὲ τὸ περὶ τὴν κάτωθεν ἄνω πληγὴν ἀνασπωμένην, ἀπ' αὐτῆς τῆς πράξεως ἀφομοιωθὲν τοὔνομα, ἡ νῦν ἀσπαλιευτικὴ ζητηθεῖσα ἐπίκλην γέγονε πάντας. ἃ μὲν οὖν τοῦτό γε, ἱκανῶς δεδήλωται.

θεὸς μὲν πάντα, καὶ μετὰ θεοῦ, τύχη καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. ἡμερώτερον μὴν τρίτον συγχωρῆσαι τούτοις ἕπεσθαι δεῖν, τέχνην.

Ayuntamiento de Madrid

Πρῶτον μὲν τοίνυν δύο τέχνας οὔσας περὶ πάντα τὰ δρώμενα, θεασώμεθ᾽ αἰτίας· τὴν μὲν τῆς γενέσεως οὖσαν συναίτιον· τὴν δὲ, αὐτὴν αἰτίαν. πῶς. ὡς αἱ μὲν, τὸ πρᾶγμ᾽ αὐτὸ δημιουργοῦσι· ταῖς δὲ δημιουργούσαις, ὄργανα παρασκευάζουσιν· ὧν μὴ παραγενομένων, οὐκ ἄν ποτ᾽ ἐργασθείη τὸ προστεταγμένον ἑκάστῃ τῶν τεχνῶν. ταύτας μὲν οὖν ξυναιτίους, τὰς δ᾽ αὐτὸ τὸ πρᾶγμ᾽ ἀπεργαζομένας αἰτίας, ἔχει γὰρ οὖν λόγον.

Πλουτάρχου. Τῶν τεχνῶν ὡς ἔοικε· τὰς μὲν, ἡ χρεία συνέστησεν ἐξ ἀρχῆς, καὶ μέχρι νῦν διαφυλάσσει· χρειῶ πάντ᾽ ἐδίδαξε. τὶ δὲ χρειῶ μὲν ἄνθρωποι τῶν ἀναγκαίων, ὑφαντικὴν οἰκοδομικὴν· ἰατρικὴν· γεωργίαν· καὶ ὅσαι περὶ γεωργίαν ἀναστρέφονται. τὰς δ᾽ ἡδονή τις προσηγάγετο, καὶ κατέχει τὴν τῶν μυρεψῶν, καὶ τῶν ὀψοποιῶν· καὶ κομμωτικὴν πᾶσαν, καὶ ἀνθοβάφειαν. ἔστι δὲ ὧν τὴν πιθανότητα, καὶ τὴν ἀκρίβειαν, καὶ τὸ καθάριον ἀγαπῶντες, ἐκμανθάνουσι, καὶ περιέπουσιν· ὡς ἀριθμητικὴν καὶ γεωμετρίαν, καὶ κανονικὴν πᾶσαν, καὶ ἀστρολογίαν, ἃς φησιν ὁ Πλάτων καίπερ ἀμελουμένας, βίᾳ ὑπὸ χάριτος αὔξεσθαι.

Ξενοφῶντος. Εἰσελθὼν ποτὲ πρὸς τὸν Παρράσιον τὸν ζωγράφον, ἆρα ἔφη ὦ Παρράσιε, ἡ γραφική ἐστιν εἰκασία τῶν ὁρωμένων· τὰ γοῦν κοῖλα, καὶ τὰ ὑψηλὰ, καὶ τὰ σκοτεινὰ, καὶ τὰ φωτεινὰ, καὶ τὰ σκληρὰ, καὶ τὰ μαλακὰ, καὶ τὰ τραχέα, καὶ τὰ λεῖα, καὶ τὰ νέα, καὶ τὰ παλαιὰ σώματα, διὰ τῶν χρωμάτων ἀπεικάζοντες ἐκμιμεῖσθε; ἀληθῆ λέγεις ἔφη. καὶ μὴν τά γε καλὰ εἴδη ἀφομοιοῦντες, ἐπειδὴ οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν ἄμεμπτα πάντα ἔχοντι· ἐκ πολλῶν συνάγοντες τὰ ἐξ ἑκάστου κάλλιστα, οὕτως ὅλα τὰ σώματα καλὰ ποιεῖτε φαίνεσθαι, ποιοῦμεν γὰρ ἔφη οὕτω. τί γὰρ ἔφη τὸ πιθανώτατον καὶ ἥδιστον, καὶ φιλικώτατον, καὶ ποθεινότατον, καὶ ἐρασμιώτατον ἀπομιμεῖσθε τῆς ψυχῆς ἦθος, ἢ οὐδὲ μιμητόν τοῦτο. πῶς γὰρ ἂν ἔφη μιμητὸν εἴη ὦ Σώκρατες, ὃ μήτε συμμετρίαν, μήτε χρῶμα, μήτε ὧν σὺ εἶπας ἄρτι μηδὲν ἔχει, μηδὲ ὅλως ὁρατόν ἐστιν. ἆρ᾽ οὖν ἔφη γίγνεται ἐν ἀνθρώπῳ τό τε φιλοφρόνως· καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; ἔμοιγε δοκεῖ ἔφη. οὐκοῦν τοῦτό γε μιμητὸν ἐν τοῖς ὄμμασι; καὶ μάλα ἔφη. ἐπὶ δὲ τοῖς τῶν φίλων ἀγαθοῖς καὶ τοῖς κακοῖς ὁμοίως σοι δοκοῦσιν ἔχειν τὰ πρόσωπα οἵ τε φροντίζοντες καὶ οἱ μή, μὰ Δί᾽ οὐ δῆτα ἔφη, ἐπὶ μὲν γὰρ τοῖς ἀγαθοῖς, φαιδροί, ἐπὶ δὲ τοῖς κακοῖς, σκυθρωποὶ γίνονται. οὐκοῦν ἔφη καὶ ταῦτα δυνατὸν ἀπεικάζειν; καὶ μάλα ἔφη. ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε καὶ τὸ ἐλευθέριον, καὶ τὸ σωφρονικόν τε, καὶ τὸ ἀπειρόκαλον· καὶ διὰ τοῦ προσώπου, καὶ διὰ

τῶν

Ayuntamiento de Madrid

τῶν σχημάτων, καὶ ἑστώτων, καὶ κινουμένων ἀνθρώπων διαφαίνει; ἀληθῆ λέγεις, ἔφη. οὐκοῦν καὶ ταῦτα μιμητά. καὶ μάλα ἔφη. πότερον οὖν ἔφη νομίζεις ἥδιον ὁρᾶν τοὺς ἀνθρώπους, δι' ὧν τὰ καλὰ, καὶ τὰ ἀγαθὰ, καὶ ἀγαπητὰ ἤθη φαίνεται, ἢ δι' ὧν, τὰ αἰσχρά τε καὶ πονηρὰ, καὶ μισητά. πολὺ νὴ Δί' ἔφη διαφέρει ὦ σώκρατες. πρὸς δὲ κλίτωνα τὸν ἀνδριαντοποιὸν ἀφελθών ποτε καὶ διαλεγόμενος αὐτῷ, ὅτι μὲν ἔφη ὦ κλίτων ἀλλοίους ποιεῖς, δρομεῖς τε καὶ παλαιστὰς, καὶ πύκτας, καὶ παγκρατιαστὰς, ὁρῶ γε καὶ οἶδα. ὁ δὲ μάλιστα ψυχαγωγεῖ διὰ τῆς ὄψεως τοὺς ἀνθρώπους τὸ ζωτικὸν φαίνεσθαι, πῶς τοῦτο ἐνεργάζῃ τοῖς ἀνδριᾶσιν. ἐπεὶ δὲ ἀπορῶν ὁ κλίτων οὐ ταχὺ ἀπεκρίνατο, ἆρ' ἔφη τοῖς τῶν ζώντων εἴδεσιν ἀπεικάζων τὸ ἔργον ζωτικώτερον ποιεῖς φαίνεσθαι τοὺς ἀνδριάντας; καὶ μάλα ἔφη, οὐκοῦν τά τε ὑπὸ τῶν σχημάτων καταρτώμενα, καὶ τὰ ἀνασπώμενα ἐν τοῖς σώμασι, καὶ τὰ συμπιεζόμενα, καὶ τὰ διελκόμενα, καὶ ἐκτεινόμενα, καὶ τὰ ἀνιέμενα ἀπεικάζων, ὁμοιότερά τε τοῖς ἀληθινοῖς, καὶ πιθανώτερα ποιεῖς φαίνεσθαι; πάνυ μὲν οὖν ἔφη. τὸ δὲ καὶ τὰ ἤθη τῶν ποιούντων τι σωμάτων ἀπομιμεῖσθαι, οὐ ποιεῖ τινα τέρψιν τοῖς θεωμένοις; εἰκὸς γοῦν, ἔφη. οὐκοῦν καὶ τῶν μὲν μαχομένων, ἀπειλητικὰ τὰ ὄμματα ἀπεικαστέον, τῶν δὲ νενικηκότων εὐφραινομένων ἡ ὄψις μιμητέα. σφόδρα γ' ἔφη τὸν ἀνδριαντοποιὸν τὰ τῆς ψυχῆς ἔργα τῷ εἴδει προσεικάζειν.

## ΕΤΙ ΠΕΡΙ ΤΕΧΝΩΝ ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ.

## ΛΟΓΟΣ ιθ'.

Ὁ πρῶτος εὑρὼν διατροφὴν πτωχῷ τέχνην, — Μενάνδρου
πολλοὺς ἐποίησεν ἀθλίους. ἁπλοῦν γὰρ ἦν
τὸν μὴ δυνάμενον ζῆν ἀλύπως, ἀποθανεῖν.
Ὅστις τέχνην κατέδειξε πρῶτος τῶν θεῶν,
οὗτος μέγιστον εὗρεν ἀνθρώποις κακόν. — Ἀντιφάνους.
ὅταν γὰρ ἀπορῇ ταί τις, ἂν μὲν ἀργὸς ἦν
ἐλθὼν ἀπεκινδύνευσεν ἡμέραν μίαν.
ὥστ' ἢ γεγονέναι λαμπρὸν, ἢ τεθνηκέναι.
ἡμεῖς δ' ἔχοντες ἀρραβῶνα τὴν τέχνην
τοῦ ζῆν, ἀεὶ πεινῶμεν αὐταῖς ταῖς ἐλπίσιν



Ayuntamiento de Madrid

ὄξόν τε μικρὸν διαπορηθῆναι χρόνον
τὸν βίον ἅπαντα τοῦτο δρᾶν αἱρούμεθα.

Μενάνδρου. Οὐ πάνυ τι γηράσκουσιν αἱ τέχναι καλῶς,
ἂν μὴ λάβωσι προστάτην φιλάργυρον.

Εὐριπίδου. Οἱ τὰς τέχνας δ' ἔχοντες ἀθλιώτεροι.
τῆς φαυλότητός τε γὰρ ἐν κοινῷ ψέγειν,
ἅπασι κεῖσθαι δυστυχὲς οὐκ εὐτυχές.

Ξενοφῶντος. Καλῶς ἔφη λέγεις ὦ κριτόβουλε, καὶ γὰρ αἱ βαναυσικαὶ καλούμεναι, καὶ ἐπιρρητοί εἰσι, καὶ εἰκότως μέντοι δὴ πάνυ ἀδοξοῦνται ὑπὸ τῶν πόλεων, καταλυμαίνονται γὰρ τὰ σώματα τῶν ἐργαζομένων, καὶ ἐπιμελουμένων, καὶ τὰς ψυχὰς ἀναγκάζουσαι καθῆσθαι, καὶ σκιατροφεῖσθαι, ἐνίαι δὲ καὶ πρὸς πῦρ ἡμερεύειν, τῶν δὲ σωμάτων θηλυνομένων, καὶ αἱ ψυχαὶ ἐπὶ πολὺ ἀρρωστότεραι γίνονται. καὶ ἀσχολίας δὲ μάλιστα ἔχουσι καὶ φίλων καὶ πόλεως συνεπιμελεῖσθαι βαναυσικαὶ καλούμεναι, ὥστε εἰκότως σοι κακοὶ ἂν καὶ φίλοις χρῆσθαι, καὶ ταῖς πατρίσιν ἀλεξητῆρες εἶναι. καὶ ἐν ἐνίαις μέντοι τῶν πόλεων, μάλιστα δὲ ἐν ταῖς εὐπολέμοις δοκούσαις εἶναι, οὐδ' ἔξεστι τῶν πολιτῶν οὐδενὶ, ἢ βαναυσικὰς τέχνας ἐργάζεσθαι.

Πλάτωνος. Ἆρ' οὖν οὐκ ἀριθμητικὴ μέν, καί τινες ἕτεραι ταύτης συγγενεῖς τέχναι, ψιλαὶ τῶν πράξεών εἰσι, τὸ δὲ γνῶναι παρέχονται μόνον. ἔστιν οὕτως. αἱ δέ γε περὶ τεκτονικὴν αὖ καὶ ξύμπασαν χειρουργίαν, ὥσπερ ἐν ταῖς πράξεσιν ἐνοῦσαν ξύμφυτον τὴν ἐπιστήμην κέκτηνται, καὶ νῦν ἀποτελοῦσαι τὰ γιγνόμενα ὑπ' αὐτῶν σώματα, πρότερον οὐκ ὄντα; τί μήν. ταύτῃ τοίνυν ξυμπάσας ἐπιστήμας διαιρεῖ. τὴν μὲν πρακτικὴν προσειπών, τὴν δὲ, μόνον γνωστικήν. ἔστω σοι ταῦθ' ὡς μιᾶς ἐπιστήμης τῆς ὅλης εἴδη δύο.

Ἐν δὴ ταῖς χειροτεχνικαῖς διανοηθῶμεν πρῶτα, εἰ τὸ μὲν, ἐπιστήμης αὐτῶν μᾶλλον ἐχόμενον, τὸ δ' ἧττον ἐνί. καὶ δεῖ τὰ μὲν, ὡς καθαρώτατα νομίζειν. τὰ δὲ, ὡς ἀκαθαρτότερα. οὐκοῦν χρή. τὰς τοίνυν ἡγεμονίας διαληπτέον ἑκάστων αὐτῶν χωρίς. ποίας. καὶ πῶς. οἷον πασῶν που τεχνῶν, ἄν τις ἀριθμητικὴν χωρίζῃ καὶ μετρητικὴν, καὶ στατικὴν, ὡς ἔπος εἰπεῖν, φαῦλον τὸ καταλειπόμενον ἑκάστης ἂν γίγνοιτο; φαῦλον μὲν δή. τὸ γοῦν μετὰ ταῦτα εἰκάζειν, λείποι ἂν καὶ τὰς αἰσθήσεις καταμελετᾶν ἐμπειρίᾳ. καί τινι τριβῇ ταῖς τῆς στοχαστικῆς προσχρωμένοις δυνάμεσιν, ἃς οἱ πολλοὶ τέχνας ἐπονομάζουσι, μελέτῃ καὶ πόνῳ τὴν ῥώμην ἀπειργασμένας, ἀναγκαιότατα λέγεις.

Ayuntamiento de Madrid

## ΛΟΓΟΣ ξʹ.

Κακὸς γὰρ ὅστις μὴ σέβει τὰ δεσποτῶν. — Εὐριπίδου.
καὶ συγγέγηθε καὶ συνωδίνει κακοῖς.
Ἐγὼ δὲ δοῦλος εἰ πέφυκεν ὅμως λάτρις·
ἐν τοῖσι γενναίοισιν ἠριθμημένος
δούλοισι τοὔνομ' οὐκ ἔχων, ἐλεύθερον
τὸν νοῦν δέ· κρεῖσσον γὰρ τόδε δυοῖν κακοῖν
ἐνδόντα χρῆσθαι τὰς φρένας τῶν ἔχειν κακὰς,
ἄλλων τ' ἀκούειν δοῦλον ὄντα τῶν πέλας.
Ὡς ἡδὺ δούλοις, δεσπότας χρηστοὺς λαβεῖν,
καὶ δεσπόταισι, δοῦλον εὐμενῆ δόμοις.
Οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας
γνώμας διώκειν, οὐδ' ἐς ἀργίαν βλέπειν·
Λυπεῖ με δοῦλος μεῖζον οἰκέτου φρονῶν. — Μενάνδρου
Ὅταν τύχῃ τις, εὐνοοῦντος οἰκέτου,
οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον βίῳ.
Ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν,
ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον.
Ἐμοῦ γάρ ἐστι κύριος εἷς ἀνήρ. — Φιλήμονος
τούτων δὲ καὶ σοῦ μυρίων τἄλλων νόμος.
ἑτέρων τύραννος· τῶν τυραννούντων, φόβος.
δοῦλοι βασιλέων εἰσίν· ὁ βασιλεὺς θεῶν.
ὁ θεὸς ἀνάγκης· πάντα δ' ἂν σκοπῇς ὅλως
ἑτέρων πέφυκεν ἥττονων δὲ μείζονα·
τούτοις ἀνάγκη ταῦτα δουλεύειν ἀεί.
Τί διακονεῖς εἰ χρηστὸς ὁ δεσπότης· — Μενάνδρου
αὐτὸς ἀπόλλει πάντα, σὺ δὲ μὴ λαμβάνεις.
Σεαυτὸν ἀποτρίβεις· οὐκ ἐκεῖνον ὠφελεῖς. — Εὐριπίδου.
Κρεῖσσον γὰρ οὔτε δοῦλον, οὔτ' ἐλεύθερον
τρέφειν ἐν οἴκοις· ἀσφαλὲς τοῖς σώφροσι.
Τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν;



Ayuntamiento de Madrid

Ε σωσα δούλην οὖσαν, οἱ γὰρ ἥσσονες
τοῖς κρείσσοσι φιλοῦσι δουλεύειν βροτῶν.

Σ οφὸς μὲν οὖν εἶ πρίαμ᾽, ὅμως δέ σοι λέγω.
δούλου φρονοῦντος μᾶλλον, ἢ φρονεῖν χρεών,
οὐκ ἔστιν ἄχθος μεῖζον, οὐδὲ δώμασι
κτῆσις κακίων, οὐδ᾽ ἀνωφελεστέρα.

Η λεγχον· οὕτω γὰρ κακὸν δοῦλον γένος.
γαστὴρ ἅπαντα, τοὐπίσω δ᾽ οὐδὲν σκοπεῖ.

Δ ούλων ὅσοι φιλοῦσι δεσποτῶν γένος,
πρὸς τῶν ὁμοίων πόλεμον αἴρονται μέγαν.

Ω παγκάκιστοι· καὶ τὸ δοῦλον οὐ λόγῳ
ἔχοντες, ἀλλὰ τῇ τύχῃ κεκτημένοι.

Δ ούλους γὰρ οὐ καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν.

Μ έτεστι τοῖς δούλοισι δεσποτῶν νόσου.

Δ οῦλον γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν.
εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι.

Ο στις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν,
πολλὴν παρ᾽ ἡμῖν μωρίαν ὀφλισκάνει.

Π ιστὸν μὲν οὖν εἶναι χρὴ τὸν διάκονον.
τοιοῦτον τ᾽ εἶναι καὶ στέργειν τὰ δεσποτῶν.

Α εὶ τὸ δοῦλον ὡς κακῶς πέφυκ᾽ ἀεί,
τολμᾷ θ᾽ ἃ μὴ χρὴ τῇ βίᾳ κρατούμενον.

Ε ν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει
τοὔνομα· τὰ δ᾽ ἄλλα πάντα τῶν ἐλευθέρων,
οὐδεὶς κακίων δοῦλος, ὅστις ἐσθλὸς ᾖ.

Μενάνδρου Α παντα δουλεύειν ὁ δοῦλος μανθάνει.
πονηρός ἐστι, μεταδίδου παρρησίας.
βέλτιστον αὐτὸν τοῦτο ποιήσει πολύ.

Φιλήμονος Κ ἂν δοῦλος ᾖ τις, οὐδὲν ἧττον δέσποτα.
ἄνθρωπος οὗτος ἐστίν, ἂν ἄνθρωπος ᾖ.

Κ ακόν ἐστι δούλῳ δεσπότης πράσσων κακῶς.
μετέχειν ἀνάγκη τῶν κακῶν γὰρ γίνεται.

Σοφοκλ. Δ ῆλον γὰρ ἐν δεσμοῖσι δραπέτης ἀνὴρ
κῶλον ποδισθεὶς, πᾶν πρὸς ἡδονὴν λέγει.

Πολλοὶ

Ayuntamiento de Madrid

Πολλοὶ φυγόντες δεσπότας ἐλεύθεροι
ὄντες, πάλιν ζητοῦσι τὴν αὐτὴν φάτνην. — Εὐβούλου.

Εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος. — Σοφοκλ.

Ἐμοὶ πόλις ἐστὶ καὶ καταφυγὴ καὶ νόμος, — Μενάνδρου
καὶ τοῦ δικαίου τοῦ τ' ἀδίκου παντὸς κριτὴς,
ὁ δεσπότης· πρὸς τοῦτον ἕνα δεῖ ζῆν ἐμέ.

Οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν. — Θεόγνιδος
ἀλλ' αἰεὶ σκολιὴ καὐχένα λοξὸν ἔχει.

Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν, — Εὐριπίδου
κακῶς πίπτοντα καὶ φρενῶν ἀνθάπτεται.

Δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ.
πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων.

Πολλοῖσι δούλοις τοὔνομ' αἰσχρὸν, ἡ δὲ φρὴν,
τῶν οὐχὶ δούλων ἔστ' ἐλευθερωτέρα.

Ἀλλ' αὐτὸ τὸ πλῆθος ἐμφερεῖς τοὺς οἰκέτας — Ἀλέξιδος
ἔχοντας· ὄψει τοὺς τρόπους τοῖς δεσπόταις.
τοῖς ἤθεσιν γὰρ τοῖς ὑπηρετοῦσι καὶ
προσέχουσι τούτοις ἡ φύσις κεραίνυται.

Φεῦ φεῦ· τὸ δοῦλον ὡς ἁπανταχῇ γένος, — Εὐριπίδου
πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός.

Οἱ ἀγαθοὶ οἰκέται, ἐλεύθεροι· οἱ πονηροὶ ἐλεύθεροι, — Βίωνος.
δοῦλοι πολλῶν ἐπιθυμιῶν.

Χρὴ οὖν δεσπόζειν ἐπιεικῶς· καὶ ἀνιέναι ποτὲ βουλομένοις ἐπιτρέπειν, αἱ γὰρ ἀνέσεις, παρασκευαστικαὶ πόνων εἰσί· καὶ τόξον· καὶ λύρα, καὶ ἄνθρωπος, ἀκμάζει δι' ἀναπαύσεως. — Δίωνος.

Διογένης ἀποδράντος τοῦ οἰκέτου, οὐκ ἐφρόντιζε· δεινὸν εἶναι λέγων, εἰ Διογένης μὲν χωρὶς αὐτοῦ ζῆν οὐ δύναται, αὐτοῦ δ' ἐκεῖνος χωρὶς δύναται. — Ἐκ τῶν Σερίνου ἀπομνημονευμάτων.

Γελλίας ὁ Ἀκραγαντῖνος ἐπιξενωθεὶς ἀνδρὶ σκληρῷ, καὶ ἀπὸ παντὸς πιέζοντι, ὃς οὐδὲ καθεύδειν τοῖς οἰκέταις ἐπέτρεπεν, ἀλλ' ἄλλος ἄλλό τι τὴν νύκτα εἰργάζετο, ὑποδεξάμενος καὶ αὐτὸς τοῦτον εἰς Ἀκράγαντα, ἀφικόμενον μετὰ δεῖπνον, συνεκάλει τὰ παιδία τῶν οἰκετῶν· τὰ δὲ, ἦν τὰ μὲν πολλὰ καὶ τοῖς μὲν, ἐδίδου κάρυα· τοῖς δὲ, σῦκα ξηρά· ἐρομένου δ' ἐκείνου, πόθεν παιδία τοσαῦτα, ταῦτα ἔφη οἱ ἐμοὶ οἰκέται ποιοῦσι.

Δουλεία γὰρ καὶ ἐλευθερία, ὑπερβάλλουσαι μὲν ἑκάτερα, πάγκακος· ἐμμετ- — Πλάτωνος



Ayuntamiento de Madrid

φρος δὲ οὖσα, πανάγαθον· μετρία δὲ ἡ θεῶν δουλεία. ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις· θεὸς δὲ ἀνθρώποις σώφροσι, νόμος· ὁ μὴ δουλεύσας, οὐδ᾽ ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου.

Ἡροδότου. Πρὸς δὲ, ὦ βασιλεῦ, καὶ τόδε ἐς θυμὸν βάλλευ· ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων, κακοὶ δοῦλοι φιλέουσι γίγνεσθαι· τοῖσι δὲ κακοῖσι χρηστοί.

Πλάτωνος νόμων. ϛ΄. Ἐπειδὴ δύσκολόν ἐστι τὸ θρέμμα ἄνθρωπος, καὶ πρὸς τὴν ἀναγκαίαν διόρισιν, τὸ δοῦλόν τε ἔργῳ διορίζεσθαι καὶ ἐλεύθερον καὶ δεσπότην οὐδαμῶς εὔχρηστον ἐθέλειν εἶναί τε καὶ γίγνεσθαι· φαίνεται χαλεπὸν δὴ τὸ κτῆμα, ἔργῳ γὰρ πολλάκις ἐπιδέδεικται περὶ τὰς Μεσσηνίων συχνὰς εἰωθυίας ἀποστάσεις γίγνεσθαι· καὶ ἔτι τὰ τῶν λεγομένων περὶ δεινῶν, τῶν περὶ τὴν Ἰταλίαν γιγνομένων παντοδαπὰ κλωπῶν ἔργα τε, καὶ παθήματα· πρὸς ἅ τις ἂν βλέψας διαπορήσαι τί χρὴ δρᾶν περὶ πάντων τῶν τοιούτων, δύο δὴ λίπεσθον μόνον μηχανὰ, μήτε πατριώτας ἀλλήλων εἶναι τοὺς μέλλοντας ῥᾷον δουλεύσειν, ἀσυμφώνους τε εἰς δύναμιν ὅτι μάλιστα· τρέφειν δὲ αὐτοὺς ὀρθῶς, μὴ μόνον ἐκείνων οὕνεκα, πλέον δὲ αὑτῶν προτιμῶντες· ἡ δὲ τροφὴ τῶν τοιούτων, μήτε τινὰ ὕβριν ὑβρίζειν τοὺς οἰκέτας, ἧττον δὲ εἰ δυνατὸν ἀδικεῖν, ἢ τοὺς ἐξ ἴσου· διάδηλος γὰρ ὁ φύσει καὶ μὴ πλαστῶς σέβων τὴν δίκην· μισῶν δὲ ὄντως τὸ ἄδικον ἐν τούτοις τῶν ἀνθρώπων· ἐν οἷς αὐτῷ ῥᾴδιον ἀδικεῖν· περὶ τὰ τῶν δούλων οὖν ἤθη καὶ πράξεις γιγνόμενός τις ἀμίαντος, τοῦ τε ἀνοσίου πέρι καὶ ἀδίκου σπείρειν εἰς ἀρετῆς ἔκφυσιν, ἱκανώτατος ἂν εἴη. ταυτὸν δ᾽ ἔστιν εἰπεῖν τοῦτο ὀρθῶς ἅμα λέγοντα ἐπί τε δεσπότῃ καὶ τυράννῳ, καὶ πᾶσαν δυναστείαν δυναστεύοντι πρὸς ἀσθενέστερον ἑαυτοῦ. κολάζειν γε μὴν ἐν δίκῃ δούλους δεῖ, καὶ μὴ νουθετοῦντας ὡς ἐλευθέρους θρύπτεσθαι ποιεῖν. τὴν δὲ οἰκέτου πρόσρησιν, χρὴ σχεδὸν ἐπίταξιν πᾶσαν γίγνεσθαι, μὴ προσπαίζοντας μηδαμῇ μηδαμῶς οἰκέταις, μήτ᾽ οὖν θηλείαις, μήτ᾽ ἄρρεσιν, ἃ δὴ πρὸς δούλους φιλοῦσι πολλοὶ, σφόδρα ἀνοήτως θρύπτοντες, χαλεπώτερον ἀπεργάζεσθαι τὸν βίον ἐκείνοις τε ἄρχεσθαι, καὶ ἑαυτοῖς ἄρχειν.

Ayuntamiento de Madrid

ΠΕΡΙ ΑΦΡΟΔΙΤΗΣ ΠΑΝΔΗΜΟΥ ΠΑΡΕΧΟΥΣΗΣ ΤΗΝ ΑΙΤΙΑΝ ΤΗΣ ΓΕΝΕΣΕΩΣ ΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ, ΚΑΙ ΠΕΡΙ ΕΡΩΤΟΣ ΤΩΝ ΚΑΤΑ ΤΟ ΣΩΜΑ ΗΔΟΝΩΝ.

## ΛΟΓΟΣ. ξα'.

Ἡ δ' ἀφροδίτη πόλλ' ἔνεστι ποικίλα, Εὐριπίδου.
τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς,
τύχοιμι δ' αὐτῆς, ἡνίκ' ἐστὶν εὐμενής.
Κόρος δὲ πάντων, καὶ γὰρ ἐκ καλλιόνων
λέκτροισιν αἰσχροῖς εἶδον ἐκπεπληγμένους
δαιτὸς δὲ πληρωθείς τις, ἄσμενος πάλιν
φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα.
Οἱ γὰρ κύπριν φεύγοντες ἀνθρώπων ἄγαν,
νοσοῦσ' ὁμοίως τοῖς διώκουσιν ἄγαν.
Ἀνδρὸς δ' ἐρῶντος ἐς κύπριν νεανίου,
ἀφύλακτος ἡ τήρησις, κἂν γὰρ φαῦλος ᾖ,
τὰ δ' ἄλλα ἐς ἔρωτα πᾶς ἀνὴρ σοφώτερος.
ἢν δ' ἂν προσῆται κύπρις, ἥδιστον λαβεῖν.
Κύπρις γὰρ οὐ φορητὸν, ἢν πολλὴ ῥυῇ.
ἣ τὸν μὲν ἥκονθ' ἡσυχῇ μετέρχεται,
ὃν δ' ἂν περισσὰ καὶ φρονοῦνθ' εὕρῃ μέγα,
τοῦτον λαβοῦσα, οὕτω πως καθύβρισεν.
Ὦ παῖδες, ἥ τοι κύπρις, οὐ κύπρις μόνον.
ἀλλ' ἐστὶ πάντων ὀνομάτων ἐπώνυμος. Σοφοκλέ.
ἔστιν μὲν ᾅδης, ἔστι δ' ἄφθιτος βία.
ἔστιν δὲ λύσσα μανιὰς, ἔστιν δ' ἵμερος.
ἄκρατος· ἔστ' οἰμωγμός· ἐν ἐκείνῃ τὸ πᾶν.



Ayuntamiento de Madrid

σπουδαῖον· ἡσύχαιον· ἐς βίαν ἄγον.
ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι
ψυχή· τὶς οὔτι τῆσδε τῆς θεοῦ βορός.
εἰσέρχεται μὲν ἰχθύων πλωτῷ γένει.
ἔνεστι δ' ἐν χέρσου τετρασκελεῖ γονῇ
νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερόν.
ἐν θηρσὶν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω.
τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν
εἴ μοι θέμις, θέμις δὲ τἀληθῆ λέγειν.
Διὸς τυραννεῖ πλευμόνων ἄνευ δορός.
ἄνευ σιδήρου πάντα τοι συντέμνεται,
Κύπρις τὰ θνητῶν καὶ θεῶν βουλεύματα.

Ἐκ τῶν τοῦ Βίωνος βουκολικῶν.

Ταὶ Μοῖσαι τὸν ἔρωτα τὸν ἄγριον, ἢ φοβέονται,
ἢ 'κ θυμῶ φιλέοντι, καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.
κἢν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον δὴ δὴ,
τῆνον ὑπεκφεύγοντι, καὶ οὐκ ἐθέλοντι διδάσκειν.
ἢν δὲ νόον τῷ ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ,
ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι·
μάρτυς ἐγὼν, ὅτι μῦθος ὅδ' ἔπλετο πᾶσιν ἀληθής.
ἢν μὲν γὰρ βροτὸν ἄλλον· ἢ ἀθάνατόν τινα μέλπω,
καμβαίνει μευ γλῶσσα, καὶ ὡς πάρος οὐκ ἔτ' ἀείδει.
ἢν δ' αὖτ' ἐς τὸν ἔρωτα καὶ ἐς Λυκίδαν τι μελίσδω,
καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥεῖ ᾠδά.

Ἀριστάρχου

Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν
οὐκ οἶδ' ἀνάγκης θεσμὸν, ᾧ πεισθεὶς ἐγὼ,
οὕτω κρατηθεὶς τάσδ' ἀποστέλλω ὁδούς.
οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν
τίθησι, καὶ τὸν ἄπορον εὑρίσκειν πόρον.

Ἀναξανδρίδου.

Ἔρως σοφιστοῦ γίνεται διδάσκαλος σκαιοῦ
πολὺ κρείττων πρὸς τὸν ἀνθρώπων βίον.

Εὐριπίδου

Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν,
καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
ἢ σκαιός ἐστιν, ἢ καλῶν ἄπειρος ὤν.
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.



Ayuntamiento de Madrid

Εἴ τις φησὶ τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν, Ἀντιφάνους
ἦ που τίς ἐστι τοὺς τρόπους ἀβέλτερος,
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ' οὐδὲν ἕτερον, ἢ τεθνηκέναι.
Οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα Ἀλέξιδος.
ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος.
εἶτ' οὖν μέγιστός ἐστι τῶν θεῶν ἔρως,
καὶ τιμιώτατός γε τῶν πάντων πολύ.
οὐδεὶς γὰρ οὕτως ἐστὶ φειδωλὸς σφόδρα
ἄνθρωπος, οὐδ' οὕτως ἀκριβὴς τοὺς τρόπους,
ὃς οὐχὶ τούτῳ μερίδα τῷ θεῷ νέμει.
Τῆς οὐσίας ὅσοις μὲν οὖν πράως ἔχει. Μενάνδρου
νέοις αἰτοῦσι τοῦτο προστάττειν ποεῖν.
οἱ δ' εἰς τὸ γῆρας ἀναβολὰς ποιούμενοι,
οὗτοι προσαποτείνουσιν ὡραίους τόκους.
Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς ἀφροδίτης Μιμνέρμου
τεθναίην ὅτε μοι μηκέτι ταῦτα μέλοι.
Καὶ φύσει πῶς δυσάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν. Μενάνδρου
Ἔστι καὶ ἐν κενεοῖσι φιλήμασιν ἁδέα τέρψις. Θεοκρίτου
Δέσποινα. ἔρωτος οὐδὲν ἰσχύει πλέον. Μενάνδρου
οὐδ' ἄλλος ὁ κρατῶν ἐν οὐρανῷ θεῶν
ζεύς, ἀλλ' ἐκείνῳ πάντα ἀναγκασθεὶς ποεῖ.
Ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσι βροτῶν, Εὐριπίδου.
ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων,
οὐκ ἔστι ποίας λείπεται τόδ' ἡδονῆς.
Ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον,
ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,
ἔρωτα, πάντων δυσμαχώτατον θεόν.
Ἔρωτι μὲν γοῦν ὅστις ἀντανίσταται Σοφοκλέ..
πύκτης, ὅπως ἐς χεῖρας οὐ καλῶς φρονεῖ.
οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει.
Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται,
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς χαράσσει, κἀπὶ πόντον ἔρχεται.

Ayuntamiento de Madrid

καὶ τὸν δ᾽ ἀπείργειν οὐδ᾽ ὁ παγκρατὴς σθένει
Ζεύς, ἀλλ᾽ ὑπείκει καὶ θέλων ἐγκλίνεται.

Ἐκ τοῦ βίωνος βουκολικῶν.

Μεγάλα μοι κύπρις ἔθ᾽ ὑπνώοντι παρέστα,
νηπίαχον τὸν ἔρωτα καλῶς ἐκ χειρὸς ἄγοισα
ἐς χθόνα νευστάζοντα, τόσον δέ μοι ἔφρασε μῦθον.
μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν ἔρωτα δίδασκε.
ὣς λέγε· χἀ μὲν ἀπῆλθεν· ἐγὼ δ᾽ ὅσα βουκολιασδον,
νήπιος, ὡς ἐθέλοντα μαθεῖν τὸν ἔρωτα δίδασκον.
ὡς εὗρε πλαγίαυλον ὁ πᾶν, ὡς αὐλὸν ἀθάνα.
ὡς χέλυν ἑρμάων, κίθαριν ὡς ἁδὺς ἀπόλλων.
ταῦτά μιν ἐδίδασκον· ὁ δ᾽ οὐκ ἐμπάζετο μύθων,
ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα καί μ᾽ ἐδίδασκε.
θνατῶν ἀθανάτων τε πόθους, καὶ ματέρος ἔργα.
κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν ἔρωτ᾽ ἐδίδασκον.
ὅσσα δ᾽ ἔρως μ᾽ ἐδίδασκεν ἐρωτύλα πάντ᾽ ἐδιδάχθην.

Ἕσπερε τᾶς ἐρατᾶς χρύσεον φάος ἀφρογενείας
ἕσπερε κυανέας ἱερὸν φίλε νυκτὸς ἄγαλμα.
τόσσον ἀφαυρότερον μήνας ὅσον ἔξοχος ἄστρων.
χαῖρε φίλος καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι
ἀντὶ σεληναίας τὺ δίδου φάος, ὥνεκα τήνα
σάμερον ἀρχομένα τάχιον δύεν. οὐκ ἐπὶ φωρῶν
ἔρχομαι, οὐδ᾽ ἵνα νυκτὸς ὁδοιπορέοντ᾽ ἐνοχλέω.
ἀλλ᾽ ἐράω· καλὸν δέ τ᾽ ἐρασσαμένῳ συνεράσθαι.

Ἐκ τοῦ μόσχου τοῦ σικελοῦ βουκολικῶν.

Ἤρα πᾶν ἀχῶς τᾶς γείτονος· ἤρατο δ᾽ ἀχὼ
σκιρτατᾶ σατύρῳ· σάτυρος δ᾽ ἐπεμήνατο λύδαν.
ὡς ἀχὼ τὸν πᾶνα, τόσον σάτυρος φλέγεν ἀχώ.
καὶ λύδα σατυρίσκον· ἔρως δ᾽ ἐσμύχετ᾽ ἀμοιβᾷ,
ὅσσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα,
τόσσον ὁμῶς φιλέων ἐχθαίρετο πάσχε δ᾽ ἃ ποίει.
ταῦτα λέγω πᾶσι τὰ διδάγματα τοῖς ἀνεράστοις,
στέργετε τὼς φιλέοντας ἵν᾽ ἢν φιλέητε φιλῆσθε.

Πλάτωνος

Ο δὲ δεινότατον ὥς γε λέγουσιν οἱ πολλοί, ὅτι καὶ ὀμνύντι μόνῳ, συγγνώμη παρὰ θεῶν ἐκβάντι τὸν ὅρκον· ἀφροδίσιον γὰρ ὅρκον, οὔ φασιν εἶναι. οὕτω καὶ οἱ θεοὶ καὶ οἱ ἄνθρωποι πᾶσαν ἐξουσίαν πεποιήκασι τῷ ἐρῶντι. ὡς ὁ

Ayuntamiento de Madrid

νόμος φησὶν ἐνθάδε.

Ἀριστοτέλης ὁ Κυρηναῖος φιλόσοφος, ἐρωτηθεὶς, εἰ ὁ ἔρως ἕνεκα συνουσίας γίνεται, οὔτ' ἔφη διὰ τοῦτο, οὔτ' ἄνευ τούτου.

Τῶν Μενάνδρου δραμάτων ὁμαλῶς ἁπάντων, ἓν συνεκτικόν ἐστιν, ὁ ἔρως. Πλουτάρχου
οἷον, πνεῦμα κοινὸν διαπεφυκώς. ὃν οὖν μάλιστα θιασώτην τοῦ θεοῦ καὶ ὀργιαστὴν τὸν ἄνδρα συμπαραλαμβάνομεν εἰς τὴν ζήτησιν, ἐπεὶ καὶ λελάληκε περὶ τοῦ πάθους φιλοσοφώτερον, ἄξιον γὰρ θαύματος φῆσαι τὸ περὶ τοὺς ἐρῶν-
» τας, ὥσπερ ἔνεσιν, ἅμα λαλεῖ· εἶτα ἀπορεῖ καὶ ζητεῖ πρὸς ἑαυτόν· τίνι δεδού-
» λωται ποτὲ ὄψει φλύαρος, τῆς γὰρ ἄλλης πάντες ἂν ἤρων, κρίσιν γὰρ τὸ βλέ-
πειν ἴσην ἔχει. ἀλλ' ἡδονή τις τοὺς ἐρῶντας ἐπάγεται συνουσίας. πῶς οὖν
» ἕτερος ταύτην ἔχων οὐδὲν πέπονθεν, ἀλλ' ἀπῆλθε καταγελῶν. ἕτερος
» ἀπόλωλε; καιρός ἐστι νόσος ψυχῆς. ὁ πληγεὶς δ' εἴσω δὴ τιτρώσκεται. ταῦ-
τα τίνα ἐστὶ σκεψώμεθα. καὶ γὰρ ἔχει τινὰ κρουστικὸν, καὶ κινητικὸν αἰτίαν, μήτε τὴν συνουσίαν αἰτίαν εἶναι πιθανόν ἐστι. ἀρχαὶ γὰρ ἄλλαι τινὲς ἴσως. ἡ δὲ ἰσχὺς καὶ ῥίζωσις τοῦ πάθους, ἐν ἑτέροις. ἡ δ' ἀπόδειξις, ἐλαφρὰ, καὶ οὐδ' ἀληθής, οὐ γὰρ ἔχει κρίσιν τὸ βλέπειν, ὥσπερ οὐδὲ τὸ γεύεσθαι, καὶ γὰρ ὄψις ὄψεως, καὶ ἀκοῆς ἀκοὴ, φύσει τε μᾶλλον διήρθρωται, καὶ τέχνη συγγεγύμνασται πρὸς τὴν τοῦ καλοῦ διάγνωσιν. ἐν μὲν ἁρμονίαις. καὶ μέλεσιν, αἱ τῶν μουσικῶν. ἐν δὲ μορφαῖς, καὶ ἰδέαις αἱ τῶν ζώων φρένες, ὥσπερ εἰπεῖν ποτε Νικόμαχον λέγουσι πρὸς ἄνθρωπον ἰδιώτην, φήσαντα μὴ καλὴν αὐτῷ φανῆναι τὴν Ζεύξιδος Ἑλένην. λάβε τοὺς ἐμοὺς ὀφθαλμοὺς καὶ θεός σοι φανήσεται. πολλοὶ δὲ καὶ μυρεψοὶ περὶ τὰ ὀσφραντὰ, καὶ νὴ Δία ὀψοποιοὶ περὶ τὰ γευστὰ. διατριβῇ καὶ συνηθείᾳ, διαφέρουσιν ἡμῶν κρίσιν ἔχειν. πάλιν δὲ τὸ συνουσίᾳ τὸν ἔρωτα μὴ κρατεῖσθαι, διὰ τὸ τῇ ἄλλῃ συγγενόμενον ἄλλον ἀπαλλαγῆναι καὶ καταφρονῆσαι, τοιοῦτόν ἐστιν. οἷον, εἰ λέγοι τις, μὴ δὲ χυμῶν ἡδονῇ δεδουλῶσθαι Φιλόξενον τὸν ὀψοφάγον. ὅτι τῶν ἄλλων ἀντιπαθένης γευσάμενος, οὐδὲν ἔπαθε τοιοῦτον. μὴ δὲ ὑπὸ οἴνου μεθύειν Ἀλκιβιάδην, ὅτε Σωκράτης πίνων τὸν ἴσον οἶνον ἔνηφεν. ἀλλὰ ταῦτα μὲν ἐάσωμεν, τὰ δ' ἐφεξῆς ἐν οἷς ἤδη τὴν ἄλλου δόξαν ἀποφαίνεται, σκοπῶμεν. καιρός ἐστιν ἡ νόσος ψυχῆς. εὖ καὶ ὀρθῶς, δεῖ γὰρ ἅμα τοῦ πάσχοντος εἰς ταυτὸ καὶ τοῦ ποιοῦντος ἀπάντησιν γενέσθαι, πρὸς ἄλληλά πως ἐχόντων. ὡς ἄκυρον εἰς τὴν τοῦ τέλους ἀπεργασίαν ἡ δραστικὴ δύναμις ἂν μὴ παθητικὴ διάθεσις ᾖ. τοῦτο δὲ εὐστοχίας ἐστὶ καιροῦ τῷ παθεῖν ἐμοί πως συνάπτοντος ἐν ἀκμῇ τὸ ποιεῖν πεφυκός.

Ayuntamiento de Madrid

Πλάτωνος ἐκ τοῦ συμποσίου.

Η γὰρ πάλαι ἡμῶν φύσις, οὐχ αὕτη ἦν ἥπερ νῦν, ἀλλὰ ἀλλοία, πρῶτον μὲν γὰρ τρία ἦν γένη τὰ τῶν ἀνθρώπων. οὐχ ὥσπερ νῦν δύο ἄρρεν καὶ θῆλυ, ἀλλὰ τρίτον προσῆν κοινὸν ἀμφοτέρων τούτων. οὗ νῦν ὄνομα λοιπόν, αὐτὸ δὲ ἠφάνισται, ἀνδρόγυνον γὰρ τότε μὲν ἦν, καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινόν, τοῦ τε ἄρρενος καὶ θήλεος. νῦν οὐκ ἔστιν. ἀλλ' ἢ ἐν ὀνείδει ὄνομα κείμενον, ἔπειτα ὅλον ἦν ἑκάστου τοῦ ἀνθρώπου τὸ εἶδος στρογγύλον, νῶτόν τε, καὶ πλευρὰς κύκλῳ ἔχον, χεῖρας δὲ τέσσαρας εἶχε. καὶ σκέλη τὰ ἴσα ταῖς χερσί. καὶ πρόσωπα δύο ἐπ' αὐχένι κυκλοτερεῖ. ὅμοια πάντῃ. κεφαλὴν δὲ ἐπ' ἀμφοτέροις τοῖς προσώποις ἐναντίοις μίαν. καὶ ὦτα τέτταρα. καὶ αἰδοῖα δύο, καὶ τἆλλα πάντα ὅσα ἀπὸ τούτων ἄν τις εἰκάσειεν. ἐπορεύετο δὲ καὶ ὀρθὸν ὥσπερ νῦν ὁποτέρως βουληθείη, καὶ ὁπότε ταχὺ ὁρμήσειε θεῖν, ὥσπερ οἱ κυβιστῶντες, καὶ εἰς ὀρθὰ ὄντα σκέλη περιφερόμενοι κυβιστῶσι κύκλῳ, τότε ὀκτὼ οὖσι τοῖς μέλεσιν ἀπερειδόμενοι, ταχὺ ἐφέροντο κύκλῳ. ἦν δὲ διὰ ταῦτα τρία γένη. καὶ τοιαῦτα, ὅτι τὸ μὲν ἄρρεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον. τὸ δὲ θῆλυ, τῆς γῆς. τὸ δὲ ἀμφοτέρων μετέχον, τῆς σελήνης. ὅτι καὶ ἡ σελήνη ἀμφοτέρων μετέχει, περιφερῆ δὲ δὴ ἦν καὶ αὐτά, καὶ ἡ πορεία αὐτῶν, διὰ τὸ τοῖς γονεῦσιν ὅμοια εἶναι. ἦν οὖν τὴν ἰσχὺν δεινά, καὶ τὴν ῥώμην, καὶ τὰ φρονήματα μεγάλα εἶχον, ἐπεχείρησαν δὲ τοῖς θεοῖς. καὶ ὃ λέγει ὅμηρος περὶ ἐφιάλτου τε καὶ ὤτου, περὶ ἐκείνων λέγεται, τὸ εἰς τὸν οὐρανὸν ἀνάβασιν ἐπιχειρεῖν ποιεῖν, ὡς ἐπιθησομένων τοῖς θεοῖς. ὁ οὖν ζεὺς καὶ οἱ ἄλλοι θεοί, ἐβουλεύοντο ὅ,τι χρὴ αὐτοὺς ποιῆσαι, καὶ ἠπόρουν, οὔτε γὰρ ὅπως ἀποκτείναιεν εἶχον, καὶ ὥσπερ τοὺς γίγαντας κεραυνώσαντες τὸ γένος ἀφανίσαιεν, αἱ τιμαὶ γὰρ αὐτοῖς, καὶ τὰ ἱερὰ τὰ παρὰ τῶν ἀνθρώπων ἠφανίζετο, οὔτε ὅπως ἐῷεν ἀσελγαίνειν, μόλις δὲ ὁ ζεὺς ἐννοήσας, λέγει. ὅτι δοκῶ μοι ἔχειν μηχανήν, ὡς ἂν εἶέν τε ἄνθρωποι, καὶ παύσαιντο τῆς ἀκολασίας, ἀσθενέστεροι γενόμενοι. νῦν δὲ γὰρ αὐτοὺς ἔφη διατεμῶ δίχα ἕκαστον, καὶ ἅμα μὲν ἀσθενέστεροι ἔσονται, ἅμα δὲ χρησιμώτεροι ἡμῖν, διὰ τὸ πλείους τὸν ἀριθμὸν γεγονέναι. καὶ βαδιοῦνται ὀρθοὶ ἐπὶ δυοῖν σκελοῖν. ἐὰν δὲ ἔτι δοκῶσιν ἀσελγαίνειν, καὶ μὴ θέλωσιν ἡσυχίαν ἄγειν, πάλιν αὖ ἔφη τεμῶ δίχα, ὥστε ἐφ' ἑνὸς πορεύσονται σκέλους, ἀσκωλίζοντες. καὶ ταῦτα εἰπών, ἔτεμνε τοὺς ἀνθρώπους δίχα, ὥσπερ οἱ τὰ ὠὰ τέμνοντες καὶ μέλλοντες ταριχεύειν, ἢ ὥσπερ οἱ τὰ ὠὰ ταῖς θριξίν, ὅντινα δὲ τέμοι, τὸν ἀπόλλω ἐκέλευε, τό τε πρόσωπον μεταστρέφειν, καὶ τὸ τοῦ αὐχένος ἥμισυ πρὸς τὴν τομήν, ἵνα θεώμενος τὴν αὐτοῦ τμῆσιν, κοσμιώ-

Ayuntamiento de Madrid

τερος εἴη ὁ ἄνθρωπος, καὶ τἆλλα ἰᾶσθαι ἐκέλευεν. ὁ δὲ, τό τε πρόσωπον μετέστρεφε, καὶ ξυνέλκων πανταχόθεν τὸ δέρμα, ἐπὶ τὴν γαστέρα νῦν καλουμένην, ὥσπερ τὰ σύσπαστα βαλάντια ἓν στόμα ποιῶν ἀπέδει κατὰ μέσην τὴν γαστέρα. ὃ δὴ τὸν ὀμφαλὸν καλοῦσι. καὶ τὰς μὲν ἄλλας ῥυτίδας πολλὰς ἐξελέαινε, καὶ τὰ στήθη διήρθρου, ἔχων τι τοιοῦτον ὄργανον, οἷον, οἱ σκυτοτόμοι περὶ τὸν καλάποδα λεαίνοντες τὰς τῶν σκυτῶν ῥυτίδας. ὀλίγας δὲ κατέλιπε τὰς περὶ αὐτὴν τὴν γαστέρα καὶ τὸν ὀμφαλὸν, μνημεῖον εἶναι τοῦ παλαιοῦ πάθους. ἐπεὶ οὖν ἡ φύσις δίχα ἐτμήθη, ποθοῦν ἕκαστον τὸ ἥμισυ τοῦ αὑτοῦ ξυνῄει, καὶ περιβάλλοντες τὰς χεῖρας καὶ συμπλεκόμενοι, ἀλλήλοις ἐπιθυμοῦντες ξυμφῦναι, ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ, καὶ τῆς ἄλλης ἀργίας, διὰ τὸ μηδὲν ἐθέλειν χωρὶς ἀλλήλων ποιεῖν. καὶ ὁπότε τις ἀποθάνοι τῶν ἡμίσεων, τὸ δὲ λειφθείη, τὸ λειφθὲν ἄλλο ἐζήτει καὶ συνεπέπλεκτο. εἴτε γυναικὸς τῆς ὅλης ἐντύχοι ἡμίσει, ὃ δὴ νῦν γυναῖκα καλοῦμεν, εἴτε ἀνδρὸς, οὕτως ἀπώλλυντο. ἐλεήσας δὲ ὁ Ζεὺς, ἄλλην μηχανὴν πορίζεται. καὶ μετατίθησιν αὐτῶν τὰ αἰδοῖα εἰς τὸ πρόσθεν, τέως γὰρ καὶ ταῦτα ἐκτὸς εἶχον, καὶ ἐγέννων καὶ ἔτικτον οὐκ εἰς ἀλλήλους, ἀλλ' εἰς γῆν ὥσπερ οἱ τέττιγες. μετέθηκέ τε οὖν οὕτως αὐτῶν εἰς τὸ ἔμπροσθεν. καὶ διὰ τούτων τὴν γένεσιν ἐν ἀλλήλοις ἐποίησε, διὰ τοῦ ἄρρενος ἐν τῷ θήλει. τῶν δὲ ἕνεκα, ἵνα ἐν τῇ συμπλοκῇ ἅμα μὲν εἰ ἀνὴρ γυναικὶ ἐντύχοι γεννῷεν, καὶ γίγνοιτο τὸ γένος. ἅμα δ' εἰ καὶ ἄρρην, ἄρρενι. πλησμονὴ γοῦν γίγνοιτο τῆς συνουσίας καὶ διαπαύοιντο, καὶ ἐπὶ τὰ ἔργα τρέποιντο. καὶ ἄλλου βίου ἐπιμελοῖντο. ἔστι δὴ οὖν ἐκτὸς οὗ ὁ ἔρως ἔμφυτος ἀλλήλων τοῖς ἀνθρώποις, καὶ τῆς ἀρχαίας φύσεως συναγωγὸς, καὶ ἐπιχειρῶν ποιῆσαι ἓν ἐκ δυοῖν, καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην. ἕκαστος οὖν ἡμῶν ἐστὶν ἀνθρώπου σύμβολον, ἅτε τετμημένος ὥσπερ αἱ ψῆτται ἐξ ἑνὸς δύο. ζητεῖ δὴ ἀεὶ τὸ αὑτοῦ ἕκαστον σύμβολον. ὅσοι μὲν οὖν τῶν ἀνδρῶν τοῦ κοινοῦ τμήματός εἰσιν, ὃ δὴ τότε ἀνδρόγυνον ἐκαλεῖτο, φιλογύναικές τε εἰσι, καὶ οἱ πολλοὶ τῶν μοιχῶν, ἐκ τούτου τοῦ γένους γεγόνασι, καὶ ὅσαι αὖ γυναῖκες φίλανδροί τε, καὶ μοιχεύτριαι. ὅσαι δὲ τῶν γυναικῶν γυναικὸς τμῆμά ἐστιν, οὐ πάνυ αὗται τοῖς ἀνδράσι τὸν νοῦν προσέχουσιν, ἀλλὰ μᾶλλον πρὸς τὰς γυναῖκας τετραμμέναι εἰσὶ καὶ ἑταιρίστριαι ἐκ τούτου τοῦ γένους γίγνονται. ὅσοι δ' ἄρρενος τμῆμά εἰσι, τὰ ἄρρενα διώκουσι. καὶ τέως μὲν ἂν παῖδες ὦσιν, ἅτε ὄντα τοῦ ἄρσενος, φιλοῦσι τοὺς ἄνδρας, καὶ χαίρουσι ξυγκατακείμενοι, καὶ ξυμπλεκόμενοι τοῖς ἀνδράσι, καί εἰσιν οὗτοι βέλτιστοι τῶν παίδων καὶ μειρακίων,

Ayuntamiento de Madrid

ἅτε ἀνδρειότατοι ὄντες φύσει. φασὶ δὲ δή τινας αὐτοὺς ἀναισχύντους εἶναι
ψευδόμενοι, οὐ γὰρ ὑπ' ἀναισχυντίας δρῶσι τοῦτο, ἀλλ' ὑπὸ θάῤῥους, καὶ
ἀνδρείας, καὶ ἀῤῥενωπίας τὸ ὅμοιον αὐτοῖς ἀσπαζόμενοι. μέγα δὲ τεκμή-
ριον, καὶ γὰρ τελεωθέντες μόνοι ἀποβαίνουσιν εἰς τὰ πολιτικὰ, ἄνδρες οἱ
τοιοῦτοι. ἐπειδὰν δὲ ἀνδρωθῶσι, παιδεραστοῦσι, καὶ πρὸς γάμους καὶ παι-
δοποιίας οὐ προσέχουσι τὸν νοῦν φύσει.

Ἐν ταὐτῷ. Φημὶ οὖν ἐγὼ πάντων θεῶν εὐδαιμόνων ὄντων, ἔρωτα εἰ θέμις καὶ ἀνεμέ-
σητον εἰπεῖν, εὐδαιμονέστατον εἶναι αὐτὸν, κάλλιστον ὄντα καὶ ἄριστον. ἔστι δὲ
κάλλιστος ὢν, τοιόσδε. πρῶτον μὲν, νεώτατος θεῶν ὦ φαῖδρε. μέγα δὲ τεκ-
μήριον τῷ λόγῳ αὐτὸς παρέχεται, φεύγων φυγῇ τὸ γῆρας. ταχὺ ὂν δηλο-
νότι, θᾶττον γοῦν τοῦ δέοντος ἡμῖν προσέρχεται, ὃ δὴ πέφυκεν ἔρως μι-
σεῖν, καὶ οὐδ' ἐντὸς πολλοῦ πλησιάζειν. μετὰ δὲ νέων ἀεὶ ξύνεστί τε καὶ ἔστιν. ὁ γὰρ
παλαιὸς λόγος εὖ ἔχει. ὡς ὅμοιον ὁμοίῳ δεῖ πελάζειν. ἐγὼ δὲ φαίδρῳ πολ-
λὰ ἄλλα ὁμολογῶν, τοῦτο οὐχ ὁμολογῶ, ὡς ἔρως κρόνου καὶ ἰαπετοῦ ἀρ-
χαιότερός ἐστιν, ἀλλά φημι νεώτατόν τε αὐτὸν εἶναι θεῶν καὶ ἀεὶ νέον. τὰ
δὲ παλαιὰ πράγματα περὶ θεοὺς, ἃ ἡσίοδος καὶ παρμενίδης λέγουσιν, ἀ-
νάγκῃ καὶ οὐκ ἔρωτι γεγονέναι, ἀληθῆ λέγουσιν, οὐ γὰρ ἂν ἐκτομαὶ οὐδὲ
δεσμοὶ ἀλλήλων ἐγένοντο, καὶ ἄλλα πολλὰ καὶ βίαια εἰ ἔρως ἐν αὐτοῖς ἦν,
ἀλλὰ φιλία καὶ εἰρήνη. ὥσπερ νῦν, ἐξ οὗ ἔρως τῶν θεῶν βασιλεύει. νέος μὲν
οὖν ἐστι, πρὸς δὲ τῷ νέῳ, ἁπαλὸς, ποιητοῦ δὲ ἐστιν ἐνδεὴς, οἷος ἦν ὁ ὅμη-
ρος, πρὸς τὸ ἐπιδεῖξαι θεοῦ ἁπαλότητα. ὅμηρος γὰρ ἄτην, θεόν τέ φησιν εἶ-
ναι καὶ ἁπαλὴν, τοὺς γοῦν πόδας αὐτῆς ἁπαλούς φησιν εἶναι λέγων. τῆς
„ μέν θ' ἁπαλοὶ πόδες, οὐ γὰρ ἐπ' οὔδεος πίλναται. ἀλλ' ἄρα ἥγε κατ' ἀν-
„ δρῶν κράατα βαίνει. καλῷ οὖν μοι δοκεῖ τεκμηρίῳ τὴν ἁπαλότητα ἀπο-
φαίνειν, ὅτι οὐκ ἐπὶ σκληροῦ βαίνει, ἀλλ' ἐπὶ μαλθακοῦ. τῷ αὐτῷ δὲ καὶ
ἡμεῖς χρησόμεθα τεκμηρίῳ περὶ ἔρωτος, ὅτι ἁπαλὸς, οὐ γὰρ ἐπὶ γῆς βαίνει,
οὐδ' ἐπὶ κρανίων. ἅ ἐστιν οὐ πάνυ μαλακά. ἀλλ' ἐν τοῖς μαλακωτάτοις τῶν
ὄντων βαίνει καὶ οἰκεῖ, ἐν γὰρ ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴ-
κησιν ἵδρυται, καὶ οὐκ αὖ ἐν πάσαις ἑξῆς ταῖς ψυχαῖς, ἀλλ' ᾗ τινι ἂν σκλη-
ρὸν ἦθος ἐχούσῃ ἐντύχῃ, ἀπέρχεται. ᾗ δ' ἂν μαλακὸν, οἰκίζεται. ἁπτόμε-
νον οὖν ἀεὶ καὶ ποσὶ καὶ πάντῃ ἐν μαλακωτάτοις, τῶν μαλακωτάτων ἀ-
νάγκη εἶναι. νεώτατος μὲν δὴ ἐστι καὶ ἁπαλώτατος. πρὸς δὲ τούτοις, ὑγρὸς
τὸ εἶδος, οὐ γὰρ ἂν οἷός τε ἦν πάντῃ περιπτύσσεσθαι, οὐδὲ διὰ πάσης ψυχῆς,
καὶ εἰσιὼν τὸ πρῶτον λανθάνειν, καὶ ἐξιὼν εἰ σκληρὸς ἦν. συμμέτρου δὲ καὶ

Ayuntamiento de Madrid

ὑγρᾶς ἰδέας, μέγα τεκμήριον ἡ εὐσχημοσύνη, ὃ δὴ διαφερόντως ἐκ πάντων ὁμολογουμένως ἔρως ἔχει, ἀσχημοσύνῃ γὰρ καὶ ἔρωτι πρὸς ἀλλήλους ἀεὶ πόλεμος. χρόας δὲ κάλλος ἡ κατ᾽ ἄνθη δίαιτα τοῦ θεοῦ σημαίνει, ἀνθεῖ γὰρ καὶ ἀπηνθηκότι καὶ σώματι καὶ ψυχῇ, καὶ ἄλλῳ ὁτῳοῦν. οὐκ ἐνίζει ἔρως, οὗ δ᾽ ἂν εὐώδης τε καὶ εὐανθὴς τόπος ᾖ. ἐνταῦθα δὲ, καὶ ἵζει καὶ μένει. περὶ μὲν οὖν κάλλους τοῦ θεοῦ, καὶ ταῦτα ἱκανὰ, καὶ ἔτι πολλὰ λείπεται. περὶ δὲ ἀρετῆς ἔρωτος, μετὰ ταῦτα λεκτέον. τὸ μὲν μέγιστον, ὅτι ἔρως, οὔτε ἀδικεῖ οὔτε ἀδικεῖται, οὔτε ὑπὸ θεοῦ, οὔτε θεόν. οὔτε ὑπ᾽ ἀνθρώπου, οὔτε ἀνθρώπων, οὐδὲ γὰρ αὐτὸς βίᾳ πάσχει, εἴ τι πάσχει, βία γὰρ ἔρωτος οὐχ ἅπτεται, οὔτε ποιῶν ποιεῖ. πᾶς γὰρ ἑκὼν ἔρωτι πάνθ᾽ ὑπηρετεῖ. ἃ δ᾽ ἂν ἑκὼν ἑκόντι ὁμολογήσῃ. φασὶν οἱ τῆς πόλεως βασιλῆς νόμοι, δίκαια εἶναι, πρὸς δὲ τῇ δικαιοσύνῃ, σωφροσύνης πλείστης μετέχει, εἶναι γὰρ ὁμολογεῖται σωφροσύνη, τὸ κρατεῖν ἡδονῶν καὶ ἐπιθυμιῶν. ἔρωτος δὲ, μηδεμίαν ἡδονὴν κρείττω εἶναι. οἱ δὲ ἥττους, κρατοῖντ᾽ ἂν ὑπὸ ἔρωτος, ὁ δὲ κρατεῖ. κρατῶν δὲ ἡδονῶν καὶ ἐπιθυμιῶν ὁ ἔρως, διαφερόντως ἂν σωφρονοίη. καὶ μὴν εἴς γε ἀνδρείαν ἔρωτι, οὐδὲ ἄρης ἀνθίσταται, οὐ γὰρ ἔχει ἔρωτα ἄρης, ἀλλὰ ἔρως ἄρη ἀφροδίτης, ὡς λόγος. κρείττων δὲ ὁ ἔχων τοῦ ἐχομένου, τοῦ δὲ ἀνδρειοτάτου τῶν ἄλλων κρατῶν, πάντων ἀνδρειότατος εἴη. περὶ μὲν οὖν δικαιοσύνης καὶ σωφροσύνης καὶ ἀνδρείας τοῦ θεοῦ, εἴρηται. περὶ δὲ σοφίας λείπεται. ὅσον οὖν δυνατὸν πειρατέον μὴ ἐλλείπειν. καὶ πρῶτον μὲν ἵν᾽ αὖ καὶ ἐγὼ τὴν ἡμετέραν τέχνην τιμήσω, ὥσπερ ἐρυξίμαχος τὴν αὑτοῦ, ποιητὴς ὁ θεὸσοφος, οὕτως ὥστε καὶ ἄλλον ποιῆσαι, πᾶς γοῦν ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τὸ πρὶν, οὗ ἂν ἔρως ἅψηται, ᾧ δὴ πρέπει ἡμᾶς μαρτυρίῳ χρήσασθαι. ὅτι ποιητὴς ὁ ἔρως ἀγαθὸς ἐν κεφαλαίῳ πᾶσαν ποίησιν τὴν κατὰ μουσικήν, ἃ γάρ τις ἢ μὴ ἔχει, ἢ μὴ οἶδεν, οὔτ᾽ ἂν ἑτέρῳ δοίη, οὔτε ἂν ἄλλον διδάξειε. καὶ μὲν δὴ τήν γε τῶν ζώων ποίησιν πάντων, τίς ἐναντιώσεται, μὴ οὐχὶ ἔρωτος εἶναι σοφίαν, ᾗ γίγνεται καὶ φύεται πάντα ζῶα, ἀλλὰ τὴν τῶν τεχνῶν δημιουργίαν οὐκ ἴσμεν, ὅτι οὗ μὲν ἂν ὁ θεὸς οὗτος διδάσκαλος γένηται, ἐλλόγιμος καὶ φανὸς ἀπέβη, οὗ δ᾽ ἂν ἔρως μὴ ἐφάψηται, σκοτεινός. τοξικήν γε μὴν καὶ ἰατρικὴν καὶ μαντικὴν, ἀπόλλων ἀνεῦρεν, ἐπιθυμίας καὶ ἔρωτος ἡγεμονεύσαντος, ὥστε καὶ οὗτος ἔρωτος ἂν εἴη μαθητής. καὶ μοῦσαι, μουσικῆς. καὶ ἥφαιστος χαλκείας. καὶ ἀθηνᾶ ἱστουργίας. ὅθεν δὴ καὶ κατεσκευάσθη τῶν θεῶν τὰ πράγματα, ἔρωτος ἐγγενομένου δῆλον ὅτι κάλλους. ἐπέρχεται δέ μοι τι καὶ ἔμμετρον εἰπεῖν. ὅτι

Ayuntamiento de Madrid

οὗτος ἐστὶν ὁ ποιῶν εἰρήνην μὲν ἀνθρώποις, πελάγει δὲ γαλήνην, νηνεμίαν τ' ἀνέμων, κοίτην τε, ὕπνον τ' ἐνὶ κήδει, οὗτος γὰρ ἡμᾶς ἀλλοτριότητος μὲν κενοῖ, οἰκειότητος δὲ πληροῖ, τὰς τοιάσδε ξυνόδους μετ' ἀλλήλων πάσας τιθεὶς ξυνιέναι, ἐν ἑορταῖς, ἐν χοροῖς, ἐν θυμίαις γιγνόμενος ἡγεμών, πρᾳότητα μὲν πορίζων ἀγριότητα δὲ ἐξορίζων· φιλόδωρος εὐμενείας· ἄδωρος δυσμενείας· ἵλεως ἀγαθοῖς, θεατὸς σοφοῖς· ἀγαστὸς θεοῖς· ζηλωτὸς ἀμοίροις· κτητὸς εὐμοίροις· τρυφῆς· ἁβρότητος· χλιδῆς· χαρίτων· ἱμέρου· πόθου πατήρ· ἐπιμελὴς ἀγαθῶν· ἀμελὴς κακῶν· ἐν πόνῳ· ἐν φόβῳ· ἐν πόθῳ· ἐν λόγῳ· κυβερνήτης· ἐπιβάτης· παραστάτης τε καὶ σωτὴρ ἄριστος ξυμπάντων τε θεῶν καὶ ἀνθρώπων κόσμος· ἡγεμὼν κάλλιστος καὶ ἄριστος· ᾧ χρὴ ἕπεσθαι πάντ' ἄνδρα ἐφυμνοῦντα· καλῆς ᾠδῆς μετέχοντα· ἣν ᾄδει θέλγων πάντων θεῶν τε καὶ ἀνθρώπων νόημα.

## ΨΟΓΟΣ ΑΦΡΟΔΙΤΗΣ, ΚΑΙ ΟΤΙ ΦΑΥΛΟΣ Ο ΕΡΩΣ, ΚΑΙ ΠΟΣΩΝ ΕΙΗ ΚΑΚΩΝ ΓΕΓΟΝΩΣ ΑΙΤΙΟΣ.

### ΛΟΓΟΣ. ξβʹ.

Δικαιογένους.

Ὅταν δ' ἔρωτος ἐκδεθῶμεν ἀνάγκαισι,
θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα
ἢ τοῖς ἀνάγκης ἐν γένει πεφυκόσι.

Μενάνδρου.

Ἀλλ' ὅταν ἐρῶντα νοῦν ἔχειν τις ἀξιοῖ,
παρὰ τίνι τ' ἀνόνητον οὗτος ὄψεται.
μόνον ἐστ' ἀπαρηγόρητον ἀνθρώποις ἔρως.
Ηρων. τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς.
Ερως γὰρ ἀργὸν κἀπὶ τοῖς ἔργοις ἔφυ.
φιλεῖ κάτοπτρα καὶ κόμης ξανθίσματα.
φεύγει δὲ μόχθους· ἐν δέ μοι τεκμήριον.

οὐδεὶς

Ayuntamiento de Madrid

οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν.
ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυκ' ὅδε.
Σὺ δ' ὦ κράτιστε πάντων θεῶν κἀνθρώπων,
ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλὰ,
ἢ τοῖς ἐρῶσιν εὐμενὴς πείσασι.
Ἔρωτα δεινὸν ἔχομεν. ἐκ δὲ τῶν λόγων
ἑλοῦ τὰ βέλτιστα, ὥστ' ἄπιστον ἐς ἔρως,
κἂν τῷ κακίστῳ τῶν φρενῶν οἰκεῖν φιλεῖ.
Κύπρις γὰρ, οὐδὲ νουθετουμένη χαλᾷ,
ἄντ' αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ.
κἄπειτα τίκτει πόλεμον. εἰς δ' ἀνάστασιν
δόμων περαίνει πολλάκι τὰ τοιάδε.
Ἡ γὰρ κύπρις πέφυκε τῷ σκότῳ φίλη
τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν.
Τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς, Ἀρχιλόχου
πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευε.
κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας.
Δύστηνος ἔγκειμαι πόθῳ ἄψυχος, χαλεπῇσι.
θεῶν ὀδύνησιν ἕκητι πεπαρμένος δι' ὀστέων.
Ἔρωτος γὰρ νόσημα τοῦτ' ἐφίμερον κακόν. Σοφοκλ.
ἔχοι μ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι.
ὅταν πάγου φανέντος αἰθρίου χερσί.
κρύσταλλον ἁρπάσωσι παιδιαῖς ἄγη,
τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποτ' ἐνίους,
τέλος δ' ὁ χυμὸς οὐδ' ὅπως ἀφῇ θέλει.
οὔτ' ἐν χεροῖν τὸ κτῆμα σύμφορον μένειν,
οὔτε τοὺς ἐρῶντας αὐτὸς ἵμερος δρᾶν.
Ἡ καὶ τὸ μὴ δρᾶν πολλάκις προΐεται.
ὡς οἰάγροιο παῖς θρηΐκιου ὀρφεὺς,
ἐκ θυμοῦ κάλαϊν στέρξε βορηϊάδην. Φανοκλέους.
πολλάκι δὲ σκιεροῖς ἐν ἄλσεσιν ἕζετ' ἀείδων,
ὃν πόθον, οὐδ' ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ,
ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶνες
ἔτρυχον, θαλερὸν δερκόμενον κάλαϊν.



Ayuntamiento de Madrid

## ψόγος ἀφροδίτης καὶ ἔρωτος.

τὸν μὲν βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι,
ἔκτανον, εὐμήκη φάσγανα θηξάμεναι,
οὕνεκα πρῶτον δεῖξεν ἐνὶ θρήκεσσιν ἔρωτας
ἄῤῥενας, οὐδὲ πόθους ᾔνεσε θηλυτεράων
τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον αὐτίκα δ' ὑπὴν
εἰς ἅλα θρηϊκίην ῥίψαν, ὁμοῦ χέλυϊ.
ἥλῳ καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσῃ
ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις.
τὰς δ' ἱερῇ λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα.
ἠχὴ δ' ὡς λιγυρῆς πόντον ἐπέσχε λύρης,
νήσους τ' αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν
ἀνέρες ὀρφείην ἐκτέρισαν κεφαλήν.
ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
πέτρας· καὶ φόρκου στυγνὸν ἔπειθεν ὕδωρ.
ἐκ κείνου μολπαί τε, καὶ ἱμερτὴ κυθαριστὺς,
νῆσον ἔχει· πασέων ἐστὶν ἀοιδοτάτη.
θρῇκες δ' ὡς ἐδάησαν ἀρήϊα ἔργα γυναικῶν
ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος,
ἃς ἀλόχους ἔστιζον· ἵν' ἐν χροῒ σήματ' ἔχουσαι
κυάνεα, στυγεροῦ μὴ λελάθοιντο φόνου.
ποινὰς δ' ὀρφῆϊ κταμένῳ, στίζουσι γυναῖκας
εἰς ἔτι νῦν, κείνης εἵνεκεν ἀμπλακίης.

Μενάνδρου. Τὸ δ' ἐρᾷν ἐπισκοτεῖ ὡς ἔοικε, καὶ τοῖς εὐλόγως, καὶ τοῖς καλῶς ἔχουσι.

Κλανίου. Μήτις τιμάτω θνητῶν πολύδακρυν ἔρωτα.
μηδὲ πόθον παίδων, μὴ δ' ἱμερτὴν φιλότητα.
τῶν ἰότητι μορῶν κατέβη πολύκλαυστον ἐς ἅδην.

Μενάνδρου. Φύσει γὰρ ἐστὶν ἔρως τοῦ νουθετοῦντος κωφόν.
ἅμα δ' οὐ ῥᾴδιον νεότητα νικᾶν ἐστὶ καὶ θεὸν λόγῳ.
Ὅταν δ' ἔρωτος τόλμαν ἀφέλῃς, οἴχεται.
εἰς τοὺς ἰαλέμους τὲ τοῦτον ἔγραφε.

Ἐκ τοῦ μόσχου τοῦ σικελικοῦ. Ἀλφειὸς μετὰ πῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ,
ἔρχεται εἰς ἀρέθουσαν ἄγων κοτινηφόρον ὕδωρ.
ἕδνα φέρων καλὰ φύλλα καὶ ἄνθεα, καὶ κόνιν ἱρήν.
καὶ βαθὺς ἐμβαίνει τοῖς κύμασι· τὴν δὲ θάλασσαν.

νέρθεν ὑποβροχάει· κοὐ μίγνυται ὕδασιν ὕδωρ.
ἃ δ' οὐκ ᾖδε θάλασσα διερχομένου ποταμοῖο.
κῶρος δεινοθέτας κακομάχανος, αἰνὰ διδάσκων,
καὶ ποταμὸν διὰ φίλτρον ἔρως ἐδίδαξε κολυμβῆν.

Τοῦ αὐτοῦ.

Χρῶτα μὲν οὐ λευκός· πυρὶ δ' ἴκελος· ὄμματα δ' αὐτῷ
δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες· ἁδὺ λάλημα,
οὐ γὰρ ἴσον νοέει, καὶ φθέγγεται ὡς μέλι φωνά.
ἢν δὲ χολᾷ νόος ἐστὶν ἀνάμερος, ἠπεροπευτάς.
καὶ πτερόεις ὡς ὄρνις ἐφίπταται ἄλλον ἐπ' ἄλλῳ.
ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.

Ἐκ τοῦ τοῦ Βίωνος σμυρναίου βουκολικῶν.

Ἰξευτὰς ἔτι κῶρος ἐν ἄλσεϊ δενδράεντι
ὄρνεα θηρεύων, τὸν ἀπότροπον εἶδεν ἔρωτα
ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόασε,
χαίρων, ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ.
τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων,
τᾷ καὶ τᾷ τὸν ἔρωτα μετάλμενον ἀμφεδόκευεν
χ' ὡ παῖς ἀσχαλάων, οὕνεκα οἱ τέλος οὐδὲν ἀπάντη,
τὼς καλάμως ῥίψας, ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
ὅς νιν τάνδε τέχνην ἐδιδάξατο· καὶ λέγεν αὐτῷ.
καί οἱ δεῖξεν ἔρωτα καθήμενον, αὐτὰρ ὁ πρέσβυς
μειδιάων κίνησε κάρη, καὶ ἀμείβετο παῖδα,
φείδεο τὰν θήραν, μὴ δ' ἐς τόδε τ' ὄρνεον ἔρχευ.
φεῦγε μακράν· κακόν ἐντι τὸ θηρίον. ὄλβιος ἔσσῃ,
εἰσόκα μή μιν ἕλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος, αὐτὸς ἀφ' αὐτῷ
ἐλθὼν ἐξαπίνας, κεφαλὰν ἐπὶ σεῖο καθιξεῖ.

Θεοκρίτου

Νῦν ἔγνων τὸν ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνης
μασὸν ἐθήλαξεν, δρυμῷ τέ νιν ἔτραφε μάτηρ,
ὅς με κατασμύχων καὶ ὀστέων ἄχρις ἰάπτει.

Μενάνδρου Ῥαδαμάνθυος.

Φεῦ φεῦ· βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
Ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου.
ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν.
τῷ δ' οὐχὶ τούτου φροντίς· ἀλλὰ χρημάτων
πολλῶν κεκλῆσθαι βούλεται πατὴρ δόμοις.



Ayuntamiento de Madrid

ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκφρονῶν
λέγοντι πείθειν τοὺς πέλας, τόλμῃ κακῇ.
οἱ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν
ζητοῦσιν. οὕτω βίοτος ἀνθρώπων πλάνη.

**Ξενοφῶντος** Ω τλῆμον ἔφη ὁ σωκράτης. καὶ ἂν οἴει παθεῖν καλὸν φιλήσας. ἆρ' οὐκ ἂν αὐτίκα μάλα δοῦλος μὲν εἶναι ἀντ' ἐλευθέρου. πολλὰ δὲ δαπανᾶν εἰς βλαβερὰς ἡδονάς. πολλὴν δὲ ἀσχολίαν ἔχειν τοῦ ἐπιμεληθῆναί τινος καλοῦ κἀγαθοῦ, σπουδάζειν δ' ἀναγκασθῆναι, ἐφ' οἷς οὐδ' ἂν μαινόμενος σπουδάσειεν, ἡράκλεις ἔφη ὁ ξενοφῶν. ὡς δεινήν τινα λέγεις δύναμιν τοῦ φιλήματος εἶναι καὶ τοῦτο ἔφη ὁ σωκράτης θαυμάζεις; οὐκ οἶσθα ὅτι τὰ φαλάγγια οὐδ' ἡμιωβολιαῖα τὸ μέγεθος ὄντα προσαψάμενα μόνον τῷ στόματι, ταῖς ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους καὶ τοῦ φρονεῖν ἐξίστησι; ναὶ μὰ δί' ἔφη ὁ ξενοφῶν. ἐνίησι γάρ τι τὰ φαλάγγια κατὰ τὸ δῆγμα. ὦ μωρὲ ἔφη ὁ σωκράτης. τοὺς δὲ καλοὺς οὐκ οἴει φιλοῦντας ἐνιέναι τι, ὃ σὺ οὐχ ὁρᾷς; οὐκ οἶσθα ὅτι τοῦτο τὸ θηρίον ὃ καλοῦσι καλὸν καὶ ὡραῖον, τοσούτῳ δεινότερόν ἐστι τῶν φαλαγγίων. ὅσῳ ἐκεῖνα ἁψάμενα, τοῦτο δὲ οὐδ' ἁπτόμενον. ἐὰν δέ τις αὐτὸ θεᾶται ἐνίησί τι καὶ πάνυ πρόσωθεν τοιοῦτον, ὥστε μαίνεσθαι ποιεῖν. ἴσως δὲ καὶ οἱ ἔρωτες, τοξόται διὰ τοῦτο καλοῦνται, ὅτι καὶ πόρρωθεν οἱ καλοὶ τιτρώσκουσιν. ἀλλὰ ξυμβουλεύω σοι ὦ ξενοφῶν, ὁπόταν ἴδῃς τινὰ καλόν, φεύγειν προτροπάδην. σοὶ δ' ὦ κριτόβουλε συμβουλεύω, ἀπενιαυτίσαι, μόγις γὰρ ἂν ἴσως ἐν τοσούτῳ χρόνῳ τὸ δῆγμα ὑγιὲς γένοιτο.

**Φαβωρίνου** Πάθος τί μου προσέπεσε τῇ ψυχῇ. καὶ τί μέν ἐστιν οὐκ οἶδα. ἔρωτα δὲ αὐτὸ λέγουσιν εἶναι, οἱ μεμυημένοι. βάσκανε δαῖμον καὶ ἀλόγιστε. ἀσθενεῖ προσελήλυθας σώματι, φέρειν σε μὴ δυναμένῳ. ἐξίσταμαί σου δαῖμον. παραχωρῶ σοι τῆς μάχης, οὐκ εἰμί σου στρατιώτης.

**Θεοφράστου.** Ἔρως δέ ἐστιν, ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολή, ταχεῖαν μὲν ἔχουσα τὴν πρόσοδον, βραδεῖαν δὲ τὴν ἀπόλυσιν.

**Προδίκου.** Ἐπιθυμίαν μὲν διπλασιασθεῖσαν, ἔρωτα εἶναι. ἔρωτα δὲ διπλασιασθέντα, μανίαν γίγνεσθαι.

**Θεοφράστου** Θεόφραστος ἐρωτηθεὶς τί ἐστιν ἔρως, πάθος ψυχῆς σχολαζούσης.

**Ἐκ τῶν πλουτάρχου ὅτι οὐ κρίσις ὁ ἔρως.** Οἱ μὲν γὰρ νόσον τὸν ἔρωτα. οἱ δ' ἐπιθυμίαν. οἱ δὲ μανίαν. οἱ δέ, θεῖόν τι κίνημα τῆς ψυχῆς καὶ δαιμόνιον. οἱ δέ, ἄντικρυς θεὸν ἀναγορεύουσιν, ὅθεν ὀρθῶς ἐνίοις ἔδοξε. τὸ μὲν ἀρχόμενον, ἐπιθυμίαν εἶναι. τὸ δ' ὑπερβάλλον, μανίαν.

τὸ δὲ

Ayuntamiento de Madrid

τὸ δὲ ἀντίστροφον, φιλίαν· τὸ δὲ ταπεινότερον ἀρρωστίαν· τὸ δ' εὐημεροῦν, ἐνθουσιασμόν. διὸ καὶ πυρφόρον αὐτὸν οἵ τε ποιηταὶ λέγουσιν, οἵ τε πλάσται καὶ γραφεῖς δημιουργοῦσιν, ὅτι καὶ τοῦ πυρὸς τὸ μὲν λαμπρὸν, ἥδιστόν ἐστι· τὸ δὲ καυστικὸν, ἀλγεινότατον.

Ὥσπερ γὰρ τοὺς φίλους ὑγιαίνοντας μὲν, ἂν πλημμελῶσιν ἐξελέγχειν καὶ νουθετεῖν κράτιστόν ἐστιν. ἐν δὲ ταῖς παρακοπαῖς καὶ τοῖς φρενιτισμοῖς εἰώθαμεν μὴ διαμάχεσθαι, μηδὲ ἀντιτείνειν, ἀλλὰ καὶ συμπεριφέρεσθαι καὶ συνεπινεύειν, οὕτω τοὺς δι' ὀργὴν ἢ πλεονεξίαν ἁμαρτάνοντας, ἀνακόπτειν τῇ παρρησίᾳ δεῖ καὶ κωλύειν, τοῖς δ' ἐρῶσιν ὥσπερ νοσοῦσι, συγγνώμην ἔχειν. διὸ κράτιστον μὲν ἐξ ἀρχῆς τοιούτῳ πάθει σπέρμα μὴ παρέχεσθαι, μηδὲ ἀρχήν. ἂν δὲ ἐγγένηται ἴθι δὴ ἀποτροπαίων βωμοὺς θεῶν, κατὰ τὸν πλάτωνα. ἴθι δὴ τὰς τῶν σοφῶν ἀνδρῶν συνουσίας. ἐξέλασον αὐτοῦ τὸ θηρίον, πρὶν ὄνυχας φῦσαι καὶ ὀδόντας. εἰ δὲ μὴ μαχέσῃ τελείῳ κακῷ, τὸ παιδίον τοῦτο καὶ νήπιον ἐναγκαλιζόμενος. τίνες δὲ εἰσὶν, οἱ τοῦ ἔρωτος ὄνυχες καὶ ὀδόντες; ὑποψία. ζηλοτυπία. ἀλλὰ ἔχει τι πιθανὸν καὶ ἀνθηρόν. ἀμέλει καὶ σφὶγξ εἶχεν ἐπαγωγὸν τὸ ποίκιλμα τοῦ πτεροῦ. καὶ ἃ μὲν πρὸς αὐγὰς ἡλίου, χρυσωπὸν ἦν, ὁπότε (?) μαθηρός. ἃ δὲ πρὸς νέφη βάλοι, κυανωπόν. ὥστις ἴρις ἀνταυγεῖ σέλας. οὕτω δὴ καὶ ὁ ἔρως, ἔχει τι χάριεν καὶ οὐκ ἄμουσον, ἀλλὰ αἱμύλον καὶ ἐπιτερπές. ἁρπάζει δὲ καὶ βίους καὶ οἴκους. καὶ γάμους. καὶ ἡγεμόνας. οὐκ αἰνίγματα προβάλλων, ἀλλ' αὐτὸς αἴνιγμα δυσεύρετον ὢν καὶ δύσλυτον. εἰ βούλοιτό τις προτείνειν τί μισεῖ καὶ φιλεῖ. τί φεύγει καὶ διώκει. τί ἀπειλεῖ καὶ ἱκετεύει. τί ὀργίζεται καὶ ἐλεεῖ. βούλεται παύσασθαι καὶ οὐ βούλεται. τί χαίρει τῷ αὐτῷ μάλιστα καὶ ἀνιᾶται. τοῦτο λῦσαι καὶ θεραπεῦσαι, τὸ μὲν γὰρ σφιγγὸς τὸ αἴνιγμα, τὰ πλεῖστα καὶ πεπλασμένα ἔχει, οὔτε γὰρ τρίπους ὁ γέρων ἀληθῶς ἢ προσείληφε τοῖς ποσὶ βοηθεῖν, οὔτε τετράπους ὁ νήπιος, ἐπεὶ ταῖς χερσὶν ὑπηρέτην τὴν τῶν βάσεων ὑγρότητα, καὶ ἀσθένειαν. τὰ δὲ τῶν ἐρώντων πάθη, ἀληθῆ. στέργουσιν. ἐχθραίνουσι. τὸν αὐτὸν ποθοῦσιν ἀπόντα, τρέμουσι παρόντα. κολακεύουσι. λοιδοροῦσι. προαποθνήσκουσι. φονεύουσιν. εὔχονται μὴ φιλεῖν. καὶ παύσασθαι φιλοῦντες οὐ θέλουσι. σωφρονίζουσι, καὶ πειρῶσι παιδεύουσι, καὶ διαφθείρουσιν. ἄρχειν θέλουσι. καὶ δουλεύειν ὑπομένουσι. τοῦτο αἴτιον γέγονε μάλιστα τοῦ μανίαν ὑπολειφθῆναι τὸ πάθος. ἥρων. τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς. ἐρωτικὸς ἀνὴρ εὐριπίδης φησίν. Εν ταυτῷ



Ayuntamiento de Madrid

Τοῦ αὐτοῦ περὶ ἔρωτος.

Ὁ ἔρως, οὔτε τὴν γένεσιν ἐξαίφνης λαμβάνει καὶ ἀθρόαν ὡς ὁ θυμὸς, οὔτε παρέρχεται ταχέως, καίπερ εἶναι πτηνὸς λεγόμενος, ἀλλ' ἐξάπτεται μαλακῶς καὶ σχεδὸν, οἷον ἐντήκων ἑαυτόν· ἁψάμενός τε τῆς ψυχῆς, παραμένει πολὺν χρόνον. οὐδ' ἐν γηρῶσιν ἐνίοις ἀναπαυόμενος, ἀλλ' ἐν πολιαῖς ἀκμάζων ἔτι πρόσφατος καὶ νεαρός. ἂν δὲ καὶ λήξῃ καὶ διαλυθῇ χρόνῳ μαρανθεὶς, ἢ λόγῳ τινὶ κατασβεσθεὶς, οὔπω παντάπασιν ἐξαπήλλακται τῆς ψυχῆς· ἀλλ' ἐναπολείπει πυρίκαυστον ὕλην, καὶ σημεῖα θερμὰ, καθάπερ οἱ κεραυνοὶ τυφόμενοι. λύπης μὲν γὰρ οὐδὲν ἀπαλλαγείσης ἴχνος ἐν τῇ ψυχῇ παραμένει σύνοικον, οὐδ' ὀργῆς ταχείας πεσούσης· στέλλεται δὲ καὶ φλεγμονὴ, ἐπιθυμίας παρεχούσης ταχὺ κίνημα. τὰ δ' ἐρωτικὰ δήγματα, κἂν ἀποστῇ τὸ θηρίον, οὐκ ἐξανίησι τὸν ἰὸν, ἀλλ' ἐνιδροῖ τὰ ἐντὸς σπαράγματα, καὶ ἀγνοεῖται, τί ἐστι· πῶς συνέστη· πόθεν εἰς τὴν ψυχὴν ἐνέπεσεν.

Σωστράτου ἐν δευτέρῳ κυνηγετικῶν.

Κνάνιππος, τῷ γένει Θετταλὸς γήμας Λευκώνην, τὰ πολλὰ διὰ φιλοκυνήγον ἐνέργειαν, ἐν ὕλαις διέτριβεν· ἡ δὲ νεόνυμφος ὑπολαμβάνουσα συνήθειαν ἄλλην ἔχειν μεθ' ἑτέρας γυναικὸς, κατ' ἴχνος ἠκολούθησε τούτῳ, καὶ ἔν τινι κατακρυβεῖσα συνδένδρῳ, τὸ μέλλον ἀπεκαραδόκει. τῶν δὲ πέριξ κλάδων αἰφνιδίως σεισθέντων, οἱ στιβευτοὶ κύνες, δόξαντες καὶ ἄλλην, ἀλόγου ζώου δίκην διεσπάραξαν, τῆς δὲ πράξεως αὐτόπτης γενόμενος Κνάνιππος, ἑαυτὸν συγκατέσφαξεν.

Ἐκ τοῦ Θεοδώρου μεταμορφώσεων.

Σμύρνα Κινύρου θυγάτηρ εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ γεννήσαντος, τῇ τροφῷ τὴν ἀνάγκην ἐδήλωσεν· ἡ δὲ, δόλῳ τὸν δεσπότην ἐνήδρευσεν· εἶπε γὰρ ἐρᾶν τινὰ αὐτοῦ γείτονα παρθένον· ἀσεβῶς οὖν κατ' ἄγνοιαν ἀναστρεφόμενος, καὶ γνοὺς ὕστερον· ξιφήρης τὴν ἀσελγεστάτην ἐδίωκεν· ἡ δὲ περὶ κατάληψιν προσγινομένη, κατὰ πρόνοιαν ἀφροδίτης, εἰς ὁμώνυμον δένδρον μετεμορφώθη.

Ἀριστοκλέους ἐν δευτέρῳ παραδόξων.

Ἐφέσιος τῷ γένει· νεανίας τῶν ἐπισήμων· υἱὸς Δημοστράτου, ταῖς δ' ἀληθείαις Ἄρεως, τοῦτο τὸ θῆλυ μισῶν γένος, νυκτὸς βαθείας, εἰς τὰς πατρῴας ἔταχεν ἀγέλας, καὶ ὄνῳ συνεγένετο θηλείᾳ, ἡ δὲ, ἔγκυος γενομένη, ἔτικε κόρην εὐειδεστάτην, Ὀνοσκελίαν τοὔνομα, τὴν προσηγορίαν λαβοῦσαν, ἀπὸ τοῦ συμπτώματος.

Πλάτωνος.

Κἂν μὲν δὴ βέλτιον ἴσοι προσήκει γίνεσθαι, ἐμοὶ πειθομένῳ, ἢ ἐραστῇ, ἐκεῖνοι μὲν γὰρ καὶ παρὰ τὸ βέλτιον, τά τε λεγόμενα καὶ τὰ πραττόμενα ἐπαινοῦσι· τὰ μὲν, δεδιότες μὴ ἀπέχθωνται· τὰ δὲ, καὶ αὐτοὶ χεῖρον διὰ τὴν ἐπι-

Ayuntamiento de Madrid

θυμίαν γιγνώσκοντες, τοιαῦτα γὰρ ὁ ἔρως ἐπιδείκνυται, δυστυχοῦντας μὲν, ἃ μὴ λύπην τοῖς ἄλλοις παρέχει, ἀνιαρὰ ποιεῖν νομίζειν, εὐτυχοῦντας δὲ, καὶ τὰ μὴ ἡδονῆς ἄξια παρ᾽ ἐκείνων ἐπαίνων ἀναγκάζει τυγχάνειν, ὥστε πολὺ μᾶλλον ἐλεεῖν τοὺς ἐρωμένους ἢ ζηλοῦν αὐτοὺς προσήκει.

Τοῦ αὐτοῦ ἐν ταυτῷ.

A Ἄγετε δὴ μοῦσαι, εἴτε δι᾽ ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος μουσικὸν τὸ λιγύων, ταύτην ἔσχετ᾽ ἐπωνυμίαν, ξύμμοι λάβεσθε τοῦ μύθου, ὅν με ἀναγκάζει ὁ βέλτιστος οὑτοσὶ λέγειν. ὅτι μὲν οὖν δὴ ἐπιθυμία τις ὁ ἔρως, ἅπαντι δῆλον. ὅτι δ᾽ αὖ καὶ μὴ ἐρῶντες ἐπιθυμοῦσι τῶν καλῶν, ἴσμεν γε δὴ τὸν ἐρῶντά τε καὶ μὴ κρινοῦμεν. δεῖ αὖ νοῆσαι, ὅτι ἡμῶν ἕνεκα τὼ δύο τινὲ ἐστόν. ἰδέα ἄρχοντε καὶ ἄγοντε. οἷν ἑπόμεθα, ᾗ ἂν ἄγητον. ἡ μὲν, ἔμφυτος οὖσα ἐπιθυμία ἡδονῶν. ἄλλη δὲ ἐπίκτητος δόξα ἐφιεμένη τοῦ ἀρίστου. τούτω δὲ ἐν ἡμῖν, τότε μὲν ὁμονοεῖτον. ἔστι δὲ ὅτε στασιάζετον. καὶ τότε μὲν, ἡ ἑτέρα. ἄλλοτε δὲ ἡ ἑτέρα κρατεῖ. δόξης μὲν οὖν ἐπὶ τὸ ἄριστον λόγῳ ἀγούσης καὶ κρατούσης τῷ κράτει, σωφροσύνη ὄνομα. ἐπιθυμίας δὲ ἀλόγως ἑλκούσης ἐπὶ ἡδονὰς, καὶ ἀρξάσης ἐν ἡμῖν τῇ ἀρχῇ, ὕβρις ἐπωνομάσθη. ὕβρις δὲ δὴ πολυώνυμον. πολυμελὲς γὰρ καὶ πολυειδές. καὶ τούτων τῶν ἰδεῶν ἐκπρεπὴς ἣ ἂν τύχῃ γενομένη, τὴν αὐτῆς ἐπωνυμίαν ἐπονομαζόμενον τὸν ἔχοντα παρέχεται. οὔτε τινὰ καλὴν, οὔτε ἐπαξίαν κεκλῆσθαι, περὶ μὲν γὰρ ἐδωδὴν κρατοῦσα τοῦ λόγου τε τοῦ ἀρίστου καὶ τῶν ἄλλων ἐπιθυμιῶν ἐπιθυμία, γαστριμαργία τε καὶ τὸν ἔχοντα, ταυτὸν τοῦτο κεκλημένον παρέξεται, περὶ δὲ αὖ μέθας τυραννεύσασα τὸν κεκτημένον ταύτῃ ἄγουσα, δῆλον οὗ τεύξεται προσρήματος. καὶ τἆλλα δὴ τὰ τούτων ἀδελφὰ, καὶ ἀδελφῶν ἐπιθυμιῶν ὀνόματα τῆς ἀεὶ δυναστευούσης, ᾗ προσήκει καλεῖσθαι, πρόδηλον. ἧς δ᾽ ἕνεκα πάντα πρόσθεν εἴρηται, σχεδὸν μὲν ἤδη φανερόν. λεχθὲν δὲ ἢ μὴ λεχθὲν, πάντως σαφέστερον. ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τὸ ὀρθὸν ὁρμώσης κρατήσασα ἐπιθυμία πρὸς ἡδονὴν ἀχθεῖσα κάλλους, καὶ αὖ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος ῥωσθεῖσα, νικήσασα ἀγωγῇ, ἀπ᾽ αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα, ἔρως ἐκλήθη. εἶεν ὦ φέριστε. ὃ μὲν δὴ τυγχάνει ὂν περὶ οὗ βουλευτέον, εἴρηταί τε καὶ ὥρισται. βλέποντες δὲ δὴ πρὸς αὐτό, τὰ λοιπὰ λέγωμεν. τίς ὠφέλεια, ἢ βλάβη ἀπό τε ἐρῶντος καὶ μὴ, τῷ χαριζομένῳ ἐξ εἰκότως συμβήσεται, τῷ δὴ ὑπὸ ἐπιθυμίας ἀρχομένῳ, δουλεύοντί τε ἡδονῇ, ἀνάγκη που τὸν ἐρώμενον ὡς ἥδιστον ἑαυτῷ παρασκευάζειν. κρείττοσι δὲ, νοσοῦντι δὲ πᾶν ἡδὺ μὴ ἀντιτεῖνον. κρεῖττον δὲ καὶ ἴσον ἐχθρόν. οὔτε δὴ κρείττω οὔτε ἰσούμενον ἑκὼν ἐραστὴς παι-



Ayuntamiento de Madrid

δὴ καὶ ἀνέξεται. ἥττω δὲ καὶ ὑποδεέστερον ἀεὶ ἀπεργάζεται. ἥττω δ᾽ ἀμαθὴς σοφοῦ. δειλὸς ἀνδρείου. ἀδύνατος εἰπεῖν ῥητορικοῦ. βραδὺς, ἀγχίνου. τοσούτων κακῶν καὶ ἔτι πλειόνων κατὰ τὴν διάνοιαν, ἐραστὴν ἐρωμένῳ ἀνάγκη γιγνομένων τε καὶ φύσει ἐνόντων. τῶν μὲν, ἥδεσθαι, τὰ δὲ, παρασκευάζειν, ἢ στέρεσθαι τοῦ παραυτίκα ἡδέος. φθονερὸν δὴ ἀνάγκη εἶναι, καὶ πολλῶν μὲν ἄλλων συνουσιῶν ἀπείργοντα καὶ ὠφελίμων, ὅθεν ἂν μάλιστ᾽ ἀνὴρ γίγνοιτο, μεγάλης αἴτιον εἶναι βλάβης. μεγίστης δὲ, τῆς ὅθεν ἂν φρονιμώτατος εἴη. τοῦτο δὲ, ἡ θεία φιλοσοφία τυγχάνει ὄν. ἧς ἐραστὴν παιδικὰ ἀνάγκη πόρρωθεν εἴργειν, περίφοβον ὄντα τοῦ καταφρονηθῆναι, τά τε ἄλλα μηχανᾶσθαι, ὅπως ἂν ᾖ πάντα ἀγνοῶν, καὶ πάντ᾽ ἀποβλέπων εἰς τὸν ἐραστὴν οἷος ὢν. τῷ μὲν, ἥδιστος, ἑαυτῷ δὲ βλαβερώτερος εἴη. τὰ μὲν οὖν κατὰ διάνοιαν, ἐπίτροπός τε καὶ κοινωνὸς, οὐδαμῇ λυσιτελὴς ἀνὴρ ἔχων ἔρωτα. τὴν δὲ τοῦ σώματος ἕξιν τε καὶ θεραπείαν οἵαν τε καὶ ὡς θεραπεύσει, οὗ ἂν γένηται κύριος, ὃς ἡδὺ πρὸ ἀγαθοῦ ἠνάγκασται διώκειν, δεῖ μετὰ ταῦτα ἰδεῖν. ὀφθήσεται δὲ μαλθακόν τινα καὶ οὐ στερεὸν διώκων, οὐδ᾽ ἐν ἡλίῳ καθαρῷ τεθραμμένον. ἀλλ᾽ ὑπὸ συμμιγεῖ σκιᾷ, πόνων μὲν ἀνδρείων καὶ ἱδρώτων ξηρῶν ἄπειρον, ἔμπειρον δὲ ἁπαλῆς καὶ ἀνάνδρου διαίτης, ἀλλοτρίοις χρώμασι καὶ κόσμοις, χήτει οἰκείων κοσμούμενον, ὅσα τε καὶ ἄλλα τούτοις ἕπεται, πάντα ἐπιτηδεύοντα, ἃ δῆλα, καὶ οὐκ ἄξιον περαιτέρω προβαίνειν. ἀλλ᾽ ἓν κεφάλαιον ὁρισαμένους ἐπ᾽ ἄλλο ἰέναι, τὸ γὰρ τοιοῦτον σῶμα ἐν πολέμῳ τε καὶ ἄλλαις χρείαις ὅσαι μεγάλαι, οἱ μὲν ἐχθροὶ, θαρροῦσιν. οἱ δὲ φίλοι, καὶ αὐτοὶ οἱ ἐρασταὶ, φοβοῦνται. τοῦτο μὲν οὖν ὡς δῆλον, ἐατέον. τὸ δ᾽ ἐφεξῆς ῥητέον. τίνα ἡμῖν ὠφέλειαν, ἢ τίνα βλάβην περὶ τὴν κτῆσιν ἡ τοῦ ἐρῶντος ὁμιλία τε καὶ ἐπιτροπία παρέξει. σαφὲς δὴ τοῦτό γε παντὶ μὲν, μάλιστα δὲ τῷ ἐραστῇ, ὅτι τῶν φιλτάτων καὶ εὐνουστάτων καὶ θειοτάτων κτημάτων, ὀρφανὸν πρὸ πάντων εὔξαιτ᾽ ἂν εἶναι τὸν ἐρώμενον. πατρὸς γὰρ καὶ μητρὸς, καὶ συγγενῶν καὶ φίλων στέρεσθαι, ἂν αὐτὸν δέξαιτο διακωλυτὰς καὶ ἐπιτιμητὰς ἡγούμενος, τῆς ἡδίστης πρὸς αὐτὸν ὁμιλίας. ἀλλὰ μὴν οὐσίαν γ᾽ ἔχοντα χρυσοῦ, ἢ τινος ἄλλης κτήσεως, οὔτε εὐάλωτον ὁμοίως, οὔτε ἁλόντα εὐμεταχείριστον ἡγήσεται, ἐξ ὧν πᾶσα ἀνάγκη ἐραστὴν παιδικοῖς φθονεῖν μὲν οὐσίαν κεκτημένοις, ἀπολλυμένης δὲ, χαίρειν. ἔτι τοίνυν, ἄγαμον. ἄπαιδα. ἄοικον. ὅτι πλεῖστον χρόνον παιδικὰ ἐραστὴς εὔξαιτ᾽ ἂν γενέσθαι. τὸ αὑτοῦ γλυκὺ ὡς πλεῖστον χρόνον καρποῦσθαι ἐπιθυμῶν. ἔστι μὲν δὴ καὶ ἄλλα κακὰ, ἀλλά τις δαίμων ἔμιξε

τοῖς

Ayuntamiento de Madrid

τοῖς πλείστοις ἐν τῷ παραυτίκα ἡδονὴν, οἷον κόλακι δεινῷ θηρίῳ καὶ βλάβην μεγάλην. ὅμως ἐπέμιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον. καί τις ἑταίραν ὡς βλαβερὸν ψέξειεν ἄν, καὶ ἄλλα πολλὰ τῶν τοιουτοτρόπων θρεμμάτων τε καὶ ἐπιτηδευμάτων. οἷς τόγε καθ' ἡμέραν ἡδίστοις εἶναι ὑπάρχει. παιδικοῖς δὲ ἐραστὴς, πρὸς τῷ βλαβερῷ καὶ εἰς τὸ συνημερεύειν πάντων ἀηδέστατον, ἥλικα γὰρ δὴ καὶ ὁ παλαιὸς τέρπειν τὸν ἥλικα. ἡ γὰρ οἶμαι χρόνου ἰσότης, ἐπὶ ἴσας ἡδονὰς ἄγουσα δι' ὁμοιότητα φιλίαν παρέχεται. ἀλλ' ὅμως κόρον γε καὶ ἡ τούτων συνουσία ἔχει. καὶ μὴν τόγε ἀναγκαῖον αὖ βαρὺ παντὶ περὶ πᾶν αὖ λέγεται. οὐκ ἄρα ἔδει ποτὲ ἐρῶντι καὶ ὑπ' ἀνάγκης ἀνοήτῳ χαρίζεσθαι, ἀλλὰ πολὺ μᾶλλον μὴ ἐρῶντι καὶ νοῦν ἔχοντι. ᾧ δὲ μὴ ἀναγκαῖον εἴη ἐνδεδυκέναι αὐτὸν ἀπίστῳ, δυσκόλῳ, φθονερῷ, ἀηδεῖ, βλαβερῷ μὲν πρὸς οὐσίαν. βλαβερῷ δὲ πρὸς τὴν τοῦ σώματος ἕξιν. πολὺ δὲ βλαβερωτάτῳ πρὸς τὴν τῆς ψυχῆς παίδευσιν, ἧς οὔτε ἀνθρώποις, οὔτε θεοῖς τῇ ἀληθείᾳ τιμιώτερον, οὔτε ἔστιν, οὔτε ποτὲ ἔσται. ταῦτά τε οὖν χρὴ ὦ παῖ ξυννοεῖν καὶ εἰδέναι τὴν ἐραστοῦ φιλίαν, ὅτι οὐ μετ' εὐνοίας γίγνεται, ἀλλὰ σιτίου τρόπον χάριν πλησμονῆς.

## ΥΓΕΡ ΚΑΛΛΟΥΣ. ΛΟΓΟΣ. ξγ'.

Εὐριπίδου

Ἴδοιμι δ' αὐτῶν ἔκγον' ἄρρεν' ἀρρένων.
πρῶτον μὲν εἶδος ἀξίους τυραννίδος,
πλείστη γὰρ ἀρετὴ τοῦθ' ὑπάρχον ἐν βίῳ.
τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ' ἔχειν.

Μενάνδρου

Ὅταν φύσει τὸ κάλλος ἐπικοσμῇ τρόπος
χρηστὸς, διπλασίως ὁ προσιὼν ἁλίσκεται.

Ὁμήρου

Νιρεὺς αὖ σύμηθεν ἄγε τρεῖς νῆας ἐΐσας.
Νιρεὺς ἀγλαΐης υἱὸς χαρόποιο τ' ἄνακτος.
νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε.

Ἐκ τῶν τοῦ βίωνος βουκολικῶν.

Μορφὰ θηλυτέρῃσι πέλει καλὸν, ἀνέρι δ' ἀλκά.

Φιλήμονος.

Οὐκ ἔστιν οὔτε ζωγράφος μὰ τοὺς θεοὺς,
οὔτ' ἀνδρειαντοποιός τις ἂν πλάσαι κάλλος
τοιοῦτον, οἷον ἡ ἀλήθεια ἔχει.
οὔτ' ἀνδρειάντος γὰρ καλῶς πεπλασμένον,
ἂν μὴ τὸν αἰσθησόμενον ἡ τέχνη λάβῃ.

Ayuntamiento de Madrid

Μιωσφίλου δαιμονίου.

Εὐρώπην Λιβύην τε καὶ Ἀσίδα πᾶσαν ἀμείψας,
θαύμασα μυρία καλὰ πολυπλανέης ὑπὸ λυγρῆς.
ἀλλ' οὔπω τοιοῦτον ἴδον σέλας, οὐδ' ἐν Ὀλύμπῳ
ἄλλους ἀθανάτοις οἴομαι ἔστιν ἰδέσθαι,
οἷον ἄελπτον ἄπιστον ἐμὸν νόον ἥρπασε φάσμα
καρτερὸν, οὔτι φατόν· ὑπ' ἀφασίῃ δ' ἀλεγεινῇ,
θυμὸς ἐμοὶ πεπότητο, λύθεν δέ μοι ἅψεα πάντα.
ἐκ κεφαλῆς δ' ἴχνος, ἀπώλετο δ' ἔλασα πᾶσα
ἐκ στηθέων· καὶ πάντα χαμαὶ πέσεν, ὅσσα πρὶν ἔτλην
ἀγρῇ τε φαεινῇ κυλινδόμενον περὶ νόσον.
τόσον γὰρ περὶ θυμὸν ἀπείρατον ἵκετο θάμβος.
μέλψαι δὲ μνήσεις ἀειθαλέας πλοκαμίδας.
οἷα κυδιόωσαν ἀπ' ὀλβίστων σε λοετρῶν
φαιδρὴν εἶδον ἅπασαν ἐειδομένην χαρίτεσσιν.
ἐρχομένας πρὸς Ὄλυμπον ἀκηδαλίης ἀπὸ πηγῆς.

Φαβωρίνου. Ἱκανὸν μὲν ἴσως καὶ τὸ τῆς ὄψεως· αὖ δὲ ὁ καλὸς, καὶ αἱμύλος ἢ καὶ λεκτικὸς λέγε ὢν νεανίσκε. λέγε Ἀντίλοχε· γλυκερώτερον Νέστορος ἐρεῖς; λέγε Τηλέμαχε· σφοδρότερον Ὀδυσσέως ἐρεῖς; λέγε Ἀλκιβιάδη· κἂν μεθύῃς ἀκουσόμεθα τοῦ μεθύοντος ἡδέως. τοιοῦτον δεῖ τὸ καλὸν εἶναι· εὐφραίνει μὲν βλεπόμενος· εὐφραίνει δὲ, ἀκουόμενος. ἰδέτω κατὰ Πλάτωνα τὸ θάρρος ἐμὸν, εἶπον αὖ ὅτι καὶ πάσας τὰς αἰσθήσεις, ὁ καλὸς εὐφραίνει. καὶ οὐκ αὖ ἔδεισα τὴν εὐωχίαν τὴν τῶν καλῶν, τί γὰρ ἄλλο ποιοῦσιν οἱ τῷ σώματι ψαύοντες· συνάπτουσι τὰς ψυχάς. ἢ γὰρ θέμις ὢν τὸ σῶμα ὑπερβῆναι. νῦν δὲ ἐοίκασιν περὶ τὸ σῶμα λιπαρεῖν, ὡς περὶ θύρας.

Ἐκ τοῦ Μελαγκομίου. Ἐγὼ οὖν πρῶτον ἄλλον εὐδαιμονίζω τοῦ κάλλους· ὃ δὴ τῶν ἀνθρωπίνων ἐστὶν ἀγαθῶν, ἀειδηλότατον μὲν καὶ ἥδιστον θεοῖς· ἥδιστον δὲ ἀνθρώποις. ἀλυπότατον δὲ τῷ ἔχοντι, καὶ ἐπιγνωσθῆναι ἄριστον, τὰ μὲν γὰρ ἄλλα ἀγαθὰ κἂν λάθοι προσόντα, καὶ ἀνδρεία καὶ φρόνησις ἢ μὴ τύχοι ἔργου τινὸς ἀποδεικνύντος· τὸ δὲ κάλλος, οὐχ οἷόν τε λαθεῖν, ἅμα γὰρ τῷ ἔχοντι φαίνεται. εἴποι δ' ἄν τις ὅτι καὶ πρότερον οὕτως ὀξεῖαν αἴσθησιν ἑαυτοῦ παρέχει. ἔτι δὲ τοῖς μὲν ἀγαθοῖς, οἱ πλεῖστοι φθονοῦσι, καὶ δυσμενεῖς γίνεσθαι. τὸ δὲ κάλλος τοὺς αἰσθανομένους, ἑαυτοῦ φίλους ποιεῖται. καὶ οὐδένα ἐχθρὸν ἐᾷ γίνεσθαι.

Ἀγησίλαος πυθομένου τινὸς διατί κομῶσιν, ὅτι τοῦ κόσμου ἀδαπανώτατός ἐστι.

Ayuntamiento de Madrid

Ἀριστοτέλης ἔφη, τὸ κάλλος πάσης ἐπιστολῆς συστατικώτερον εἶναι.

Τί γὰρ οὐ σύνθετον φύσις ἀνθρώπων, ἐκ σώματός τε καὶ ψυχῆς, ἧ θάτερον ἀμφοῖν Πλουτάρχου
κοινωνεῖ ἡμῖν. καὶ πῶς οἷόν τε. τὸ μὲν γὰρ, οὐκ ἂν εἴη μὴ χρώμενον ψυχῇ. ψυχὴ δ' οὐκ ἂν εἴη μὴ ἔχουσα τὸ συνεργοῦν. τί οὖν ὥσπερ δ' ἐστιν κοσμεῖται ἑκάτερα τοῖς συγγενέσιν. ἡ μὲν δικαιοσύνῃ καὶ σωφροσύνῃ καὶ φρονήσει. τὸ δὲ, ἰσχύϊ καὶ κάλλει καὶ ὑγείᾳ; καὶ πῶς οὐ θαυμαστὸν, λέγειν τὰ τῆς ψυχῆς καλὰ, τὰ τοῦ σώματος ὑπερορῶντα.

Ἡ γοῦν τοῦ σώματος εὐμορφία, ψυχῆς ἐστὶν ἔργον σώματι χαριζομένης δόξαν εὐμορφίας. πεσόντι γοῦν θανάτῳ τὸ σῶμα, καὶ τῆς ψυχῆς μετῳκισμένης, οὐ στάσις, οὐ χρῶμα, οὐκ ὀφθαλμός, οὐ φωνή. οὐδὲν ἔτι καταλείπεται τῶν ἐρασμίων προσδεδομένον ὑπὸ τῶν ἀρχαίων οἰκητόρων, ὥστε καὶ ψυχὴν συννβείζας λανθανόντων, ἧς ἐστὶν ἀνθρώπου κάλλος.

Ἀριστοτέλης ἐρωτηθεὶς, διὰ τί τῶν καλῶν ὁ ἔρως, τυφλοῦ εἶπεν ἡ ἐρώτησις.

Διογένης τὰς εὐμόρφους τῶν ἑταιρῶν ἐκάλει βασιλίσσας, πολλοὺς γὰρ πράττειν, ἃ ἂν προστάττωσι.

Τίς ἀγών. ἢ βιοτᾶς ὄντως ναμερτᾶς εὐδαίμων ζωά. καὶ τίνας ποτὲ χρὴ κρί- Δίου Πυθα-
ναι εὐδαίμονας, ἢ ἢν δία τὼς σκιώεος καλὸν καὶ ἔχοντας, δώρημα φύ- γορείου.
σιος. τούτως γὰρ ὡς ἐνὶ μακαρσότερον οἱ πλεῦνδε ὡς θεὼς ἢ θεῶν ὑδρύματα ὑπερέχουσι καὶ θεραπεύοντι θρησκεύοντες οὐ καλὰν θρησκείαν. καὶ ὄντως ἔμοι γε κατοπτίλλεται ἔχεν τι σεμνὸν καὶ θαυμασμῶ ἄξιον, τὼς μὲν γὰρ ἀτέρως τῶν ἀνῶν. χαίρειν ἐπαιτεῦντι οἱ εὖ ἔρξαντες. τοῖς δ' εὐμόρφοις, τοὐναντίον. τουτέως οὖν εὐδαίμονας, τὰ ἔμμεν δοκοῦντι, τοῖς τὰν ὥραν αὐτοῖς βαλλομένοις ὁ πειρᾶσθαι πόθως ὑπὸ νομοθέταν. τοιόσδε ἅπαντας εἴτε λόγος οὐκ ἀσφαλῶς μυθεύμενος. τάδε ἀγὼν ὦ κράτιστοι ἀνδρῶν ποτιβλέπων, ἅπαντα τὰ νέα φυλακᾶς τε καὶ ἐπιμελείας δεόμενα, καθάπερ τὰ ζώφυτα, περὶ τὸν πρᾶτον καιρὸν τῆς αὐξήσιος, τῷ ἀκροσφαλῶς ἔχεν ποτὶ σωτηρίαν, ὑπέλαβον μὴ παρέργως δεῖν ἄλλων με φυλάσσειν τὰν ἀσθένειαν. ὑμεῖς δέ γ' ἀοείγνεσθ' ἀρωματικὰς ἀδονὰς τέλος ποιεύμενοι καθάπερ κνώδαλα τὸν κόρον τῶ πλατιασμῶ, οὐχ ὅτι χάριτος ἢ τιμᾶς, ἀλλὰ καὶ μέμψιος ποτικολάσσει δικαίως. ἐστὲ ἄξιοι τυγχάνεν διὰ τὰς κατ' αὐτῶν ἀκολασίας ἐμβαλλόμενοι ῥύπον ἐν ζωᾷ ἀνελευθέρων παίδων.

Οὐκοῦν ἦν δ' ἐγὼ, ὅτου ἂν ξυμπίπτῃ ἔν τε τῇ ψυχῇ καλὰ ἤθη ἐνόντα, καὶ ἐν Πλάτω-
τῷ εἴδει ὁμολογοῦντα ἐκείνοις, καὶ ξυμφωνοῦντα τοῦ αὐτοῦ μετέχοντα νος.
τύπου, ὅτι ἂν εἴη κάλλιστον θέαμα τῷ δυναμένῳ θεᾶσθαι. πάνυ γε. καὶ μὴν

Ayuntamiento de Madrid

τό γε κάλλιστον, ἐρασμιώτατον; πῶς δ' οὔ. τῶν δὴ ὅτι μάλιστα τοιούτων ἀνθρώπων, ὅ γε μουσικὸς ἐρώη ἄν. εἰ δὲ ἀξύμφωνος εἴη, οὐκ ἂν ἐρώη; οὐκ ἄν. εἴ γε τι κατὰ τὴν ψυχὴν ἐλλείποι. εἰ μέντοι τι κατὰ τὸ σῶμα ὑπομείνειεν ἂν ὥστε θέλειν ἀσπάζεσθαι; μανθάνω ἦν δ' ἐγὼ, ὅτι ἔστι σοι, ἢ γέγονε παιδικὰ τοιαῦτα. καὶ συγχωρῶ; ἀλλὰ τόδε μοι εἰπέ. σωφροσύνῃ καὶ ἡδονῇ ὑπερβαλλούσῃ ἔστι τις κοινωνία; καὶ πῶς ἔφη. ἥ γε ἔκφρονα ποιεῖ οὐχ ἧττον ἢ λύπη. ἀλλὰ τῇ ἄλλῃ ἀρετῇ; οὐδαμῶς. τί δαί. ὕβρει τε καὶ ἀκολασίᾳ; πάντων μάλιστα. μείζω δὲ καὶ ὀξυτέραν ἔχεις εἰπεῖν ἡδονὴν τῆς περὶ τὰ ἀφροδίσια; οὐκ ἔχω ἦ δ' ὅς. οὐδέ γε μανικωτέραν. ὁ δὲ ὀρθῶς ἔρως πέφυκε κοσμίου τε καὶ καλοῦ, σωφρόνως τε καὶ μουσικῶς ἐρᾶν; καὶ μάλα ἦ δ' ὅς. οὐδὲν ἄρα προσοιστέον μανικὸν. οὐδὲ ξυγγενὲς ἀκολασίας, τῷ ὀρθῶς ἔρωτι, οὐ προσοιστέον.

## ΚΑΤΑ ΚΑΛΛΟΥΣ. ΛΟΓΟΣ. ξδ'.

Εὐριπίδου. Νοῦν χρὴ θεάσασθαι. οὐδέν τι τῆς εὐμορφίας ὄφελος, ὅταν τις μὴ τὰς φρένας καλὰς ἔχῃ.

Γνώμην σοφός μοι καὶ χέρ' ἀνδρείαν ἔχοι.
δύσμορφος εἴην μᾶλλον, ἢ καλὸς κακός.

Πλουτάρχου. Ἀλλὰ μὴν ὥσπερ ἔφην, οὐδὲν τῶν ἄλλων κινδύνων γένεσίς ἐστιν, ἀλλὰ μόνου τοῦ σώματος, τὰ μὲν γὰρ τῆς ψυχῆς κάλλη, καὶ σωτηρίας ἐλπίδες εἰσί. φρόνησις. εὐσέβεια. δικαιοπραγία. καὶ τὸ παιδείας εὐπρόσωπον κάλλος. οἴκου καὶ πόλεως. καὶ ἐθῶν. ἀθόρυβος ἠρεμία διατελεῖ γινομένη. ἡ δὲ γυναικῶν εὐμορφία, ἀφορμὴ τοῖς πάθεσι, καὶ ταῖς ἐπιθυμίαις.

Βίων πρὸς τοὺς λέγοντας ὅτι τὸ κάλλος τυραννίδα ἔχει, τὸ κάλλος φεῦ ἔλεγε. τυραννίδος ῥιζῆ καταλυομένης.

Φαβωρίνου. Ἡ φύσις, ἢ ἑστῶσα σώζεται, ἢ φερομένη. ἑστῶσα μὲν, ἐξ ἀθανασίας. φερομένη δὲ ἐξ ἐπιτομῆς. πρὸς ταῦτα γελοῖος ἂν φανείη ὁ ἀνακρέων καὶ μικρολόγος τῷ παιδὶ μεμφόμενος ὅτι τῆς κόμης ἀπεκείρατο λέγων ταῦτα. ἀπέκειρας δ' ἁπαλῆς κόμης ἄμωμον ἄνθος. ἀλλ' ὦ ἀνάκρειον. μικρὸν ἐπίμεινον, καὶ ὄψει πάντα ἀποκεκαρμένα. ἀποκεκαρμένην μὲν τὴν τῶν ὀμμάτων αὐγήν. ἀποκεκαρμένην δὲ τὴν τοῦ μετώπου χά-
» ριν ἀτεχνῶς κατὰ τὸν ὅμηρον. μάρψε μὲν οἱ χρόα καλὸν ἐπιγναμπτοῖ-

Ayuntamiento de Madrid

» σι μέλεσσι· ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσε τρίχας. ἀμφὶ δὲ δέρμα πάντεσσι
» μελέεσσι παλαιοῦ θῆκε γέροντος. ταῦτα δ' Ἀθηνᾶ μὲν διέθηκε τὸν Ὀδυσσέα. ὁ δὲ χρόνος, πάντας τοὺς καλούς. εἶτα ὁ Ὀδυσσεὺς μὲν ἀναλήψεται καὶ σάρκας, καὶ κόμην, καὶ χρῶμα. σὺ δὲ ὦ καλὲ παῖδαν, ἐπειδὰν ταῦτα ἅπαξ ἀποβάλῃς, οὐκ ἔστι σοι πάλιν ἀναβιῶναι;

Καὶ τοὺς καλοὺς ὁρᾶν μὲν ἐστὶ τερπνότατον. ἅψασθαι δὲ καὶ λαβεῖν οὐκ ἀκίνδυνον. μᾶλλον δὲ ὥς φησιν ὁ Ξενοφῶν, τὸ μὲν πῦρ τοὺς ἁψαμένους καίει μόνον. οἱ δὲ καλοί, καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν, ἢ γὰρ ὄψις, λαβὴ τοῦ πάθους ἐστί. Πλουτάρχου

Τὸ χαυνοῦσθαι ἐπὶ τῆς ὥρας τῷ κάλλει, οὐ μόνον φυλλίδα τοῦ νέως σου φαῖμεν ἂν εἶναι ἁμάρτημα, ἀλλὰ καὶ σόν, δοκεῖς γάρ μοι οὔτε λακωνικὸν παθεῖν, οὔθ' ὅπερ χρὴ ἐννοεῖν τὸν σώφρονα, ἀληθεῖ καὶ δικαίῳ ἐπαίνῳ τὸν νοῦν προσέχειν. τίς γὰρ σαρκὸς οὐ πρὸς ἰσχὺν ἐρρωμένης, ἡδονῆς δὲ ὑπομνήσει ἐπαινουμένης, ἐν δικαίῳ γένοιτ' ἂν λόγος, σώματος γὰρ ἄνθρωποι ἠγάσθησαν, διὰ τὸ ἐπὶ ψυχῇ εἶναι. τῶν δὲ μικρὸν ὕστερον τὸν ἔπαινον ἀποδρασομένων δι' ὥρας ἀπάνθησιν, ἥκιστα χρὴ φροντίζειν τὸν τῷ ὄντι λάκωνα. ποιητῶν τε ὅσοι ἀρετὴν ἐπῄνεσαν σώματος, ἢ οὐδέν, ἢ ὀλίγιστον ἐπαίνου πέρι ὕμνησαν. ἔργα δὲ ψυχῆς μεγάλα τε, καὶ σοφίας ἐξ ἴσης. δι' ᾠδῆς αἰῶνι ἔδοσαν. σκόπει δὲ ὦ ἀγλαῖ τάδε, καὶ ἕπου θείῳ λόγῳ. ὃς πιστοῦται, ὅτι ψυχὴν μετὰ θεοὺς χρὴ τιμᾶν. τρίτον δὲ ὀλυμπίων τὸ σῶμα. ψυχῆς δὲ τιμή, μάθησις, καὶ νοῦς συντεταγμένος ἐπὶ φρονήσει. ὡς οὐκ ἔστιν ὡς ἐπὶ πολὺ ἀνθρώποις ἄλλο συγγενὲς πρὸς θεοὺς παίδευμα. καὶ τοίνυν τῶν μὲν ἀφρόνων τὸ σῶμα, οὐδ' ἂν εὖ ἡρμοσμένον ἴδῃς, φήσεις καλὸν εἶναι, ἀνδρεία γὰρ καὶ κάλλος ἔλαχεν ἔπαινον, ἐπὶ φρονήσει τέχνης. τῷ γὰρ ὄντι ἂν φαίης τὰ στερόμενα νοῦ ἔμφρονος, αἰσχρὰ πάντα καὶ ἄδικα ἐν ἀνθρώποις ἔσεσθαι. γεγενῆσθαι οὖν ἐν λάκωσι, τότε σοι ἔσται. ἐπειδὰν νόμων λακωνικῶν ὑπηρέτην τὸν παῖδα ἀποδείξῃς. ἀνὴρ δὲ οὔτε τις λάκων, οὔτε ἀττικὸς ἐγένετο. ῥεῦμα ἐστὶν ὑπὸ θεῶν ἐπὶ ζώων γενέσει, τῶν τε ἄλλων ὅσα ἡ γῆ ἀνίησι μετιμένον. Ξενοφῶντος.

Ayuntamiento de Madrid

## ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ Ο ΓΑΜΟΣ.

### ΛΟΓΟΣ. ξέ.

Εὐριπίδου.

Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή.
ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω,
τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας, καὶ χρημάτων
ἀλόχου τε κεδνῆς, ὡς μόνων τῶν χρημάτων
ἢ κρεῖσσόν ἐστιν ἀνδρί, σώφρον' ἂν λάβῃ.

Ἀπολλωνίδου.

Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή.

Φεῦ φεῦ· γυναικὸς ὡς ἐν ἀνθρώποις ἄρα·
οὐ χρυσὸς· οὐ τυραννὶς· οὐ πλοῦτος χλιδῇ
τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονάς·
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
γνώμη δικαία καὶ φρονοῦσα τἀνδίκα.

Θεόγνιδος.

Οὐδὲν κύρν' ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός.
μάρτυς ἐγώ· σὺ δέ μοι, γίγνου ἀληθοσύνης.

Γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι,
σοφοῦ τινος γένοιτ' ἂν ἵστορος λόγων.

Ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον.

Οἰκοφόρον γὰρ ἄνδρα κωλύει γυνὴ
ἐσθλὴ παραζευχθεῖσα, καὶ σώζει δόμους.

Τῶν γὰρ πλείστων ὅδ' ἄριστος· γενναῖον λέχος εὑρεῖν.

Ταμεῖον ἀρετῆς ἐστι γενναία γυνή.

Ζευχθεὶς γάμοισιν, οὐκέτ' ἐστ' ἐλεύθερος
ἀλλ' ἐν γ' ἔχει τι χρηστόν, ἐν κήδει γὰρ ὢν
ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν.

Ἄριστον ἀνδρὶ κτῆμα, συμπαθὴς γυνή.

Ayuntamiento de Madrid

Γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει
ἥδιστόν ἐστι, δώματ' ἢν οἰκῇ καλῶς,
ὀργήν τε πραΰνουσα καὶ δυσθυμίαν
ψυχὴν μεθιστᾶσ' ἡδὺ καὶ ἀπάτα φίλων.

Σπαρτιατῶν νόμος τάττει ζημίας· τὴν μὲν πρώτην ἀγαμίου· τὴν δευτέραν, ὀψιγαμίου· τὴν τρίτην καὶ μεγίστην, κακογαμίου.

Ἐκ τοῦ Ἀρίστωνος.

Πιττακὸς ἐπύθετό τινος, διότι οὐ βούλεται γῆμαι· τοῦ δὲ, φήσαντος, ἐὰν μὲν καλὴν γήμω, ἕξω κοινήν· ἐὰν δὲ αἰσχρὰν ἕξω ποινήν, οὐ μὲν οὖν ἔφη. ἀλλ' ἐὰν μὲν καλὴν γήμῃς, οὐχ ἕξεις ποινήν· ἐὰν δὲ αἰσχρὰν, οὐχ ἕξεις κοινήν.

Πολλάκις γὰρ γυνὴ καὶ παῖδες ὑπερβάλλοιτο εὐνοίᾳ τῇ πρὸς τὸν ἄνδρα, ἡ γὰρ τοῦ βίου κοινωνία, μακροτέραν τὴν φιλίαν ποιεῖ τῶν λεχθέντων ἅπαξ.

Γαΐου ὑπὲρ λουκίλλης.

Τὰς μὲν γὰρ ἑταίρας, ἡδονῆς ἕνεκα ἔχομεν· τὰς παλλακὰς δὲ, τῆς καθ' ἡμέραν θεραπείας τοῦ σώματος· τὰς δὲ γυναῖκας, τοῦ παιδοποιεῖσθαι γνησίως, καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν.

Δημοσθένους.

Ἄλλου δέ τινος φήσαντος, ὅτι ἐμπόδιον αὐτῷ δοκοίη εἶναι τοῦ φιλοσοφεῖν γάμος, καὶ ὁ σὺν γυναικὶ βίος, Πυθαγόρᾳ μὲν εἶπεν ὁ Μουσώνιος, οὐκ ἐμπόδιον ἦν, οὐδὲ Σωκράτει, οὐδὲ Κράτητι· ὧν ἕκαστος συνῴκησε γυναικὶ, καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν ἄμεινον ἐκείνων ἑτέρους φιλοσοφήσαντας· καίτοι γε Κράτης ἄοικός τε καὶ ἀσκευὴς, καὶ ἀκτήμων τέλεον ἦν, ἀλλ' ὅμως ἔγημεν· εἶτα μὴ δὲ ὑπόδυσιν ἔχων ἰδίαν, ἐν ταῖς δημοσίαις ἀθήνησι στοαῖς διημέρευε, καὶ διενυκτέρευε μετὰ τῆς γυναικός· ἡμεῖς δὲ ἀπ' οἰκίας ὁρμώμενοι, καὶ οἰκέτας τοὺς ὑπηρετοῦντας ἔχοντες ἔνιοι, τολμῶμεν ὅμως λέγειν ἐμπόδιον εἶναι φιλοσοφίᾳ γάμον; καὶ μὴν ὅ γε φιλόσοφος, διδάσκαλος δήπου καὶ ἡγεμὼν πάντων τοῖς ἀνθρώποις ἐστὶ, τῶν κατὰ φύσιν ἀνθρώπων προσηκόντων. κατὰ φύσιν δ' εἴ τι ἄλλο, καὶ τὸ γαμεῖν φαίνεται ὄν. ἐπεὶ τοῦ χάριν ὁ τοῦ ἀνθρώπου δημιουργὸς· πρῶτον μὲν ἔτεμε δίχα τὸ γένος ἡμῶν, εἶτ' ἐποίησεν αὐτῷ διττὰ αἰδοῖα· τὸ μὲν, εἶναι θήλεος, τὸ δὲ, ἄρρενος· εἶτα δὲ ἐνεποίησεν ἐπιθυμίαν ἰσχυρὰν ἑκατέρῳ θατέρου τῆς θ' ὁμιλίας, καὶ τῆς κοινωνίας· καὶ πόθον ἰσχυρὸν ἀμφοῖν ἀλλήλων ἐνεκέρασεν· τῷ μὲν γὰρ ἄρρενι, τοῦ θήλεος· τῷ δὲ θήλει, τοῦ ἄρρενος· ἆρ' οὖν οὐ γνώριμον, ὅτι ἐβούλετο συνεῖναί τε αὐτὼ, καὶ συζῆν· καὶ τὰ πρὸς τὸν βίον ἀλλήλων συμμηχανᾶσθαι· καὶ γένεσιν παίδων καὶ τροφὴν ἅμα ποιεῖσθαι· ὡς ἂν τὸ γένος ἡμῶν ἀΐδιον ᾖ.

Μουσωνίου ἐκ τοῦ εἰ ἐμπόδιον ὁ γάμος τῷ φιλοσόφῳ.

τί δ' εἰπέ μοι· πότερα προσήκει ἕκαστον ποιεῖν καὶ τὰ τοῦ πέλας, καὶ ὅπως οἶκοι ὦσιν ἐν τῇ πόλει αὐτοῦ, καὶ ὅπως ἡ πόλις μὴ ἔρημος ᾖ, καὶ ὅπως τὸ κοινὸν ἕξει καλῶς; εἰ μὲν γὰρ φής, ὡς τὸ αὐτοῦ σκεπτέον μόνον, ἀποφαίνεις τὸν ἄνθρωπον λύκου μηδὲν διαφέροντα, μηδ' ἄλλου θηρίου τῶν ἀγριωτάτων μηδενός. ἅπερ ἀπὸ βίας, καὶ πλεονεξίας πέφυκε ζῆν, μὴ φειδόμενα μηδενός, ἀφ' ὅτου μέλλει καρποῦσθαί τι ἡδύ, ἄμοιρα μὲν κοινωνίας ὄντα· ἄμοιρα δὲ συνεργείας τῆς ἀπ' ἀλλήλων· ἄμοιρα δὲ δικαίου παντός. εἰ δ' ὁμολογήσεις τὴν ἀνθρωπίνην φύσιν μελίσσῃ μάλιστα προσεοικέναι, ἣ μὴ δύναται μόνη ζῆν, ἀπόλλυται γὰρ μονωθεῖσα, πρὸς ἓν δὲ καὶ κοινὸν ἔργον τῶν ὁμοφύλων συννένευκε, καὶ συμπράττει καὶ συνεργάζεται τοῖς πλησίον, εἰ ταῦτα ταύτῃ ἔχει, καὶ ἔτι πρὸς τούτοις, κακία μὲν ἀνθρώπου εἶναι ὑπείληπται, ἀδικία τε, καὶ ἀγριότης· καὶ τὸ τοῦ πλησίον πράττοντος κακῶς, ἀφροντιστεῖν, ἀρετὴ δὲ φιλανθρωπία καὶ χρηστότης, καὶ δικαιοσύνη ἐστί, καὶ τὸ εὐεργετικὸν εἶναι, καὶ τὸ κηδεμονικὸν εἶναι τοῦ πέλας, οὕτω καὶ πόλεως ἑκάστῳ τῆς αὐτοῦ φροντιστέον, καὶ τῇ πόλει οἶκον περιβλητέον· ἀρχὴ δὲ οἴκου περιβολῆς γάμος· ὥστε ὁ ἀναιρῶν ἐξ ἀνθρώπων γάμον, ἀναιρεῖ μὲν οἶκον· ἀναιρεῖ δὲ πόλιν· ἀναιρεῖ δὲ σύμπαν τὸ ἀνθρώπειον γένος, οὐ γὰρ ἂν διαμένοι μὴ γενέσεως οὔσης· οὐδ' ἂν γένεσις εἴη, μὴ γάμου ὄντος, ἤγε δικαία καὶ νόμιμος. ὅτι μὲν γὰρ οἶκος, ἢ πόλις, οὔτ' ἐκ γυναικῶν συνίσταται μόνον, οὔτ' ἐξ ἀνδρῶν μόνον, ἀλλ' ἐκ τῆς πρὸς ἀλλήλους κοινωνίας, δῆλον· ἀνδρῶν δὲ καὶ γυναικῶν κοινωνίας, ἄλλην οὐκ ἂν εὕροι τις, οὔτ' ἀναγκαιοτέραν, οὔτε προσφιλεστέραν· ποῖος γὰρ ἕτερος ἑτέρῳ οὕτω προσηνής, ὡς γυνὴ καταθύμιος τῷ γεγαμηκότι· ποῖος ἀδελφὸς ἀδελφῷ· ποῖος δὲ γονεῦσιν υἱός, τίς δαὶ ἀπὼν οὕτω ποθεινός, ὡς ἀνὴρ γυναικί, καὶ γυνὴ ἀνδρί· τίνος δαὶ παρουσία μᾶλλον, ἢ λύπην ἐλαφρώσειεν ἄν, ἢ χαρὰν ἐπαυξήσειεν, ἢ συμφορὰν ἐπανορθώσειε· τίσι δὲ νενόμισται κοινὰ εἶναι πάντα, καὶ σώματα καὶ ψυχαί, καὶ χρήματα, πλὴν ἀνδρὸς καὶ γυναικός· ταῦτά τοι καὶ πάντες ἄνθρωποι πρεσβυτάτην νομίζουσι πασῶν τὴν ἀνδρός, καὶ γυναικὸς φιλίαν· καὶ οὐδὲ μήτηρ ἢ πατὴρ νοῦν ἔχων οὐδεὶς ἀξιοῖ φίλτερος τῶν ἑαυτοῦ τέκνων τῶν συνεζευγμένων γάμῳ. καὶ ὁ λόγος δὲ ἐκεῖνος φαίνεται δηλοῦν, ὅσον προτερεῖ τῆς γονέων πρὸς τέκνα φιλίας, ἡ γυναικὸς πρὸς ἄνδρα. ὅτι ἄδμητος δόσιν ταύτην λαβὼν παρὰ θεῶν, εἰ παράσχοι τὸν ἀνθ' ἑαυτοῦ τεθνηξόμενον, ζῆσαι διπλασίῳ χρόνον τοῦ τεταγμένου αὐτῷ, τῶν μὲν γονέων οὐκ ἔτυχεν ἐθελόντων προαποθανεῖν αὐτοῦ, καίτοι γεγηρακότων· ἡ γυνὴ δὲ ἡ γαμετὴ ἄλκηστις κομιδῇ νέα οὖσα,

ἐδέξατο

Ayuntamiento de Madrid

ἐδέξατο ἑτοίμως τὸν θάνατον ὑπὲρ τοῦ ἀνδρός. ὅτι δὲ μέγα καὶ ἀξιοσπούδαστον ὁ γάμος ἐστὶ, καὶ ταύτῃ δῆλον, θεοὶ γὰρ ἐπιτροπεύουσιν αὐτὸν, καθὸ νομίζονται παρ' ἀνθρώποις μεγάλοι. πρώτη μὲν ἥρα. καὶ διὰ τοῦτο ζυγίαν αὐτὴν προσαγορεύομεν. εἶτα, ἔρως. εἶτα ἀφροδίτη. πάντας γὰρ τούτους ὑπολαμβάνομεν, ἔργον πεποιῆσθαι τοῦτο, συνάγειν ἀλλήλοις πρὸς παιδοποιίαν ἄνδρα καὶ γυναῖκα. ποῦ μὲν γὰρ ἔρως παραγένοιτ' ἂν δικαιότερον, ἢ ἐπὶ νόμιμον ἀνδρὸς καὶ γυναικὸς ὁμιλίαν. ποῦ δὲ ἥρα. ποῦ δὲ ἀφροδίτη. πότε δ' ἂν εὐκαιρότερον εὔξαιτό τις τοῖς θεοῖς τούτοις, ἢ πρὸς γάμον ἰόντι. τί δαὶ καλοῦντες ἀφροδίσιον ἔργον προσηκόντως ἂν μᾶλλον καλοῖμεν, ἢ τὴν γαμετῆς τῷ γεγαμηκότι σύνοδον. διὰ τί τοιγαροῦν φαίη τις ἂν θεοὺς μὲν οὕτω μεγάλους ἐπισκοπεῖν, καὶ ἐπιτροπεύειν γάμον καὶ παιδοποιίαν μὴ προσήκειν δὲ ἀνθρώπῳ ταῦτα. διὰ τί δὲ προσήκειν μὲν τῷ ἀνθρώπῳ ταῦτα, μὴ προσήκειν δὲ τῷ φιλοσόφῳ. πότερον κακίω εἶναι χρὴ τῶν ἄλλων τὸν φιλόσοφον; ἀλλ' οὐ χρὴ, κρείττω δὲ καὶ δικαιότερον. καὶ καλοκαγαθικώτερον, ἢ ὅτι κακίων καὶ οὐκ ἔστι. καὶ ἀδικώτερος ἀνὴρ τοῦ μὲν κηδομένου τῆς ἑαυτοῦ πόλεως, ὁ μὴ κηδόμενος. τοῦ δὲ τὸ κοινὸν σκοποῦντος, ὁ τὸ αὐτὸ μόνον ὁρῶν. ἢ ὅτι φιλόπολις καὶ φιλάνθρωπος. καὶ κοινωνικὸς μᾶλλον ἐστὶν, ὁ μονήρη βίον αἱρούμενος, τοῦ νέμοντος οἶκον, καὶ ποιουμένου παῖδας, καὶ πόλιν αὔξοντος τὴν ἑαυτοῦ, ἅπερ ὑπάρχει τῷ γαμοῦντι. ὅτι μὲν οὖν προσήκει τὸν φιλόσοφον γάμου καὶ παιδοποιίας ἐπιμελεῖσθαι, δῆλον. εἰ δὲ προσήκει τοῦτο, πῶς ἂν ὀρθῶς ἔχοι ὦ νεανίσκε ὁ λόγος ἐκεῖνος, ὃν σὺ ἀρτίως ἔλεγες, ὡς ἐμπόδιόν ἐστι τῷ φιλοσόφῳ γάμος, οὐ γὰρ δὴ τὸ φιλοσοφεῖν ἕτερόν τι φαίνεται ὄν. ἢ τὸ ἃ πρέπει καὶ ἃ προσήκει, λόγῳ μὲν ἀναζητεῖν, ἔργῳ δὲ πράττειν. τότε μὲν δὴ, τοιαῦτά τινα εἶπεν.

Ἀναγκαιότατός ἐστιν, ὁ περὶ τοῦ γάμου λόγος. ἅπαν μὲν γὰρ ἡμῶν τὸ γένος ἔφυ πρὸς κοινωνίαν. πρώτη δὲ καὶ στοιχειωδεστάτη τῶν κοινωνιῶν, ἡ κατὰ τὸν γάμον, οὔτε γὰρ πόλεις ἂν ἦσαν, μὴ ὄντων οἴκων, οἶκός τε ἡμιτελὴς μὲν τῷ ὄντι ὁ τοῦ γάμου. τέλειος δὲ καὶ πλήρης, ὁ τοῦ γεγαμηκότος. — Ἱεροκλέους ἐκ τοῦ περὶ γάμου.

Οὐκοῦν ἔχομεν ἐν τοῖς περὶ οἴκων ἀποδεδειγμένον. ὥστε σοφῷ μὲν προηγούμενός ἐστιν, ὁ μετὰ γάμου βίος. ὁ δ' ἄνευ γυναικὸς, κατὰ περίστασιν. ὥστ' ἐπειδὴ χρὴ μὲν ἐν οἷς γε δυνάμεθα μιμεῖσθαι τὸν ἔχοντα νοῦν. τούτῳ δὲ προηγούμενόν ἐστι τὸ γαμεῖν δηλονότι, καὶ ἡμῖν ἂν εἴη καθῆκον, εἴγε μή τις εἴη περίστασις ἐμποδών. καὶ δὴ τοῦτο μὲν πρῶτον. ἔοικε δὲ καὶ περὶ τοῦ σοφοῦ παρακαλεῖν ἡμᾶς. ἡ καὶ αὐτὸν τὸν σοφὸν ἐπὶ τὸν γάμον ἐξορμῶσα. — Ἐν ταυτῷ.



Ayuntamiento de Madrid

φύσις, ἥτις οὐ συναγελαστικοὺς ἡμᾶς ἀπειργάσατο μόνον, ἀλλὰ καὶ συνδυαστικούς· μετὰ τοῦ καὶ εὖ τε, καὶ κοινὸν ἔργον ὑποθεῖναι τῷ συνδυασμῷ, λέγω δὲ τὴν παίδων γένεσιν, καὶ βίου διεξαγωγὴν εὐσταθοῦς. δικαία δὲ διδάσκαλος ἡ φύσις, ὅτι τῇ παρ' αὐτῆς κατασκευῇ σύμφωνον τὴν ἐκλογὴν χρὴ γίνεσθαι τῶν καθηκόντων, ζῇ γοῦν ἕκαστον τῶν ζώων, ἑπομένως τῇ ἑαυτοῦ φυσικῇ κατασκευῇ. καὶ νὴ δία τὸ φυτὸν ἅπαν ὡσαύτως, κατὰ τὸ εἶδος τὸ λεγόμενον ζῆν. πλὴν οὐκ ἐκλογισμῷ καὶ ἀριθμήσει τινὰ χρώμενα καὶ ταῖς ὑπὸ τῶν βασανιζομένων ἐκλογαῖς. ἀλλὰ τὰ μὲν τῇ φύσει φυτὰ ψιλῇ, ψυχῆς γὰρ ἐστὶν ἀμέτοχα. τὰ δὲ ζῶα φαντασίαις τε σπώσαις ἐπὶ τὰ οἰκεῖα, καὶ ἐξελαυνούσαις προθυμίαις. ἡμῖν δὲ ἡ φύσις ἔδωκε τὸν λόγον, πάντα ἄλλα πάντα. καὶ σὺν πᾶσι. μᾶλλον δὲ πρὸ πάντων, αὐτὸν κατοψόμενον τὴν φύσιν, ὅπως ὡς πρός τινα σκοπὸν, εὖ φθέγγηται καὶ ἀραρότα τεταγμένον ταύτῃ, ἐκλεγόμενός τε τὸ σύμφωνον αὐτῇ πᾶν, καθηκόντως βιοῦντας ἡμᾶς ἀπεργάζοιτο.

Ἐν ταυτῷ Ὅθεν οὐκ ἂν ἁμάρτοι τις, ἀτελῆ φήσας οἰκίαν τὴν ἄνευ γάμου. τὸ μήτε τὸ ἄρχον ἄνευ τοῦ ἀρχομένου δύνασθαι νοηθῆναι, μήτ' ἄνευ τοῦ ἄρχοντος τὸ ἀρχόμενον, οὕτως γὰρ ὁ λόγος εὖ μάλα μοι δοκεῖ δυσωπεῖν, τοὺς ἠλλοτριωμένους πρὸς γάμον. φημὶ τοίνυν καὶ σύμφορον εἶναι τὸν γάμον. πρῶτον μὲν, ὅτι θεῖον ὡς ἀληθῶς φέρει καρπὸν τὴν παίδων γένεσιν, οἳ παραστάται μὲν ἡμῖν οἷον συμφυεῖς ἔτι καὶ αὐτοῖς ἐρρωμένοις, ἐν ἁπάσαις γίνεσθαι πράξεσιν. ἀγαθοὶ δὲ ἐπίκουροι, καταμύουσιν ὑφ' ἡλικίας, καὶ γήρᾳ πιεζομένοις, οἰκεῖοι μὲν ἐν εὐπραγίαις. εὐφροσύνης κοινωνοί. συμπαθεῖς δὲ ἐν τοῖς ἐναντίοις καιροῖς. διάδοχοι τῶν ἀνιαρῶν. ἔπειτα καὶ πρὸς γένεσιν τέκνων λυσιτελὴς ἡ μετὰ γυναικὸς συμβίωσις, πρῶτον μὲν ἀποτετριμμένοις τοῖς θυραίοις καμάτοις ὑποδέχεται θεραπευτικῶς ἀναλαμβάνουσα, καὶ μετ' ἐπιμελείας ἀνακτωμένη πάσης. ἔπειτα τῶν ὄντων δυσχερῶν ἐν τῇ διανοίᾳ, λήθην ἐντίθησι, τὰ γὰρ σκυθρωπὰ τοῦ βίου, περὶ μὲν τὴν ἀγορὰν, ἢ τὸ γυμνάσιον, ἢ τὸ χωρίον. ἢ καθόλου πάσης μερίμνης ἀσχολίας. καὶ περὶ τοὺς φίλους τε καὶ συνήθεις διατρίβουσιν ἡμῖν, οὐκέτι πρόχειρα τοῖς ἀναγκαίοις ἐπιπροσθούμενα. περισπασμοὶ, ἀνεθεῖσι δ' ἐκ τούτων, εἴς τε τὴν οἰκίαν ἐπανελθοῦσι, καὶ οἷον συσχόλοις τὴν ψυχὴν γενομένοις, ἐμπελάζει καιρῷ χρώμενα τούτῳ τοῦ ἀνιᾶν ἡμᾶς, ὅταν γὰρ ἔρημος εὐνοίας καὶ μονήρης ὁ βίος, ἡ γυνὴ δὲ παροῦσα, μεγάλη γίνεται καὶ πρὸς ταῦτα παρηγορία, πυνθανομένη τι περὶ τῶν ἐκτός. ἢ περὶ τῶν ἔνδον ἀναφέρουσα καὶ συνδιασκεπτομένη, καί τινα διάχυσιν, καὶ ἀπλάστους προθυμίας, εὐφροσύνην παρέχουσα. καὶ μὴν, οἷα μέν ἐστιν ἐν ἑορ-

Ayuntamiento de Madrid

τοῖς συνεπιμεληθεῖσαι θυσιῶν, καὶ ἱερουργιῶν, οἷα δ' ἐν ἀνδρὸς ἀποδημίαις, δυναθῆ διατηρῆσαι, καὶ μὴ παντάπασιν ἀπροστάτευτον τὸν οἶκον. οἷα δοκεῖ δαίμων οἰκετῶν. οἷα δὲ ἐν νόσοις. οἷα δὴ παραστάτις. μακρὸς ἂν γένοιθ' ὁ λόγος, πάντ' ἐπεξιὼν τὰ κατὰ μέρος, ἀρκεῖ γὰρ κεφάλαιον εἰπεῖν, ὡς δεῖ μὲν ἅπασιν ἀνθρώποις πρὸς μετρίαν τοῦ βίου διεξαγωγὴν, δυοῖν, συγγενικῆς ἐπικουρίας, καὶ συμπαθοῦς εὐνοίας. οὔτε δὲ συμπαθέστερόν τι γυναικὸς εὕροιμεν ἂν, οὔτε τέκνων συγγενέστερον. παρέχει δ' ἑκάτερον ὁ γάμος. πῶς οὖν οὐχὶ λυσιτελέστατον ἡμῖν. ἀλλ' ἔγωγε καὶ καλὸν ἡγοῦμαι τὸν τοῦ γάμου βίον. τίς γὰρ ἕτερος τοιοῦτος γένοιτ' ἂν οἰκίας κόσμος, οἷός ἐστιν, ὁ κατὰ τὴν ἀνδρὸς καὶ γυναικὸς κοινωνίαν. οὐ μὲν δὴ πολυτελεῖς οἶκοι, καὶ ὀρθόστρωτοι τοῖχοι, καὶ περίστοα τοῖς ὑπὸ τῆς ἀπειροκαλίας θαυμαζομένοις λίθοις διακεκοσμημένα. οὐδὲ ζωγραφία, καὶ ψαλιστοὶ μυρρινῶνες. οὐδ' ἄλλο τι τῶν ἐκπληττόντων τοὺς ἠλιθίους κάλλος ἐστὶν οἰκίας. ἀλλὰ ζεῦγος ἀνδρὸς καὶ γυναικὸς, συγκαθειμαρμένων ἀλλήλοις καὶ καθιερωμένων θεοῖς γαμηλίοις. γενεθλίοις. ἐφεστίοις. συμφωνούντων μὲν ἀλλήλοις, καὶ πάντα κοινὰ πεποιημένων, μέχρι καὶ τῶν σωμάτων. μᾶλλον δὲ καὶ αὐτῶν τῶν ψυχῶν. καὶ περὶ προστασίαν μὲν ἐχόντων τὴν ἐπιβάλλουσαν τοῦ οἴκου, καὶ τῶν θεραπόντων. ἀναστροφὴν δὲ καὶ κηδεμονίαν τῶν τέκνων, ἐπιμέλειαν δὲ, οὔτε σύντονον, οὔτε μὴν ῥᾴθυμον, ἀλλ' ἐμμελῆ καὶ καθηρμοσμένην τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, τί γὰρ ἂν γένοιτο κρεῖσσον καὶ ἄρειον κατὰ τὸν θαυ-
» μασιώτατον ὅμηρον. ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον ἀνὴρ ἠδὲ γυ-
» νή. διὸ καὶ πολλάκις ἐθαύμασα, τοὺς ὡς βαρὺ ἡγουμένους τὸν μετὰ γυναικὸς βίον, οὐ γὰρ ἡ γυνὴ μὰ Δία βάρος, ἢ φορτίον ἐστὶ, καθάπερ οὗτοι δοκοῦσιν. ἀλλ' ἥδε μὲν καὶ τῶν ἐναντίων, κοῦφόν τι καὶ ῥᾷστα φέρεσθαι δυνάμενον, μᾶλλον δὲ καὶ τῶν ὄντως ἐπαχθῶν καὶ βαρέων κουφιστικὸν, οὐδὲν γὰρ οὕτω φορτικόν ἐστι τῶν ὄντων, ὥστε μὴ ῥᾷστον εἶναι συμφρονοῦσί γε ἀνδρὶ καὶ γυναικὶ, καὶ κοινῇ φέρειν αὐτὸ βουλομένοις. βαρὺ δὲ ἐστὶν ὡς ἀληθῶς ἀφροσύνη καὶ δύσοιστον τοῖς αὐτὴν κεκτημένοις. ὑφ' ἧς δὴ καὶ τὰ φύσει κοῦφα γίνεται βαρέα. τά τε ἄλλα καὶ γυνή, τῷ ὄντι γὰρ, καὶ συχνοῖς δή τισιν ἀφόρητος ἐγένετο ὁ γάμος, ἀλλ' οὐχὶ παρ' ἑαυτόν. οὐδὲ τῷ φύσει τοιάνδε τὴν μετὰ γυναικὸς εἶναι κοινωνίαν. ἀλλ' ὅταν γαμῶμεν ἃς μὴ δεῖ, μετὰ τοῦ καὶ αὐτοὶ παντάπασιν ἀπειροβίως διακεῖσθαι, καὶ ἀπαρασκεύως ἔχειν πρὸς τὸ ἀγαγεῖν ὡς χρὴ τὴν ἐλευθέραν ἄγεσθαι, τοτηνικαῦτα συμβαίνει



Ayuntamiento de Madrid

χαλεπὴν καὶ ἀφόρητον γίνεσθαι τὴν κοινωνίαν. ἀμέλει καὶ ταύτῃ χωρεῖ τοῖς πολλοῖς ὁ γάμος, οὐ γὰρ ἐπὶ παίδων γενέσει καὶ βίου κοινωνίαν ἄγονται γυναῖκας, ἀλλ' οἱ μὲν, διὰ προικὸς ὄγκον. οἱ δὲ, δι' ἐξοχὴν μορφῆς. οἱ δὲ δι' ἄλλας τινὰς τοιουτοτρόπους αἰτίας, αἷς χρώμενοι κακοῖς συμβούλοις, οὐδὲν περὶ τῆς διαθέσεως, καὶ τοῦ ἤθους τῆς νύμφης πολυπραγμονήσαντες, ὄλεθρον αὐτῶν θύουσι τὸν γάμον. καὶ θύραις κατεστεμμέναις, τύραννον αὖτι γυναικὸς ἐπεισάγουσιν ἑαυτοῖς. καὶ ταῦτα μηδὲ ἐφ' ὁποσονοῦν ἀνταρκέσαι δυνάμενοι, καὶ τὴν περὶ τῶν πρωτείων ἅμιλλαν ἀγωνίσασθαι. φανερὸν οὖν, ὡς δῆλον, ἀλλὰ διὰ ταῦτα πολλοῖς βαρὺς καὶ ἀφόρητος ὁ γάμος γίνεται. χρὴ δ' οὔτ' ἀναίτια φασὶν αἰτιᾶσθαι, οὔτ' ἔγκλημα πραγμάτων ποιεῖσθαι τὴν ἄλλων ἀσθένειαν, καὶ περὶ τὴν χρῆσιν αὐτῶν. ἐπεί τοι καὶ ἀλόγιστον ἄλλως πανταχόθεν μὲν ἀφορμὰς ζητεῖν φιλιῶν, καί τινας προσποιεῖσθαι φίλους καὶ ἑταίρους, οἷον συμμάχους ἐσομένους πρὸς τὰ τοῦ βίου δυσχερῆ. τὴν δὲ καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τῶν νόμων καὶ παρὰ τῶν θεῶν διδομένην ἄνεσιν συμμαχίαν τε καὶ βοήθειαν, τουτέστι τὴν ἐκ γυναικὸς καὶ τέκνων, μὴ ζητεῖν τε καὶ προσποιεῖσθαι.

Ἀντιπάτρου ἐκ τοῦ περὶ γάμου.

Ὁ εὐγενὴς καὶ εὔψυχος νέος. ἔτι δ' ἥμερος καὶ πολιτικός, θεωρῶν διότι τέλειος οἶκος καὶ βίος, οὐκ ἄλλως δύναται γενέσθαι, ἢ μετὰ γυναικὸς καὶ τέκνων, ἀτελὴς γὰρ ὥσπερ πόλις οὐχ ἡ ἐκ γυναικῶν μόνον, ἀλλὰ καὶ ἡ ἐκ ψιλῶν ἀνδρῶν. ὃν τρόπον ποίμνη ἐπιγονὴν μὴ ἔχουσα, οὐ καλή. οὐδὲ βουκόλιον εὐθηνοῦν πολὺ μᾶλλον. οὐδὲ πόλις, οὐδ' οἰκία. ταῦτα δὲ κατανενοηκὼς ὁ εὐγενής, καὶ ὡς φύσει πολιτικὸν γενόμενον συναύξειν τὴν πατρίδα δεῖ, καὶ γὰρ οὐκ ἂν ἄλλως δύναιντο αἱ πόλεις σώζεσθαι, εἰ μὴ οἱ βέλτιστοι ταῖς φύσεσι τῶν πολιτῶν, ἢ τῶν γενναίων παῖδες, τῶν προτέρων καθαπερεὶ φύλλων καλοῦ δένδρου ἀπομαραινομένων καὶ ἀπορρεόντων, οὗτοι καθ' ὥραν γαμοῖεν, καθάπερ εἰ τινας γενναίους μασοὺς διαδόχους τῇ πατρίδι καταλιπόντες, οἱ θάλλειν αὐτὴν ἀεὶ ποιοῖεν, καὶ τὴν ἀκμὴν ἀΐδιον φυλάττοιεν, καὶ ὅσον ἐφ' ἑαυτοῖς μηδέποτ' εὐεπίθετον τοῖς ἐχθροῖς στοχαζόμενοι, τοὺς καὶ ζῶντες καὶ μεταλλάξαντες ἀμύνειν τῇ πατρίδι, καὶ βοηθεῖν, τῶν ἀναγκαιοτάτων καὶ πρὸ τῶν καθηκόντων νομίζουσι τὸ συγκραθῆναι εἰς γάμον. πᾶν μὲν τὸ τῇ φύσει ἐπιβάλλον, ἀποδιδόντες ἐπιτελεῖν, πολὺ δὲ μάλιστα τὸ εἰς τὴν πατρίδος σωτηρίαν καὶ αὔξησιν ἀνῆκον, καὶ ἔτι μᾶλλον εἰς τὴν τῶν θεῶν τιμήν. εἰ γὰρ ἐκλείποι τὸ γένος, τίς τοῖς θεοῖς θύσει. λύκοι τινές. ἢ ταυροκτόνων γένος λεόντων. συμβέβηκε δὲ καὶ τὸν μὴ πεῖραν ἐσχη-



Ayuntamiento de Madrid

κότα γαμετῆς γυναικὸς καὶ τέκνων, ἄγευστον εἶναι τῆς ἀληθινωτάτης καὶ γνησίου εὐνοίας. αἱ μὲν γὰρ ἄλλαι φιλίαι ἢ φιλοστοργίαι, ἐοίκασι ταῖς τῶν ὀσπρίων, ἤ τινων ἄλλων παραπλησίων κατὰ τὰς παραθέσεις μίξεσιν. αἱ δ' ἀνδρὸς καὶ γυναικὸς, ταῖς δι' ὅλων κράσεσιν· ὡς οἶνος ὕδατι, καὶ τοῦτο ἔτι μὲν μίσγεται δι' ὅλων, οὐ γὰρ μόνον τῆς οὐσίας καὶ τῶν φιλτάτων πᾶσιν ἀνθρώποις τέκνων καὶ τῆς ψυχῆς, ἀλλὰ καὶ τῶν σωμάτων οὗτοι μόνοι κοινωνοῦσι. καὶ κατ' ἄλλον δὲ τρόπον, εἰκότως μεγίστη ἐστί. αἱ μὲν γὰρ ἄλλαι κοινωνίαι, καὶ ἑτέρας τινὰς ἀποστροφὰς ἔχουσι. ταύτας δὲ ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν τὴν τοῦ ἀνδρὸς, προστίθεται γὰρ σώζοντα πατρὸς καὶ μητρὸς μὴ ἀγνώμονος, ἵνα τοῦτον σκοπὸν τοῦ βίου ποιεῖσθαι καὶ τέλος, τοῦ τὸ ἀρέσκειν αὐτῶν τῶν γονέων παραχωρούντων ἑκουσίως τὰ πρῶτα τῆς εὐνοίας ἀπονέμειν. τὴν μὲν τῷ ἀνδρί. τὴν δὲ, τῇ γυναικὶ οὐκ ἀπείρως τῆς πρὸς γυναῖκα συμβιώσεως. καὶ ὁ Εὐριπίδης εἰς ταῦτα ἀποβλέψας, καὶ ἀποθέμενος τὴν ἐν τῷ γράφειν μισογυνίαν. ταῦτ' εἴρηκεν.

» Εὐνὴ γὰρ ἐν νόσοισι καὶ κακοῖς νοσεῖ. ἥδιστόν ἐστι δῶμα, ἂν οἰκῇ καλῶς, ὀρ- Εὐριπίδου
» γῆν τε πραΰνουσα ἡδὺ καὶ ἀπάτου φίλων. ὁμοιότατον γάρ ἐστιν, ὥσεί τις μίαν ἔχων χεῖρα ἑτέραν ποθὲν προσλάβοι. ἢ ἕνα πόδα ἔχων, ἕτερον ἀλλαχόθεν ἐκτήσατο. ὡς γὰρ οὗτος πολὺ ἂν ῥᾶον, καὶ βαδίσαι οὗ θέλοι, καὶ βαδίσαι καὶ προσαγάγοιτο. οὕτως ὁ γυναῖκα εἰσαγόμενος, ῥᾶον ἀπολήψεται τὰς κατὰ τὸν βίον σωτηρίους, καὶ συμφερούσας χρείας. ἀντὶ γοῦν δύο ὀφθαλμῶν, χρῶνται τέτταρσι. καὶ ἀντὶ δύο χειρῶν, ἑτέραις τοσαύταις, αἷς καὶ ἀθρόως πράττοι ἂν ῥᾶον τὸ τῶν χειρῶν ἔργον. διὸ καὶ ἐὰν ἕτεραι κάμνοιεν, ταῖς ἑτέραις ἂν θεραπεύοιτο. καὶ τὸ συνόδων δύο γεγονὸς ἀνθ' ἑνὸς, μᾶλλον ἂν ἐν τῷ βίῳ κατορθώῃ. διότι τὸν νομίζοντα τὴν εἴσοδον τῆς γυναικὸς καταβαρύνειν τὸν βίον, καὶ δυσκίνητον ποιεῖν, ὅμοιον πάσχειν, ὡς εἴ τις πλείονας πόδας κωλύοι προσλαβεῖν, ἵν' ἐὰν πολὺ δέῃ βαδίζειν, μὴ ἐφελκώμεθα πολλοὺς, ἢ τῷ πλείονας κτωμένῳ μέμφοιτο.

Γ περὶ γάμων δὴ, ταῦτ' ἔσται παραμύθια λεγόμενα. ὡς χρὴ τῆς ἀειγενοῦς φύ- Πλάτωνος
σεως ἀντέχεσθαι. τῷ παῖδας παίδων καταλείποντι ἀεὶ τῷ θεῷ ὑπηρέ- νόμων. ς'.
τας ἀνθ' αὑτοῦ παραδιδόναι.

Γ γεννῶντάς τε καὶ ἐκτρέφοντας παῖδας, καθάπερ λαμπάδα τὸν βίον παραδιδόντας ἄλλοις ἐξ ἄλλων.

# ΟΤΙ ΟΥΚ ΑΓΑΘΟΝ ΤΟ ΓΑΜΕΙΝ

## ΛΟΓΟΣ. ξς'.

Ἀναξανδρίδου. Ὅστις γαμεῖν βουλεύεται, οὐ βουλεύεται
ὀρθῶς, διό τι βουλεύεται, χ' οὕτω γαμεῖ,
πολλῶν κακῶν γάρ ἐστιν ἀρχὴ τῷ βίῳ.
ἐὰν γὰρ πένης ὤν, τὴν γυναῖκα χρήματα
λαβὼν ἔχει δέσποιναν οὐ γυναῖκ' ἔτι.
ἧς ἐστὶ δοῦλος καὶ πένης, ἐὰν δ' αὖ λάβῃ
μηδὲν φερομένην, δοῦλος αὐτὸς γίνεται.
δεῖ γὰρ τὸ λοιπὸν ἀνθ' ἑνὸς τρέφειν δύο
ἀλλ' ἔλαβεν αἰσχράν, οὐ βιωτὸν ἔστ' ἔτι
οὐδ' εἴσοδος τὸ παράπαν εἰς τὴν οἰκίαν.
ἀλλ' ἔλαβεν ὡραίαν τις. οὐδὲν γίνεται
μᾶλλόν τι τοῦ γήμαντος, ἢ τῶν γειτόνων.
ὥστ' οὐδαμῶς κακοῦ γ' ἁμαρτεῖν γίνεται.
Ἀλέξιδος. Τίς δῆθ' ὑγιαίνων, νοῦν τ' ἔχων τολμᾷ ποτε
γαμεῖν διαπραξάμενος ἥδιον βίον.
εἶτ' οὐχὶ κρεῖττόν ἐστι τῷ γ' ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον, ἢ γυναῖκ' ἔχειν.
πτωχῷ γε; τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας.
ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι, τὰς γὰρ εὐθύνας μόνον,
ἐφημερινὰς τοῦ βίου κεκτήμεθα.
Φιλήμονος. Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.
Μενάνδρου. Ὦ τρὶς κακοδαίμων ὅστις ὢν πένης γαμεῖ.
καὶ παιδοποιεῖθ', ὡς ἀλόγιστός ἐστ' ἀνήρ.
ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει,

Ayuntamiento de Madrid

μήτ' αὖ ἀτυχήσας εἰς τὰ λοιπὰ τοῦ βίου,
ἐπαμφιάσαι τοῦτο δύναιτο χρήμασιν.
ἀλλ' ἐγκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
χειμαζόμενος ζῇ, τῶν ἀνιαρῶν ἔχων
τὸ μέρος ἁπάντων, τῶν δ' ἀγαθῶν οὐ δυνάμενος.
Καλὸν μὲν δέμας ἁγνὸν ἔχειν ἀδμῆτά τε μίμνειν Ναυμαχίου
παρθενικὴν, καθαροῖσι τ' ἀεὶ μελεδήμασι χαίρειν.
μήτε βαρυτλήτων λαγόνων περὶ φόρτον ἄγουσαν,
μήτε πόνον τρομέουσαν ἀγάστονον εἰλειθυίης.
ἀλλ' ἢ ἀδαι βασίλειαν ἀφαυρῶν θηλυτεράων.
ψυχῆς ὄμμα φαεινὸν ὑπὲρ βιότοιο χέουσαν.
ἔνθα γάρ μοι κεδνοὶ καὶ ἀληθέες, ἔνθα μιγεῖσα
θεσπεσίοις ἐπέεσσι νοήματα φάεα τίκτει.
εἰ δέ σε καὶ ξεινοῖο πόθος βιότοιο ἱκάνοι,
καὶ τοῦτο προδαεὶς ἐρέω, πῶς χρῆ σε περῆσαι
τὸν πλόον, ὥς φασι τὸν δεύτερον εὔφρονι θυμῷ.
Ἔλεγον ἐγώ σοι μὴ γαμεῖν. ζῆν δ' ἡδέως. Φιλιππίδου.
τὸ πλάτωνος ἀγαθόν ἐστι τοῦτο φίλ' ἄνδρε,
μὴ λαμβάνειν γυναῖκα, μὴ δὲ τῇ τύχῃ
διὰ πλειόνων αὖ τὸν παραβάλλειν πραγμάτων.
Δύ' ἡμέραι γυναικός εἰσιν ἥδισται. Ἱππώνακτος.
ὅταν γαμῇ τις, κἀκφέρῃ τεθνηκυῖαν.
Οὐδὲν γυναικὸς κακῆς γυναικὸς βαρύτερον. Ἐπιχάρμου
οἶδ' ὁ συντυχών. μακάριος δ' ὃς ἀγνοεῖ.
Μηδέποτε γήμῃ μὴ δὲ εἷς εὔνους ἐμοί. Μενάνδρου
Γαμεῖν κεκρικότα, δεῖ σε γινώσκειν ὅτι,
ἀγαθὸν μεθέξεις ἂν λάβῃς μικρὸν κακόν. Εὐριπίδου
Νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι.
χρῆν γὰρ τὸν εὐτυχοῦνθ', ὅτι πλείστας ἔχειν
γυναῖκας, εἴπερ τροφὴ δόμοις παρῆν.
ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων.
τὴν δ' οὖσαν ἐσθλὴν, ἡδέως ἐσῴζετο.
νῦν δ' εἰς μίαν βλέπουσι, κίνδυνον μέγαν
ῥίπτοντες, οὐ γὰρ τὸν τρόπον πειρώμενοι



Ayuntamiento de Madrid

νύμφας εἰς οἴκους ἐρματίζονται βροτοί.
Ζηλῶ δ' ἀγάμους ἀτέκνους τε βροτῶν.
μία γὰρ ψυχή, τῆς ὑπεραλγεῖν μέτριον ἄχθος.
Οὔποτε φήσω γάμον εὐφραίνειν πλέον ἢ λυπεῖν.
πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους,
γυνὴ κατῄσχυνεν ἐν δόμοισι νηπία.

Φιλήμονος. Τὸν μόνον ὄντα, καὶ κακὴ τύχη φέρει.

Ἀριστοφάνους. Ἰδοὺ δίδωμι τὴν δ' ἐγὼ γυναῖκά σοι.
φαίδραν. ἐπὶ πῦρ δὲ πῦρ ἔοιχ' ἥξειν ἄγων.

Μενάνδρου. Τὸ γυναῖκ' ἔχειν εἶναί τε παίδων παρμένων
πατέρα. μερίμνας τῷ βίῳ πολλὰς φέρει.

Σοφοκλ. Νῦν δ' οὐδέν εἰμι χωρίς. ἀλλὰ πολλάκις
ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν,
ὡς οὐδέν ἐσμεν, αἱ νέαι μὲν γὰρ πατρὸς
ἥδιστον οἶμαι ζῶμεν ἀνθρώπων βίον,
τερπνῶς γὰρ ἀεὶ πάντας ἡ ἄνοια τρέφει,
ὅταν ἐς ἥβην ἐξικώμεθ' εὔφρονες.
ὠθούμεθ' ἔξω καὶ διεμπολούμεθα
θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο.
αἱ μὲν ξένους πρὸς ἄνδρας. αἱ δὲ βαρβάρους.
αἱ δ' εἰς ἀληθῆ δώμαθ' αἱ δ' ἐπίρροθα.
καὶ ταῦτ' ἐπειδὰν εὐφρόνη ζεύξῃ μία,
χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν.

Φιλήτου. Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ ἔχῃς.

Διφίλου. Γυναικὸς ἀγαθῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.

Χαιρήμονος. Γυναῖκα θάπτειν, κρεῖττόν ἐστιν ἢ γαμεῖν.

Ἱπποθῶντος. Ζευχθεὶς γάμοισιν, οὐκ ἔτ' ἔστ' ἐλεύθερος.

Θεοδίκτου. Παραπλήσιον πρᾶγμ' ἐστὶ γῆρας καὶ γάμος.
τυχεῖν γὰρ αὐτῶν ἀμφοτέρων σπουδάζομεν,
ὅταν δὲ τύχωμεν ὕστερον λυπούμεθα.

Ἀντιφάνους. Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

Μενάνδρου. Πατρῷα ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα.
τὰ δὲ μετὰ γυναικὸς εἰσιόντ' εἰς οἰκίαν,
οὔτ' ἀσφαλῆ τὴν κτῆσιν, οὔθ' ἱλαρὰν ἔχει.

Θαλῆς

Ayuntamiento de Madrid

Θαλῆς τῇ μητρὶ γυναῖκα λαβεῖν δεομένῃ, οὔπω καιρὸς ἔλεγεν· εἶτα προβάς, οὐκέτι καιρός.

Πλάτων ἐρωτηθείς, εἰ γήμας φιλοσοφήσω, οὐκ εἰδὼς ἔφη οὐδὲ μόνον σαυτὸν σώζειν, καὶ γυναῖκα ἐπὶ τῶν ὤμων συνδιασώσεις;

Ἡ γὰρ ἂν ἡμέρα γυνὴ προδῷ τὸ σῶμα, καὶ τὴν τάξιν λίπῃ τῆς αἰδοῦς, εὐθέως παραλλάττει τῶν φρενῶν· ὥστε νομίζειν τοὺς μὲν οἰκείους ἐχθρούς, τοὺς δὲ ἀλλοτρίους, πιστούς· περὶ δὲ τῶν καλῶν καὶ αἰσχρῶν ἐναντίαν ἔχειν τὴν γνώμην. Λυσίου.

Ὅταν γυνὴ ὁμονοίας τῆς πρὸς ἄνδρα στερηθῇ, ἀβίωτος ὁ καταλειπόμενος γίνεται βίος. Λυκούργου.

Ἐπαμινώνδας ἐρωτηθείς, τί ὀνεῖται ὁ μὴ γήμας, τὸ μὴ ὀκνεῖν εἰπεῖν ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν.

Φέρε δὴ προσελθέτω ὁ βίος εἰς τὸ πρόσθεν, καὶ γάμων καὶ γυναικὸς ἐπιθυμιάτω. αὕτη ἡ ἡμέρα. αὕτη ἡ νύξ, καινοῦ δαίμονος ἄρχει· καινοῦ πότμου. μέγας γὰρ ἀγὼν γάμος ἀνθρώπῳ, εἰ γὰρ τύχοι μὴ ἐπιτηδεία γενομένη, τί χρὴ τῇ συμφορᾷ χρῆσθαι· χαλεπαὶ μὲν ἐκπομπαί, τοὺς φίλους ἐχθροὺς ποιῆσαι. ἴσα φρονοῦντας. ἴσα πνέοντας ἀξιώσαντα καὶ ἀξιωθέντα· χαλεπὸν δὲ κεκτῆσθαι κτῆμα τοιοῦτον δοκοῦντα ἡδονὰς κτᾶσθαι, λύπας ἄγεσθαι. φέρε δὴ μὴ τὰ παλίγκοτα λέγωμεν. λεγέσθω τὰ πάντων ἐπιτηδειότατα. τί γὰρ ἥδιον ἀνθρώπῳ γυναικὸς καταθυμίας. τί δαὶ γλυκύτερον ἄλλως τε καὶ νέῳ. ἐν τῷ αὐτῷ δέ γε τούτῳ, ἔνθα τὸ ἡδὺ ἔνεστι, πλησίον που καὶ τὸ λυπηρόν, αἱ γὰρ ἡδοναί, οὐκ ἐπὶ σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ' ἀκολουθοῦσιν αὐταῖς, λῦπαι καὶ πόνοι. ἐπεὶ καὶ ὀλυμπιονῖκαι, καὶ πυθιονῖκαι, καὶ οἱ τοιοῦτοι ἀγῶνες, καὶ σοφίαι, καὶ πᾶσαι ἡδοναί, ἐκ μεγάλων λυπημάτων ἐθέλουσι παραγίνεσθαι. τιμαὶ γάρ. ἆθλα. δελέατα. ἃ ὁ θεὸς ἔδωκεν αὐτοῖς, μεγάλων πόνων καὶ ἱδρώτων εἰς ἀνάγκας καθιστῶσιν. ἐγὼ γὰρ εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον, οἷον ἐγώ, ἐμαυτῷ οὐκ ἂν δυναίμην ζῆν. οὕτως ἐμαυτῷ πολλὰ πράγματα παρέχων, ὑπέρ τε τῆς ὑγείας τοῦ σώματος, ὑπέρ τε τοῦ καθ' ἡμέραν βίου ἐς τὴν ξυλλογήν, ὑπέρ τε δόξης. καὶ σωφροσύνης· καὶ εὐκλείας. καὶ τοῦ εὖ ἀκούειν. τί οὖν εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον, ὅ γε μοι οὕτως ἐπιμελὲς εἴη. οὐκοῦν δῆλον ὅτι, γυνὴ ἀνδρί, ἐὰν ᾖ καταθυμία, οὐδὲν ἐλάττους τὰς φιλότητας, παρέχεται καὶ τὰς ὀδύνας ἢ αὐτὸς αὐτῷ, ὑπέρ τε τῆς ὑγείας δισσῶν σωμάτων, ὑπέρ τε τοῦ βίου τῆς συλλογῆς, καὶ ὑπέρ τε τῆς σωφροσύνης, καὶ τῆς εὐκλείας· φέρε δὴ καὶ παῖδες γενέσθωσαν· φροντίδων ἤδη πάντα πλέα. καὶ ἐξοίχεται τὸ νεοτήσιον σκίρτημα ἐκ τῆς γνώμης· καὶ πρόσωπον οὐκέτι τὸ αὐτό. Ἀντιφῶντος

Ayuntamiento de Madrid

# ΟΤΙ ΤΟΙΣ ΜΕΝ, ΕΥΩΦΕΛΗ ΤΟΝ ΓΑΜΟΝ, τοῖς δὲ, ἀσύμφορον ὁ τῶν συναπτομένων ἀπετέλεσε τρόπος.

## ΛΟΓΟΣ ξζ΄.

Θεοδέκτου

Τὴν γὰρ ἄλοχον εἰς δόμους ἄγει πόσις,
οὐχ ὡς δοκεῖ γυναῖκα λαμβάνει μόνον·
ὁμοῦ δὲ τῇδε τ᾽ εἰς κομίζεται λαβὼν,
καὶ δαίμον᾽ ἢ χρηστὸν ἢ τοὐναντίον.

Σουσαρίων

Ἀκούετε λεώς· Σουσαρίων λέγει τάδε.
κακὸν γυναῖκες· ἀλλ᾽ ὅμως ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ,
καὶ γὰρ τὸ γῆμαι καὶ τὸ μὴ γῆμαι, κακόν.

Εὐριπίδου.

Οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις,
οὔτ᾽ εὐτυχοῦσι· συμφορὰ δ᾽ ὃς ἂν τύχῃ
κακῆς γυναικὸς, εὐτυχεῖ δ᾽ ἐσθλῆς τυχών.

Μενάνδρου

Γυνὴ πολυτελής, ἐστ᾽ ὀχληρὸν, οὐδ᾽ ἐᾷ
ζῆν τὸν λαβόνθ᾽ ὡς βούλεται. ἀλλ᾽ ἔνεστί τι
ἀγαθὸν ἀπ᾽ αὐτῆς· παῖδες ἐλθόντ᾽ εἰς νόσον
τὸν ἔχοντα ταύτην, ἐθεράπευσεν ἐπιμελῶς.
ἀτυχοῦντι συμπαρέμεινεν, ἀποθανόντα τε
ἔθαψε. περιέστειλεν· οἰκείως ὁρᾷ.
εἰς ταῦθ᾽ ὅταν λυπῇ τι, τῶν καθ᾽ ἡμέραν.
οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμ᾽, ἂν δὲ λέγῃς
ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς
τῶν προσλεγομένων, οὐ δυνήσῃ διατέλοις.

Ἡσιόδου.

Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ᾽ ἄμεινον
τῆς ἀγαθῆς· τῆς δ᾽ αὖτε κακῆς, οὐ ῥίγιον ἄλλο.
δειπνολόχου, ἥ τ᾽ ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα.
εὕει ἄτερ δαλοῦ, καὶ ἐν ὠμῷ γήραϊ θῆκε.

Φιλιππίδου.

Αἰσχρὰν γυναῖκ᾽ ἔγημας ἀλλ᾽ οὐ πλουσίαν
καθεῦδ᾽ ἀηδῶς ἢ δέως μασώμενος.

Εὐριπίδου

Ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ
γυναῖκας, ἑξῆς σκαιός ἐστι κοὐ σοφός.

Ayuntamiento de Madrid

πολλῶν γὰρ οὐσῶν, τὴν μὲν, εὑρήσεις κακήν.
τὴν δ' ὥσπερ αὕτη λῆμ' ἔχουσαν εὐγενές.

Τὸ γαμεῖν, ἐάν τις τὴν ἀλήθειαν σκοπῇ, Μενάνδρου
κακὸν μὲν ἐστίν, ἀλλ' ἀναγκαῖον κακόν.

Τῆς μὲν κακῆς, κάκιον οὐδὲν γίνεται Εὐριπίδου.
γυναικός· ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν
πέφυκ' ἄμεινον, διαφέρουσι δ' αἱ φύσεις.

Τί γὰρ ἀνδρὶ κακὸν μεῖζον, ἁμαρτεῖν πιστῆς ἀλόχου.

Γάμοις δ' ὅσοι μὲν εὖ καθεστᾶσι βροτῶν,
μακάριος αἰών, τοῖς δὲ μὴ πίπτουσιν εὖ
τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς.

Οὕτω γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν, Σοφοκλέ.
κακῆς ἀνὴρ κτήσαιτ' ἄν, οὐδὲ σώφρονος
κρεῖσσον, παθὼν δ' ἕκαστος ὧν τύχῃ λέγει.

Ὣς δ' αὕτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας Ἡσιόδου.
Ζεὺς ὑψιβρεμέτης θῆκε ξυνήονας ἔργων
ἀργαλέων. ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖσιν.
ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' εἰς γῆρας ἵκοιτο
χήτει γηροκόμοιο, ὅγ' οὐ βιότου ἐπιδευὴς
ζώει. ἀποφθιμένου δὲ διὰ ζωὴν δατέονται
χηρωσταί. ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν ἔσχετ' ἄκοιτιν ἀραρυῖαν πραπίδεσσι.
τῷ δέ τ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει.

Μηδὲν θρασύνου. μὴ δὲ τοῖς σαυτοῦ κακοῖς Εὐριπίδου
τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψῃ γένος.
πολλαὶ γὰρ ἡμῶν, αἱ μὲν, εἰσ' ἐπίφθονοι.
αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.

Τὸ δὲ γαμεῖν ὅμοιόν ἐστι τῷ τρεῖς ἓξ Ἐπιχάρμου
ἢ τρεῖς κύβους ἀπὸ τύχης βαλεῖν.
ἐὰν μὲν γὰρ λάβῃς τεταγμένην τοῖς τρόποις,
καὶ τ' ἄλλ' ἄλυπον, εὐτυχήσεις τῷ γάμῳ.
εἰ δὲ καὶ φιλέξοδόν τε καὶ λάλον καὶ δαψιλῆ,
οὐ γυναῖκ' ἕξεις, διὰ βίου δ' ἀτυχίαν κοσμουμένην.

Ayuntamiento de Madrid

## Ὅτι τοῖς μὲν, ἐπωφελῆ τὸν γάμον

Εὐριπίδου. Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή.
ἡ δὲ μὴ σώφρων, ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.

Ἀλγιστόν ἐστι θῆλυ μισηθὲν γένος,
αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις
αἶσχος γυναιξὶ, καὶ κεκοίνωνται ψόγον.
ταῖς οὐ κακαῖσιν αἱ κακαὶ, τὰ δ' ἐς γάμους,
οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσι φρονεῖν.

Γαΐου ὑπὲρ λουκίλλης. Φυλάττομαι δέ τι πικρότερον εἰπεῖν, διὰ τὸ τῆς μητρυιᾶς ὄνομα, πολλὰ γὰρ προείληπται τῶν ὀνομάτων εἰς πίστιν ἀπεχθείας· καὶ μητρυιὰ δυσκόλως ἀληθεύειν πιστεύεται. δεῖ δὲ, οὐ ταῖς φήμαις τῶν ὀνομάτων ἐξελέγχεσθαι τοὺς τρόπους. πολλοὶ γὰρ ἤδη διαβεβλημένας προσηγορίας ἔχοντες, ἔσχον οὐ πονηρὰν διάνοιαν. πάλιν ἕτεροι καὶ καλοῖς ὀνόμασιν ἐκ τῆς φύσεως κεκοσμημένοι, ψυχαῖς ἀνομοίαις προσέρχονται πρὸς τὰ ἔργα.

Μουσωνίου. Βίου καὶ γενέσεως παίδων κοινωνίαν, κεφάλαιον εἶναι γάμου. τὸν γὰρ γαμοῦντα ἔφη καὶ τὴν γαμουμένην, ἐπὶ τούτῳ συνιέναι χρὴ ἑκάτερον θατέρῳ· ὥσθ' ἅμα μὲν ἀλλήλοις βιοῦν, ἅμα δὲ ποιεῖσθαι. καὶ κοινὰ δὲ ἡγεῖσθαι πάντα· καὶ μηδὲν ἴδιον, μηδ' αὐτὸ τὸ σῶμα. μεγάλη μὲν γὰρ γένεσις ἀνθρώπου, ἣν ἀποτελεῖ τοῦτο τὸ ζεῦγος. ἀλλ' οὔπω τοῦτο ἱκανὸν τῷ γαμοῦντι. ὃ δὴ καὶ δίχα γάμου γένοιτ' ἂν συμπλεκομένων ἄλλως, ὥσπερ καὶ τὰ ζῶα συμπλέκεται αὑτοῖς. δεῖ δὲ ἐν γάμῳ πάντως, συμβίωσίν τε εἶναι καὶ κηδεμονίαν ἀνδρὸς, καὶ γυναικὸς περὶ ἀλλήλους, καὶ ἐρρωμένους, καὶ νοσοῦντας, καὶ ἐν παντὶ καιρῷ, ἧς ἐφιέμενος ἕκαστος, ὥσπερ καὶ παιδοποιίας εἶσιν ἐπὶ γάμον. ὅπου μὲν οὖν ἡ κηδεμονία αὕτη τέλειός ἐστι, καὶ τελέως αὐτὴν οἱ συνόντες ἀλλήλοις παρέχονται ἁμιλλώμενοι νικᾶν, ὁ ἕτερος τὸν ἕτερον, οὕτω μὲν ὁ γάμος ᾗ προσήκει ἔχει, καὶ ἀξιοζήλωτός ἐστι, καλὴ γὰρ ἡ τοιαύτη κοινωνία. ὅπου δὲ ἑκάτερος σκοπεῖ τὸ ἑαυτοῦ μόνον ἀμελῶν θατέρου, ἢ καὶ νὴ Δί' ὁ ἕτερος οὕτως ἔχει, καὶ οἰκίαν μὲν οἰκεῖ τὴν αὐτὴν, τῇ δὲ γνώμῃ βλέπει ἔξω μὴ βουλόμενος τῷ ὁμόζυγι συντείνειν τε καὶ συμπνεῖν, ἐνταῦθ' ἀνάγκη φθείρεσθαι μὲν τὴν κοινωνίαν, φαύλως δὲ ἔχειν τὰ πράγματα τοῖς συνοικοῦσιν. καὶ ἢ διαλύονται τέλεον ἀπ' ἀλλήλων, ἢ τὴν συμονὴν χείρω ἐρημίας ἔχουσιν.

Ayuntamiento de Madrid

## ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ ΕΤΙ ΚΑΙ ΠΕΡΙ ΓΑΜΟΥ

### ΛΟΓΟΣ. ξή.

Εὐριπίδου.
Γάμοις δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένοις
μάτην πονοῦσιν· ἡ δὲ τῷ χρεὼν πόσει
μένουσα, κἀσπούδαστος ἦλθεν εἰς δόμους.
Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.
ὅσοι γαμοῦσι δὲ γένει κρείσσους γάμους,
ἢ πολλὰ χρήματα οὐκ ἐπίστανται γαμεῖν.
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν τοῖς δώμασι
δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος.
πλοῦτος δ' ἄπακτος ἐκ γυναικείων γάμων,
ἀνόνητος, αἱ γὰρ διαλύσεις ῥᾴδιαι. Μενάνδρου
Ὅταν πένης ὢν καὶ γαμεῖν τις ἑλόμενος,
τὰ μετὰ γυναικὸς ἐπιδέχηται χρήματα,
αὑτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει.
Δύ' ἔστι κεῖναι τὸν γαμεῖν μέλλοντα δεῖ,
ἤτοι προσηνῆ ὄψιν, ἢ χρηστὸν τρόπον,
τὴν γὰρ ὁμόνοιαν τὴν πρὸς ἀλλήλους ποιεῖ, Ἡσιόδου.
Παρθενικὴν δὲ γαμεῖν, ὡς κ' ἤθεα κεδνὰ διδάξῃς.
πάντα μάλ' ἀμφὶς ἰδὼν, μὴ γείτοσι χάρμα γήμῃς. Θεόγνιδος
Κιώας μὲν δὴ νῶϊ διζήμεθα κύρνε καὶ ἵππους.
εὐγενέας, καί τις βούλετ' ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ, οὐ μελεδαίνει,
ἐσθλὸς ἀνὴρ, ἤν οἱ χρήματα πολλὰ φέρῃ. Εὐριπίδου.
Φάσι δ' ἀγγέλλω βροτοῖς, ἐσθλῶν ἀπ' ἀνδρῶν
εὐγενῆ σπείρειν τέκνα, οὐ γάρ ποτ' ἂν
πράξειαν ἐς τέλος κακῶς.

Εχει δὲ τὸ ἴχνος τοῦτο τᾶς διακοσμάσιος πρᾶτον καὶ αὐτὸς ὁ ἄνθρωπος, ἐν τᾷ διαιρέσει τᾶς ψυχᾶς ταύτας. ὃ μέν τι, ἐντὶ λογισμὸς, ὃ δὲ, θυμὸς. ὃ δὲ, ἐπιθυμία. ὁ μὲν ὢν λογισμὸς, οἰκοδεσπότᾳ καὶ ἄρχοντί ποτ᾽ ἐμφερής ἐντι, πρεσβύτερός τε γὰρ ἐν τᾷ φύσει, καὶ τᾷ γενέσει διανοητικώτατος, καὶ διακριτικώτατος. ἁ δ᾽ ἐπιθυμία, θῆλυ, καὶ νεαρὸν, καὶ ὑγρὸν πάθος ὑπάρχοισα ψυχᾶς, τᾷ γυναικὶ ποτιφερής ἐντι. ὁ δὲ θυμὸς, ὁρμᾶς, καὶ ζέσιος μεστὸς ἐὼν, καὶ συνακούων καὶ συνεπακολουθῶν πολλάκις τῷ λογισμῷ, ἢ τῷ νῷ, καὶ νεανίᾳ ποθωμοίωται. ἁ μὲν γὰρ μονάς ἐντι τὸ γεννῶν καὶ ὁρίζων. ἁ δὲ δυὰς, τὸ ὁριστὸν, καὶ ὁριζόμενον. καὶ τὸ μὲν περιττὸν, ἐκ τᾶς καθ᾽ αὑτὸ φύσιος. τὸ δὲ ἄρτιον, ἐκ τᾶς πρός τι. διότι τὸ μὲν, καθ᾽ αὑτὸ φύσιος περαίνει. τὸ δ᾽ ἄρτιον, ἐκ τᾶς πρός τι. καὶ τὸ μὲν κατὰ τὰς περισσὰς χώρας συντάσσει, ὁ ἐξομοιάζει αὐτῷ. τὸ δὲ, μόνον, ὥσπερ ὕλα καὶ ὑποκείμενον. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ γραμμᾶν, καὶ χωρίων, τὸ μὲν γὰρ τετράγωνον ὁρίζει καὶ συντάσσει. τὸ δ᾽ ἑτερόμακες, ὥσπερ ὕλα ὑποκειμένα ὁρίζεται, καὶ συντάσσεται, τετραγωνιζόμενον καὶ ἐξισούμενον. δεῖ δὲ τὸν μουσικὸν, μιμέεσθαι τὸν ἴδιον τόνον, τᾶς φωνᾶς ἐκμαθόντα, οὕτω πειρᾶσθαι τὰν μέσαν καθιστάνειν, ὅκως καὶ ἐπὶ τὰ βαρέα, καὶ ἐπὶ τὰ ὀξέα διαρκέσαι δύναται, καὶ μήτε ῥήξῃ, μήτε ἀπολίπῃ τὴν τάσιν. οὕτω δεῖ καὶ γάμον συναρμόζεσθαι ποτὶ τὸν ἴδιον τόνον τᾶς ψυχᾶς, ὅκως μὴ μόνον ἐν εὐτυχίαις συνεκτρέχειν ἀλλάλοις δυνατὸν ἦ τι. καὶ γὰρ αὐλὼς ὁ αὐλατὰς ποτὶ τὸν ἴδιον τόνον διαρκέσαι δυνάμενος λαμβάνει, καὶ πηδάλια ὁ κυβερνάτας, ποτὶ τὸ μέγεθος τᾶς ναός.

Νικοστράτου περὶ γάμου.

Ταῦτ᾽ εἰ μὲν οὖν τὰ θρυλλούμενα σὺ οἶσθα, μήτε εὐγένειᾳ προσέχειν, μήτε δόξῃ τῶν πατέρων. οὕτως τε ὡς αὐτῇ τῇ γυναικὶ, πολλαὶ γὰρ δὴ πάνυ καλῶν καὶ ἀγαθῶν πατέρων, φαῦλαι ἐφωράθησαν, καὶ οὐκ ἐσωφρόνησαν. χρήματα δὲ, οἱ μὲν, οὐδὲ πάμπαν φιλοπραγμονεῖν εἰώθασιν. ἔνιοι δὲ, οὐδ᾽ ἂν γῆμαι ἔφασαν, ἄλλως τε εἰ μὴ πλουτοίη καὶ προῖκα ἐπάγοιτο πολλήν, ἀλλ᾽ ἐνταῦθά που καὶ τὸ λαμπρὸν τοῦ δουλεύειν ἐστίν. ἰδίᾳ μὲν τῇ γυναικὶ, ὑπὸ τοῦ πλούτου διατεθρυμμένῃ. ἰδίᾳ δὲ χρήμασιν ὑποθωπεύοντα αὐτόν τινα, καὶ ἣν συμβαίνῃ μάλιστα λαμβάνοντα ἐκεῖθεν ἀναλίσκειν. εἰ δὲ κατ᾽ ἐμέ τις εἴης, καὶ σμικρὰν ἢ δὶς ἂν πύθοιο. κρεῖττον ἄρα ἣν ἀνδρεικόν τι γύναιον, καὶ κατ᾽ ἀγροὺς τεθραμμένον ἀναζητεῖν τε καὶ πολυπραγμονεῖν. ἱκανὸν μὲν πονεῖν, ὁπότε ὕδωρ ἀνιμᾶν δέοι, καὶ πῦρ ἐναῦσαι, ἣν τούτων καιρός. οὐκ ἀνελεύθερον δὲ οὔτε ἀρτοποιὸν, χρηστόν γε μὴν, καὶ ἀλέσαι ἐπὶ μύλην, καὶ ἐπα-

Ayuntamiento de Madrid

φήσαις αὐτῆς, διδοῦσιν ὥσπερ αὐτῇ λύρας. ταῦτα μὲν δὴ ῥώμη τε γυναικὶ ταῦτα δὲ τῷ οἴκῳ ὄφελος. ἐπειδὴ δὲ οὐκ εὔδηλόν ἐστιν ἄρτι γαμοῦσι, ὁποῖαι δή τινες τοῖς τρόποις αἱ γυναῖκες ἅμα φανήσονται, Ἰνδοὶ οὕτω γαμοῦσι, καὶ οἱ σοφοὶ αὐτῶν, καὶ οὐδὲ πώποτε ψευσθῆναι λέγονται. ἐκεῖνοι τοίνυν οἱ Ἰνδοί, οὐχ ὅπως πλούτῳ καὶ δόξῃ ἔγημαν Ἰνδοῦ ἀνδρὸς καὶ πλουσίου θυγατέρα, ἀλλὰ αὐτὴν τὴν κόρην, τήν τε ὄψιν αὐτῆς, καὶ τὸ κάλλος ἐπολυπραγμόνησαν σοφίᾳ δή τινι τοῦτό γε, οὐκ ἀκολασίᾳ οὐδεμιᾷ, οὐδὲ κατὰ τὰ αὐτὰ ἡμῖν, αἱ γὰρ δὴ ὄψεις αἱ χρησταὶ ἔχουσιν αὐτῇ πλεῖστον τοῦ κάλλους τῆς ψυχῆς. καὶ εἶναι οὔτε θυμούμενον, οὔτε ὀργιζόμενον, οὔτε χολῶντα, τὸ πρόσωπον φαιδρὸν ἔχειν τε καὶ καθαρόν. ἣ δέ τις πανοῦργος καὶ κρυψίνους, εὐθὺς μὲν καὶ τῷ ὀφθαλμῷ παραβλέπει, καὶ δεινὸν δέδορκεν. ὅστις δὲ μωρίᾳ εὐήθης, τὰς κόρας, καὶ τοῖς ὀφθαλμοῖς ἀναπέπταται. ὄνων ὀφθαλμοὶ καὶ προβάτων τοιοῦτοι. ὁ δέ γε συνάγων τὰς ὀφρῦς, σκαιός ἐστι. καὶ ὅτῳ ἐπανθεῖ οὐκ ἐρύθημα, ἀλλὰ σκότος τε καὶ νέφος, τούτου τε ἡ ψυχή, οὐδαμῇ οὐδαμῶς εὐφραίνεται. ταυτὶ μὲν τὰ γνωρίσματα καὶ σημεῖα, οὐ παρθένοις ἄρα καὶ γυναιξὶν, ἀλλὰ καὶ ἄλλοις πρόσεστι τοῖς ἀνδράσι. περὶ μὲν οὖν τῶν Ἰνδῶν, οὕτως ὁ λόγος κρατεῖ. ὡς καταμαντεύονται περὶ τῶν γυναικῶν πόρρωθεν, ὁποῖαί τινες ἔσονται, μή μου δὲ καταγνώτω μηδείς, ἐπεὶ κοινότερον τῷ κάλλει καταχρήσομαι συμβουλεύων αὐτὸ μεταθεῖναι, οὐ γὰρ τοὺς καλοὺς καὶ τὰς καλὰς ἐγὼ προξενῶ, ἀλλ' ἑτέρως οὐκ εἶναι εἰπεῖν, ἑπόμενον τῷ Ἰνδῶν λόγῳ. εἶναι δὲ καὶ ἀπὸ τῆς φωνῆς τὰ ἀπὸ τῆς τύχης ἑκάστου εἰδέναι. καὶ τοίνυν φωνὴν μετὰ ταῦτα τῆς γυναικὸς ἐξεταστέον, τάχα μὲν γὰρ ἡλίων ἡ ᾠδική. ἕωθεν δὲ καὶ μετ' ἄριστον, μᾶλλον δὲ συνεστάλθω αὐτὴ ἡ φωνὴ εἰς τὸ πρᾶον. καὶ βραχὺ πώποτε μήτε βοήσαι μήτε φθέγξεται, τὰ γὰρ τοιαῦτα ἀνδρωδεστέρας τὰς γυναῖκας ἀποφαίνει.

Διὸ χρὴ τοὺς γαμοῦντας, οὐκ εἰς γένος ἀφορᾶν, εἰ ἐξ εὐπατριδῶν. οὐδ' εἰς χρή- Μουσωνίου.
ματα εἰ πολλὰ κέκτηνταί τινες. οὐδ' εἰς σώματα, εἰ καλὰ ἔχουσιν. οὔτε γὰρ πλοῦτος, οὔτε κάλλος, οὔτ' εὐγένεια, κοινωνίαν μᾶλλον αὔξειν πέφυκεν. ὥσπερ οὐδ' ὁμόνοιαν. οὐδ' αὖ τὴν παιδοποιΐαν κρείττω ταῦτα ἀπεργάζεται. ἀλλὰ σώματα μὲν πρὸς γάμον ἀποχρῶντα τὰ ὑγιῆ, καὶ τὴν ἰδέαν μέσα, καὶ αὐτουργεῖν ἱκανά. ἃ δὴ καὶ ἐπιβουλεύοιτ' ἂν ὑπὸ τῶν ἀκολάστων ἧττον. καὶ ἐργάζοιτο μᾶλλον ὡς ἀσώματος ἔργα, καὶ παιδοποιοῖτο μὴ ἐνδεῶς. ψυχὰς δὲ ἀρίστας εἶναι νομιστέον, τὰς πρὸς σωφροσύνην, καὶ δικαιοσύνην, καὶ ὅλως πρὸς ἀρετὴν εὐφυεστάτους. ποῖος μὲν

Ayuntamiento de Madrid

γὰρ γάμους χωρὶς ὁμονοίας καλός. ποία δὲ κοινωνία χρηστή. πῶς δ' ἂν ὁμονοήσειαν ἄνθρωποι πονηροὶ ὄντες ἀλλήλοις. ἢ πῶς ἀγαθὸς πονηρῷ ὁμονοήσειεν. οὐδέν γε μᾶλλον, ἢ ὀρθῷ ξύλῳ στρεβλὸν συναρμόσειεν ἄν. ἢ στρεβλὰ ἄμφω ὄντα ἀλλήλοιν, τὸ γὰρ δὴ στρεβλὸν, τῷ τε ὁμοίῳ τῷ στρεβλῷ, ἀνάρμοστον, καὶ τὸ ἐναντίον τῷ εὐθεῖ ἔτι μᾶλλον. ἔστι δὴ καὶ ὁ πονηρὸς τῷ τε πονηρῷ, οὐ φίλος, οὐδ' ὁμονοεῖ. καὶ πολὺ ἧττον τῷ χρηστῷ.

Χίλωνος. Γ άμους εὐτελεῖς, καὶ ἰσοτίμους ποιεῖν.

Κ λεόβουλος ἔφη. δεῖν συνοικίζειν ἀνδράσι τὰς ἑαυτῶν θυγατέρας. τὴν μὲν ἡλικίαν, παρθένους. τὸ δὲ φρονεῖν, γυναῖκας.

Π ερικλῆς ὁ τῶν ἀθηναίων στρατηγός. δυεῖν αὐτοῦ τὴν θυγατέρα μνηστευομένων, τοῦ μὲν, πλουσίου καὶ ἀπαιδεύτου, τοῦ δὲ, πένητος καὶ φιλολόγου, τούτῳ αὐτὴν ἐξέδωκεν, εἰπὼν, ὅτι ἄμεινόν ἐστι τοῦ ὄντος, ὁ δυνάμενος γενέσθαι πλούσιος.

Δ ημόκριτος ἔφη. ὡς ὁ γαμβροῦ μὲν ἐπιτυχὼν, εὗρεν υἱὸν, ὁ δὲ ἀποτυχὼν, ἀπώλεσε καὶ θυγατέρα.

## ΟΤΙ ΕΝ ΤΟΙΣ ΓΑΜΟΙΣ, ΤΑΣ ΤΩΝ ΣΥΝΑΡΤΟΜΕΝΩΝ ΗΛΙΚΙΑΣ ΧΡΗ ΣΚΟΠΕΙΝ.

### ΛΟΓΟΣ ξθ'.

Θεόγνιδος. Ο Υ̓́ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι.
οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος.
οὐδ' ἄγκυραι ἔχουσιν, ἀπορρήξασα δὲ δεσμὰ
πολλάκις ἐκ νυκτῶν, ἄλλον ἔχει λιμένα.

Εὐελπίδου. Κ ακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον.
μακρὰ γὰρ ἰσχὺς μᾶλλον ἀρρένων μένει.
θηλείας δ' ἥβη θᾶσσον ἐκλείπει δέμας.

Σαπφοῦς. Α λλ' ἐὼν φίλος ἄμμιν λέχος ἄρνυσο νεώτερον

οὐ γὰρ

Ayuntamiento de Madrid

οὐ γὰρ τλάσομ' ἐγὼ ξυνοικεῖν οὖσα γεραιτέρα.
Ἐγὼ γὰρ ἔξω λέκτρα ἄλλοις καλῶς ἔχειν, Εὐριπίδου
δίκαιόν ἐστιν οἷσι συγγηράσομαι.

Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι. Ἡσιόδου.
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων,
μήτ' ἐπιθεὶς μάλα πολλά, γάμος δέ τοι ὥριος οὗτος.
ἡ δὲ γυνὴ, τέτορ' ἡβώη, πέμπτῳ δὲ γαμοῖτο.

Καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις, Εὐριπίδου
μὴ πρὸς τὸ γῆρας τοὺς γάμους ποιουμένους.
σχολῇ τεκνοῦσθαι παῖδας, οὐ γὰρ ἡδονή.
γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ.

## ΟΤΙ ΕΝ ΤΟΙΣ ΓΑΜΟΙΣ, ΟΥ ΤΗΝ ΕΥΓΕΝΕΙΑΝ, ΟΥΔΕ ΤΟΝ ΠΛΟΥΤΟΝ ΧΡΗ ΣΚΟΠΕΙΝ, ΑΛΛΑ ΤΟΝ ΤΡΟΠΟΝ.

### ΛΟΓΟΣ οʹ.

Ἐγὼ μὲν οὖν τὸν νόμον ἐμαυτῷ τοῦτον Διοδώρου.
τίθεμαι δοκιμάζων, ὥσπερ εἴρηται ποιεῖν.
κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν
γυναῖκ' ἄπροικον, ἢ κακῶς μετὰ χρημάτων
τὴν ἐσομένην, καὶ ταῦτα μέτοχον τοῦ βίου.

Καὶ τοῦτον ἡμᾶς τὸν τρόπον γαμεῖν ἔδει.
ἅπαντας ὦ Ζεῦ σῶτερ ὡς ὠνήμεθα. Μενάνδρου
οὐκ ἐξετάζειν μὲν τὰ μηδὲν χρήσιμα
τίς ἦν ὁ πάππος ἧς γαμεῖ, τίτθη δὲ τίς.
τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης
μεθ' ἧς βιώσεται, μήτ' ἐξετάσαι μήτ' ἰδεῖν;
ἀλλ' αὐτὶ φράττειν μὲν φέρειν τὴν προῖχ' ἵνα
εἴτ' ἀργύριον καλόν ἐστι δοκιμαστὴς ἴδῃ.
ὃ πέντε μήνας ἔνδον οὐ γενήσεται.
τῆς διὰ βίου δ' ἔνδον καθιδρυμένης ἀεί,
μὴ δοκιμάσασθαι μηδὲν, ἀλλ' εἰκῇ λαβεῖν.



Ayuntamiento de Madrid

Ὅτι ἐν τοῖς γάμοις, οὐ τὴν εὐγένειαν, οὐδὲ τὸν πλοῦτον χρὴ σκοπεῖν· ἀλλὰ τὸν τρόπον.

ἀγνώμονα ὀργὴν, χαλεπὴν ἐαὶ τύχη
λάλον, πειράξω τὴν ἐμαυτοῦ θυγατέρα.
τὴν πόλιν ὅλην οἱ βουλόμενοι ταύτην λαβεῖν,
λαλεῖτε. προσκοπεῖσθε. τηλίκον κακὸν
λήψεσθε. ἀνάγκη γὰρ γυναῖκ᾽ εἶναι κακὸν,
ἀλλ᾽ εὐτυχὴς ἔσθ᾽ ὁ μετριώτατον λαβών.

Εὐριπίδου Εἰ χρὴ γαμεῖν δῆτ᾽ ἔκ τε γενναίων ταμεῖν,
δοῦναί τ᾽ ἐσθλοὺς, ὅστις εὖ βουλεύεται·
κακῶν δὲ λέκτρων, μὴ ᾽πιθυμίαν ἔχειν.
μὴ δ᾽ εἰ ζαχρύσους οἴσεται φερνὰς δόμοις.

Γαμεῖτε νῦν γαμεῖτε, καταθνήσκετε.
ἢ φαρμάκοισιν ἐκ γυναικὸς, ἢ δόλοις.
ὅστις δὲ πλοῦτον, ἢ εὐγένειαν ἐσιδὼν
γαμεῖ πονηρὰν, μωρός ἐστι. μικρὰ γὰρ
μεγάλων ἀμείνω σώφρον᾽ ἐν δόμοις ἔχειν.

Ἱππώνακτος. Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι,
τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν,
αὕτη γὰρ ἡ προὶξ οἰκίαν σώζει μόνη.
ὅστις δὲ τρυφερὸς τὴν γυναῖκ᾽ ἄγει λαβὼν,
συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει,
εὔνουν βεβαίαν εἰς ἅπαντα τὸν βίον.

Εὐριπίδου. Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους,
γυνὴ κατῄσχυν᾽ ἐνδόμησι νηπία.

Εἰ νοῦς ἔνεστιν· εἰ δὲ μὴ, τί δεῖ καλῆς
γυναικὸς, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι.

Ἀντιφάνους Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
ὄντως, γυναικὸς προῖκα πολλὴν φερούσης.

Εὐριπίδου. Φίλτρον δὲ τόδε, οὐ τὸ κάλλος ὦ γύναι,
ἀλλ᾽ αἱ ἀρεταὶ τέρπουσι τοὺς συνευνέτας.

Μενάνδρου Ὅστις γυναῖκ᾽ ἐπίκληρον ἐπιθυμεῖ λαβεῖν
πλουτοῦσαν, ἤτοι μῆνιν ἐκτίνει θεῶν,
ἢ βούλετ᾽ ἀτυχεῖν μακάριος καλούμενος.

Εὐριπίδου. Κύδιον βροτοῖς πένητα χρηστὸν ἢ κακὸν
καὶ πλούσιον γαμβρὸν πεπᾶσθαι. σοὶ δ᾽ οὐδέν.

Ayuntamiento de Madrid

## ΛΟΓΟΣ οά.

Ὥσπερ ἐσόπτρου κατεσκευασμένου χρυσῷ καὶ λίθοις ὄφελος οὐδέν ἐστιν, εἰ μὴ Πλουτάρχου
δείκνυσι τὴν μορφὴν ὁμοίαν, οὕτως οὐδὲ πλουσίας γαμετῆς ὄνησις. εἰ μὴ
παρέχει τὸν βίον ὅμοιον τῷ ἀνδρὶ καὶ σύμφωνον τὸ ἦθος.

## ΤΟΦΟΣ ΓΥΝΑΙΚΩΝ, ΕΤΙ ΚΑΙ ΡΕΡΙ ΓΑΜΟΥ.

## ΛΟΓΟΣ. οά.

Δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσία. Εὐριπίδου
δειναὶ δὲ ποταμοῦ καὶ πυρὸς θερμαὶ πνοαί.
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία.
ἀλλ' οὐδὲν οὕτω δεινόν, ὡς γυνὴ κακόν.
οὐδ' ἂν γένοιτο γράμμα τοιοῦτ' ἐν γραφῇ.
οὐδ' ἂν λόγος δείξειεν. εἰ δέ του θεῶν,
τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν
μέγιστος ἴστω, καὶ βροτοῖσι δυσμενής.
Ὄλλυσθε. μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι
γυναῖκας. οὐδ' εἴ φησί τις ἀεὶ λέγειν,
ἀεὶ γὰρ οὕτως εἰσὶ κἀκεῖναι κακαί.
ἢ νῦν τις αὐτὰς σωφρονεῖν διδαξάτω
ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.
Ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή.
ἐχθροῖσιν εἴη πολεμίων δὲ μάρτ' ἔχειν.
Γυνὴ γάρ ἐστι τ' ἄλλα μὲν φόβου πλέα.
κακὴ δ' εἰς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν.
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφοιωτέρα.
Ὅς τις γυναῖκας τῶν πρὶν εἴρηκε κακῶς,
ἢ νῦν λέγει τις, ἢ πάλιν μέλλει λέγειν.



Ayuntamiento de Madrid

ἅπαντα ταῦτα συντιθεὶς ἐγὼ φράσω.
γένος γὰρ οὔτε πόντος, οὔτε γῆ τρέφει
τοιόνδε. ὁ δ' ἀεὶ συντυχὼν, ἐπίσταται.
Π λὴν τῆς τεκούσης, θῆλυ πᾶν μισῶ γένος.
Γ υνὴ γὰρ ἐξελθοῦσα πατρώων δόμων,
οὐ τῶν τεκόντων ἐστὶν, ἀλλὰ τοῦ λέχους.
Γ υνὴ γυναικὶ σύμμαχος πέφυκέ πως.
Γ υναῖκα δ' ὅστις παύσεται λέγειν κακῶς,
δύστηνος ἄρα κοὐ σοφὸς κεκλήσεται.
Π έφυκε γάρ πως πᾶσι πολέμιον γυνὴ,
τοῖς πρόσθεν, ἢ ζυγεῖσα δευτέρῳ πόσει.
Π ολλὰς γὰρ εὕροις μηχανὰς, γυνὴ γὰρ εἶ.
Δ ειλῶν γυναῖκες δεσποτῶν θρασύστομοι.
Γ υναικὶ τέρψις τῶν παρεστώτων κακῶν,
ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν.
Ε πίφθονόν τι χρῆμα θηλείας φρενός.
καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.
Π έπονθα· δεινὸν δ' ἑρπετῶν καὶ ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα.
ἀλλ' ἐς ἐχίδνης καὶ πυρὸς περαιτέρω,
οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
κακῆς. τοσοῦτόν ἐσμεν ἀνθρώποις κακόν.
Ω παγκάκιστη καὶ γυνή. τί γὰρ λέγων
μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν.
Η ν γάρ τις αἶνος· ὡς γυναιξὶ μὲν τέχναι
μέλουσι. λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι,
εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον,
ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα.
Σ υμμαρτυρῶ σοι. πανταχοῦ λελείμμεθα
πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα.
Α ντὶ πυρὸς γὰρ ἄλλο πῦρ μεῖζον ἐκβλαστούμεν
γυναῖκες πολὺ δυσμαχώτερον.
Φ εῦ. ὅπου τὸ θῆλυ δυστυχέστερον γένος,
πέφυκεν ἀνδρῶν, οὔτε τοῖσι γὰρ καλοῖς

πολλῷ

Ayuntamiento de Madrid

πολλῷ λέλειπται. κἀπὶ τοῖς αἰσχροῖς πλέον.
Ω θνητὰ πράγματ᾽, ὦ γυναικεῖαι φρένες.
ὅσον νόσημα τὴν κύπριν κεκτήμεθα.
Π άντων δ᾽ ὅσ᾽ ἔστ᾽ ἔμψυχα καὶ γνώμην ἔχει,
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν.
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι· δεσπότην δὲ σώματος
λαβεῖν. κακοῦ γὰρ τοῦτο γ᾽ ἄλγιον κακόν.
Ε ἰ κερκίδων μὲν ἀνδράσι μέλλοι πόνος,
γυναιξὶ δ᾽ ὅπλων ἐμπέσοιεν ἡδοναί,
ἐκ τῆς ἐπιστήμης γὰρ ἐμπεπτωκότες,
κεῖνοί τ᾽ ἂν οὐδέν εἰσιν οὐδ᾽ ὑμεῖς ἔτι.
Ω ζεῦ· τί δὴ κίβδηλον ἀνθρώποις κακόν.
γυναῖκας εἰς φῶς ἡλίου κατῴκισας.
εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε,
ἀλλ᾽ ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς,
ἢ χαλκὸν, ἢ σίδηρον, ἢ χρυσοῦ βάρος.
πόσιν πρίασθαι σπέρμα τοῦ τιμήματος.
Μ ισῶ γυναῖκα. ἐκ πασῶν δέ σε πλέον,
ἥτις πονηρὰ τὰ ἔργ᾽ ἔχουσ᾽ εὖ λέγεις.
Γ υναῖκές ἐσμεν, ἔσθλ᾽ ἀμηχανώταται.
κακῶν δὲ πάντων, τέκτονες σοφώταται.
Α ἱ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς.
ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστατον.
Ω ς οὐδὲν ὑγιές φασι μητρυιὰς φρονεῖν
νόθοισι παισὶν, ὧν φυλάξομαι ψόγον.
Φ ιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ.
σμικρὰς δ᾽ ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
πλείους ἐπιφέρουσιν. ἡδονὴ δέ τις
γυναιξὶ, μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.
Ε στι δὲ γυνὴ λέγουσα χρηστὰ ὑπερβάλλων φόβος. Μενάνδρου
Ε ργον γυναικὸς ἐκ λόγου πίστιν λαβεῖν.
Ω ς ἔστ᾽ ἄπιστον ἡ γυναικεία φύσις.



Ayuntamiento de Madrid

Ὁμήρου. Οἶσθα γὰρ, οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός.
κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίοι.
παίδων δὲ προτέρων καὶ κουρειδίοις φίλοις,
οὐκέτι μέμνηται τεθναότος, οὐδὲ μεταλλᾷ.

Ἡσιόδου. Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ᾽ ὅγε φιλήτῃσιν.

Ἀλέξιδος. Οὐκ ἔστ᾽ ἀναισχυντότερον οὐδὲν θηρίον
γυναικὸς, ἀπ᾽ ἐμαυτῆς ἐγὼ τεκμαίρομαι.

Μενάνδρου. Κἄγε λογίζομαι ὁ κακοδαίμων προσδοκῶν
χάριν παρὰ γυναικὸς κομιεῖσθαι μὴ μόνον
κακόν τι προσλάβοιμι, καὶ κάλλιστ᾽ ἔχει.
οὐκ ἐν γυναικὶ φύεται πλείστη χάρις.

Ἀλέξιδος. Οὐκ ἔστιν οὔτε τεῖχος, οὔτε χρήματα
οὐδ᾽ ἄλλο δυσφύλακτον οὐδὲν, ὡς γυνή.

Μενάνδρου. Τότε τὰς γυναῖκας δεδιέναι μάλιστα δεῖ,
ὅταν περιπλάττωσι τοῖς χρηστοῖς λόγοις.

Πολὺ χειρότερόν ἐστιν ἐρεθίσαι γραῦν, ἢ κύνα.

Οὐδέποθ᾽ ἑταίρα τοῦ καλῶς πεφρόντικεν.
ἢ τὸ κακόηθες πρόσοδον εἴωθε ποιεῖν.

Φύσει γυνὴ δυσήνιόν ἐστι καὶ πικρόν.

Ἡσιόδου. Τῆς γὰρ ὀλώϊόν ἐστι γένος καὶ φῦλα γυναικῶν.
πῆμα μέγα θνητοῖσι σὺν ἀνδράσι ναιετάουσι.
οὐλομένης πενίης οὐ σύμφοροι ἀλλὰ κόροιο.

Ἀντιφῶντος. Ἐγὼ γυναικὶ δ᾽ ἕν τι πιστεύω μόνον,
ἐπὰν ἀποθάνῃ, μὴ βιώσεσθαι πάλιν.
τὰ δ᾽ ἄλλ᾽ ἀπιστῶ πάνθ᾽, ἕως ἂν ἀποθάνῃ.

Ἡσιόδου. Τοῖς δ᾽ ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν, ᾧ κεν ἅπαντες
τέρπονται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος.
ἐν δ᾽ ἄρα οἱ στήθεσσι διάκτορος ἀργειφόντης
ψεύδεά θ᾽ αἱμυλίους τε λόγους, καὶ ἐπίκλοπον ἦθος.

Σοφοκλέ. Ὦ πᾶν σὺ τολμήσασα καὶ πέρα γύναι
κάκιον· ἀλλ᾽ οὐκ ἔστιν οὐδ᾽ ἔσται ποτὲ
γυναικός· ἢ εἴ τι πῆμα γίνεται βροτοῖς.

Ἀντιφάνους. Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς κακὰ

Ayuntamiento de Madrid

πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον.
ὅτ᾽ οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον.
Εἰς τὸ μεταπεῖσαι ῥαδίως, ἃ βούλεται Φιλίσκου.
πιθανοὺς ἔχειν εἴωθεν ἡ κλίνη λόγους.
Ὅπου γυναῖκές εἰσι, πάντ᾽ ἐκεῖ κακά. Μενάνδρου
Οὐ πάνυ εἴωθ᾽ ἀληθὲς οὐδὲν ἐν λέγειν γυνή.
Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε γένοντο Φωκυλίδου
φῦλα γυναικείων, ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ᾽ ἵππου χαιτηέσσης
εὔφορος, ἡ δὲ ταχεῖα περίδρομος εἶδος ἀρίστη
ἡ δὲ, συὸς βλοσυρῆς, οὔτ᾽ ἂρ κακή, οὐδὲ μὲν ἐσθλή.
ἡ δὲ κυνός, χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης,
οἰκονόμος τ᾽ ἀγαθή, καὶ ἐπίσταται ἐργάζεσθαι.
ἧς εὔχου φίλ᾽ ἑταῖρε λαχεῖν γάμου ἱμερόεντος.
Χωρὶς γυναικὸς, θεὸς ἐποίησεν νόον, Σιμωνίδου
τὰ πρῶτα, τὴν μὲν, ἐξ ὑὸς τανύτριχος.
τῇ πάντ᾽ ἀν᾽ οἶκον βορβόρῳ πεφυρμένα
ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί.
αὐτὴ δ᾽ ἄλουτος, ἄπλουτος ἐν εἵμασιν.
ἐν κοπρίῃσιν ἡμένη πιαίνεται.
Τὴν δ᾽ ἐξ ἀλιτρῆς θεὸς ἔθηκ᾽ ἀλώπεκος.
γυναῖκα, πάντων ἴδριν· οὐδέ μιν κακῶν
λέληθεν οὐδέν· οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν, γὰρ αὐτῶν εἶναι πολλάκις κακόν.
τὸ δ᾽ ἐσθλόν· ὀργὴν δ᾽ ἄλλο τ᾽ ἀλλοίην ἔχει.
Τὴν δ᾽ ἐκ κυνὸς λιτοργὸν αὐτομήτορα.
ἣ πάντ᾽ ἀκοῦσαι, πάντα δ᾽ εἰδέναι θέλει.
πάντῃ δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν. ἢν καὶ μηδέν᾽ ἀνθρώπων ὁρᾷ.
παύσειε δέ μιν οὔτ᾽ ἀπειλήσας ἀνήρ,
οὐδ᾽ εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὐδ᾽ ἂν μειλίχως μυθεύμενος,
οὐδ᾽ εἰ παρὰ ξείνοισιν ἡμένη τύχῃ.
ἀλλ᾽ ἐμπέδως ἄπρηκτον αὑονὴν ἔχει.


Ayuntamiento de Madrid

## Ψόγος γυναικῶν, ἔτι καὶ περὶ γάμου.

Τὴν δὲ πλάσαντες γηΐνην Ὀλύμπιοι,
ἔδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακὸν,
οὔτ' ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή·
ἔργον δὲ μοῦνον ἐσθίειν ἐπίσταται·
χ' ὤταν κακὸν χειμῶνα ποιήσῃ θεὸς,
ῥιγῶσα δίφρον ἆσσον ἕλκεται πυρός.
Τὴν δ' ἐκ θαλάσσης ἣ δύ' ἐν φρεσὶν νοεῖ·
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην·
ἐπαινέσει μὲν ξεῖνος ἐν δόμοις ἰδὼν,
οὐκ ἔστιν ἄλλη τῆσδε λώϊον γυνὴ,
ἐν πᾶσιν ἀνθρώποισιν· οὐδὲ καλλίων·
Τὴν δ' οὐκ ἀνεκτὸς οὐδ' ἐν ὀφθαλμοῖς ἰδεῖν,
οὔτ' ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον· ὥσπερ ἀμφὶ τέκνοισιν κύων·
ἀμείλιχος δὲ πᾶσι, κἀποθυμίη,
ἐχθροῖς ἴσα καὶ φίλοισι γίνεται.
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἔστηκ' ἀπήμων· χάρμα ναύτῃσιν μέγα.
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν φορευμένη,
ταύτῃ μάλιστ' ἔοικε τοιαύτη γυνὴ,
ὀργήν· φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
Τὴν δ' ἔκ τε σποδιῆς καὶ παλιντριβέος ὄνου
ἣ σύντ' ἀνάγκῃ σύντ' ἐνιπῇσιν μόγις.
ἔρξεν ὧν ἅπαντα καὶ πονήσατο·
ἀρεστά· τόφρα δ' ἐσθίει μὲν ἐν μυχῷ
προνὺξ προῆμαρ· ἐσθίει δ' ἐπ' ἐσχάρῃ.
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον,
ἐλθόνθ' ἑταῖρον ὁντινοῦν ἐδέξατο.
Τὴν δ' ἐκ γαλῆς δύστηνον οἰζυρὸν γένος·
κείνῃ γὰρ οὔτι καλὸν, οὐδ' ἐπίμερον
πρόσεστιν, οὐδὲ τερπνὸν, οὐδ' ἐράσμιον.
εὐνῆς δ' ἀληνής ἐστιν ἀφροδισίης.
τὸν δ' ἄνδρα τὸν παρόντα, ναυσίῃ διδοῖ.

κλέπτουσα

Ayuntamiento de Madrid

κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακά·
ἄθυστα δ' ἱρὰ πολλάκις κατεσθίει.
Τὴν δ' ἵππος ἀκρηχαιτέης ἐγείνατο·
ἣ δούλι' ἔργα καὶ δύην περιφέπει·
κοὔτ' ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν. οὔτε κόπρον ἐξ οἴκου βάλοι.
οὔτε πρὸς ἵππον ἀσβόλην ἀλευμένη
ἵζοιτ' ἀνάγκη δ' ἄνδρα ποιεῖται φίλον.
λοῦται δὲ πάσης ἡμέρης ἀπὸ ῥύπον,
δίς· ἄλλοτε τρίς· καὶ μύροις ἀλείφεται·
ἀεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ·
βαθεῖαν ἀνθέμοισιν ἐσκιασμένην·
καλὸν μὲν οὖν θέαμα τοιαύτη γυνὴ,
ἄλλοισι· τῷ δ' ἔχοντι γίνεται κακὸν,
ἢν μή τις ἢ τύραννος, ἢ σκηπτοῦχος ᾖ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται.
Τὴν δ' ἐκ πιθήκου· τοῦτο δὴ διακριδὸν.
Ζεὺς ἀνδράσι μέγιστον ὤπασεν κακόν.
αἴσχιστα μὲν πρόσωπα· τοιαύτη γυνὴ
εἶσιν δι' ἄστεος πᾶσιν ἀνθρώποις γέλως.
ἐπ' αὐχένα, βραχεῖα κινεῖται μόγις.
ἄπυγος· αὐτόκωλος· ἆ τάλας ἀνὴρ,
ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται.
ὥσπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει.
οὐδ' ἄν τιν' εὖ ἔρξειεν, ἀλλὰ τοῦθ' ὁρᾷ,
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται.
ὅκως τι, χ' ὡς μέγιστον ἔρξειεν κακόν.
Τὴν δ' ἐκ μελίσσης, τήν τις εὐτυχεῖ λαβών.
κείνῃ γὰρ οἴῃ μῶμος οὐ προσιζάνει.
θάλλει δ' ὑπ' αὐτῆς κἀπαύξεται βίος.
φίλη δὲ σὺν φιλεῦντι γηράσκει πόσει.
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος.
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται

πάσησι. θείη δ' ἀμφιδέδρομεν χάρις,
οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη,
ὅκου λέγουσ' ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσι χαρίζεται
Ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
τὰ δ' ἄλλα φῦλα ταῦτα μηχανῇ Διὸς,
ἔστι τε πάντα καὶ παρ' ἀνδράσι μένει,
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησε κακόν.
γυναῖκας. ἤν τι καὶ δοκῶσιν ὠφελεῖν,
ἔχοντι τῷ μάλιστα γίνεται κακόν.
οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ὅστις σὺν γυναικὶ πέλεται,
οὐδ' αἶψα λιμὸν οἰκίης ἀπώσεται.
ἐχθρὸν συνοικητῆρα δυσμενέα θεῶν.
ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ
κατ' οἶκον, ἢ θεοῦ μοῖραν, ἢ ἀνθρώπου χάριν.
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίαν
ξεῖνον μολόντα προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη.
κεχηνότος γὰρ ἀνδρὸς, οἱ δὲ γείτονες
χαίρουσ' ὁρῶντες καὶ τὸν, ὡς ἁμαρτάνει.
τὴν ἣν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται.
ἴσην δ' ἔχοντες μοῖραν οὐ γινώσκομεν,
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησε κακὸν,
καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδην,
ἐξ οὗ τε, τοὺς μὲν ἀΐδης ἐδέξατο,
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους.

Δημοκρίτου. Γ γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.

Γαΐου ὑπὲρ Λουκίλλης. Ε ὑπάγωγον γάρ ἐστιν εἰς πίστιν γυνή, καὶ μάλιστα ὅταν τὸ ἀτυχεῖν προσῇ.

Ayuntamiento de Madrid

# ΓΑΜΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ.

## ΛΟΓΟΣ. οβ'.

Χαλεπὴ λέγω σοι καὶ πρόσαντης ὦ τέκνον, Ἀναξαν-
ὁδός ἐστιν, ὡς τὸν πατέρ' ἀπελθεῖν οἴκαδε δρίδου.
παρ' ἀνδρὸς, ἥτις ἐστὶ κοσμία γυνή.
ὁ γὰρ δίαυλος ἐστὶν αἰσχύνην ἔχων.
Οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ Εὐριπίδου
δοῦναι χαλινοὺς, οὐδ' ἀφεῖντ' ἐᾶν κρατεῖν.
πιστὸν γὰρ οὐδέν ἐστιν. εἰ δέ τις κυρεῖ
γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.
Μὴ ὄμμασι τὸ σῶμα λαμπρύνειν θέλε. Ἀντιφάνους
ἔργοις δὲ καθαροῖς, καὶ τρόποις τὴν καρδίαν.
Ἀλλ' οὔποτ' οὔποτ' οὐ γὰρ εἰσάπαξ ἐρῶ. Εὐριπίδου
χρὴ τοὺς γε νοῦν ἔχοντας οἷς ἐστὶ γυνὴ,
πρὸς τὴν ἐν οἴκοις ἄλοχον ἐς φοιτᾶν ἐᾶν
γυναῖκας, αὗται γὰρ διδάσκαλοι κακῶν.
ἡ μέν τι κερδαίνουσα συμφθείρει λέχος.
ἡ δ' ἀμπλακοῦσα, συννοσεῖν αὐτῇ θέλει.
πολλαὶ δὲ μαργότητι κἀντεῦθεν δόμοι,
νοσοῦσιν ἀνδρῶν, πρὸς τὰ δ' εὖ φυλάσσετε,
κλείθροισι καὶ μοχλοῖσι δωμάτων πύλας,
ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι,
δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.
Τίσασθε τήνδε. καὶ γὰρ ἐνταυθοῖ νοσεῖ
τὰ τῶν γυναικῶν. οἱ μὲν ἢ παίδων πέρι,
ἢ συγγενείας οὕνεκ' οὐκ ἀπώλεσαν
κακὴν λαβόντες. εἶτα δ' οὖ τὸ τ' ἄδικον
πολλαῖς ὑπερρύηκε καὶ χωρεῖ πρόσω.

Ayuntamiento de Madrid

ὡς ἐξίτηλος ἡ ἀρετὴ καθίσταται.

Ναυμαχίου Ε"

ςω σοι πόσις οὗτος ὃν αὖ κρίνωσι τοκῆες.
καὶ μὲν ἐὴν πινυτός, σὺ μακαρτάτη. εἰ δὲ καὶ ἄλλως
ἀνέρα μοιρήσαιο, φέρῃς καὶ τοῦτον ἀνάγκῃ.
ἀλλ' ἣν μέν τις σοι πεπνυμένος ὅττι κεν εἴπῃ,
πείθεο· μηδ' ἔστω βίος ἄνδιχα· γείνεο δ' αὐτῷ
μειλιχίη μᾶλλον, ὅταν περ κῆδος ἱκάνῃ,
ἀνδρὶ γὰρ ἀχνυμένῳ τι παραίφασίς ἐστιν ἄκοιτις.
λεῖπε δὲ οἱ τὰ θύρηφι· τὰ καὶ δύναται πονέεσθαι.
σοὶ δ' οἰκωφελίη μελέτω· μέγαρόν τε φυλάσσειν.
μηδέ μιν ἐξερέαινε, τὰ μὴ θέμις ἐστὶ γυναῖκας,
ἴδμεναι. εἰ δ' αὐτὸς ἐθέλει συμφράδμονα θέσθαι,
σύνθεο μὲν τάχα μύθῳ· ἀμείβεο δ' ὅττι σὺν αὐτῷ
φραζομένη. καὶ μηδὲν ὑπίσχεο· μηδὲ κελεύειν,
σῇ ῥέξειν ἰσότητι, τὸ γὰρ τέλος ἐστὶν ἀφαυρόν.
κυδάλιμος πινυτή, πόσις ἄρτιος. οὐδέ τ' ἐκείνῃ
δεύτερος ἀθρήσει, λεχέων ἀπογυμνωθεῖσαν.
πρῶτα μὲν ἀφραίνοντος ἀνέχετο, καὶ γὰρ ἀνάγκη.
πολλάκι καὶ νοῦσον ἀνάσχεο κηδομένη περ.
ἴσχεο δ' ἐν στέρνοισι τὰ σὰ κήδεα, μὴ δ' ἀγόρευε
πᾶσιν ὅσα τρήσσει. μὴ δ' αἴνεε πάντα δοκοῦσι.
μουνὴ δ' ἀφραδέοντα πινυσσέμεν, ἀλλὰ κατ' οὖσαν.
καὶ πινυτὸν δεδάηκ' ἐρεθιζέμεν ἀνέρα λώβη.
πολλάκι δ' ἤπιος ἄνδρα καὶ ἄφρονα μῦθος ἔθελξεν.
εἰ δ' ὀλοαῖς ἑτέροισιν ἐφεπόμενος κακὸς εἴη,
μὴ σὺ μὲν ἀντιβίην κείνου τέκος ἐς ἔριν ἔλθῃς.
ἀλλ' ἑτάροις ὥρμωε μετὰ σφίσι τεύχεα βάλλειν.
ῥηϊδίην δ' ὁδὸς ἥδε διακεῖναι φιλότητα
λευγαλέην. ἑτέροισι δὲ φίλον ἀγαθοῖσι γενέσθαι,
σῇ πινυτῇ. τίς γάρ κεν ἑκὼν φίλον ἄφρονα θεῖτο.
καὶ σὺ μὲν ὡς φίλον ἄνδρα καὶ ἀφενέως ἀγάπαζε.
γνώτω δ' ἀμφαδίην καὶ σὸς πόσις, ὅττι κε τέκνα
ἐκθυμοῦ φιλέῃς. ἐπεὶ οὔτι γε τοῖος ἐτύχθη
οἷς ἔχειν φιλότητα καὶ ἤθεα πιστὰ δαῆναι;

Ayuntamiento de Madrid

παρθενική. σὺ δ' ἄκουε. τά σε χρὴ πάντα φυλάσσειν.
μήτε φιλομμειδὴς μάλα γίνεο, μήτε κατηφής.
μήτ' ἔσο πάμπαν ἀεργὸς, ἄλις δ' ἔχε καὶ πόνον ἔργον.
μήτε κακὴ δμώεσι τεοῖς ἔσο· μήτε μάλ' ἐσθλὴ, φαίνετο,
ῥηΐτεροι γὰρ ἀεί που πήματα φέρονται.
θαρσεῖ δεσποτῶν μάλ' ἐπικρατέουσιν ἄνακτες.
ὀθνείων φιλότητας ἀναίνεο· πρὶν καὶ ἀπ' ἄλλων
ὠδίνης ἐτύμως μελεδήματα καὶ νόον αὐτῶν.
μήτε γραῦν ποτε σοῖσι κακὴν δέξαιο μελάθροις.
πολλῶν γρῆες ἔπερσαν εὔκτιτα δώματα φωτῶν.
μηδέ μιν ἀκριτόμυθον ἑταιρίσσαιο γυναῖκα.
κεινὰ κακοὶ φθείρουσι γυναικῶν ἤθεα μῦθοι.
μή σύ ποτε χρυσῷ περιμαίνεο, μήτ' ἐπὶ δειρῇ
πορφυρέην ὑάκινθον ἔχοις, ἢ χλωρὸν ἴασπιν.
τοῖς ἐπιφυσιόωσι δαΐφρονες, ἀλλὰ σὺ κόσμον
παρθένε τὴν σὴν μὴ δεύεο, μηδὲ κάτοπτρον.
χερσὶ διακρίνουσα τὴν ἀλλάζεο μορφὴν,
μηδὲ κόμης πέρι ἀλλὰ πολυσχιδέας πλέκε σειρὰς,
μηδὲ μέλαινε τεοῖσιν ὑπὸ βλεφάροισιν ὀπωπὰς,
οὐ γὰρ θηλυτέρης δέμας ὤπασεν ἡμιτέλεστον
μορφὴν, ὄφρα καὶ ἄλλα περὶ χροῒ τεχνήσαιντο.
πῶς δ' ἂν κούρα δύναιο δαήμονι φωτὶ φανῆναι.
θνητὸν ἐφημερίην κομιδὴν χρόα ποικίλλουσα.
ἐξ ἑτέρης ἑτέρην σε, καὶ ἄλλην ἄλλοτε λεύσσω
φαινομένην πολλῇσι μίαν μορφῇσι γυναῖκα.

Τί φὴς λαθεῖν ζητῶν τι περὶ γυναῖκα. Ἀντιφά-
ἐρεῖς τὸ πρᾶγμα; καὶ τί τοῦτο διαφέρει, νους.
ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι.

Μοχθοῦμεν ἄλλως θῆλυ φρουροῦντες γένος, Εὐριπίδου
ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν εὔοδος.
τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον.

Τοὺς τῆς γαμετῆς ὅρους ὑπερβαίνεις γύναι Μενάνδρου
διὰ τὴν αὐλὰν λίαν, πέρας γὰρ αὔλιος θύρα
ἐλευθέρᾳ γυναικὶ νενόμισ' οἰκίας.

Ayuntamiento de Madrid

τὸ δ' αὖθι διώκειν, εἴς τε τὴν ὁδὸν φέρειν,
ἔπι λοιδορουμένῃ κοινὸς ἔστεργον ῥώδη.
Ἔνδον μένουσαν τὴν γυναῖκα εἶναι χρεὼν
ἐσθλήν, θύρασι δ' ἀξίαν τοῦ μηδενός.
Γυναικὶ δ' ὄλβος αὖ πόσι στέργον τ' ἔχῃ.
**Σοφοκλέ.** Σύγνωτε κἀνάσχεσθε σιγῶσαι, τὸ γὰρ
γυναιξὶν αἰσχρὸν ἐν γυναιξὶ χρὴ στέργειν.
**Εὐριπίδου** Τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γάμον
φρουροῦντας· αἱ γὰρ εὖ τεθραμμέναι πλέον
σφάλλουσιν οἴκους τῶν παρημελημένων.
Οὐδὲν γὰρ καλὸν δυοῖν γυναικοῖν ἄνδρα ἕνα ἡνίας ἔχειν
ἀλλ' εἰς μίαν βλέποντες εὐναίαν κύπριν,
στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέλει.
**Φιλήμονος** Ἀγαθῆς γυναικός ἐστιν ὦ Νικοστράτη,
μὴ κρεῖττον' εἶναι τἀνδρὸς ἀλλ' ὑπήκοον
γυνὴ δὲ νικῶσ' ἄνδρα κακόν ἐστι μέγα.
**Εὐριπίδου** Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρείᾳ γύναι
ζήτει παρελθεῖν, τῶν κακῶν γὰρ μητέρων
φεύγειν τρόπους χρὴ τέκνα, οἷς ἔνεστι νοῦς.
Οὐ χρὴ 'πὶ μικροῖς μεγάλα πορσύνειν κακά.
οὐδ' εἰ γυναῖκες ἐσμὲν ἀτηρὸν κακὸν
ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσει.
Τὰ μὲν ἄλλα δεύτερα πάσχει γυνή.
ἀνδρὸς δ' ἁμαρτάνουσ' ἁμαρτάνει βίον.
Καὶ μὴν ἴσον τ' ἀνήρ τε καὶ γυνὴ σθένει
ἀδικουμένη πρὸς ἀνδρός, ὡσαύτως ἀνὴρ
γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων.
καὶ τῷ μὲν ἔστιν ἐν χεροῖν μέγα σθένος,
τῇ δ' ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα
οὔκουν δίκαιον τοῖς ἐμοῖς ἔμ' ὠφελεῖν.
Κακῶν γυναικῶν εἴσοδοι μ' ἀπώλεσαν.
Αἰνῶ· διδάξαι δ' ὦ τέκνον σε βούλομαι
ὅταν μὲν ἧς παῖς, μὴ πλέον παιδὸς φρονεῖν.
ἐν παρθένοισι δὲ, παρθένου τρόπους ἔχειν.

Ayuntamiento de Madrid

ὅταν δ᾽ ὑπ᾽ ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς,
τὰ δ᾽ ἄλλ᾽ ἀφεῖναι μηχανήματ᾽ ἀνδράσιν.
Μ ἢ γαμεῖν γὰρ, ἂν δ᾽ ἅπαξ λάβῃς. φέρειν, Μενάνδρου
μύσαντα πολλὴν προῖκα. καὶ γυναῖκα δεῖ
ἐκπυνθάνεσθαι τἀρσένων δ᾽ ἡμᾶς σέθεν
τὸ μὲν μέγιστον, οὔποτ᾽ ἄνδρα χρὴ σοφὸν,
λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων.
ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς
ἐν δ᾽ ἀφθόνοισι τοῖς δ᾽ ἀναστροφωμένη,
βλέπουσά τ᾽ εἰς πᾶν καὶ παροῦσα πανταχοῦ,
τὴν ὄψιν ἐμπλήσασά τ᾽ ἀπήλλακται κακῶν.
τό τ᾽ ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον.
ὅστις δὲ μοχλοῖς καὶ διὰ σφραγισμάτων
σώζει δάμαρτα δ᾽ ἀνδρεῖ δὴ δοκῶν σοφὸν,
μάταιός ἐστι, καὶ φρονῶν οὐδὲν φρονεῖ.
ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ᾽ ἔχει,
θᾶσσον μὲν οἰστοῦ καὶ πτεροῦ χωρίζεται.
λάθοι δ᾽ ἂν ἄργου τὰς πυκνοφθάλμους κόρας
καὶ πρὸς κακοῖσι τοῦτο δὴ μέγας γέλως.
ἀνήρ τ᾽ ἀχρεῖος κ᾽ ἡ γυνὴ διοίχεται.
Σ ἴγα πρὸς ἄνδρα, μή τιν᾽ αἰσχύνην λάβω Εὐριπίδου
διακονοῦσα κρυπτὰ καὶ βολῇ λόγος.
οὐχ ἧπερ ἄλλον ἡμεῖς ἐξελίσσομεν,
τὰ γὰρ γυναικῶν, δυσχερῆ πρὸς ἄρσενας
κἂν ταῖς κακαῖσιν ἀγαθαὶ μεμιγμέναι
μισούμεθ᾽, οὕτω δυστυχεῖς πεφύκαμεν.
Α ὑπὴ δὲ πάντα συμφέρουσ᾽ ἰάσσενι.
ἥπερ μεγίστη γίνεται σωτηρία.
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
Θ εανὼ ἐρωτηθεῖσα ἡ πυθαγόρειος, πῶς ἂν ἔνδοξος ἔσται, ἔφη. ἱστὸν ἐποιχομένη καὶ ἐμὸν λέχος ἀντιόωσα.
Δ εῖ τὴν ἐκ τῆς οἰκίας ἐκπορευομένην, ἐν τοιαύτῃ καταστάσει εἶναι τῆς ἡλικίας. ὥστε τοὺς ἀπολιπόντας πυνθάνεσθαι, μὴ τίνος ἐστὶ γυνὴ, ἀλλὰ τίνος μήτηρ. Ὑπερείδου

Ayuntamiento de Madrid

Τοὺς μὲν πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς γυναικὶ καλλωπισμοὺς ὅπως βούλοιτο χρὴ γίγνεσθαι. τοὺς μέν τοι περὶ τὰς ἐξόδους, οὐκέτι πρὸς τὸν ἄνδρα, ἀλλὰ πρὸς τοὺς ἑτέρους.

Φοβητέον οὐκ ἀνδρὸς ἀπειλὴν, ἀλλὰ νόμον φωνήν.

Ἡροδότου. Ἅμα δὲ χιτῶνι ἐκδυομένῳ, συνεκδύεται καὶ τὴν αἰδῶ γυνή.

Ἐπιχάρμου. Σώφρονος γυναικὸς ἀρετὰ, τὸν συνόντα μὴ ἀδικεῖν ἄνδρα.

Δημοκρείτου. Κόσμος ὀλιγομυθίη γυναικί. καλὸν δὲ καὶ κόσμου λιτότης.

Ὑπὸ γυναικὸς ἄρχεσθαι, ὕβρις ἀνδρὶ ἐσχάτη.

Ἱπποκράτους. Ἀλλ᾽ ὅμως χρῄζει γυνὴ σωφρονίζοντος, ἔχει γὰρ φύσει καὶ τὸ ἀκόλαστον ἐν ἑαυτῇ. ὅπερ εἰ μὴ καθ᾽ ἡμέρην ἀνακόπτοιτο, ὡς τὰ δένδρα καθυλομανεῖ.

Εὐσεβίου. Γάμου ἀείση ξυμφωνίη, ἀμφοτέρους σωφροσύνην ἀσκέειν.

Οὔτε ὁρᾶν, οὔτε ὁρᾶσθαι γυναῖκα. καὶ ταῦτα ἐξησκημμένην πρὸς κάλλος, ὠθίζεται γὰρ ἀμφότερα, πρὸς ἃ μὴ δεῖ.

Πλουτάρχου ἐκ τῶν γαμικῶν παραγγελμάτων. Ὁ Πλάτων φησὶν, εὐδαίμονα καὶ μακαρίαν εἶναι πόλιν. ἐν ᾗ τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμὸν ἥκιστα φθεγγομένων ἀκούουσι, διὰ τὸ κοινοῖς ὡς ἔνι μάλιστα χρῆσθαι τοῖς ἀξίοις σπουδῆς τοὺς πολίτας. πολὺ δὲ μᾶλλον ἐν γάμῳ δεῖ τὴν τοιαύτην φωνὴν ἀνῃρῆσθαι.

Αὕτη τοίνυν καὶ χρημάτων κοινωνία προσήκει μάλιστα τοῖς γαμοῦσιν. εἰς μίαν οὐσίαν καταχεαμένοις, καὶ ἀναμίξαντας. μὴ τὸ μέρος ἴδιον, καὶ τὸ μέρος ἀλλότριον. ἀλλὰ πᾶν ἴδιον ἡγεῖσθαι, ὥσπερ τὸ κρᾶμα καὶ τοῦ ὕδατος μετέχον πλείονος, οἶνον καλοῦμεν. οὕτω τὴν οὐσίαν δεῖ τὸν οἶκον τοῦ ἀνδρὸς λέγεσθαι, κἂν ἡ γυνὴ πλέον ὃν συμβάλληται.

Ὁ Ῥωμαῖος ὑπὸ τῶν φίλων νουθετούμενος, ὅτι σώφρονα καὶ πλουσίαν, καὶ ὡραίαν ἀπεπέμψατο, τὸ κάλλιον αὐτῆς προτείνας, καὶ γὰρ τοῦτο ἔφη καλὸν ἰδεῖν καὶ κοινόν, ἀλλ᾽ οὐδεὶς οἶδεν ὅπου με θλίβει. δεῖ τοίνυν μὴ προικὶ μηδὲν μηδὲ κάλλει τὴν γυναῖκα πιστεύειν, ἀλλ᾽ ἐν οἷς ἅπτεται μάλιστα τοῦ ἀνδρὸς, ὁμιλίᾳ καὶ ἤθει, καὶ συμπεριφορᾷ. ταῦτα μὴ σκληρὰ, μηδὲ ἀνιῶντα καθ᾽ ἡμέραν, ἀλλ᾽ εὐάρμοστα, καὶ ἄλυπα, καὶ προσφιλῆ παρέχειν.

Ὥσπερ οἱ ἰατροὶ, τοὺς ἐξ αἰτιῶν ἀδήλων, καὶ κατὰ μικρὸν συλλεγομένων γενομένους πυρετοὺς, μᾶλλον δεδοίκασιν, ἢ τοὺς ἐμφανεῖς καὶ μεγάλας προφάσεις ἔχοντας, οὕτω τὰ λανθάνοντα τοὺς πολλοὺς, μικρὰ καὶ συνεχῆ καὶ καθημερινὰ προσκρούσματα γυναικὸς καὶ ἀνδρὸς, μᾶλλον διΐστησι, καὶ λυμαίνεται τὴν συμβίωσιν.

Ἀμήχανον οὖν τι πρᾶγμα γίνεται γαμετὴ γυνὴ καὶ νόμιμος, ἀεὶ ἐν ἑαυτῇ

πάντα

Ayuntamiento de Madrid

πάντα σεμνὴ, καὶ προῖκα, καὶ γένος, καὶ φάρμακον, καὶ τὸν κεστὸν αὐτὸν, ἤθει καὶ ἀρετῇ κατεργάσηται τὴν εὔνοιαν.

Κόσμος ἐστὶν ὡς ἔλεγε κράτης, τὸ κοσμοῦν. κοσμεῖ δὲ, τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν. ποιεῖ δὲ τοιαύτην, οὔτε χρυσὸς, οὔτε σμάραγδος, οὔτε κόκκος. ἀλλ᾽ ὅσα σεμνότητος. εὐταξίας. αἰδοῦς ἔμφασιν περιτίθησι.

Καθάπερ ὁ φωκίων τοῦ ἀντιπάτρου πρᾶξιν αὐτῷ προστάττοντος, οὐκ οὖσαν δὲ πρέπουσαν εἶπεν, οὐ δύνασαί μοι καὶ φίλῳ καὶ κόλακι χρῆσθαι, οὕτω λογίζεσθαι παρὰ τῆς σώφρονος, καὶ αὐστηρᾶς γυναικὸς, οὐ δύναμαι καὶ ὡς γαμετῇ καὶ ὡς ἑταίρᾳ συνεῖναι.

Ἡ θεανὼ παρέφηνε τὴν χεῖρα περιβαλλομένη τὸ ἱμάτιον. εἰπόντος δέ τινος καλὸς ὁ πῆχυς, ἀλλ᾽ οὐ δημόσιος ἔφη. δεῖ δὲ μὴ μόνον πῆχυν, ἀλλὰ μηδὲ τὸν λόγον δημόσιον εἶναι τῆς σώφρονος. καὶ τὴν φωνὴν, ὡς ἀπογύμνωσιν αἰδεῖσθαι καὶ φυλάττεσθαι πρὸς τοὺς ἐκτὸς, ὁρᾶται γὰρ ἐν αὐτῇ καὶ πάθος, καὶ ἦθος, καὶ διάθεσις τῆς λαλούσης.

Τὴν μὲν ἠλείων ὁ φειδίας ἀφροδίτην ἐποίησε χελώνην πατοῦσαν. οἰκουρείας σύμβολον ταῖς γυναιξὶ καὶ σιωπῆς. δεῖ γὰρ ἢ πρὸς τὸν ἄνδρα λαλεῖν, ἢ διὰ τοῦ ἀνδρὸς, μὴ δυσχεραίνουσαν, εἰ δι᾽ αὐλητείας γλώττης ὥσπερ αὐλητὴς φθέγγεται.

Καὶ γὰρ ὁ ῥωμαῖος νομοθέτης, ἐκώλυσε δῶρα διδόναι καὶ λαμβάνειν παρ᾽ ἀλλήλων τοὺς γεγαμηκότας. οὐχ ἵνα μηδενὸς μεταλαμβάνωσιν, ἀλλ᾽ ἵνα πάντα κοινὰ νομίζωσιν.

Τοῖς παρὰ τὸν κῦρον ἕλλησι παρήγγειλαν οἱ στρατιῶται, τοὺς πολεμίους, ἐὰν μὲν βοῶντες ἐπίωσι, δέχεσθαι μετὰ σιωπῆς. ἐὰν δ᾽ ἐκεῖνοι σιωπῶσιν, αὐτοὺς μέγα βοήσαντας ἐξελαύνειν. αἱ δὲ νοῦν ἔχουσαι γυναῖκες ἐν ταῖς ὀργαῖς τῶν ἀνδρῶν κεκραγότων μὲν, ἡσυχάζουσι. σιωπῶντας δὲ, προσλαλοῦσαι καὶ παραμυθούμεναι πραΰνουσιν.

Ἡ ἑρμιόνη δοκεῖ τι λέγειν, ἀληθὲς λέγουσα, κακῶν γυναικῶν, εἴσοδοί μ᾽ ἀπώλεσαν. τοῦτο δὲ, οὐχ ἁπλῶς γινόμενόν ἐστιν. ἀλλ᾽ ὅταν αἱ πρὸς τοὺς ἄνδρας διαφοραὶ καὶ ζηλοτυπίαι ταῖς τοιαύταις γυναιξὶ, μὴ τὰς θύρας μόνον, ἀλλὰ καὶ τὰς ἀκοὰς οἴγωσι. τότε οὖν δεῖ μάλιστα τὴν νοῦν ἔχουσαν, ἀποκλείειν τὰ ὦτα, καὶ φυλάττεσθαι τὸν ψιθυρισμὸν, ἵνα μὴ πῦρ ἐπὶ πῦρ γένηται, καὶ πρόχειρον ἔχειν τὸ τοῦ φιλίππου, λέγεται γὰρ ἐκεῖνος ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τοὺς ἕλληνας, ὡς εὖ πάσχοντας. καὶ κακῶς αὐτὸν λέγοντας, εἰπεῖν. τί οὖν ἂν καὶ κακῶς ποιῶμεν αὐτούς. ὅταν



Ayuntamiento de Madrid

ρου διαβάλλουσαι λέγωσιν, ὅτι λυπεῖ σε φιλοῦσαν ὁ ἀνὴρ καὶ σωφρονοῦσαν. τί οὖν ἂν καὶ μισεῖν αὐτὸν ἄρξωμαι καὶ ἀδικεῖν.

Θεανὼ ἐρωτηθεῖσα ποσταία γυνὴ ἀπ᾽ ἀνδρὸς καθαρεύει. ἀπὸ μὲν τοῦ ἰδίου εἶπε, παραχρῆμα. ἀπὸ δὲ τοῦ ἀλλοτρίου, οὐδέποτε.

Η Φίλωνος γυνὴ ἐρωτηθεῖσα, διὰ τί μόνη τῶν ἄλλων ἐν συνόδῳ οὐ φορεῖ χρυσοῦν κόσμον, ἔφη ὅτι αὐτάρκης κόσμος μοι ἐστὶν ἡ τοῦ ἀνδρὸς ἀρετή.

Θεανὼ ἐρωτηθεῖσα, τί πρέπον εἴη γυναικί, τὸ τῷ ἰδίῳ ἔφη ἀρέσκειν ἀνδρί.

Δημάδης εἶπε τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶναι.

Ἰαμβλίχου. Οὐκοῦν καὶ παρὰ τὸ ἄρχειν μὲν τὸν ἄρρενα, ἄρχεσθαι δὲ τὴν θήλειαν. ὁμογνωμονήσουσι. τὸ δὲ σχῆμα τῆς ἀρχῆς ἔστω, οὐχ οἷον τὸ δεσποτικόν, θεραπεῦον τὸ τοῦ κρείττονος συμφέρον. οὐδ᾽ οἷον τὸ τῶν τεχνῶν, μόνου τοῦ ἥττονος ἐπιμελούμενον. ἀλλ᾽ οἷον τὸ πολιτικὸν κηδόμενον ἐξίσου τοῦ κοινοῦ συμφέροντος.

Σωκράτους. Τοὺς μὲν ἄνδρας, τοῖς τῆς πόλεως νόμοις δεῖ πείθεσθαι· τὰς δὲ γυναῖκας, τοῖς τῶν συνοικούντων ἀνδρῶν ἤθεσι.

Δίωνος ἐκ τοῦ οἰκονομικοῦ. Εὐσέβεια γυναικεία, ὁ πρὸς τὸν ἄνδρα ἔρως· γέλως δὲ συνεχὴς καὶ μέγας, θυμοῦ κάκιον. διὰ τοῦτο μάλιστα ἑταίραις ἀκμάζων καὶ παισὶν τοῖς ἀφρονεστέροις. ἐγὼ δὲ κοσμεῖσθαι πρόσωπον ὑπὸ δακρύων ἡγοῦμαι μᾶλλον, ἢ ὑπὸ γέλωτος. δάκρυσι μὲν γὰρ ὡς ἐπὶ τὸ πλεῖστον, σύνεστι καὶ μάθημά τι χρηστόν. γέλωτι δὲ, ἀκολασία. καὶ κλέων μὲν οὐδεὶς προυδέξατο ὑβριστὴν, γελῶν δὲ, ηὔξησεν αὐτοῦ τὰς ἐλπίδας.

Φιντύος τῆς Καλλικράτεος θυγατρὸς Πυθαγορείας. ἐκ τοῦ περὶ γυναικὸς σωφροσύνης.

Τὸ μὲν ὅλον, ἀγαθὰν δεῖ ἦμεν καὶ κοσμίαν. ἄνευ γὰρ ἀρετᾶς, οὐδέποκα γένοιτό τις τοιαύτα. ἑκάστη γὰρ ἀρετὰ περὶ ἕκαστον γινομένα, τὸ αὐτᾶς δεκτικὸν ἀποδίδωσι σπουδαῖον. ἁ μὲν τῶν ὀπτίλων, τὼς ὀπτίλως. ἁ δὲ τᾶς ἀκοᾶς, τὰν ἀκοάν. καὶ ἁ μὲν ἵππω, τὸν ἵππον. ἁ δ᾽ ἀνδρὸς, τὸν ἄνδρα. οὕτω δὲ καὶ γυναικὸς, τὰν γυναῖκα. γυναικὸς δὲ μάλιστα ἀρετὰ, σωφροσύνα. διὰ γὰρ ταύτας, τὸν ἴδιον ἄνδρα καὶ τιμᾶν καὶ ἀγαπᾶν δυνασεῖται. πολλοὶ μὲν ἴσως δοξάζοντι, ὅτι οὐκ εὐάρμοστον γυναικὶ φιλοσοφεῖν. ὥσπερ οὐδ᾽ ἱππεύεν, οὐδὲ δαμαγορεῖν. ἐγὼ δὲ, τὰ μὲν, τινὰ νομίζω ἀνδρὸς ἦμεν ἴδια. τὰ δὲ, γυναικός. τὰ δὲ, κοινὰ ἀνδρὸς καὶ γυναικός. τὰ δὲ μᾶλλον ἀνδρὸς ἢ γυναικός. τὰ δὲ, μᾶλλον γυναικὸς, ἢ ἀνδρός. ἴδια μὲν ἀνδρὸς, τὸ στραταγέν. τὸ πολιτεύεσθαι. καὶ

Ayuntamiento de Madrid

δαμαγορεῖν. ἴδια δὲ γυναικὸς, τὸ οἰκουρεῖν, καὶ ἔνδον μένειν, καὶ ἐκδέχεσθαι, καὶ θεραπεύειν τὸν ἄνδρα. κοινὰ δὲ φαμὶ. ἀνδρείαν. δικαιοσύναν, καὶ φρόνησιν. καὶ γὰρ τὰς τοῦ σώματος ἀρετὰς, ἔχειν πρέπον καὶ ἀνδρὶ καὶ γυναικί. καὶ τὰς ψυχᾶς, ὁμοίως. καὶ ὡς ὑγιαίνειν τῷ σώματι ἀμφοτέροις ὠφέλιμον, οὕτως ὑγιαίνειν τᾷ ψυχᾷ. σώματος δὲ ἦμεν ἀρετὰς, ὑγίειαν, ἰσχὺν, εὐαισθησίαν. κάλλος. τὰ δὲ μᾶλλον, ἀσκεῖν καὶ ἔχειν οἰκεῖον ἐστί. τὰ δὲ, μᾶλλον γυναικί. ἀνδρότατα μὲν γὰρ καὶ φρόνασιν, μᾶλλον ἀνδρεί. καὶ διὰ τὰν ἕξιν τῶ σώματος, καὶ διὰ τὰν δύναμιν τᾶς ψυχᾶς. σωφροσύναν δὲ, γυναικί. διὸ δὴ περὶ σωφροσύνας παιδευομέναν γνωρίζειν, ἐπ' ὅσων τινῶν. καὶ ποίων τοῦτο τἀγαθὸν τᾷ γυναικὶ παραγίνεται. φαμὶ δὴ ἐκ πέντε τούτων. Πρᾶτον μὲν, ἐκ τᾶς περὶ τὰν εὐνὰν ὁσιότατός τε καὶ εὐσεβείας. Δεύτερον δὲ, ἐκ τῶ κόσμω τῶ περὶ τὸ σῶμα. Τρίτον, ἐκ τῶν ἐξόδων τῶν ἐκ τᾶς ἰδίας οἰκίας. Τέταρτον δ' ἐκ τῶ μὴ χρέεσθαι τοῖς ὀργιασμοῖς καὶ ματρωσμοῖς. Πέμπτον δ' ἐν τᾷ θυσίᾳ τᾷ πρὸς τὸ θεῖον εὐλαβέα ἦμεν καὶ μετρίαν. τούτων δὲ μέγιστον αἴτιον καὶ συνεκτικώτατον τᾶς σωφροσύνας, τὸ περὶ τὰν εὐνὰν ἦμεν ἀδιάφθορον, καὶ ἄμικτον θυραίω ἀνδρός. Πρᾶτον μὲν γὰρ ἁ τοῦτο παρανομοῖσα, ἀδικεῖ γενεθλίους θεοὺς, οἴκῳ καὶ συγγενείᾳ οὐ γνασίους ἐπικούρως, ἀλλὰ νόθους παρεχομένα. ἀδικεῖ δὲ τοὺς φύσει θεοὺς, οἷς ἐπομόσασα μετὰ τῶν αὐτᾶς πατέρων τε καὶ συγγενῶν συνελεύσεσθαι ἐπὶ κοινωνίᾳ βίω τε καὶ τέκνων γενέσει τε, κατὰ νόμον. ἀδικεῖ δὲ καὶ τὰν αὐτᾶς πατρίδα, μὴ ἐμμένουσα τοῖς ἐνδιατεταγμένοις. ἔπειτα ἐπὶ τούτοις ἀμπλακίσκειν. ἐφ' οἷς τὸ μέγιστον τῶν προστίμων, ὥρισται θάνατος, διὰ τὰν ὑπερβολὰν τῶ ἀδικήματος, ἔκθεσμον, καὶ ἀσυγγνωμονέστατον ἦμεν, ἀδοναῖς ἕνεκεν ἁμαρτάνειν, καὶ ὑβρίζειν. ὕβριος δὲ πέρας, ὄλεθρος. κἀκεῖνο δὲ χρὴ διαλογίζεσθαι, ὡς οὐδὲν καθάρσιον εὑρήσει τᾶς ἀμπλακίας ταύτας ἄκος, ὥστε ἐς ἱερὰ θεῶν καὶ βωμὼς ποτερχομέναν, ἦμεν ἁγνὰν καὶ θεοφιλατάν. ἐπὶ γὰρ ταύτᾳ τᾷ ἀδικίᾳ μάλιστα, καὶ τὸ δαιμόνιον ἀσυγγνωμότατον γίνεται. κάλλιστος δὲ κόσμος γυναικὸς ἐλευθέρας. πράττειν, εὖτ' εἶδος τὸ διὰ τῶν αὐτᾶς τέκνων ἐπιμαρτύρασθαι τὰν σωφροσύναν τὰν ποτὶ τὸν ἄνδρα. αἴκα τὸν τύπον τᾶς ὁμοιότατος ἐπιφέρωντι τῶ κατασπείραντος αὐτὼς πατρός. καὶ περὶ μὲν εὐνᾶς, οὕτως ἔχει. περὶ δὲ τῷ κόσμῳ τῶ περὶ τὸ σῶμα, δοκεῖ μοι οὕτω δεῖ λευχείμονα ἦμεν καὶ ἁπλοϊκὰν, καὶ ἀπερίσσευτον. ἐσεῖται δὲ τοῦτο. αἴκα μὴ διαφανέεσι, μηδὲ διαποικίλοις, μηδὲ ἀπὸ βεμβικὸς ὑφασμένοις



Ayuntamiento de Madrid

χρᾶται τοῖς περὶ τὸ σῶμα. ἀλλὰ μετρίοις καὶ λευκοχρωμάτοις. οὕτω γὰρ τὸ μᾶλλον κοσμεῖσθαι καὶ ῥυφλὴν καὶ καλλωπισμὸν φεύξεται. καὶ ζᾶλον οὐκ ἐμποιήσει μοχθηρὸν ταῖς ἄλλαις. χρυσὸν δὲ καὶ σμάραγδον ἁπλῶς μὴ περιτίθεσθαι. καὶ γὰρ πολυχρήματον, καὶ ὑπεραφανίαν ἐμφαῖνον ποτὶ τὰς δαμοτικάς. δεῖ δὲ τὰν εὐνομουμέναν πόλιν, ὅλαν αὐταν, δι' ὅλας τεταγμέναν, συμπαθέα τε καὶ ὁμοιόνομον εἶμεν. ἀπερύκεν δὲ καὶ δαμιουργὼς ἐκ τᾶς πόλιος τὼς ἐργαζομένως τὰ τοιαῦτα. χρώματι δὲ φαιδρύνεσθαι τὰν ποτῶπαν, μὴ ἐπακτῷ καὶ ἀλλοτρείῳ, τῷ δ' οἰκήῳ τῶ σώματος. δι' αὐτῷ τῶ ὕδατος ἀπολουομέναν. κοσμεῦ δὲ μᾶλλον αὐτὰν αἰσχύνᾳ. καὶ γὰρ τὸν συμβιῶντα καὶ αὐτὰν ἔντιμον παρέξεται. τὰς δὲ ἐξόδως ἐκ τᾶς οἰκίας ποιεῖσθαι τὰς γυναῖκας τὰς δημοτελέας θυηπολούσας τῷ ἀρχαγέτᾳ θεῷ τᾶς πόλιος ὑπὲρ αὐτᾶς καὶ τῶ ἀνδρὸς, καὶ τῶ παντὸς οἴκω. ἔπειτα μήτε ὀρφνᾶς ἀνισταμένας μήτε ἑσπέρας, ἀλλὰ πλαθούσας ἀγορᾶς καταφανέα γινομέναν τὰν ἔξοδον ποιεῖσθαι, θεωρίας ἕνεκά τινος, ἢ ἀγορασμῶ οἰκήω μετὰ θεραπαίνας μιᾶς, ἢ κατὸ πλεῖστον δύο εὐκόσμως χειραγωγουμέναν. τὰς δὲ θυσίας, λιτὰς παρεισάμεν τοῖς θεοῖς. καὶ καττὰν δύναμιν. ὀργιασμῶν δὲ καὶ ματρωασμῶν τῶν κατ' οἶκον ἀπέχεσθαι, καὶ γὰρ ὁ κοινὸς νόμος ἀπερύκει τᾶς πόλιος ταύτας τὰς γυναῖκας ἐπιτελεῦ καὶ ἄλλως. καὶ ποτὶ μέθας καὶ ἐκστάσιας ψυχᾶς ἐπάγοντι ταὶ θρησκεῦσιες αὗται. τὰν δ' οἰκοδέσποιναν καὶ προκαθεζομέναν οἴκω, δεῖ σώφρονα καὶ ἀνεπαφον ἦμεν.

Νικοστράτου. E

στέλλεσθω δὲ ἐσθῆτα, ἢ ὡς πάτριον αὐτῇ, ἢ ὡς ἥδιστόν σοι. χρυσὸν δὲ ἣν μὲν ἔχῃ, ὅτι ἐν αὐτῇ ὀνίνησιν οὐδὲ περικειμένην. ὁμοίως γὰρ ἂν σοι ἀρέσαι καὶ ἔχουσα καὶ μὴ ἔχουσα. ἣν δὲ μήτε ἐκείνη οἴκοθεν ἐπιφέρηται, μήτε σὺ ἔχῃς ὁπόθεν χαλκεύσῃς, ἐπιθυμίᾳ δὲ ἢ ὁ λόγος ἐνταῦθά σοι παρασκευαστέος ὁ πείθων περί τε χρυσίον καὶ περὶ κάλλους χρυσίον. ἢ ὡς ἄχθος ἂν εἴη μᾶλλόν περ ἢ κόσμος τῇ γε σώφρονι. ἐνίοτε δὲ τοῦτο αὐτὸ καὶ τὰς ἐπιβουλὰς ἤγειρε τῶν τε ἀκολάστων ἐς τὰς γυναῖκας, τῶν τε λῃστῶν ἐς τὰ χρήματα. ἐπεὶ δὲ ἐνταῦθα τοῦ λόγου ἐσμὲν, οὗ καὶ χρυσὸς, κάλλος τι προσβαλέτω μοι, δοκῶ ἐρεῖν τε καὶ ὑποβαλεῖν πρᾶγμα, χρυσοῦ πολλῷ τιμαλφέστερον εἰ γὰρ μηδέν τι ὀκνήσας αὐτὴν, καὶ περὶ γυμνασίας ἔχειν ἀναπείσας, ἐνταῦθα εὕροις ἄν. καὶ οὐ πάλαι ἐπιθυμοῦμεν τὸν κόσμον τῷ σώματι, τοῦ μὲν γὰρ ὑγιαίνειν, οὐδὲν ἔμοιγε δοκεῖ ἄλλο τι περίθημα καὶ περιδέῤῥαιον κρεῖττον. πόῤῥω δ' ἂν εἴη καὶ τοῦ δεθῆναι γυνὴ ὑγιαίνουσα, καὶ ψιμυθίου. καὶ

ὑπὸ

ὑπὸ φθαλμῶν ὑπογραφῆς. καὶ ἄλλου χρώματος ζωγραφούντες, καὶ ἀφανίζοντος τὰς ὄψεις. τά γε μὴν γυμνάσια, ἅμα μὲν ἂν ἔξω γένοιτο ἐν περιπάτοις. τὰ δὲ ἔνδον παρὰ τὸν ἱστὸν ἰοῦσα, εὕροι ἄν τι πονῆσαι δυνάμενον, ἤ τι θέμενον. καὶ τοῦτο τὸ κάλλος τὸ ἀπὸ τῶν πόνων, οὐδὲν ὅ,τι ἤλεγξέ τε καὶ ἐβασάνισεν, οὔτε ἱδρὼς οὔτε δάκρυα. ὕπνος δὲ πόρρω ὢν τοῦ ἐλέγχειν, καὶ μᾶλλόν τι προστίθησι ταῖς τε ἐρρωμέναις. καὶ οὔπω λέγω ὅτι καὶ ταῦτα πάντα εἰς τὰ ἔγγονα ἀναφέρεται. καὶ τοιαῦτα ἐγένετο παιδία, ὁποία ποτ' ἂν ἡ γυνὴ καὶ λούσηται καὶ γυμνάσηται καὶ ἀμφιάσηται μάλα, καὶ μένει. μαλακοῖς τούτοις δή τα ἐντυγχάνοι. ἄρρενα δὲ καὶ ῥωμαλέα, ἱερὰ τῶν πόνων καὶ τῶν καμάτων. ἰοῦσα κυήσαι καὶ τέκοι, ἀλλ' ἐπεὶ καὶ πένητες ἄνθρωποι γαμοῦσι καὶ πολλοῖς ἄρα μετεμέλησε, καὶ τούτοις ὑποθήσομαι, ὡς ἂν εὐδαιμόνως διάγοιεν τὸν βίον. ὅστις μὲν ἐργάζεται καὶ ἀπὸ τῶν ὤμων ἀποζῇ, οὐδέπω δὲ θεραπείας ἱκανὰ καὶ τῇ γυναικὶ ἄλλῳ ἐργαζόμενος, οὗτος εἰ σφόδρα γυναικὸς ἐπιθυμεῖ, ἀγαθῇ ψυχῇ γαμείτω. ὅστις δὲ καὶ ἔτι μᾶλλον πένης ὤν, οὐ ταῦτα ὁρᾷ, ἀλλὰ κἀκεῖνα, ἐννοησάτω αὐτός, πόθεν ἂν θρέψαι τὴν γυναῖκα, τούτῳ δὲ οὐκέτι ῥάδιόν ἐστι τῷ ἀνθρώπῳ συμβουλεῦσαι γαμεῖν, ἢ γὰρ δὴ πολλάκις κλαύσεται ἡ γυνὴ τὴν ἀπορίαν. καὶ ἀναμνήσεται τοῦ κακοῦ ἐνίοτε ἐπιλελησμένον. καὶ ὑγιείας μὲν δὴ παρούσης, ταῦτα εὐκόλως ἐνεγκεῖν ἐστιν. ἐν δὲ νόσοις καὶ ταλαιπωρίαις τοῦ σώματος πένητα ὄντα τινά, δύο νόσω νοσεῖν ἐστι.

Μὴ λανθανέτω δέ σε ἡ γυνή. ἐσθῆτα μὲν μείζονα ἢ κατὰ τὴν εὐπορίαν ἔχουσα. ὑποδήματά τε, ὡς οὐδ' ὡς πολλοῦ ἄξια, ἀλλ' ἀπό τε τῶν ποδῶν μαντεύου. ὡς οὐδὲν ὑγιὲς ἐν τούτοις ἔνεστι. καὶ οὐδεῖ πρὸς ταῦτα, οὔτε μελάμποδος, οὔτε τερεσίου. ὃ δὲ τῶν φίλων μοί τις ἀπεμνημόνευσε τῶν γεγαμηκότων, καὶ τοῦτο δέ, τοιοῦτον ἦν. ἐν ὕπνῳ καὶ ἐν τῇ εὐνῇ μάλιστα οἱ ἄνδρες ἐξαπατώμεθα. φυλακτέον δέ, ἑσπέραν μὲν κολακείας προστίθει ἐκεῖνος. ἕωθεν δέ, θορύβους καὶ κραυγάς.

Ἀλλ' ἐγὼ περὶ σωφροσύνης πάλιν τοὺς οἰκέτας ἐθιστέον οὕτως. ὅπως ὁμιλεῖ μηδενὶ ἐξέστω αὐτῶν, πρὸς τὸ οὖς αὐτῇ διαλέγεσθαι λάθρα, ἐνίοτε δὲ καὶ σοῦ βλέποντος. οὐ γὰρ ἀκούειν τὸν ἄνδρα λυσιτελεῖ, ἄνισον καὶ ἄδικον, ἀλλ' ἐκείνῃ ταῦτα συμφέρει. ὁπότε δὲ ἐν οἰκίᾳ τὸ λάθρα διαλέγεσθαι ἀπήλλακται, πολλὴ ἐλπίς ἐστι. μὴ ἄν τινα τολμῆσαι τῶν θεραπόντων, μοιχικόν τινα τῇ δεσποίνῃ διακονήσασθαι, ἀκοῦσαι γὰρ ἀνάγκη τὸν δεσπότην, εἰ νόμος ἐστὶ πάντως φανερῶς διαλέγεσθαι. οἶδα μὲν οὖν καὶ ταῦτα ἅπαν-



Ayuntamiento de Madrid

τὰ ἰσχύοντα, πρὸς τὸ ποιῆσαί τινα βιοῦν σωφρόνως. ὅμως δὲ οὐδὲν τούτων
λυσιτελέστερον, ὡς λόγῳ διδάσκειν περὶ τοῦ ἀδικήματος τῆς μοιχείας. λε-
κτέον οὖν πρὸς αὐτὴν, τό, τε αἰσχρὸν καὶ τὸ ἀκόλαστον τῆς μοιχείας καὶ ἄ-
δικον, καὶ ὡς ἀδοξία μὲν ἐν γυναιξὶν, ἀδοξία δὲ ἐν ἀνδράσι. καὶ ὡς ὅ, τι
δή ποτε ἐστὶν ἡ πίστις ἐξ ἀνθρώπων, τοῦτο οἴχεται ἀπὸ σοῦ. ὃ δὲ ἔτι βαρύ-
τερον. τὸ μὴ μόνον νόθους γίνεσθαι παῖδας, ἀλλ᾽ εἶναι τούτους ἐξ ἀκολα-
σίας καὶ ὕβρεως γεγονότας. ταῦτα αὐτῇ λεκτέον, καὶ φοβείσθω τὸ ὄνομα
τῆς μοιχείας. εἴγε ταύτῃ μέλλει ζῆν, καὶ μὴ ἀποσφάττεσθαι. καὶ ταῦτα
οὕτω λεκτέον, ὑπερτείνοντά τε καὶ εἰδότα. ὡς πολὺ ἔτι ἀτοπωτέρων ἐρῶ-
σιν. οἵων σὺ ξένων νεανίσκων, ἀλλ᾽ οὐδὲ εἰπεῖν καλὸν, οἷον φασὶ τὴν πασι-
φάην ἐρασθῆναι θρέμματος. λεκτέον δὲ οὕτως εἰδότα. ὡς οὐδεμία μη-
χανὴ κρατῆσαι τῶν γυναικῶν. κἀκεῖνο. ὡς εἰσὶ πάντων τέχνας τε ἐξευρεῖν,
καὶ πλέξαι σοφώταται. εἰ δὲ ἀπιστεῖς, ἀναγίνωσκε τὰς τραγῳδίας ὁπόσα
ἐποίησαν ἢ ἐβουλεύσαντο γυναῖκες, ἐπιθυμίᾳ ξένων ἀφροδισίων. σωφρο-
σύνην μὲν ἂν ὧδε ἐξασκητέον. διδακτέον δὲ, ἃ διδάσκεσθαι χρὴ γυναῖ-
κα, καὶ μάλιστα τὴν σωφροσύνην αὐτῆς φυλάξει τὰ περὶ τὴν οἰκίαν, ὅπως
ἂν ἄριστα ἔθηκε, τὰ περὶ τοὺς οἰκέτας. ὅπως ἂν ἄριστα θεραπεύσηται τὰ
περὶ ὑμῶν αὐτῶν, ὅπως καὶ ἐν πολλῇ εἴη τε τιμῇ. τί μὲν γὰρ χρησότερον ἀν-
δρὶ, ἢ γυνὴ εὔνους, καὶ ὅσα χρὴ ἀνδρὶ ἐρωμένῳ εἰδυῖά τε καὶ διακονουμέ-
νη. τί δαὶ ἄλλο οὕτω περισπούδαστον ἂν εἴη, νοσοῦντα αὐτὴν θεραπεύοι. καὶ
εἴτε ἀγαθὴ εἴη καὶ βελτίστη. οὐδὲν ἄλλο ἐγὼ κτῆμα οἰκίας ἀγαθόν τε καὶ
πολλοῦ λόγου ἄξιον εὑρίσκω. ἀλλὰ καὶ ἄξιόν γε, τὴν γυναῖκα οὕτως ἔχειν,
οὐ γὰρ ἄλλῳ τινὶ ἢ τῇ γυναικὶ νυκτός τε καὶ μεθ᾽ ἡμέραν ἀνὴρ προσα-
ναπαύεται, καὶ πρὸς ἄλλον οὐδένα τῶν ἐν τῇ πόλει τὰ ἀ-
πόρρητα ὅσα πέρ ἐστιν αὐτῷ διαλέγεται, ἀλλὰ μόνῃ
τῇ γυναικὶ, καὶ ἐν ἴσῳ, ὥσπερ ἂν ἑαυτῷ, οὐ γυνὴ
μέν τοι ἐστιν. ἢ ὁπόταν φίλη τε καὶ εὔ-
νους ᾖ μάλιστα σεαυτὸν εὐ-
φραίνουσα. ἥκιστα
δὲ ἂν ἴσως οὐχ
αὕτη ἐστίν.

Ayuntamiento de Madrid

## ΟΤΙ ΚΑΛΟΝ ΤΟ ΕΧΕΙΝ ΠΑΙΔΑΣ,

### ΛΟΓΟΣ ογ´.

Μακάριος ὅστις αὐτὸς ἰσχύων ἔτι, — Διογένους.
παῖδας παρασπίζοντας ἀλκίμους ἔχει.
Καὶ κτῆμα δ' ὦ τεκοῦσα κάλλιστον τόδε. — Εὐριπίδου.
πλούτου δὲ κρεῖσσον, τοῦ μὲν ὠκεῖα πτέρυξ,
παῖδες δὲ χρηστοὶ κἂν θάνωσι δώμασι
καλόν τι θησαύρισμα τοῖς τεκοῦσί τε
ἀνάθημα βιότου, κοὔποτ' αὖ ἐκλείπει δόμοις.
Ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων.
κέρδους δ' ἕκατι, καὶ τὸ συγγενὲς νοσεῖ.
Γύναι, φίλον μὲν φέγγος ἡλίου τόδε.
καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον,
γῆ τ' ἠρινὸν θάλλουσα, πλούσιόν θ' ὕδωρ
πολλῶν τ' ἐπαίνων ἐστί μοι λέξαι καλῶν
ἀλλ' οὐδὲν οὕτω λαμπρὸν, οὐδ' ἰδεῖν καλὸν,
ὡς τοῖς ἄπαισι καὶ πόθῳ δεδηγμένοις
παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν φάος.
Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους,
ὀρθῶς ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.
Ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός. — Μενάνδρου
Ὀδυνηρόν ἐστιν εὐτυχοῦντα τῷ βίῳ,
ἔχειν ἔρημον διάδοχον τὴν οἰκίαν.
Οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρί.
ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα
τῶν ἐξ ἑαυτοῦ.
Ζηλωτὸς ὅστις εὐτύχησεν ἐν τέκνοις, — Διογένους.
καὶ μὴ 'πισήμοις συμφοραῖς ὠδύρατο.



Ayuntamiento de Madrid

# Οτι καλὸν τὸ ἔχειν παῖδας

**Εκ τῶν σε είνου.** Ἡ λάκαινα πρός τινα ἰωνικὴν δείξασαν αὐτῇ τὸν κόσμον, αὐτὴ παρέδειξε τὰ τέκνα εἰποῦσα, ὁ δὲ ἐμὸς κόσμος τοιοῦτος.

**Πλάτωνος** Τούτῳ τῷ τρόπῳ, πᾶν τὸ θνητὸν σώζεται. οὐ τῷ παντάπασι τὸ αὐτὸ ἀεὶ εἶναι ὥσπερ τὸ θεῖον, ἀλλὰ τῷ τὸ ἀπιὸν, ἕτερον νέον καταλείπειν, οἷον αὐτὸ ἦν, μὴ οὖν θαύμαζε εἰ τὸ αὑτοῦ ἀποβλάστημα φύσει ἅπαν τιμᾷ, ἀθανασίας γὰρ ἅμα καὶ εὐδαιμονίας εἰς τὸν ἀεὶ χρόνον παντὶ αὕτη ἡ σπουδὴ καὶ ὁ ἔρως ἕπεται. ἀλλὰ μὴν καὶ μάχεταί γε πᾶν ζῶον διαφερόντως περὶ ὧν ἂν τίκτῃ.

**Ιεροκλέους** Ἐν δὲ τῷ περὶ γάμου καὶ τῆς παιδοποιίας τόπῳ, θετέος ἐστὶ, καὶ ὁ τῆς πολυτεκνίας λόγος. κατὰ φύσιν γάρ πως καὶ ἀκόλουθον τῷ γάμῳ, τὸ, πάντα ἢ τά γε πλεῖστα τῶν γεννωμένων ἀναφέρειν, ἀλλ' ἐοίκασιν οἱ πλείους ἀπειθεῖν τῇ παραινέσει, δι' αἰτίαν οὐ μάλα πρεπώδη. διὰ γὰρ φιλοπλουτίαν, καὶ τὸ πάμμεγα κακὸν ἡγεῖσθαι τὴν πενίαν, τοῦτο πάσχουσι. πρῶτον μὲν δὴ λογιστέον, ὡς οὐχ ἑαυτοῖς μόνον παραστάτας, καὶ γηροβοσκοὺς, καὶ πάσης τύχης καὶ περιστάσεως κοινωνοὺς γεννῶμεν, οὐδ' ὑπὲρ ἑαυτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν γονέων ἡμῶν κατὰ πολλά γε, καὶ γὰρ εὐχαριστίαν ἔχει πρὸς αὐτοὺς ἡ παιδοποιία. τῷ, κἂν ἔτι πάθοιμεν ἡμεῖς πρότερον, καταλείπειν ἐκείνοις, ἀνθ' ἡμῶν αὐτοὺς γηροβοσκούς. καλὸν δὲ πάππος ὑπὸ σφετέρων ἐκγόνων χειραγωγούμενός τε, καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιούμενος, ὥστε πρῶτον μὲν εὐχάριστα πράττοιμεν ἂν εἰς γονέας τοὺς ἑαυτῶν, παίδων ἐπιμελούμενοι γενέσεως. εἶτα καὶ ταῖς εὐχαῖς τε, καὶ σπουδαῖς τῶν ἡμᾶς γειναμένων συνεργήσομεν, εὐθὺ γὰρ ὅτε πρῶτον περὶ τὴν ἡμετέραν εἶχον γένεσιν, διανοίᾳ χρώμενοι τοῦ χύσιν αὐτῶν εἰς πλεῖστον λαβεῖν τὴν διαδοχὴν, καὶ παῖδας ἐκ παίδων ὑπολείπεσθαι. καὶ γάμου προὐνόησαν, καὶ τῆς ἡμετέρας σπορᾶς καὶ ἀνατροφῆς, ὅθεν γαμοῦντες μὲν καὶ παιδοποιούμενοι πράττοιμεν ἄν. οἷον μέρη τῆς ἐκείνων εὐχῆς. τὰ δ' ἐναντία φρονήσαντες, ἐγκόπτοιμεν ἂν αὐτῶν τῇ προαιρέσει, καὶ μὴν κινδυνεύει πᾶς ἐθελοντὴς καὶ περιστάσεως ἄνευ, γάμον ἐκκλίνων καὶ παιδοποιίαν, παρανοίας κρίνειν τοὺς ἑαυτῶν γονέας, ὡς οὐ σὺν ὀρθοῖς λογισμοῖς περὶ γάμου πεπραγματευμένοις. ἔνθα δὴ καὶ τὴν ἀνομολογίαν φωράσειεν ἄν τις εὐπετῶς. πῶς γὰρ οὐ μάχης πλήρους εὐαρεστεῖν μὲν τῷ ζῆν καὶ μένειν ἐν ἑαυτῷ ὡς καθηκόντως εἰς τὸν βίον ὑπὸ τῶν σπειράντων παρηγμένον. τὸ δ' αὐτὸ ἑτέρους γεννῆσαι τῶν ἀδικημάτων ὑπολαμβάνειν. ἀλλὰ γὰρ πρῶτον μὲν ὡς ἔφην ἐνθυμεῖσθαι

χρή,

Ayuntamiento de Madrid

χρὴ, διότι γεννῶμεν οὐχ ἑαυτοῖς μόνον, ἀλλὰ καὶ τοῖς δι' οὓς γεγόναμεν αὐτοί. ἔπειτα καὶ ὑπὲρ φίλων τε καὶ συγγενῶν, κεχαρισμένον γὰρ καὶ τούτοις ἐστὶ, παῖδας ἐξ ἡμῶν ἰδεῖν. διά τε τὴν εὔνοιαν καὶ οἰκειότητα, καὶ διὰ τὴν ἀσφάλειαν, διορμίζεται γὰρ ὑπὸ τοῦ τοιούτου τοῖς προσήκουσιν ὁ βίος. ἀνάλογον ταῖς ἐπὶ πολλῶν ἀγκυρῶν σαλευούσαις ναυσὶν, ὅθεν κατὰ τὸν φιλοσυγγενῆ καὶ φιλέταιρον, ἔστιν ἡ περὶ γάμον καὶ τέκνα σπουδή. παρακαλεῖ δ' εὖ μάλα καὶ ἡ πατρὶς ἐπὶ ταὐτόν. καὶ σχεδὸν, οὐ δι' ἑαυτοῖς οὕτως, ὡς τῇ πατρίδι φυτεύομεν παῖδας. τῆς μεθ' ἡμᾶς προνοούμενοι τάξεως, καὶ τῷ κοινῷ παρέχοντες τοὺς διαδεξομένους ἡμᾶς. ὅθεν ὁ μὲν ἱερεὺς, ἔσω τῇ πόλει τῇ ἑαυτοῦ ἱερέας ὀφείλων, ὁ δ' ἄρχων, ἄρχοντας. ὁ δὲ, δημηγόρος, δημηγόρους. καὶ ὡς ἁπλῶς εἰπεῖν, ὁ πολίτης, πολίτας. καθάπερ οὖν χορῷ μὲν δεῖ κεχαρισμένη ἡ τῶν χορευτῶν διαμονὴ, στρατεύματι δὲ ἡ τῶν στρατιωτῶν, οὕτω καὶ πόλει ἡ τῶν πολιτῶν. ἀλλ' εἰ μὲν ἦν ὀλιγοχρόνιόν τι σύστημα πόλις, ὅτε βίος αὐτῆς κατὰ βίον ἀνθρώπου τὴν συμμετρίαν ἐλάμβανεν, οὐδὲν ἔδει διαδοχῆς. ἐπεὶ δ' εἰς πολλὰς γενεὰς ἐξικνεῖται, δαίμονι δὲ εὐδαιμονεστέρῳ χρησαμένη, καὶ εἰς μακροὺς αἰῶνας πόλις, φανερὸν ὡς οὐ τοῦ παρόντος ἐστοχάσθαι δεῖ μόνον, ἀλλὰ καὶ τοῦ μετέπειτα. τήν τε ἰδίαν μὴ περιορᾶν χώραν ἔρημον, ἀλλ' ἐπ' ἐλπίσιν ἱδρυμένην, ταῖς ἀπὸ τῶν ἡμετέρων τέκνων.

Οἱ δὲ νομοθέται, οἷς αὐτὸ τοῦτο γέγονεν ἔργον, ζητεῖν καὶ σκοπεῖν, τί μὲν ἀγαθὸν πόλει, τί δαὶ κακὸν, καὶ τί μὲν ὠφελεῖ, τί δὲ βλάπτει τὸ κοινὸν, οὐχὶ δὲ καὶ οὗτοι πάντες, συμφορώτατον μὲν ταῖς πόλεσιν ἐνόμισαν τὸ πληθύνεσθαι τοὺς τῶν πολιτῶν οἴκους, βλαβερώτερον δὲ τὸ μειοῦσθαι, καὶ ἀπαιδίαν μὲν ἢ ὀλιγοπαιδίαν, τῶν πολιτῶν ὑπέλαβον εἶναι ἀλυσιτελὲς, τὸ δὲ ἔχειν παῖδας καὶ νὴ Δία πολλοὺς ἔχειν λυσιτελὲς, τοῦτο μὲν γὰρ, ἀμβλίσκειν ἀπεῖπον ταῖς γυναιξὶ, καὶ ταῖς ἀπειθούσαις ζημίαν ὑπέθεσαν. τοῦτο δ' ἀτοκίᾳ προστίθεσθαι, καὶ τὴν κύησιν εἴργειν ἀπηγόρευσαν αὐταῖς. τοῦτο δὲ πολυπαιδίας ἔταξαν γέρα καὶ ἀνδρὶ καὶ γυναικὶ, καὶ τὴν ἀπαιδίαν ἐπιζήμιον κατέστησαν. πῶς δ' οὖν οὐκ ἂν ἡμεῖς ἄδικα καὶ παράνομα δρῶμεν, ἐναντία δρῶντες τῇ βουλήσει τῶν νομοθετῶν, θείων καὶ θεοφιλῶν ἀνδρῶν. οἷς ἕπεσθαι, νομίζεται καλὸν καὶ συμφέρον. δρῶμεν δ' ἂν ἐναντία, τὴν πολυπαιδίαν τὴν ἑαυτῶν κωλύοντες. πῶς δ' οὐχὶ καὶ εἰς τοὺς πατρῴους θεοὺς ἐξαμαρτάνοιμεν ἂν, καὶ εἰς τὸν ὁμόγνιον Δία, ταῦτα πράττοντες, ὥσπερ γὰρ ὁ περὶ ξένους ἄδικος, εἰς τὸν Μυσωνίου.

Ayuntamiento de Madrid

ξένιον ἁμαρτάνει Δία, καὶ ὁ περὶ φίλους εἰς τὸν φίλιον, οὕτως ὅστις εἰς τὸ
ἑαυτοῦ γένος ἄδικος, εἰς τοὺς πατρῴους ἁμαρτάνει θεούς, καὶ εἰς τὸν ὁμό-
γνιον Δία, τὸν ἐπόπτην τῶν ἁμαρτημάτων τῶν περὶ τὰ γένη. ὁ δέ γε περὶ
τοὺς θεούς, ἁμαρτάνων ἀσεβής. καὶ μὴν ὅτι καλὸν καὶ λυσιτελὲς παί-
δων ἀναστροφὴ πολλῶν, μάθοι τις ἂν λογισάμενος, ὡς μὲν ἔντιμος ἐν πό-
λει πολύπαις ἀνήρ. ὡς δ᾽ αἰδῶ παρέχει τοῖς πλησίον. ὡς δὲ δύναται
πλέον πάντων τῶν ὁμοίων, ἄν γε μὴ ὁμοίως παίδων εὐπορῶσι. καθάπερ
γὰρ οἶμαι πολύφιλος, ἀφίλου ἀνδρὸς δυνατώτερος, οὕτω καὶ πολὺ μᾶλ-
λον ὁ πολύπαις, τοῦ μὴ ἄπαιδος, ἢ τοῦ ὀλίγους κεκτημένου παῖδας. καὶ
τοσούτῳ γε μᾶλλον, ὅσῳπερ ἐγγύτερον υἱὸς ἑκάστῳ ἢ φίλος. ἄξιον δὲ νοῆ-
σαι, ποῖόν τι καὶ θέαμά ἐστιν ἀνὴρ πολύπαις, ἢ γυνὴ συναθρόοις ὁρώμενοι
τοῖς ἑαυτῶν παισίν, οὔτε γὰρ πομπὴν πεπομπευμένην θεοῖς, οὕτω καλὴν
θεάσαιτ᾽ ἄν τις, οὔτε χορείαν ἐπὶ ἱεροῖς κόσμῳ χορευόντων οὕτως ἀξιο-
θέατον, ὡς χορὸν παίδων πολλῶν προηγουμένων ἐν πόλει πα-
τρὸς τοῦ ἑαυτῶν, ἢ μητρός, χειραγωγούντων τοὺς γονεῖς. ἢ τρό-
πον ἕτερον περιεπόντων κηδεμονικῶς. τί μὲν τούτου
κάλλιον τοῦ θεάματος. τί δαὶ τῶν γονέων τού-
των ζηλοτότερον, ἄλλως τε κἂν ὦσιν ἐπιει-
κεῖς φῶσι. τίσι δ᾽ ἂν ἄλλοις οὕτω
προθύμως, ἢ συνεύξαιτό
τις ἀγαθὰ παρὰ
θεῶν, ἢ
συμπράξειεν αὐ-
τοῖς εἰς ὅτι
δέοιντο.

Ayuntamiento de Madrid

## ΟΤΙ ΑΣΥΜΦΟΡΟΝ ΤΟ ΕΧΕΙΝ ΤΕΚΝΑ, καὶ ἄδηλον εἰ ἴδια τῶν ἔχειν νομιζόντων. καὶ μηδὲ θετὸν ποιεῖσθαι.

### ΛΟΓΟΣ οδ΄.

Οὐκ ἔστιν οὐδὲν ἀθλιώτερον πατρὸς Μενάνδρου
πλὴν ἕτερος, ἂν ᾖ πλειόνων πατήρ.
Ἀμηχανῶ δ᾽ ἔγωγε κοὐκ ἔχω μαθεῖν, Εὐριπίδου.
εἴτ᾽ οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα
θνητοῖσιν, εἴτ᾽ ἄπαιδα καρποῦσθαι βίον,
ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους.
ὅσοισι δ᾽ εἰσὶν, οὐδὲν εὐτυχεστέρους,
Καὶ γὰρ κακοὶ γεγῶτες, ἐχθίστη νόσος.
κἂν αὖ γένωνται σώφρονες, κακὸν μέγα.
λυποῦσι τὸν φύσαντα, μὴ πάθωσί τι.
Τυχὴ τέκν᾽, ὅστις δ᾽ αὖτ᾽ ἄπειρος ὢν λέγει,
ἧσσον μὲν ἀλγεῖ. δυστυχῶν δ᾽ εὐδαιμονεῖ.
Ημόνον δεῖ ζῆν, ἢ παίδων γενναμένων
πατέρ᾽ ἀποθανεῖν, οὕτω τὸ μετὰ ταῦτ᾽ ἐστὶ
τοῦ βίου πικρόν.
Δεινὸν τὸ τίκτειν ἐστὶν, οὐδὲ γὰρ κακῶς Σοφοκλέ.
πάσχοντι μῖσος ὧν τέκει προσγίγνεται.
Μήτηρ μέν τέ με φησὶ τοῦ, ἔμμεναι· αὐτὰρ ἔγωγε. Ὁμήρου.
οὐκ οἶδ᾽ οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.
Οἷον τὸ γενέσθαι πατέρα παίδων ἦν λύπη Μενάνδρου
φόβος· φροντίς· πέρας οὐδὲν ἐστί.
Ραῦσαι· καταρκεῖ τοῦδε κεκλῆσθαι πατρός. Σοφοκλέ.
εἴπερ πέφυκά γ᾽, εἰ δὲ μὴ μείζων βλάβη
τό τοι νομισθὲν τῆς ἀληθείας κρατεῖ.
Ἴσω δ᾽ ἄφρων ὤν, ὅστις ἄτεκνος ὢν τὸ πρίν.
παῖδας θυραίους εἰς δόμους ἐκτήσατο.
ᾧ γὰρ θεοὶ δίδωσι μὴ φῦσαι τέκνα
οὐ χρὴ ᾽γκαλεῖσθαι πρὸς τὸ θεῖον ἀλλ᾽ ἐᾶν.

Ayuntamiento de Madrid

Εὐριπίδου Θετῶν γὰρ παίδων ποῦ κράτος, τὰ φύντα γὰρ
κρεῖσσω νομίζειν τῶν δοκημάτων χρεών.

Δημοκρί. Τεκνοτροφίη σφαλερὸν, τὴν μὲν γὰρ ἐπιτυχίην
ἀγῶνος μεστὴν καὶ φροντίδος κέκτηται.
τὴν δὲ ἀποτυχίην, ἀνυπέρθετον ἑτέρῃ ὀδύνῃ.

Ἀριστίππου Μεμφομένης αὐτῷ τῆς γυναικὸς, ὅτι τὸν υἱὸν οὐ προσίετο, καὶ λεγούσης ὅτι ἐκ σοῦ εἴη, ἀποπτύσας, καὶ γὰρ τοῦτο εἶπεν, ἐξ ἐμοῦ. ἀλλ' οὐδὲν μοι χρήσιμόν ἐστιν.

Δημοκρί. Οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι. ἐνορῶ γὰρ ἐν παίδων κτήσει, πολλοὺς μὲν καὶ μεγάλους κινδύνους. πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα. καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα.

Τοῦ αὐτοῦ Ὅτεῳ χρήματά ἐστι, παῖδας ποιήσασθαι, ἐκ τῶν φίλων ἐμοὶ δοκεῖ ἄμεινον εἶναι. καὶ τῷ μὲν, παῖς ἔσται τοιοῦτος, οἷον ἂν βούληται, ἔστι γὰρ ἐκλέξασθαι οἷον ἐθέλει. καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι, καὶ μάλιστα κατὰ φύσιν ἕποιτο. καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ πολλῶν ὧν ἂν δέῃ. ἢν δέ τις ποιῆται ἀπὸ ἑωυτοῦ, πολλοὶ ἔνεισι κίνδυνοι, ἀνάγκη γὰρ ὃς ἂν γένηται, τούτῳ χρῆσθαι.

## ΟΤΙ ΚΡΕΙΤΤΟΝ ΟΙ ΑΡΣΕΝΕΣ ΤΩΝ ΠΑΙΔΩΝ· καὶ ὅτι τοὺς νόθους οὐκ ἐλάττονας χρὴ κρίνειν τῶν γνησίων.

## ΛΟΓΟΣ οε'.

Εὐριπίδου. Γυνὴ μὲν ἐξελθοῦσα πατρῴων δόμων,
οὐ τῶν τεκόντων ἐστὶν, ἀλλὰ τοῦ λέχους.
τὸ δ' ἄρσεν ἕστηκεν ἐν δόμοις ἀεὶ γένος
θεῶν πατρῴων καὶ τάφων τιμάορον.

Μενάνδρου Θυγάτηρ ἐπίγαμος, κἂν ὅλως μηδὲν λαλῇ,
διὰ τοῦ σιωπᾶν, πλεῖστα περὶ αὐτῆς λέγει.

Εὐριπίδου Στῦλοι γὰρ οἴκων, παῖδές εἰσιν ἄρσενες.

Μενάνδρου Εὐδαιμονίας τοῦτ' ἐστὶν, υἱὸς νοῦν ἔχων.
Ἀλλὰ θυγάτηρ κτῆμ' ἐστὶν ἐργῶδες πατρί.
Χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον.

Ἑρμαφροδίτου. Υἱὸν τρέφει τις κἂν πένης τις ὢν τύχῃ.
θυγατέρα δ' ἐκτίθησι κἂν ᾖ πλούσιος.

Ayuntamiento de Madrid

Ὁ δ' ἐν νόθος, τοῖς γνησίοις ἴσον σθένει, — Σοφοκλέ.
ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν.
Ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση. — Εὐριπίδου
Μάτην δὲ θνητοὶ τοὺς νόθους φεύγουσ' ἄρα
παῖδας φυτεύειν· ὃς γὰρ ἂν χρηστὸς φυῇ,
οὐ τοὔνομ' αὐτοῦ τὴν φύσιν διαφθερεῖ.
Ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν,
τῶν γνησίων γὰρ οὐδὲν ὄντες ἐνδεεῖς,
νόμῳ νοσοῦσιν ὥς σε φυλάξασθαι χρεών.

## ΠΕΡΙ ΝΗΠΙΩΝ

## ΛΟΓΟΣ οϛ'.

Ἄρνες τοι φίλε κοῦρε ὁμήλικες ἄρνες ἕτεροι. — Καλλιμάχου.
Ἔσκον ἐνὶ ῥυθμοῖσι δαυλίαι καὶ βοτάναι.
φείδευ τῶν ἀρνῶν· φείδευ λύκε τῶν ἐρίφων με. — Θεοκρίτου
μηδ' ἀδικεῖς μ', ὅτι μικρὸς ἐὼν πολλοῖσιν ὁμαρτέω.
Τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις. — Εὐριπίδου.
πλείω ποεῖ φίλτρα τοῦ φῦσαι τέκνα.
Τίς δ' οὐχὶ χαίρει νηπίοις ἀθύρμασι.
Τέκνον· μὴ σύ γε μητρὸς ἀπ' ἀνθερεῶνας ἀμήσης. — Εὐφορίωνος.
ἠελίους ἢ τίς σε φινικοσίους ἐφόρησα
τέκνον ὑπὸ ζώνῃ· φοβερὰς δ' ὠδῖνας ἀνέτλην.
ἐς φάος ἐρχομένου· λαρὸν δ' ἐπὶ χείλεσι πρώτη
μαζὸν ἐπισχομένη· λευκῷ δέ σ' ἔλουσα γάλακτι.
Ἢ χαλκέην μοι μυῖαν. ἢ κύθρην παίζει. — Ἡρώδου.
ἢ τῇσι μηλολόνθαις ἅμματ' ἐξάπτων
τοῦ κεσκέου μοι τὸν γέροντα λωβῆται.
Δεῦτ' ὦ τέκν' ὦ στερχθέντα ὅσον πλεῖσθον θέμις. — Πομπηίου μάκρου.
ὦ πολλὰ τέρψαντ' οὐδὲ λυπήσαντά τι.
μητέρα τι προσλάζεσθε κἀξαρτᾶσθέ μου
βούλεσθ' ἄθυραν· παίζετ' ὦ νέαι φρένες.
ὡς ἔστιν ἡμῖν τοῦτ' ἐξαρπάντες βίον.

Ayuntamiento de Madrid

ἥβη δὲ λῦπαι φροντίδες θ' ἡ ζῶσ' ὁμοῦ.

Ευριπίδου. Τ άχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς,
πυκνῶν ἀθύροι, καὶ φιλημάτων ὄχλῳ.
ψυχὴν ἐμὴν κτήσαιτο, ταῦτα γὰρ βροτοῖς,
μέγιστον φίλτρον μέγιστον αἱ ξυνουσίαι πάτερ.

Σοφοκλέ. Ω παῖ γένοιο πατρὸς εὐτυχέστερος.
τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός.
καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω.
ὁθ' οὕνεκ' οὐδὲν τῶν δ' ἐπαισθάνῃ κακῶν,
ἐν τῷ φρονεῖν γὰρ μηδὲν, ἥδιστον βίος.
ἕως τὸ χαίρειν· καὶ τὸ λυπεῖσθαι μάθῃς.

Ευριπίδου. Α λλ' οἵγε παῖδες ἐκ φόχων πεπαυμένοι
κακῶν, νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

## ΟΤΙ ΧΡΗ ΤΟΥΣ ΓΟΝΕΙΣ ΤΗΣ ΚΑΘΗΚΟΥΣΗΣ ΤΙΜΗΣ ΚΑΤΑΞΙΟΥΣΘΑΙ ΠΑΡΑ ΤΩΝ ΤΕΚΝΩΝ· ΚΑΙ ΕΙ ΕΝ ΑΠΑΣΙΝ ΑΛΛΟΙΣ ΠΙΣΤΟΝ.

## ΛΟΓΟΣ οζ'.

Θεόγνιδος. Ο ὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
ἔπλεθ', ὅσοις ὁσίης κύρνε μέμηλε δίκης.

Ευριπίδου. Ο στις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
ὅδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος.
Ο ὐκ ἔστι παισὶ τούτου κάλλιον γέρας,
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.
Ο ὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις.
ἐρᾶτε μητρὸς παῖδες, ὡς οὐκ ἔστ' ἔρως
τοιοῦτος ἄλλος, οἷος ἥδιων ἐρᾶν.

Δικαιογένους. Γ εννητόρων ἕκατι κατθανεῖν καλόν.
ἄλλος δὲ σφαγεὶς τῶν φυτευσάντων ὕπο,
καλῶς τὸν αὐτὸν ἔρανον ἄλλοισι νέμεις.

Αντιφάνους. Ο στις δ' ἐρυθριᾷ τηλικοῦτος ὢν ἔτι,



Ayuntamiento de Madrid

πρὸς τοὺς ἑαυτοῦ γονέας, οὐκ ἔστι κακός.
ὅστις γὰρ ὁμολογοῦντι μὴ ποιεῖ πατρὶ,
πάντων ἂν οὗτος καταφρονήσει τῶν θεῶν.
τοῦ γὰρ πατρὸς κρατεῖν μὲν, αἰσχύνην φέρει·
ἡττημένῳ δὲ, δόξα νικητήριος,
Ετεκές με μήτηρ, καὶ γένοιτό σοι τέκνων — Φιλήμονος
ὄνησις· ὥσπερ καὶ δίκαιον ἔστι σοι. — Ἰουλίου. ἐκ
Κάδμον ἀραμένη τλήμων ἐξῆλθεν ἀγαυὴ, — τῆς εἰς τὸν Διό
ὃν πατέρα φορέοντα· φέρε δέ μιν ὑπὲρ ὤμων. — νυσον καὶ τὴν
γήραϊ κεκμηῶτα· καλῷ δ᾽ ἐβαρύνετο φόρτῳ. — πατρίδα
Εἰ μὴ πατὴρ ἦσθα, εἶπον ἄν σε οὐκ εὖ φρονεῖν. — γραφ[illegible]
Τούς τε γονεῖς τίμα, τούς τ᾽ ἄγχιστ᾽ ἐκγεγαῶτας. — των.
Ως ἡδὺ τῷ φύσαντι πείθεσθαι τέκνα. — Σοφοκλέ.
Οὐκ ἠξίωσα καταλιπεῖν τὴν μητέρα. — Πυθαγόρου.
πρώτην δὲ σώζειν, τοῖς γὰρ ὀρθῶς εἰδόσι, — Ἀγάθωνος
τὰ θεῖα μείζω μητρὸς οὐκ ἔστιν ποτέ. — Ἀλέξιδος.
ὅθεν ὁ πρῶτος οὐκ ἀπαιδεύτως ἔχων,
ἱδρύσατ᾽ ἱερὸν μητρὸς, οὐ δείξας σαφῶς.
ποίας. ἐάσας δ᾽ ὑπονοεῖν εἰς τοὔνομα.
Εἰ τοῦ πατρὸς δόξαιμι κρεῖττόν σοι λέγειν, — Διφίλου.
ἐμαυτὸν ἀδικῶ, κοὐκέτ᾽ εἰμ᾽ εὐσεβής,
ὅτι τὸν κατασπείραντα λυπῶ κοὐ φιλῶ.
Οστις φοβεῖται τὸν πατέρα, καὶ αἰσχύνεται, — Τιμοκλέ-
οὗτος πολίτης ἀγαθὸς ἔσται κατὰ λόγον. — ους.
καὶ τοὺς πολεμίους δυνάμενος κακῶς ποιεῖν.
Η οὐκ ἀΐεις ὅσον κλέος ἔλαβε δῖος Ὀρέστης — Ὁμήρου.
πάντας ἐπ᾽ ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα.
Η τί πλέον εἶναι παῖδας ἀνθρώποις πάτερ. — Σοφοκλέ.
εἰ μὴ ᾽πὶ τοῖς δεινοῖσιν ὠφελήσομεν.
Ρῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα.
πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει.
Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν.
Αλλ᾽ ἴσθ᾽ ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος, — Εὐριπίδου
τὸ μὴ οὐ σὲ μᾶτερ προσφιλῆ νέμειν δεῖ.

Ayuntamiento de Madrid

τοῦ δικαίου, καὶ τόκων τῶν σῶν χάριν.
στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν.
μάλιστ᾽ ὁρίζω τοῦτο καὶ σὺ μὴ φθόνει,
κείνου γὰρ ἐξέβλαστεν οὐδ᾽ ἂν εἷς ἀνὴρ
γυναικὸς αὐδήσειεν. ἀλλὰ τοῦ πατρός.

Ὀρφέως. Ζεὺς δ᾽ ἐφορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας.
ἠδ᾽ ὅσσοι οὐκ ἀλέγουσιν, ἀναιδέα θυμὸν ἔχοντες.
καὶ τοῖς μὲν, πρόφρων τε καὶ ἤπιος ἐσθλὰ δίδωσι.
τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται εὐμενίδεσι.
δειναὶ γὰρ κατὰ γαῖαν ἐριννύες εἰσὶ τοκήων.

Φιλήμονος. Βούλου γονεῖς πρώτιστον ἐν τιμαῖς ἔχειν.

Χαρήμον. Βεβαιοτέραν τὴν φιλίαν ἔχε πρὸς τοὺς γονεῖς.

Μενάνδρου. Δίκας γραφόμενος πρὸς γονεῖς, μαίνῃ τάλαν.
Θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς.

Πλάτωνος. Γονέων δὲ ἀμελεῖν, οὔτ᾽ ἄνθρωπος ξύμβουλος νοῦν ἔχων ποτὲ γένοιτ᾽ ἂν οὐδεὶς οὐδενί. φρονῆσαι δὲ χρὴ περὶ θεῶν θεραπείας, τοιόνδε προοίμιον ἂν γενόμενον εἰς τὰς τῶν γεννησάντων τιμάς τε καὶ ἀτιμίας ὀρθῶς ξυντεταγμένον. νόμοι περὶ θεοὺς ἀρχαῖοι κεῖνται πᾶσι διχῇ. τοὺς μὲν γὰρ τῶν θεῶν ὁρῶντες, σαφῶς τιμῶμεν. τῶν δ᾽ εἰκόνας ἀγάλματα ἱδρυσάμενοι, οὓς ἡμῖν ἀγάλλουσι καί περ ἀψύχους ὄντας, ἐκείνους ἡγούμεθα τοὺς ἐμψύχους θεούς. πολλὴν διὰ ταῦτ᾽ εὔνοιαν καὶ χάριν ἔχειν. πατὴρ οὖν ὅτῳ καὶ μήτηρ, ἢ τούτων πατέρες ἢ μητέρες ἐν οἰκίᾳ κεῖνται κειμήλιοι ἀπειρηκότες γήρᾳ. μηδεὶς διανοηθήτω ἄγαλμα ἄλλο ποτὲ τοιοῦτον ἐφέστιον ἵδρυμα ἐν οἰκίᾳ ἔχων μᾶλλον κύριον ἔσεσθαι. ἐὰν δὴ κατὰ τρόπον γε ὀρθῶς αὐτὸ θεραπεύῃ ὁ κεκτημένος.

Ἰσοκράτ. Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς ἑαυτοῦ παῖδας.

Ἀναξιμένους. Οὗτος γὰρ μάλιστα πάντων φιλοπάτωρ ἐστὶν, ὅστις ζητεῖ δι᾽ οὗ μηδὲν λυπήσας τὸν πατέρα, πάντ᾽ εἰς ἄλλον εὐφράναιτ᾽ ἄν. τί γὰρ δεῖ δικαιότερον, ἢ τοὺς γενέσεως καὶ παιδείας αἰτίους ὄντας ἀντευεργετεῖν.

Ἐλιανοῦ ἐκ τῶν συμμίκτων ἱστορίας. Πρώτῃ καὶ ὀγδοηκοστῇ ὀλυμπιάδι, φασὶ τὴν αἴτνην ῥυῆναι. ὅτε καὶ φιλόνομος καὶ καλλίας οἱ καταναῖοι τοὺς ἑαυτῶν πατέρας ἀράμενοι διὰ μέσης τῆς φλογὸς ἐκόμισαν, τῶν ἄλλων κτημάτων καταφρονήσαντες. ἀνθ᾽ ὧν καὶ ἀμοιβῆς ἔτυχον τῆς εἰς τὸ θεῖον. τὸ γάρ τοι πῦρ θεόντων ἄλλων, διέστη. καθ᾽ ὃ

μέρος

Ayuntamiento de Madrid

μέρος ἐκεῖνοι παρεγίνοντο.

Μειράκιον Ἐρετρικὸν προσεφοίτησε Ζήνωνι πλείονος χρόνου, ἕως οὗ καὶ εἰς ἄνδρας ἀφίκετο. ὕστερον δ' εἰς τὴν Ἐρέτρειαν ἐπανῆλθε. καὶ αὐτὸν ὁ πατὴρ ἤρετο, ὅτι ἄρα μάθοι σοφὸν ἐν τῇ τοσαύτῃ διατριβῇ τοῦ χρόνου. ὁ δὲ δείξειν ἔφη. καὶ οὐκ εἰς μακρὰν ἔδρασε τοῦτο. χαλεπήναντος γὰρ αὐτῷ τοῦ πατρὸς, καὶ τέλος πληγὰς ἐντείναντος, ὁ δὲ τὴν ἡσυχίαν ἀγαγὼν, καὶ ἐγκαρτερήσας, τοῦτο ἔφη μεμαθηκέναι. φέρειν ὀργὴν πατέρων, καὶ μὴ ἀγανακτεῖν.

Πιττακὸς παρακαλούμενος ὑφ' υἱοῦ καὶ πατρὸς διαιτῆσαι εἶπε πρὸς τὸν υἱόν. εἰ μὲν ἀδικώτερα μέλλεις λέγειν τοῦ πατρὸς, κατακριθήσῃ. εἰ δὲ δικαιότερα, διὰ τοῦτο ἄξιος εἶ κατακριθῆναι.

Πλάτων θρασυνόμενον ἰδών τινα πρὸς τὸν ἑαυτοῦ πατέρα, οὐ παύσῃ μειράκιον εἶπε. τούτου καταφρονῶν, δι' ὃν μέγα φρονεῖν ἀξιοῖς;

Οἱ ἄρτι ἐκ φιλοσοφίας πάντας ἐλέγχοντες, καὶ ἀπὸ τῶν γονέων ἀρχόμενοι πάσχουσιν ὅπερ νεώνητοι κυνίδια, οὐ μόνον τοὺς ἄλλους ὑλακτοῦσιν, ἀλλὰ καὶ τοὺς ἔνδον.

Ἐκ τοῦ Ἀρίστωνος.

Μετὰ τὸ θεῖον καὶ δαιμόνιον, πλεῖστον ποιεῖσθαι λόγον, γονέων τε καὶ νόμων. μὴ πλαστῶς, ἀλλὰ πεπιστευμένως ἑαυτὸν πρὸς ταῦτα παρασκευάζοντα. τὸ μένειν τοῖς πατρίοις ἔθεσί τε καὶ νόμοις.

Ἐκ τῶν Ἀριστοξένου Πυθαγορείων ἀποφάσεων.

Τοῖς μὲν ἀγαθοῖς, ἕρμαιον πρόγονοι γηραιοὶ ζῶντες, μέχρι τῶν ἐσχάτων τοῦ βίου. καὶ ἀπιόντες, νέοις σφόδρα ποθεινοί. τοῖς δὲ κακοῖς, εὖ μάλα φοβεροί.

Γονέων δὲ μετὰ ταῦτα τιμαὶ ζώντων ὡς θέμις. ὀφείλοντα ἀποτίνειν τὰ πρῶτά τε καὶ μέγιστα ὀφειλήματα χρεῶν πάντων πρεσβύτατα. νομίζειν δὲ ἃ κέκτηται καὶ ἔχει, πάντα εἶναι τῶν γεννησάντων καὶ θρεψαμένων, πρὸς τὸ παρέχειν αὐτὸ εἰς ὑπηρεσίαν ἐκείνοις κατὰ δύναμιν πᾶσαν. ἀρχόμενον ἀπὸ τῆς οὐσίας. δεύτερα τὰ τοῦ σώματος. τρίτα τὰ τῆς ψυχῆς ἀποτείνοντα δανείσματα. ἐπιμελείας τε καὶ ὑπερπονούντων ὠδῖνας παλαιὰς ἐπὶ νέοις δανεισθείσας. ἀποδιδόντα δὲ παλαιοῖς ἐν τῷ γήρᾳ σφόδρα κεχρημένοις. παρὰ δὲ πάντα βίον, ἔχειν τε καὶ ἐσχηκέναι χρὴ πρὸς αὐτοὺς γονέας εὐφημίαν διαφερόντως. διότι κούφων καὶ πτηνῶν λόγων, βαρυτάτη ζημία. πᾶσι γὰρ ἐπίσκοπος τοῖς περὶ τὰ τοιαῦτα ἐτάχθη Δίκης Νέμεσις ἄγγελος. θυμουμένοις γε οὖν ὑπείκειν δεῖ. καὶ ἀποπιμπλᾶσθαι τὸν θυμὸν ἐάν τε ἐν λόγοις, ἐάν τε ἐν ἔργοις δρῶσι τὸ τοιοῦτον. συγγιγνώσκοντα, ὡς

Πλάτωνος.



Ayuntamiento de Madrid

## Ὅτι χρὴ γονεῖς τῆς καθηκούσης τιμῆς καταξιοῦσθαι παρὰ τῶν τέκνων.

εἰκότως μάλιστα πατὴρ υἱεῖ δοξάζων ἀδικεῖσθαι, θυμοῖτ' ἂν διαφερόντως. τελευτησάντων δὲ γονέων, ταφὴ μὲν ἡ σωφρονεστάτη καλλίστη. μήτε ὑπεραίροντα τὸν εἰθισμένον ὄγκον, μήτε λείποντα· ὧν οἱ προπάτορες τοὺς αὐτῶν γεννήτοις ἐτίθεσαν. τάς τε αὖ κατ' ἐνιαυτὸν ἤδη τέλος ἐχόντων, ὡσαύτως ἐπιμελείας τὰς κόσμον φερούσας ἀποδιδόναι. τὸ δὲ μὴ παραλιπεῖν μνήμην ἐνδελεχῆ παρεχόμενον, τοῦτο μάλιστα οἱ πρεσβεύειν. δαπάνης τε τῆς διδομένης ὑπὸ τύχης τὸ μέτριον τοῖς κεκμηκόσι νέμοντα. ταῦτα δ' ἂν ποιοῦντες, καὶ κατὰ ταῦτα ζῶντες ἑκάστοτε ἕκαστοι τὴν ἀξίαν παρὰ θεῶν καὶ ὅσοι κρείττους ἡμῶν κομιζοίμεθα ἐν ἐλπίσιν ἀγαθαῖς διάγοντες τὸ πλεῖστον τοῦ βίου.

Περικτυόνης πυθαγορείας· ἐκ τοῦ περὶ γυναικός.

Οὔτε λέξαι δεῖ κακὸν γονέας, οὔτε ἔρξαι. πείθεσθαι δὲ μικροῖσί τε καὶ μεγάλοισι γονεῦσιν. ἐν πάσῃ δὲ ψυχῆς τε καὶ σώματος τύχῃ καὶ τῶν ἔξωθεν. καὶ ἔν τε εἰρήνῃ καὶ πολέμῳ καὶ ὑγιείῃ. καὶ πλούτῳ καὶ ἀπορείῃ. καὶ δόξῃ καὶ ἀδοξίῃ. καὶ ἰδιότῃσι καὶ ἄρχουσιν. ὁμουρέειν δεῖ καὶ φεύγειν μηδέποτε. πείθεσθαι δὲ μονονουχὶ καὶ μανίῃ. πεπνυμένα γὰρ ταῦτα καὶ κρήγυα τοῖσιν εὐσεβέεσιν. ὃ δέ τις γονέας ὑπερφρονέοι, ἰδέῃ κακῶν, ταύτῃ καὶ ζώσῃ καὶ θανούσῃ ἁμαρτίᾳ παρὰ θεοῖσι γράφεται. ὑπό τε ἀνθρώπων μισέεται, καὶ ὑπὸ γῆν μετὰ τῶν ἀσεβῶν ἐν τουτέῳ τῷ χώρῳ δι' αἰῶνος κακοῖσιν ἀπτομένη ὑπὸ δίκης καὶ τῶν ἔνερθεν θεῶν, οἳ τούτων ἐπίσκοποι ἐτάχθησαν τῶν πρηγμάτων. θείη γὰρ καὶ καλὴ ὄψις γονέων. καὶ ἡ τουτέων ὄψις καὶ θεραπείη, ὁκόση οὐδὲ ἡλίου, οὐδὲ πάντων ἄστρων, τὰ οὐρανὸς ἐνάψαμενος ἀμφιχορεύει. καὶ εἴ τι ἄλλο δοκέει τις χρῆμα μέζον εἶναι, καὶ θεωρίην ἐόντων. δοκέω δὲ μὴ θεοὺς φρονέειν, ὁκότε τοῦτο ὁρέωσι γιγνόμενον. καὶ ζῶντας οὖν καὶ ἀποιχομένους σέβειν χρὴ, καὶ μηδέποτε ἀντιλεχαίνειν. ἀλλ' ἢν καὶ ἀγνοῶσι νούσῳ, ἢ ἀπάτῃ, παρηγορέειν καὶ διδάσκειν. ἐχθρεύειν δὲ μηδαμῇ. μέζων γὰρ ἁμαρτίη καὶ ἀδικίη ἀνθρώπων, οὐκ ἂν γένοιτο, ἢ ἐς πατέρας ἀσεβεῖν.

Μουσωνίου.

Νεανίας τις, ὃν ὁ πατὴρ φιλοσοφεῖν βουλόμενον ἐκώλυεν, ἤρετο αὐτὸν ὧδέ πως. ἆρά γε ὦ Μουσώνιε χρὴ πάντα πείθεσθαι τοῖς γονεῦσιν, ἢ ἔστιν ἃ καὶ παρακουστέον αὐτῶν. καὶ ὁ Μουσώνιος· πείθεσθαι μὲν ἔφη μητρὶ ἢ πατρὶ τῷ ἑαυτοῦ ἕκαστον φαίνεται καλὸν καὶ ἐπαινῶ ἔγωγε. τί μέντοι τὸ πείθεσθαί ἐστι, θεασώμεθα. μᾶλλον δὲ πρότερον τὸ ἀπειθεῖν, ὁποῖόν τι, καὶ ὁ ἀπειθὴς ὅστις, καταμάθωμεν. εἶθ' οὕτως ὀψόμεθα τὸ πείθεσθαι ὁποῖόν τί ἐστι. φέρε δὴ, εἰ τῷ νοσοῦντι ὁ πατὴρ οὐκ ὢν ἰατρὸς, οὐδὲ ἔμπειρος ὑγιεινῶν τε

Ayuntamiento de Madrid

νοσερῶν, προστάττοι τι ὡς ὠφέλιμον, τὸ δὲ εἴη βλαβερὸν καὶ ἀσύμφορον, καὶ μὴ λανθάνοι τὸν νοσοῦντα τοιοῦτον ὄν, ἆρά γε μὴ πράττων ἐκεῖνος τὸ προσταχθὲν, ἀπειθεῖν τε καὶ ἀπειθὴς ἐστίν; ἀλλ᾽ οὐκ ἔοικε. τί δὲ, εἴ που ὁ πατὴρ νοσῶν αὐτὸς οἶνον ἢ τροφὴν αἰτεῖ παρὰ καιρὸν, μέλλων ἂν λάβοι τὴν νόσον μείζω ποιεῖν, ὁ δὲ παῖς τοῦτο εἰδὼς μὴ διδοίη. ἆρά γε ἀπειθεῖ τῷ πατρί; οὐκ ἔστιν εἰπεῖν, καὶ πολύ γε τοῦτον ἧττον ἐκεῖνον οἶμαι φαίη ἄν τις ἀπειθῆ εἶναι. ὅστις πατέρα φιλοκερδῆ ἔχων, κελευόμενος ὑπ᾽ αὐτοῦ κλέπτειν, ἢ παρακαταθήκην ἀποστερεῖν, οὐχ ὑπουργεῖ τῷ προστάγματι. ἢ οὐκ οἴει σύ τινας εἶναι πατέρας, οἳ τοιαῦτα τοῖς ἑαυτῶν παισὶ προστάττουσιν. ἐγὼ μὲν οἶδά τινα οὕτω πονηρὸν, ὅς γε υἱὸν ἔχων ὡραῖον, τὴν ὥραν ἀπέδοτο ἄλλου. ἂν οὖν ἐκεῖνο τὸ μειράκιον τὸ πεπραγμένον, πεμπόμενον ὑπὸ τοῦ πατρὸς ἐπὶ τὴν αἰσχύνην, ἀντέλεγε καὶ οὐκ ἀπῄει, πότερον ἀπειθὲς αὐτὸ μειράκιον ἔφαμεν εἶναι, ἢ σωφρονεῖν. ἢ οὐδὲ ἐρωτᾶν τοῦτό γε ἄξιον, καὶ γὰρ δὴ τὸ μὲν ἀπειθεῖν καὶ ὁ ἀπειθὴς, λοιδορία ἐστὶ καὶ ὄνειδος. τὸ δὲ μὴ πράττειν ἃ μὴ χρὴ, οὐκ ὄνειδος, ἀλλ᾽ ἔπαινος. ὥστε εἴτε πατρὸς, εἴτε ἄρχοντος, εἴτε καὶ νὴ Δία δεσπότου προστάγματι μὴ ὑπουργεῖ τις κακὰ προστάττοντος, ἢ ἄδικα ἢ αἰσχρὰ, οὐκ ἀπειθεῖ οὐδαμῶς, ὥσπερ οὐδ᾽ ἀδικεῖ οὐδ᾽ ἁμαρτάνει. ἀλλ᾽ ἐκεῖνος ἀπειθεῖ μόνος ὁ τῶν εὖ καὶ καλῶς καὶ συμφερόντως προσταττομένων ἀφροντιστῶν καὶ παρακούων. ὁ μὲν οὖν ἀπειθὴς, τοιοῦτός τίς ἐστιν. ὁ δ᾽ ἀπειθὴς, ἔχει μὲν ἐναντίως τούτῳ, καὶ ἔστιν ἐναντίος. εἴη δ᾽ ἂν, ὅτῳ τὰ προσήκοντα παραινοῦντι, κατήκοος ὢν, καὶ ἑπόμενος ἑκουσίως, οὗτος εὐπειθής. ὅθεν καὶ γονεῦσι τοῖς ἑαυτοῦ τότε πείθεταί τις, ὅταν χρηστὰ παραινούντων αὐτῶν, ταῦτα πράττῃ ἑκών. ἐγὼ μέντοι κἂν μὴ παραινούντων τῶν γονέων, πράττῃ τις ἃ χρὴ καὶ συμφέρει αὐτῷ, φημὶ τοῦτον πείθεσθαι τοῖς γονεῦσι. καὶ ὅτι ὀρθῶς φημὶ, σκόπει οὕτως. ὁ γὰρ δὴ πράττων ἃ βούλεται ὁ πατὴρ, καὶ ἐν τῇ βουλήσει τοῦ πατρὸς ἑπόμενος, πείθεται οἶμαι τῷ πατρί. ὁ δὲ, πράττων ἃ δεῖ, καὶ ἃ κρεῖττόν ἐστι, τῇ βουλήσει ἕπεται τοῦ πατρός. τίνα τρόπον; ὅτι πάντες οἱ γονεῖς εὐνοοῦσι δήπου τοῖς ἑαυτῶν παισίν. εὐνοοῦντες δὲ, βούλονται ἃ χρὴ καὶ συμφέρει πράττεσθαι ὑπ᾽ αὐτῶν. ὅστις οὖν πράττει τὰ προσήκοντα, καὶ τὰ συμφέροντα, πράττει οὗτος ἃ βούλονται οἱ γονεῖς. ὥστε πείθεται τοῖς γονεῦσι ταῦτα πράττων, κἂν μὴ τῷ λόγῳ κελεύωσιν αὐτὰ πράττειν οἱ γονεῖς. τοῦτο δὴ μόνον προσήκει σκοπεῖν, ὅστις βούλεται πείθεσθαι τοῖς γονεῦσιν ἐφ᾽ ἑκάστῳ τῶν πραττομένων, εἰ καλὸν καὶ συμ-



Ayuntamiento de Madrid

φέρον ὃ μέλλει πράξειν ἐστίν· ἕτερον δὲ οὐδέν, ὡς ἂν ὑπάρχῃ τοιοῦτον εὐθὺς καὶ τοῦ πράττοντος ἄλλο πειθομένου τοῖς γονεῦσι. μὴ τοίνυν σύ γε δείσῃς ὦ νεανίσκε, ὡς ἀπειθήσας τῷ πατρί· ἂν ἢ ἃ μὴ προσήκει δρᾶν κελεύοντος τοῦ πατρὸς ἀπέχῃ τοῦ ταῦτα δρᾶν, ἢ ἃ προσήκει ἀπαγορεύοντος ταῦτα μὴ δρᾶν· μηδέ σοι πρόφασις ἔστω τοῦ ἁμαρτάνειν ὁ πατήρ. ἢ κελεύων τι τῶν πράττεσθαι μὴ καλῶν, ἢ ἀπαγορεύων τι τῶν καλῶν, οὐδεμία γὰρ ἀνάγκη σοι, τὰ μὴ εὖ προσταττόμενα ὑπουργεῖν. καὶ τοῦτό μοι δοκεῖς, οὐδ' ἄλλως ἀγνοεῖν. οὔκουν ἂν ἕξῃ τοῦ πατρὸς ἐν μουσικοῖς, ἐκεῖνος οὐκ ἐπαΐων μουσικῆς, προστάττει κρούειν ἀμούσως τὴν λύραν, ἢ ἐπιστάμενον γράμματα οὐκ ἐπιστάμενος κελεύῃ σε γράφειν, καὶ ἀναγινώσκειν, μὴ ὡς ἔμαθες, ἀλλ' ἑτέρως· οὐδέ γε ἂν ἐπιστάμενον κυβερνᾶν, οὐκ ὢν κυβερνητικὸς κελεύῃ σε κινεῖν τὸ πηδάλιον, ὡς οὐ προσήκει, οὐ προστάξεις ἄλλῳ. τί οὖν ταῦτα μὲν ταύτῃ ἔχει· ἂν δέ σε κωλύῃ φιλοσοφεῖν ὁ πατήρ, εἰδότα καὶ ἀκηκοότα. ὁποῖόν τι φιλοσοφία ἐστὶν ἄλλως ἀγνοῶν, ἆρά γε προσεκτέον αὐτῷ, ἢ μεταδιδακτέον μᾶλλον ἄλλον, ὡς οὐκ εὖ σοι παραινεῖ. ἐμοὶ μὲν οὕτω δοκεῖ. τάχα μὲν οὖν τις καὶ λόγῳ χρώμενος μόνῳ, πείσειεν ἂν τὸν ἄλλως αὐτοῦ πατέρα διανοεῖσθαι, ἢ προσήκει περὶ φιλοσοφίας, ἄν γε μὴ τέλεον ᾖ σκληρὸς τὴν φύσιν ὁ πατήρ. ἢν οὖν μὴ πείθοι τῷ λόγῳ μηδὲ ἕποιτο. ἀλλά τά γε ἔργα πάντως τὰ τοῦ παιδὸς ὑπάξεται ἄλλον, εἰ φιλοσοφεῖ τῇ ἀληθείᾳ ὁ παῖς, ἔσται γὰρ δεῖ φιλοσοφῶν, προθυμότατος μὲν θεραπεύειν τὸν πατέρα θεραπείαν ἅπασαν. κοσμιώτατος δὲ καὶ πρᾳότατος, ἐν τῇ συνουσίᾳ ἥκιστα φίλερις ὢν, ἢ φίλαυτος. καὶ οὔτε προπετής, οὔτε ταραχώδης, οὔτ' ὀργίλος. ἔτι δὲ ἐγκρατὴς μὲν ἂν γλώσσης, γαστρός, ἀφροδισίων· καρτερικὸς δὲ πρὸς τὰ δεινὰ καὶ τοὺς πόνους. καὶ νοῆσαι μὲν ὅ,τι καλὸν ἱκανώτατος. οὐχ ὑπερβαίνων δὲ τὸ φαινόμενον καλόν. ὅθεν καὶ τῶν μὲν ἡδέων ὑφήσεται τῷ πατρὶ πάντων ἑκών. τὰ δὲ ἐπίπονα πρὸ ἐκείνου δέξεται ἄλλος. τοῦτον οὖν υἱόν, τίς μὲν οὐκ ἂν ἔχειν εὔξαιτο τοῖς θεοῖς. τίς δαὶ ἔχων οὐκ ἀγαπήσει. ἢ δι' ὃν ὑπάρξειεν αὐτῷ ζηλωτὸν εἶναι καὶ μακαριστὸν πατέρα, παρὰ τοῖς εὖ φρονοῦσι πᾶσιν. εἰδ' οὖν, ὦ νεανίσκε, καὶ τοιοῦτος ὢν ὁποῖος ἔσῃ, πάντως ἄν γε ἀληθῶς φιλοσοφῇς, οὐχ ὑπάξῃ τὸν πατέρα τὸν σόν. οὐδὲ πείσεις ἐπιτρέπειν σοι καὶ συγχωρεῖν ταῦτα πράττειν. ἐκεῖνο λογίσαι. ὁ πατὴρ ὁ σός, κωλύει σε φιλοσοφεῖν. ὁ δέ γε κοινὸς ἁπάντων πατὴρ ἀνθρώπων τε καὶ θεῶν ζεύς, κελεύει σε καὶ προτρέπει, πρόσταγμά τε γὰρ ἐκείνου καὶ νόμος ἐστί, τὸν ἄνδρα εἶναι δίκαιον· χρηστόν· εὐεργετικόν· σώφρονα· μεγαλόφρονα.

Ayuntamiento de Madrid

μεγαλόφρονα, κρείττω πόνων, κρείττω ἡδονῶν, φθόνου παντὸς καὶ ἐπιβουλῆς ἁπάσης καθαρόν. ἵνα δὲ συντεμὼν εἴπω, ἀγαθὸν εἶναι κελεύει τὸν ἄνθρωπον ὁ νόμος ὁ τοῦ θεοῦ. τὸ δέ γε εἶναι ἀγαθόν, τὸ φιλόσοφον εἶναι ταυτόν ἐστιν. εἰ δὴ τὸ πείθεσθαι πατρί, τῷ ἀνθρώπῳ ἕπεσθαι μέλλεις, εἰ δὲ φιλοσοφοίης τῷ Διί, δῆλον ὡς φιλοσοφητέον σοι μᾶλλον, ἢ οὔ. ἀλλὰ νὴ Δία εἴρξειέ σε ὁ πατήρ, καὶ κατακλείσας ἕξει. ἵνα δὴ μὴ φιλοσοφῇς; ταῦτα μὲν ποιήσει ἴσως. τοῦ δέ γε φιλοσοφεῖν, οὐκ ἀπείρξειε μὴ βουλόμενον. οὐ γὰρ χειρί, ἢ ποδὶ φιλοσοφοῦμεν. οὐδὲ τῷ ἄλλῳ σώματι. ψυχῇ δέ, καὶ ταύτης ὀλίγῳ μέρει, ὃ δὴ οἶμαι διάνοιαν καλοῦμεν. ταύτην γε μὴν ἐν ὀχυρωτάτῳ ἵδρυσεν ὁ θεός, ὥστε ἀόρατον εἶναι καὶ ἄληπτον, καὶ ἀνάγκης πάσης ἐκτός, ἐλευθέραν καὶ αὐτεξούσιον. ἄλλως τε ἐὰν τύχῃ οὖσα χρηστή, οὐ δυνήσεταί σε κωλύειν ὁ πατήρ, οὔτε χρῆσθαι τῇ διανοίᾳ, οὔτε ἃ χρὴ διανοεῖσθαι, οὔτε ἀρέσκεσθαι μὲν τοῖς καλοῖς, μὴ ἀρέσκεσθαι δὲ τοῖς αἰσχροῖς. οὐδ᾽ αὖ τὰ μὲν, αἱρεῖσθαι, τὰ δὲ, ἐκκλίνειν. ταῦτα μὲν ποιῶν, εὐθὺς φιλοσοφοίης ἄν, καὶ οὔτε τρίβωνα πάντως ἀμπέχεσθαι δεήσει σε, οὔτε ἀχίτωνα διατελεῖν. οὐδὲ κομᾶν, οὐδ᾽ ἐκβαίνειν τὸ κοινὸν τῶν πολλῶν, πρέπει μὲν γὰρ καὶ ταῦτα τοῖς φιλοσόφοις. ἀλλ᾽ οὐκ ἐν τούτῳ τὸ φιλοσοφεῖν ἐστιν. ἀλλ᾽ ἐν τῷ φρονεῖν ἃ χρὴ καὶ διανοεῖσθαι.

Μετὰ τὸν περὶ θεῶν καὶ πατρίδος λόγον, τίνος μᾶλλον ἂν προσώπου μνησθείη τις πρῶτον, ἢ γονέων. ὅθεν λεκτέον περὶ τούτων. τοὺς δευτέρους καὶ ἐπιγείους τινὰς θεοὺς εἰπών, οὐχ ἁμάρτοι τις ἕνεκά γε τῆς ἐγγύτητος. εἰ θέμις εἰπεῖν, καὶ θεῶν ἡμῖν τιμιωτέρους. προλαβεῖν δὲ ἀναγκαῖόν ἐστι, καὶ ἀνένδοτος προθυμία πρὸς τὸ ἀμείβεσθαι τὰς εὐεργεσίας αὐτῶν. ἐπεί τε γὰρ πολὺ καταδεέστερα κἂν πάνυ πολλὰ πράξωμεν ὑπὲρ αὐτῶν. ἀλλ᾽ ὅμως κινδυνεύει καὶ ταῦτ᾽ ἐκείνων ἔργα τυγχάνειν. ὅτι καὶ ἡμᾶς τοὺς ταῦτα πράττοντας ἐκεῖνοι πεποιήκασι. ὥσπερ οὖν τὰ ὑπὸ Φειδίου καὶ τῶν ἄλλων τεχνιτῶν ἀπεργασθέντα, εἴπερ καὶ αὐτὰ ἕτερά τινα κατεσκεύαζεν, οὐκ ἂν ὠκνήσαμεν καὶ ταῦτα τῶν τεχνιτῶν ἔργα φάσκειν, οὕτως εἰκότως καὶ τὰ ὑφ᾽ ἡμῶν δρώμενα, λέγοιμεν ἂν εἶναι τῶν γονέων ἡμῶν ἔργα, δι᾽ οὓς καὶ ἡμεῖς γεγόναμεν. πρὸς οὖν τὴν εὐμαρῆ τῶν ἐπ᾽ αὐτοὺς καθηκόντων αἵρεσιν κεφαλαιώδη τινὰ χρὴ προβαλλομένους λόγον, τοῦτον ἐν προχείρῳ διηνεκὲς ἔχειν, ὡς οἱ γονεῖς θεῶν ἡμῶν εἰκόνες. καὶ νὴ Δία θεοὶ ἐφέστιοι καὶ εὐεργέται, καὶ συγγενεῖς. δανεισταί τε καὶ κύριοι καὶ φίλοι βεβαιότατοι. θεῶν τε γὰρ εἰκόνες βεβαιόταται, καὶ ὑπὲρ τὰς τῶν τεχνῶν δυνάμεις, καθειργμέναι τῆς

Ἱεροκλέους ἐκ τοῦ πῶς χρηστέον γονεῦσιν.

ἐμφερείας. θεοί τε γάρ εἰσιν οὗτοι, καὶ συνδίαιτοι ἡμῖν. ἔτι δ' εὐεργέται μέγιστοι, καὶ παρεσχημένοι τὰ μέγιστα. καὶ μὰ Δί' οὐχὶ μόνον ἃ ἔχομεν, ἀλλὰ καὶ ὁπόσα παρέχειν ἐβουλήθησαν, ἅτε καὶ εὐξάμενοι. πρὸς δὲ τούτοις, συνήθεις εἰσί τε, καὶ τῇ πρὸς ἑτέρους αἴτιοι συνηθείᾳ. δανεισταὶ δὲ τῶν τιμιωτάτων μόνοι ἀπαιτοῦντες, ὧν καὶ ἡ ἀπόδοσις πάλιν ἐστὶν ἡμῶν εὐεργεσία. τί γὰρ τηλικοῦτον παιδὶ κέρδος, τηλίκον ἐστὶ τὸ πρὸς τοὺς γινομένους εὐσεβὲς καὶ εὐχάριστον. κύριοί γε μὴν δικαιότατα. τίνος γὰρ κτῆμα μᾶλλον εἴημεν ἐκείνων, δι' οὓς ἐσμέν· οὐ μὴν ἀλλὰ καὶ φίλοι καὶ παραστάται διηνεκεῖς καὶ ἀπρόσκλητοι. παντὸς καιροῦ, καὶ πάσης περιστάσεως ἐπίκουροι. ἐπεὶ δὲ τῶν προκατηριθμημένων ἁπάντων τὸ ἐξοχώτατον ἦν ὄνομα γονεῦσ. καθὸ θεοὺς αὐτοὺς ἀποκαλοῦμεν, τῇ τοιᾷδε ἐπινοίᾳ προσθετέον ἑτέραν. καὶ νομιστέον ἑαυτοὺς καθάπερ ἐν ἱερῷ τῇ οἰκίᾳ ζακόρους τινὰς καὶ ἱερέας, ὑπ' αὐτῆς κεχειροτονημένους καὶ καθιερωμένους τῆς φύσεως, ἐγκεχειρίσθαι τὴν τῶν γονέων θεραπείαν. ὅθεν καὶ διελόντες τῆς ἐπιμελείας, τὸ μὲν εἰς σῶμα, τὸ δ' εἰς ψυχήν, καθ' ἑκάτερον αὐτῶν μεθ' ἑκάστης προθυμίας πειθέσθαί τε τῷ λόγῳ, τί βουλόμενοι τὸ καθῆκον ἐκπληρώσομεν. τοῦ μὲν οὖν σώματος ἕνεκα, βραχὺς ὁ λόγος, ἃ καὶ ἀναγκαῖος. προνοήσομεν γὰρ τροφῆς αὐτῶν ἐλευθερίου, καὶ πρὸς τὴν ἀσθένειαν τοῦ γήρως ἡρμοσμένης. ἔτι δὲ κοίτης, καὶ ὕπνου, ἀλείμματός τε καὶ λουτροῦ, καὶ αἰσθῆτος, καὶ ἁπαξαπλῶς τῶν ἕνεκα τοῦ σώματος ἀναγκαίων. ὡς καὶ μηδὲν τούτων ἐνδείας ποτὲ παραθεῖεν, μιμούμενοι τὴν αὐτῶν ἐκείνων περὶ τὴν ἡμετέραν ἀναστροφήν.

Ξενοφῶντος ἐν δευτέρῳ ἀπομνημονευμάτων.

A Αἰσθόμενος δέ ποτε Λαμπροκλέα τὸν πρεσβύτατον υἱὸν αὑτοῦ πρὸς τὴν μητέρα χαλεπαίνοντα, εἰπέ μοι, ἔφη, ὦ παῖ. οἶσθα τινὰς ἀνθρώπους ἀχαρίστους καλουμένους; καὶ μάλα, ἔφη ὁ νεανίσκος. καταμεμάθηκας οὖν τούς τι ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν; ἔγωγ', ἔφη. τοὺς γὰρ εὖ παθόντας ὅταν δυνάμενοι χάριν ἀποδοῦναι μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν. οὐκοῦν δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους; ἔμοιγε, ἔφη. ἤδη δέ ποτε ἐσκέψω, εἰ ἄρα ὥσπερ τὸ ἀνδραποδίζεσθαι, τοὺς μὲν φίλους ἄδικον εἶναι δοκεῖ, τοὺς δὲ πολεμίους δίκαιον, οὕτω καὶ τὸ ἀχαριστεῖν, πρὸς μὲν τοὺς φίλους ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους δίκαιον; καὶ μάλα, ἔφη. καὶ δοκεῖ μοι ὑφ' οὗ ἄν τις εὖ παθὼν εἴτε φίλου εἴτε πολεμίου, μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι. οὐκοῦν εἰ οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία, ἡ ἀχαριστία. συνωμολόγει. οὐκοῦν, ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη. συνέφη καὶ τοῦτο. τίνας οὖν, ἔφη, ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα εὐεργετημένους, ἢ παῖδας ὑπὸ

γονέων, οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι· τοσαῦτα δὲ καλὰ
ἰδεῖν, καὶ τοσούτων ἀγαθῶν μετασχεῖν, ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώ-
ποις· ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ πάντων ἄξια εἶναι, ὥστε πάντες τὸ κατα-
λιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν· καὶ αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδι-
κήμασι, ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν
ἀδικίαν παύσοντες· καὶ μὴν, οὐ τῶν γε ἀφροδισίων ἕνεκα παιδοποιεῖσθαι τοὺς
ἀνθρώπους ὑπολαμβάνεις· ἐπεὶ τούτου γε τῶν ἀπολυσόντων, μεσταὶ μὲν αἱ ὁδοί·
μεσταὶ δὲ οἰκήματα· φανεροὶ δ' ἐσμὲν καὶ σκοποῦμεν, ἐξ ὁποίων ἂν γυναικῶν,
βέλτιστα ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα. καὶ ὁ μέν γε ἀνὴρ,
τήν τε συντεκνοποιοῦσαν ἑαυτῷ τρέφει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προ-
παρασκευάζει πάντα, ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦ-
τα ὡς ἂν δύνηται πλεῖστα. ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει τὸ φορτίον τοῦ-
το, βαρυνομένη τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου, καὶ μεταδιδοῦσα τῆς τρο-
φῆς, ᾗ καὶ αὐτὴ τρέφεται. καὶ σὺν πολλῷ πόνῳ διενεγκοῦσα, καὶ τεκοῦσα,
τρέφει τε καὶ ἐπιμελεῖται. οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν, οὔτε γινῶσκον
τὸ βρέφος, ἀφ' ὅτου εὖ πάσχει· οὐδὲ σημαίνειν δυνάμενον ὅτου δεῖται, ἀλλ'
αὐτὴ στοχαζομένη τά τε συμφέροντα, καὶ τὰ κεχαρισμένα πειρᾶται ἐκπλη-
ροῦν. καὶ τρέφει πολὺν χρόνον ἡμέρας καὶ νυκτὸς ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα,
εἴ τινα τούτων χάριν ἀπολήψεται. καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλ' ἐπειδὰν
δόξωσιν ἱκανοὶ εἶναι παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγα-
θὰ πρὸς βίον διδάσκουσιν· ἃ δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον διδάξαι, πέμ-
πουσι πρὸς τοῦτον δαπανῶντες· καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες, ὅπως οἱ
παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι. πρὸς ταῦτα ὁ νεανίσκος ἔ-
φη· ἀλλά τοι εἰ πάντα πεποίηκε, καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν
αὐτῆς δύναιτο ἀνασχέσθαι τὴν χαλεπότητα. καὶ ὁ σωκράτης πότερα δὲ ἔφη οἴει θη-
ρίου ἀγριότητα δυσφορωτέραν εἶναι, ἢ μητρός· ἐγὼ μὲν οἶμαι ἔφη μητρὸς τῆς
γε τοιαύτης. ἤδη πώποτε οὖν ἢ δακοῦσα κακόν τί σοι ἔδωκεν, ἢ λακτίσασα, οἷα
ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον; ἀλλὰ νὴ δία ἔφη, λέγει, ἃ οὐκ ἄν τις ἐπὶ τῷ
βίῳ παντὶ βούλοιτο ἀκοῦσαι. σὺ δὲ πόσα ἔφη ὁ σωκράτης οἴει ταύτῃ δυσα-
νεκτα, καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις ἐκ παιδίου δυσκολαίνων, καὶ ἡμέρας καὶ νυ-
κτὸς πράγματα παρασχεῖν· πόσα δὲ λυπῆσαι κάμνων· ἀλλ' οὐδεπώπο-
τε αὐτὴν ἔφη, οὔτε εἶπα, οὔτε ἐποίησα οὐδὲν, ἐφ' ᾧ ᾐσχύνθη. τί δαὶ οἴει ἔφη
χαλεπώτερον εἶναί σοι ἀκούειν ὧν αὕτη λέγει, ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν
ταῖς τραγῳδίαις ἀλλήλοις τὰ ἔσχατα λέγωσιν· ἀλλ' οἶμαι ἐπειδὴ οὐχ οἷόν



Ayuntamiento de Madrid

τε τῶν λεγόντων, οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν ἵνα ζημιώσῃ. οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν, ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι. σὺ δ' εὖ οἶδας, ὅτι ἃ λέγει σοι ἡ μήτηρ, ὅτι οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι, ὅσα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις. ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι. οὐδεῖτά σε τοῦτο ἔφη οὐκ οἶμαί γε. καὶ ὁ σωκράτης. οὐκοῦν ἔφη σὺ ταύτην εὔνουν τέ σοι οὖσαν, καὶ ἐπιμελουμένην ὡς μάλιστα δύναται, καὶ κάμνοντος, ὅπως ὑγιανῇς τε, καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ πρὸς τούτοις πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ, καὶ εὐχὰς ὑποδιδοῦσαν, χαλεπὴν εἶναι φής; ἐγὼ μὲν οἶμαι εἰ τοιαύτην μὴ δύνασαι φέρειν· τἀγαθά σε οὐ δύνασθαι φέρειν; εἰπὲ δή μοι ἔφη. πότερον ἄλλον τινὰ οἴει δεῖν θεραπεύειν, ἢ παρασκευάσαι μηδενὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν· μήτε πείθεσθαι, μήτε στρατηγῷ μήτε ἄλλῳ ἄρχοντι; βουλήσῃ ἀρέσκειν εἶναί σοι, καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ. καὶ ἀγαθοῦ τέ σοι γίνεται συλλήπτωρ, καὶ ἀντισφαλλόμενος τύχης, εὐνοϊκῶς ἐγγύθεν βοηθοῖ· ἔγωγε ἔφη. τί δαὶ συνοδοιπόρον, ἢ σύμπλουν, ἢ εἴ τῳ ἄλλῳ ἐντυγχάνοις, οὐδὲν ἄν σοι διαφέρει φίλον ἢ ἐχθρὸν γίνεσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι. ἔγωγε ἔφη. εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρασκευάσαι, τὴν δὲ μητέρα, τὴν πάντων μάλιστά σε φιλοῦσαν, οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθα ὅτι καὶ ἡ πόλις, ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται, οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας; ἐὰν μέν τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι, καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον. ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως τούτου θύοντος, οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξοντος. καὶ νὴ δία ἐάν τις τῶν γονέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει ἡ πόλις, ἐν ταῖς τῶν ἀρχόντων δοκιμασίαις. σὺ οὖν ὦ παῖ ἐὰν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσεις συγγνώμονάς σοι εἶναι. εἴ τι παρημέληκας τῆς μητρός. μή σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι, οὐκ ἐθέλωσιν εὖ ποιεῖν. τοὺς δὲ ἀνθρώπους φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα, πάντες ἀτιμάσωσιν. εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς, εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονέας ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν εὖ ποιήσας χάριν ἀπολήψεσθαι σοφίας. τῶν δὲ φιλοσοφησάντων ἔνιοι εὑρεῖν φασι τὸ θήραμα, ὡς ἐπίκουρος καὶ οἱ στωϊκοί. οὕτως ἔλεγε σωκράτης καὶ πύρρων.

Περὶ

Ayuntamiento de Madrid

# ΠΕΡΙ ΘΕΩΝ. ΛΟΓΟΣ. οή.

Ἐὰν οὖν ὦ Σώκρατες, πολλὰ πολλῶν πέρι θεῶν καὶ τῆς τοῦ παντὸς γενέσεως, Πλάτωνος
μὴ δυνατοὶ γιγνώμεθα πάντη πάντως αὐτοὺς ἑαυτοῖς ὁμολογουμένους
λόγους καὶ ἀπηκριβωμένους ἀποδοῦναι, μὴ θαυμάσῃς· ἀλλ' ἐὰν ἄρα μηδε-
νὸς ἧττον παρεχώμεθα εἰκότας, ἀγαπᾶν χρή· μεμνημένους, ὡς ὁ λέγων ἡμεῖς
τε καὶ οἱ κριταὶ φύσιν ἀνθρωπίνην ἔχομεν· ὥστε περὶ τούτων τὸν εἰκότα μῦ-
θον ἀποδεχομένους, πρέπει τούτου μηδὲν ἔτι πέρα ζητεῖν.

Βίων ἔλεγε, γελοιοτάτους εἶναι τοὺς ἀστρονομοῦντας· οἳ τοὺς παρὰ ποσὶ
τοὺς ἐν τοῖς αἰγιαλοῖς ἰχθῦς οὐ βλέποντες, τοὺς ἐν τῷ οὐρανῷ φάσκου-
σιν εἰδέναι.

Τοὺς φυσιολογοῦντας ἔφη Πίνδαρος, ἀτελῆ σοφίας καρπὸν δρέπειν. Πινδάρου.

Θαλῆν εἰς τὸν οὐρανὸν ὁρῶντα καὶ ἐμπεσόντα εἰς τὸ βάραθρον ἡ θεράπαι-
να, θᾶττα οὖσα, δίκαια παθεῖν ἔφη· ὃς τὰ παρὰ ποσὶν ἀγνοῶν, τὰ ἐν
οὐρανῷ ἐσκόπει.

Ἀστρολόγου δέ τινος κατ' ἀγορὰν ἐπιδεικνύντος ἐν τινι πινακίῳ καταγρά- Διογένους.
φοις τοὺς ἀστέρας, καὶ φάσκοντος ὅτι οὗτοί εἰσιν οἱ πλανώμενοι τῶν ἀστέ-
ρων, ἐπακούσας, μὴ ψεύδου εἶπεν, ὦ ἑταῖρε· οὐ γὰρ οὗτοί εἰσιν οἱ πλανώμενοι,
ἀλλ' οὗτοι, δείξας αὐτῷ τοὺς παρακαθεζομένους.

Ἀρίστων ἔφη· τῶν ζητουμένων παρὰ τοῖς φιλοσόφοις· τὰ μὲν εἶναι πρὸς ἡ-
μᾶς· τὰ δὲ, μηδὲν πρὸς ἡμᾶς· τὰ δ' ὑπὲρ ἡμᾶς· πρὸς ἡμᾶς μὲν, τὰ ἠθι-
κά· μὴ πρὸς ἡμᾶς δὲ, τὰ διαλεκτικά· μὴ γὰρ συμβάλλεσθαι πρὸς ἐπα-
νόρθωσιν βίου· ὑπὲρ ἡμᾶς δὲ, τὰ φυσικά· ἀδύνατα γὰρ ἐγνῶσθαι, καὶ
οὔτε παρέχει χρείαν.

Θεοὶ ὅτι εἰσὶν, οὐ χρὴ δίζεσθαι· ἄλλοθεν δὲ ἄριστον πεπιστευκέναι· ζητήσιος γὰρ Εὐσεβίου.
προτεθείσης, καὶ ὁ τῷ ἀνοσιωτάτῳ τῶν λόγων τῷ μὴ εἶναι αὐτοὺς συνιστά-
μενος, ἐθέλει κρατεῖν.

Θεὸν μὲν νοῆσαι χαλεπόν· φράσαι δὲ, ἀδύνατον· τὸ γὰρ ἀσώματον σώματι Ἑρμοῦ πρὸς
σημῆναι, ἀδύνατον· καὶ τὸ τέλειον τῷ ἀτελεῖ καταλαβέσθαι, οὐ δυνατόν· Τάτ.
καὶ τὸ ἀΐδιον τῷ ὀλιγοχρονίῳ συγγενέσθαι, δύσκολον· ὁ μὲν γὰρ, ἀεὶ ἐστι· τὸ

Ayuntamiento de Madrid

δὲ, παρέρχεται· καὶ τὸ μὲν, ἀλήθειά ἐστι· τὸ δὲ, ὑπὸ φαντασίας σκιάζεται· τὸ δὲ ἀσθενέστερον τοῦ ἰσχυροτέρου, καὶ τὸ ἔλαττον τοῦ κρείττονος διέστηκε τοσοῦτον, ὅσον τὸ θνητὸν τοῦ θείου. ἡ δὲ μέση τούτων διάστασις, ἀμαυροῖ τὴν τοῦ καλοῦ θέαν. ὀφθαλμοῖς μὲν γὰρ τὰ σώματα θεατά. γλώττῃ δὲ τὰ ὁρατὰ λεκτά. τὸ δὲ ἀσώματον καὶ ἀφανὲς καὶ ἀσχημάτιστον, καὶ μήτε ἐξ ὕλης ὑποκείμενον, ὑπὸ τῶν ἡμετέρων αἰσθήσεων καταληφθῆναι οὐ δύναται. συννοοῦμαι ὦ Τάτ συννοοῦμαι, ὃ ἐξειπεῖν οὐ δυνατὸν, τοῦτό ἐστιν ὁ θεός.

**Πλάτωνος**

Τὴν δὴ πρὸ τῆς οὐρανοῦ γενέσεως, πυρὸς, ὕδατός τε, καὶ ἀέρος, καὶ γῆς φύσιν, θεατέον αὐτὴν καὶ τὰ πρὸ τούτου πάθη, νῦν γὰρ οὐδεὶς γένεσιν αὐτῶν μεμήνυκεν· ἀλλ᾽ ὡς εἰδόσι πῦρ ὅ, τί ποτέ ἐστιν, καὶ ἕκαστον αὐτῶν λέγομεν ἀρχὰς αὐτὰ τιθέμενοι, καὶ στοιχεῖα τοῦ παντὸς, προσῆκον αὐτοῖς. οὐδ᾽ ὡς ἐν συλλαβῆς εἴδεσι μόνον, εἰκότως, ὑπὸ τοῦ καὶ βραχὺ φρονοῦντος ἀπεικασθῆναι. νῦν δ᾽ οὖν τόγε παρ᾽ ἡμῶν ὧδε ἐχέτω. τὴν μὲν οὖν ἁπάντων, εἴτε ἀρχὴν, εἴτε ἀρχὰς, εἴτε ὅπῃ δοκεῖ, τούτου πέρι τὸ νῦν οὐ ῥητέον. δι᾽ ἄλλο μὲν οὐδὲν, διὰ δὲ τὸ χαλεπὸν εἶναι κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου δηλῶσαι τὰ δοκοῦντα. μήτε οὖν ὑμεῖς οἴεσθε δεῖν ἐμὲ λέγειν, οὔτε αὐτὸς αὖ πείθειν ἐμαυτὸν ἂν εἴην δυνατός. ὡς ὀρθῶς ἐγχειροῖμ᾽ ἂν, τοσοῦτον ἐπιβαλλόμενος ἔργον. τὸ δὲ κατ᾽ ἀρχὰς ῥηθὲν, διαφυλάττον τὴν τῶν εἰκότων λόγων δύναμιν, πειράσομαι μηδενὸς ἧττον εἰκότα, μᾶλλον δὲ καὶ ἔμπροσθεν ἀπαρχῆς περὶ ἑκάστων καὶ ξυμπάντων λέγειν.

**Τοῦ αὐτοῦ.**

Περὶ θεῶν ὦ Τίμαιε, λέγοντά τι πρὸς ἀνθρώπους, δοκεῖν ἱκανῶς λέγειν ῥᾷον· ἢ περὶ θνητῶν πρὸς ἡμᾶς. ἡ γὰρ ἀπειρία καὶ σφόδρα ἄγνοια τῶν ἀκουόντων, περὶ ὧν ἂν οὕτως ἔχωσι, πολλὴν εὐπορίαν παρέχον τῷ μέλλοντι λέγειν τι περὶ αὐτῶν.

**Ξενοφῶντος ἐκ τῆς πρὸς Αἰσχίνην ἐπιστολῆς.**

Συντυχών μοι Ἑρμογένης, τά τε ἄλλα διεξῄει, καὶ περὶ σοῦ δὲ πυθομένου, ἥντινα ἔχοις φιλοσοφίας ἐπιμέλειαν, ἀπεκρίνατο, τὴν αὐτὴν Σωκράτει. ἐγὼ δὲ καὶ ἡνίκα Ἀθήνῃσι διέτριβεν, τῆς γνώμης σε ἠγάσθην. ὥσπερ οὖν ἠρξάμην σε θαυμάζων, οὕτω καὶ νῦν παρ᾽ οἷς τινος οὖν τῶν σοφῶν ἀσπασαμένων τεθαύμακα τὸ ἀμετάκλαστόν σου τῆς γνώμης. μέγιστον γὰρ ὡς ἐγῷμαι τεκμήριον ἀρετῆς, ἀλόιτος, ὑπὸ τ᾽ ἀνδρὸς ἐκείνου, εἴπερ θνητὸν καλεῖν τὸν Σωκράτους ἡγοῦντο βίον. ὅτι μὲν γὰρ τὰ θεῖα ὑπὲρ ἡμᾶς, πάντα δῆλον, ἀπόχρη δὲ τὸ κρεῖττον τῆς δυνάμεως αὐτοῦ σέβειν. οἳ δ᾽ εἰσὶν, οὔτε εὑρεῖν ῥᾴδιοι, οὔτε ζητεῖν θεμιτόν. οὐδὲ γὰρ δεσποτῶν φύσιν ἢ πρᾶξιν δούλοις δεῖ εἰδέναι, οἷς οὐδὲν πλέον ὑπηρεσίας προσήκει. πότε γὰρ ὦ Αἰσχίνη Σωκράτους ἀκή-

Ayuntamiento de Madrid

καί τις οὐρανίων πέρι λέγοντες, ἢ γραμμὰς εἰς ἐπανόρθωσιν τυραννοῦντες μανθάνειν. μουσικῆς γὰρ ἴσμεν αὐτὸν μέχρις ὤτων ξυνιέντα. διετέλει δὲ ἑκάστοτε αὐτὸς λέγων τί καλὸν, καὶ τί ἀνδρεία τε, καὶ δικαιοσύνη, καὶ αἱ ἄλλαι ἀρεταί. ἀνθρώπινα γοῦν ἀγαθὰ αὐτὰ ἐκάλει. τὰ δ' ἄλλα, ἢ ἀδύνατα ἀνθρώποις ἁλῶναι ἔφασκεν, ἢ μύθων εἶναι συγγενῆ, μετὰ ὀφρύος σοφιστῶν διεξιόντων. καὶ οὐκ ἔλεγε μὲν ταῦτα, οὐκ ᾔδει δὲ πράττειν. παυσάσθωσαν οὖν ἐλεγχόμενοι πρὸς τὸ ἦθος ἴσως αὐτοῦ, οἷς Σωκράτης οὐκ ἤρεσκεν ᾧ ζῶντι μὲν ὁ θεὸς σοφίαν ἐμαρτύρησεν. οἱ δὲ ἐκτείναντες, τῆς μετανοίας ἀποκάθαρσιν οὐχ εὗρον. τὸ δὲ καλὸν ἄρα, αἰγυπτίου γὰρ ἠράσθησαν, καὶ τῆς Πυθαγόρου τερατώδους σοφίας. ὧν τὸ πειστὸν καὶ τὸ μὴ μόνιμον αὐτῷ Σωκράτει ἤλεγξεν ἔρως τυραννίδος. καὶ ἀντὶ λιτῆς διαίτης, σικελιῶτις γαστρὸς ἀμέτρου τράπεζα.

Οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως ἧπερ τῶν ἄλλων οἱ πλεῖστοι διελέγετο. σκοπῶν ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔχει, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίνεται τῶν οὐρανίων, ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα, μωραίνοντας ἀπεδείκνυεν. ἐθαύμαζε δ' εἰ μὴ φανερὸν ἐστὶν αὐτοῖς ὅτι ταῦτα ἀδύνατόν ἐστιν ἀνθρώποις εὑρεῖν. ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπιστήμῃ περὶ τούτων λέγειν οὐ ταὐτὰ δοξάζειν ἀλλήλοις. ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους. τῶν τε γὰρ μαινομένων, τοὺς μὲν, οὐδὲ τὰ δεινὰ δεδιέναι. τοὺς δὲ, καὶ τὰ μὴ δεινὰ φοβεῖσθαι. καὶ τοῖς μὲν, οὐδ' ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν, ἢ ποιεῖν ὁτιοῦν. τοῖς δ' οὐκ ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν. καὶ τοὺς μὲν, οὔθ' ἱερὸν, οὔτε βωμὸν, οὔτε ἄλλο τῶν θεῶν οὐδὲν τιμᾶν. τοὺς δὲ, καὶ λίθους καὶ ξύλα τὰ τυχόντα, καὶ θηρία σέβεσθαι. τῶν τε περὶ τῆς τῶν πάντων φύσεως μεριμνώντων, τοῖς μὲν, δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι, τοῖς δ' ἄπειρα τὸ πλῆθος. καὶ τοῖς μὲν, ἀεὶ πάντα κινεῖσθαι. τοῖς δ' οὐδὲν ἄν ποτε κινηθῆναι. καὶ τοῖς μὲν, πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι. τοῖς δ' οὔτ' ἂν γενέσθαι ποτὲ οὐδὲν, οὔτε ἀπολεῖσθαι. Τοῦ αὐτοῦ.

Τί μοι μέλλει φησί πότερον ἐξ ἀτόμων, ἢ ἐξ ἀμερῶν, ἢ ἐκ πυρὸς καὶ γῆς συνέστηκε τὰ ὄντα, οὐ γὰρ ἀρκεῖ μαθεῖν τὴν οὐσίαν τοῦ ἀγαθοῦ καὶ κακοῦ, καὶ τὰ μέτρα τῶν ὀρέξεων καὶ ἐκκλίσεων. καὶ ἔτι ὁρμῶν καὶ ἀφορμῶν, καὶ τούτοις ὥσπερ κανόσι χρώμενον, διοικεῖν τὰ τοῦ βίου. τὰ δ' ὑπὲρ ἡμᾶς ταῦτα χαίρειν ἐᾶν. ἃ τυχὸν μὲν, ἀκατάληπτά ἐστιν ἀνθρωπίνῃ γνώμῃ. εἰ δὲ καὶ τὰ μάλιστα θείη τις εἶναι καταληπτά. ἀλλ' οὖν τί ὄφελος καταληφθέντων, οὐχὶ δὲ διακενῆς τὰ πράγματα ἔχειν φατέον τοὺς ταῦτα ὡς ἀναγκαῖα τῷ τοῦ φιλοσόφου λόγῳ προσνέμοντας; μή τι οὖν καὶ τὸ ἐν Δελφοῖς παράγγελμα παρέλκει ἐστὶ τὸ Ἀρριανοῦ Ἐπικτήτου

Ayuntamiento de Madrid

γνῶθι σαυτόν; τοῦτο δὲ μὲν οὔ φησι. τίς οὖν ἡ δύναμις αὐτοῦ. ὁ χορεύ-
τῃ τις παρήγγελλε τὸ γνῶναι ἑαυτόν, οὐκ αὖ ἐν τῇ προστάξει προσεῖχε τὸ ἐπι-
» γράφειν; Παῖς τις δ' ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας. Ἰθείῃσι δί-
» κῃσιν ὁ δ' ἀσφαλέως ἀγορεύων. Αἶψά τε καὶ μέγα νεῖκος ἐπιστάμενος κα-
» τέπαυσε. Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς. Βλαπτο-
» μένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι. Ῥηϊδίως μαλακοῖσι παραιφά-
» μενοι ἐπέεσσιν. Ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὣς ἱλάσκονται. Αἰδοῖ μει-
» λιχίῃ. μετὰ δὲ πρέπει ἀγρομένοισι.

## ΠΕΡΙ ΓΡΑΜΜΑΤΩΝ. ΛΟΓΟΣ. οθ'.

Αἰσχύλου. Καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων.
ἐξηῦρον αὐτοῖς, γραμμάτων δὲ σύνθεσις
μνήμην ἁπάντων μουσομήτορ' ἐργάνην.

Φιλήμονος. Ἄρ' ἐστὶ λόγος τοῖς νοσοῦσι χρήσιμος,
ὡς σπλήνιον πρὸς ἕλκος οἰκείως τεθὲν,
τὴν φλεγμονὴν ἔπαυσεν οὕτω καὶ λόγος.

Εὐριπίδου. Καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει.
λόγος γὰρ ἐσθλὸς, φάρμακον φόβου βροτοῖς.

Φιλήτου παίγνια. Οὐ μέ τις ἐξ ὀρέων ἀποφώλιος ἀγριώτης
αἱρήσει κλήθρην, αἱρόμενος μακέλην.
ἀλλ' ἐπέων εἰδὼς κόσμον, καὶ πολλὰ μογήσας
μύθων παντοίων οἶμον ἐπιστάμενος.

Εὐριπίδου. Οὐ παύσομαι τὰς χάριτας ταῖς μούσαις.
συγκαταμιγνὺς ἡδίσταν συζυγίαν
μὴ ζώην μετ' ἀμουσίαν.

Ὦ τλῆμον. ὡς σοὶ τὰς τύχας μὲν ἀσθενεῖς
ἔδωχ' ὁ δαίμων. μέγα φρονοῦσι δ' οἱ λόγοι.

Τὰ τῆς γελήθης φάρμακ' ὀρθώσας μόνον

Ayuntamiento de Madrid

ἄφωνα καὶ φωνοῦντα συλλαβὰς τιθεὶς,
ἐξεῦρον ἀνθρώποισι γράμματ' εἰδέναι.
ὥστ' οὐ παρόντα ποντίας ὑπερπλακὸς
τἀκεῖ κατ' οἴκους πάντ' ἐπίστασθαι καλῶς.
παισί τ' ἀποθνήσκοντα γραμμάτων μέτρον.
γράψαντας εἰπεῖν, τὸν λαβόντα δ' εἰδέναι.
ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ,
δέλτος διαιρεῖ, κοὐκ ἐᾷ ψευδῆ λέγειν.

Καὶ γὰρ ἐγὼ τὰ μὲν ὅσα καρήατι τῆμος ἔδωκα — Καλλιμάχου.
ξανθὰ σὺν εὐόδμοις ἀκραλιπῆ στεφάνοις.
ἄπνοα πάντ' ἐγένοιτο παραχρῆμ', ὅσα τ' ὀδόντων
ἔνδοθι νειέραν τ' εἰς ἀχάριστον ἔδυ.
καὶ τῶν οὐδὲν ἔμεινεν ἐς αὔριον, ὅσα δ' ἀκουαῖς
εἰσεθέμην, ἔτι μοι μοῦνα πάρεστι τάδε.

Οὐχὶ μόνον οὗτος εὗρε πῶς λαλήσομεν. — Φιλήμονος δὲ ἀ- Ἀπόλλωνος.
ἀλλ' οἷς ἀπέχοντες πολλοὺς ἀπ' ἀλλήλων χρόνους.
οὐδ' ὃν τρόπον μηδέποτε μηδ' εἰς πάλιν
ἐπιλήψεσθ' ἡμῶν μηδὲν, ἐμβλέψας λέγου.
τἀκ τοῦ χρόνου τοῦ παντὸς εἴς τε τἄλλα καὶ
ψυχῆς ἰατρὸν κατέλιπε τὰ γράμματα.

Ἐγὼ δ' ὦ Νικόκλεις, ἡγοῦμαι μὲν εἶναι καλὰ μνημεῖα καὶ τὰς τῶν σωμάτων εἰκόνας. πολὺ μέντοι πλείονος ἀξίας τῶν πράξεων καὶ τῆς διανοίας. ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον, τοῖς τεχνικῶς ἔχουσι θεωρήσαιεν. — Ἰσοκράτους

Ἰσχυρὸν εἰς πειθὼ λόγος γίνεται. — Δημοκρά.

Ἐν μὲν πολέμῳ πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείττων. ἐν δὲ τῷ ζῆν, ὁ λόγος τοῦ πλούτου. — Σωκράτους.

Ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα. — Πλάτωνος.

Ἐπειδὴ φωνὴν ἄπειρον κατενόησεν εἴτε τις θεὸς, εἴτε καὶ θεῖος ἄνθρωπος, ὡς ὁ λόγος ἐν Αἰγύπτῳ Θεῦθ τινὰ λέγων τοῦτον γενέσθαι, ὃς πρῶτος τὰ φωνήεντα ἐν τῷ ἀπείρῳ κατενόησεν. οὐχ ἓν ὄντα, ἀλλὰ πλείω, καὶ πάλιν ἕτερα, φωνῆς μὲν οὔ, φθόγγου δὲ μετέχοντα τινός. ἀριθμὸν δέ τινα καὶ τούτων εἶναι. τρίτον δὲ εἶδος γραμμάτων διεστήσατο τὰ νῦν λεγόμενα, ἀφ' ὧν ἡμῖν τὸ μετὰ τοῦτο διῄρει, τά τε ἄφθογγα καὶ ἄφωνα, μέχρι ἑνὸς ἑκάστου. καὶ τὰ φωνήεντα καὶ τὰ μέσα κατὰ τὸν τρόπον. ἕως ἀριθμὸν αὐτῶν λαβὼν ἑνί τε ἑκάστῳ

καὶ ξύμπασι, στοιχεῖον ἐπωνόμασε. καθορῶν δὲ ὡς οὐδεὶς ἡμῶν, οὐδ' ἂν ἓν αὐτὸ καθ' αὑτὸ ἄνευ πάντων ἄλλων μάθοι. τοῦτον τὸν δεσμὸν αὖ λογισάμενος ὡς ὄντα ἕνα, καὶ πάντα ταῦτα ἕν πως ποιοῦντα, μίαν ἐπ' ἄλλοις ὡς οὖσαν γραμματικὴν τέχνην ἐπεφθέγξατο προσειπών.

Τοῦ ἄλλου. Ὀνομάτων γὰρ συμπλοκὴν εἶναι λόγου οὐσίαν, οὕτω δὴ τὰ μὲν στοιχεῖα, ἄλογα καὶ ἄγνωστα εἶναι. αἰσθητὰ δέ. τὰς δὲ συλλαβὰς, γνωστάς τε καὶ ῥητὰς, καὶ ἀληθεῖ δόξῃ δοξαστάς. ὅταν μὲν οὖν ἄνευ λόγου τὴν ἀληθῆ δόξαν τινός τις λάβῃ, ἀληθεύειν μὲν αὐτοῦ τὴν ψυχὴν περὶ αὐτό. γιγνώσκειν δ' οὔ, τὸν γὰρ μὴ δυνάμενον δοῦναί τε καὶ δέξασθαι λόγον, ἀνεπιστήμονα εἶναι περὶ τούτου. προσλαβόντα δὲ λόγον, δυνατόν τε ταῦτα πάντα γεγονέναι, καὶ τελέως πρὸς ἐπιστήμην ἔχειν.

Φέρε δὴ καθάπερ περὶ τῶν εἰδῶν καὶ τῶν γραμμάτων ἐλέγομεν, περὶ τῶν ὀνομάτων πάλιν ὡσαύτως ἐπισκεψώμεθα. φαίνεται γὰρ δὴ ταύτῃ τὸ νῦν ζητούμενον, τὸ ποῖον οὖν δὴ περὶ τῶν ὀνομάτων ὑπακουστέον. εἴτε πάντα ἀλλήλοις ξυναρμόττει, εἴτε μηδέν. εἴτε τὰ μὲν, ἐθέλει τὰ δὲ, μή. δῆλον τοῦτό γε, ὅτι τὰ μὲν ἐθέλει. τὰ δ' οὔ. τὸ τοιόνδε λέγεις ἴσως. ὅτι τὰ μὲν ἐφεξῆς λεγόμενα καὶ δηλοῦντά τι, ξυναρμόττει. τὰ δὲ τῇ συντυχίᾳ μηδὲν σημαίνοντα, ἀναρμοστεῖ. πῶς τί τοῦτ' εἶπας. ὅπερ ᾠήθην ὑπολαβόντα σε προσομολογεῖν. ἔστι γὰρ ἡμῖν που τῶν τῇ φωνῇ περὶ τὴν οὐσίαν δηλωμάτων, διττὸν γένος. πῶς. τὸ μὲν, ὀνόματα. τὸ δὲ, ῥήματα κληθέν. εἰπὲ ἑκάτερον. τὸ μὲν, ἐπὶ ταῖς πράξεσιν ὂν δήλωμα, ῥῆμά που λεγόμενον; ναί. τὸ δέ γε ἐπ' αὐτοῖς τοῖς ἐκείνας πράττουσι σημεῖον τῆς φωνῆς ἐπιτεθὲν ὄνομα; κομιδῇ μὲν οὖν. οὐκοῦν ἐξ ὀνομάτων μὲν μόνων συνεχῶς λεγομένων, οὐκ ἔστι ποτὲ λόγος οὐδ' αὖ ῥημάτων χωρὶς ὀνομάτων λεχθέντων. ταῦτ' οὐκ ἔμαθον, δῆλον γὰρ ὡς πρὸς ἕτερόν τι βλέπων ἄρτι ξυνωμολόγεις ἔπειτ' οὐ ταὐτὸν ἐβουλόμην εἰπεῖν, ὅτι ξυνεχῶς ὧδε λεγόμενα, ταῦτ' οὐκ ἔστι λόγος. πῶς. οἷον, βαδίζει. τρέχει. καθεύδει. καὶ τἆλλα ὅσα πράξεις σημαίνει, ῥήματα, κἂν πάντα τις ἐφεξῆς ταῦτ' εἴπῃ, λόγον οὐδέν τι μᾶλλον ἀπεργάζεται. πῶς γάρ. οὐκοῦν καὶ πάλιν ὅταν λέγηται, λέων. ἔλαφος. ἵππος. ὅσα τε ὀνόματα τῶν τὰς πράξεις αὖ πραττόντων ὠνομάσθη. καὶ κατὰ ταύτην δὴ τὴν συνέχειαν, οὐδείς πω ξυνέστη λόγος, οὐδεμίαν γὰρ οὔτε οὕτως, οὔτ' ἐκείνως πρᾶξιν, οὔτ' ἀπραξίαν. οὐδὲ οὐσίαν ὄντος, οὐδὲ μὴ ὄντος δηλοῖ τὰ φωνηθέντα. πρὶν ἄν τις τοῖς ὀνόμασι τὰ ῥήματα κεράσῃ. τότε δ' ἥρμοσέ τε καὶ λόγος ἐγένετο, εὐθὺς ἡ πρώτη συμπλοκὴ σχεδὸν τῶν λόγων, ὁ πρῶτός τε καὶ σμικρότατος. πῶς αὖ ὧδε λέγεις.

Ayuntamiento de Madrid

ὅταν εἴπῃ τις ἄνθρωπος μανθάνει. λόγον εἶναι φὴς τοῦτον ἐλάχιστόν τε καὶ πρῶτον; ἔγωγε. δηλοῖ γὰρ ἤδη που τότε περὶ τῶν ὄντων ἢ γιγνομένων ἢ γεγονότων, ἢ μελλόντων. καὶ οὐκ ὀνομάζει μόνον, ἀλλά τι περαίνει συμπλέκων τὰ ῥήματα τοῖς ὀνόμασι. διὸ λέγειν τε αὐτὸν, ἀλλ' οὐ μόνον ὀνομάζειν εἴπομεν. καὶ δὴ καὶ τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐπεφθεγξάμεθα λόγον. ὀρθῶς. οὕτω δὴ καθάπερ τὰ πράγματα, τὰ μὲν, ἀλλήλοις ἥρμοττε. τὰ δ' οὔ. καὶ περὶ τὰ τῆς φωνῆς αὖ σημεῖα. τὰ μὲν, οὐχ ἁρμόττει. τὰ δὲ ἁρμόττοντα αὐτῶν λόγον ἀπειργάσατο. παντάπασι μὲν οὖν.

O εὸς ἦν τις ὡς ἀληθῶς ὁ καταδείξας τὴν διαλεκτικήν. καὶ καταπέμψας ἀνθρώποις, ὡς μὲν λέγουσί τινες, ὁ λόγιος ἑρμῆς, ὁ φέρων ἐν ταῖν χεροῖν τὸ σύνθημα αὐτῆς, τῶν εἰς ἀλλήλους ἀποβλεπόντων δρακόντων. ὡς ἀεὶ δεῖ διημασμένοι καὶ πρόκειται τῶν ἐν φιλοσοφίᾳ διατείνονται. ἡ τῶν μουσῶν πρεσβυτάτη καλλιόπη, τὴν ἄπταιστον ἀσφάλειαν τοῦ λόγου καὶ ἀνέλεγκτον, αὐτοῖ μειλιχίῃ διαπρέπουσαν παρέσχηκε. ὡς δὲ τὰ ἔργα αὐτὰ δείκνυσιν, αὐτὸς ὁ ἐν δελφοῖς θεὸς, οὔτε λέγων καθ' ἡράκλειτον, οὔτε κρύπτων. ἀλλὰ σημαίνων τὰς μαντείας, ἐγείρει πρὸς διαλεκτικὴν διερμήνευσιν τοὺς ἐπηκόους τῶν χρησμῶν, ἀφ' ἧς ἀμφιβολία τε καὶ ὁμωνυμία ἐκρίθησαν. καὶ διττὸν πᾶν ἀνερευνηθὲν φῶς ἐπιστήμης ἀνῆψεν ὁ κατιδών. καὶ θεμιστοκλῆς καλῶς διερμηνεύσας δεόντως τὸ ξύλινον τεῖχος, αἴτιος ἀναμφισβητήτως κατέστη τῆς σωτηρίας τοῖς ἕλλησιν. ἀδελφὰ δὲ τούτων καὶ ὁ ἐν βραχίδι θεὸς ἐκφαίνει τῆς διαλεκτικῆς ἔργα. περιφανῆ τὴν ἐπαγωγὴν παραδηλῶν, ὅταν λέγῃ, οὔτ' ἂν ὠκυπέτης ἰὸς, οὔτε λύρη. οὔτε ναῦς, οὔτ' ἄλλο οὐδὲν, ἄνευ ἐπιστημονικῆς χρήσεως, γένοιτ' ἄν ποτε ὠφέλιμον. Ἐκ τοῦ Ἰαμβλίχου ἐπιστολῆς πρὸς Δέξιππον

P άντες ἄνθρωποι χρῶνται τῷ διαλέγεσθαι, ἔμφυτον ἐκ νέων ἔχοντες τήνδε τὴν δύναμιν, καὶ μέχρι τινὸς, οἱ μὲν, μᾶλλον. οἱ δὲ ἧττον αὐτῆς μετέχοντες. τὸ δὴ τῶν θεῶν δῶρον, οὐδένα τρόπον δεῖ προΐεσθαι. ἀλλὰ καὶ ἐν μελέταις, καὶ ἐμπειρίαις, καὶ τέχναις, αὐτὸ κρατύνειν ἄξιον. ὅρα γὰρ ὅτι καὶ παρ' ὅλον τὸν βίον διατελεῖ χρησιμώτατον ὂν διαφερόντως. ἐν μὲν ταῖς ἐντεύξεσι προσομιλοῦν τοῖς ἀνθρώποις, κατὰ τὰς κοινὰς ἐννοίας, καὶ δόξας. ἐν δὲ ταῖς εὑρέσεσι τῶν τεχνῶν. τὰς πρώτας ἀρχὰς αὐτῶν ἀνευρίσκον. λογιζόμενον δὲ πρὸ τῶν ἔργων, ὅπως αὐτὰ χρὴ πράττειν. προγυμνασίαν δὲ καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας θαυμασίας, οἵας μεθόδους παρεχόμενον. ἃ δὲ δεῖ καὶ τὰ πρὸ τούτων ἐννοεῖν, οὐκ ἔστιν οὐδὲν μεῖον φιλοσοφίας, ἄνευ τοῦ κατὰ διαλεκτικὴν λόγου παραγιγνόμενον. ἀλλὰ καὶ ἐπὶ φυσικὸν δόγμα ἀνευρίσκομεν, λο- Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς σώπατρον ἐπιστολῆς.

Ayuntamiento de Madrid

γικῶς αὐτὸ βεβουλεύμεθα· καὶ ὅσα περὶ θεῶν σκεπτόμεθα, λόγος διαλεκτικὸς
ἐστὶν ὁ συγκατασκευάσας· ὅλως δὲ οὐδὲν οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαι δυνατὸν,
ἀπαλλαγέντας τῆς μεθόδου ταύτης· καὶ γὰρ αὐτὸ τὸ μὴ διδάσκειν διαλεκτι-
κὴν, διαλεκτικῶς ἐπιχειροῦντας δεῖ καταμανθάνειν. εἴτε οὖν ἐπιτηδευτέον,
εἴτε μὴ, διαλεκτικὴν ἀσκεῖν. καὶ γὰρ ἐστὶν ἄτοπον εἰ      τε μὲν      η
πάντα λόγῳ κρίνομεν, αὐτὴν δὲ ἀφήσομεν τὴν ἀκριβεστάτην τοῦ
λόγου θεωρίαν. καὶ λόγῳ προέχοντες τῶν ἄλλων ζώων, καὶ τοῦτο ἐξαίρετον
ἀγαθὸν κεκτημένοι τῆς ἀνθρωπείας φύσεως, εἰκῇ καὶ ὡς ἔτυχε κατ᾽ αὐτὸν
ἐνεργήσομεν. καὶ τὴν συμμεμιγμένην διάσκεψιν τοῦ λόγου, καθ᾽ ἣν ἀφέμε-
νος τῶν ἄλλων, τὴν περὶ αὐτῶν ἐπιστήμην κατεστήσατο σεμνοτάτην οὖσαν
καὶ τιμιωτάτην, ὡς μαρτυρεῖ καὶ τὸ ἐν Πυθοῖ γράμμα ἀποδοκιμάσομεν
ὡς ἀπόβλητον.

Τοῦ αὐτοῦ. Μ ετίωμεν δὴ οὖν ἐπὶ τὰς κατὰ φιλοσοφίαν διατριβὰς πασῶν πρῶται εἰσιν,
αἱ πρὸς ἀνάμνησιν ἀναγόμεναι. ταύτας δὴ οὖν καὶ ὁ Σωκράτης ἐπιδεικνύει
τῷ Μένωνι. διὰ τοῦ καλῶς ἐρωτᾶν ὁρῶμεν ἐκφαινόμενα. δεύτεραι δ᾽ αὖ εἰσιν,
αἱ με      ίας ἕνεκα προσαγόμεναι. καὶ τὰ γεννηθέντα εἰς φῶς προάγου-
σαι, καὶ διακρίνουσαι τίνα μὲν αὐτῶν ἀληθῆ, τίνα δὲ ψευδῆ. ἀλλὰ καὶ αὗ-
ται πᾶσαι διὰ τῆς διαλεκτικῆς τὸ κῦρος ἔχουσιν. ἐπειδὴ αὗται εἰσιν, αἱ διὰ
τῶν ἐλέγχων καθάρσεις τῆς διανοίας παρατιθεῖσαι τἀναντία δοξάσματα
τῶν προσδιαλεγομένων. καὶ συγκρούουσαι αὐτὰ πρὸς ἄλληλα. ἄλλαι δὲ
πείρας ἕνεκα καὶ γυμνασίας προσφερόμεναι τοῖς ἐπηκόοις, ἢ ὅσαι εἰς θέ-
σιν ἐπιχειροῦσιν, ἢ εἴ τινες ἐξετάζουσι τὰς τῶν παλαιῶν ἀκροάσεις. ὧν οὐδὲ
μία διαλεκτικῆς περαίνει τὸ ἑαυτῆς ἔργον. ὅλως δὲ, οὐχ οἷόν τε λόγον διδόναι
καὶ λαμβάνειν δεόντως, εἰ μή τις κτήσαιτο ταύτην τὴν περὶ τὸν λόγον ἐπιστήμην.

## ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ ΠΕΡΙ ΓΡΑΜΜΑΤΩΝ.

### ΛΟΓΟΣ. π΄.

Εὐριπίδου Φ Εῦ φεῦ. τὸ μὴ τὰ πράγματ᾽ ἀνθρώποις ἔχειν
φωνήν. ἵν᾽ ὦσι μηδὲν οἱ δεινοὶ λόγοι.
νῦν δ᾽ εὐρύθμοις στόμασι τἀληθέστατα
κλέπτουσιν. ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν.

Ε κ παντὸς αὖ τις πράγματος δισσῶν λόγων.

ἀγῶνα

Ayuntamiento de Madrid

ἀγῶνα θεῖτ' ἂν ὃ λέγειν εἴη σοφός.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως. Εὐήνου.
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος ὡς ὁ παλαιός.
σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστιν, ἐμοὶ δὲ τάδε.

Ἀρκεσίλαος ὁ φιλόσοφος ἔφη τοὺς διαλεκτικοὺς ἐοικέναι τοῖς ψηφοπαίκταις. οἵτινες χαριέντως παραλογίζονται.

Ζήνων τὰς τῶν διαλεκτικῶν τέχνας εἴκαζε τοῖς δικαίοις μέτροις. οὐ πυρόν. οὐδ' ἄλλο τι τῶν σπουδαίων μετροῦσιν ἀλλ' ἄχυρα καὶ κόπρια.

Κενὸς ἐκείνου φιλοσόφου λόγος, ὑφ' οὗ μηδὲν ἀνθρώπου πάθος θεραπεύεται. Πυθαγόρου.
ὥσπερ γὰρ ἰατρικῆς οὐκ ὄφελος, μὴ τὰς νόσους ἐκβαλλούσης ἀπὸ τῶν σωμάτων, οὕτως οὐδὲ φιλοσοφίας, εἰ μὴ τὸ τῆς ψυχῆς κακὸν ἐκβάλλῃ.

Οἱ ἐν διαλεκτικῇ βαθύνοντες, ἐοίκασι καρκίνοις μασωμένοις, οἳ δι' ὀλίγον τρόφιμον, περὶ πολλὰ ὀστᾶ ἀσχολοῦνται. Ἐκ τῶν τοῦ Ἀρίστωνος.

Οὐκ ἀντιλέγοντα δεῖ τὸν ἀντιλέγοντα παύειν, ἀλλὰ διδάσκειν. οὐδὲ γὰρ τὸν μαινόμενον ἀντιμαινόμενός τις ἰᾶται. Ἀντισθένους.

Κλεάνθης ἐρωτώμενος, διά τι παρὰ τοῖς ἀρχαίοις οὐ πολλῶν φιλοσοφησάντων, ὅμως πλείους διέλαμψαν ἢ νῦν, ὅτι εἶπε, τότε μὲν ἔργον ἠσκεῖτο. νῦν δὲ λόγος.

Ἀρίστων ἔλεγεν ἐοικέναι τὴν διαλεκτικὴν, τῷ ἐν ταῖς ὁδοῖς πηλῷ, πρὸς οὐδὲν γὰρ οὐδ' ἐκεῖνον χρήσιμον ὄντα, καταβάλλειν τοὺς βαδίζοντας.

Θεόκριτος πρός τινα διαλεκτικὸν συντεταγμένως αὐτῷ καὶ ἐριστικῶς ἀποκρινόμενον, ἔφη. ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο.

Καρνεάδης τὴν διαλεκτικὴν ἔλεγε πολύποδι ἐοικέναι. καὶ γὰρ ἐκεῖνον αὐξηθείσας τὰς πλεκτάνας κατεσθίειν. καὶ τούτους προϊούσης τῆς δυνάμεως, καὶ τὰ σφέτερα ἀναιρεῖν.

Κλειτόμαχος εἴκαζε τὴν διαλεκτικὴν τῇ σελήνῃ. καὶ γὰρ ταύτην οὐ παύεσθαι φθίνουσαν καὶ αὐξομένην.

Ἀρίστων τοὺς λόγους τῶν διαλεκτικῶν τοῖς τῶν ἀραχνίων ὑφάσμασιν. οὐδὲν μὲν χρησίμους, λίαν δὲ τεχνικούς.

Ὁ ἐλλέβορος ὁλοσχερέστερος μὲν ληφθείς, καθαίρει, εἰς δὲ πάνυ μικρὰ τριφθεὶς πνίγει. οὕτω καὶ ἡ κατὰ φιλοσοφίαν λεπτολογία.



Ayuntamiento de Madrid

ΟΠΟΙΟΥΣ ΤΙΝΑΣ ΧΡΗ ΕΙΝΑΙ ΤΟΥΣ ΠΑΤΕ-ρας περὶ τὰ τέκνα καὶ ὅτι φυσική τις ἀνάγκη ἀμφοτέρους εἰς διάθεσιν ἄγει. Λόγος πα΄.

Μενάνδρου. Οὐκ ἔστ' ἀκοῦσαι μ' ἥδιον, ἢ ῥηθεὶς λόγος
πατρὸς πρὸς υἱὸν, περιέχων ἐγκώμιον.
Οὐδέποτ' ἀληθὲς οὐδὲν οὔθ' υἱῷ πατὴρ
εἴωθεν ἀπειλεῖν, οὔτ' ἐρῶν ἐρωμένῃ.
Ὅστις δ' ἀμείλικτον πατέρα ἔχει νεανίας
συνόντ' ἐν οἴκοις, μεγάλα κέκτηται κακά.
Ὁ σκληρότατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν,
τοῖς μὲν λόγοις, πικρός ἐστι. τοῖς δ' ἔργοις πατήρ.
Υἱῷ προθύμως τὸ ἀξιούμενον ποιῶν.
κηδεμόν' ἀληθῶς οὐκ ἔφεδρον ἕξεις τοῦ βίου.

Εὐριπίδου. Δεινόν τι τέκνον φίλτρον ἔθηκε θεὸς ἀνθρώποις.
Πατὴρ δ' ἀπειλῶν, οὐκ ἔχει μέγαν φόβον.
Ἡδὺς πατὴρ, φρόνησιν ἀντ' ὀργῆς ἔχων.
Υἱὸς δ' ἀμείνων ἐστὶν εὐνοίᾳ πατρός.

Μενάνδρου. Οὐ λυποῦντα δεῖ παιδάριον ὀρθοῦν,
ἀλλὰ καὶ πείθοντά τι.

Χαιρήμονος. Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.

Ἱπποθόου. Παίδων κρατεῖν δεῖ τῶν νεωτέρων σοφούς.

Εὐριπίδου. Πατέρα τε παισὶν ἡδέως συνεκφέρειν
φίλους ἔρωτας, ἐκβαλόντ' αὐθάδειαν.
παῖδάς τε πατρὶ, καὶ γὰρ οὐκ αὐθαίρετοι
βροτοῖς ἔρωτες, οὐδ' ἑκουσία νόσος.
σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ
θεῶν ἀνάγκας, ὅστις ἰᾶσθαι θέλει.
Εἷς γάρ τις ἐστὶ κοινὸς ἀνθρώποις νόμος,
καὶ θεοῖσι τοῦτο δόξαν, ὃ σαφῶς λέγω.
θηρσί τε πᾶσι τέκνα τίκτουσι φιλεῖν.
τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις.
Ἐγὼ νομίζω πατρὶ φίλτατον τέκνον.
παισί τε τοὺς τεκόντας, οὐδὲ συμμάχους

Ayuntamiento de Madrid

ἄλλους γενέσθαι φήμ' ἂν ἐνδικωτέρους.

Ἀνάχαρσις ὁ σκύθης ἐρωτηθεὶς διὰ τίνα αἰτίαν οὐ παιδοποιεῖ, ἔφη· διὰ φιλοτεκνίαν.

Ὄντων δὲ παίδων καὶ πεφυκότος γένους, Εὐριπίδου
καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις,
ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις.

Γαρὸς ἀντίμησις, ἡδὺ φάρμακον. ἔχει γὰρ πλέον τὸ ὀφελοῦν τοῦ δάκνοντος. Σωκράτους.

Εὖ ἴστε ὦ ἄνδρες· ὅτι ὁ φιλότεκνος, ἀξιέπαινον πάθος ἐστί. καὶ οὐκ ἔοικε τῷ φιλοχρημάτῳ, ἢ τῷ φιλαργύρῳ, ἐκεῖνα μὲν γὰρ τὰ ὀνόματα εἰκότως παρὰ τοῖς ἀνθρώποις ὀνείδη λέγεται καὶ ἔστιν. οὐ γὰρ ποιεῖ ταῦτα ἡ φύσις. ἀλλ' ἡ μοχθηρία ἡ ἡμετέρα. τοῦτο δὲ ἄνωθεν αὐτῇ ἐνδέδεται ἐκ τοῦ οὐρανοῦ, καὶ ἐξῆπται ἐκείνης ἀτεχνῶς τῆς χρυσῆς καὶ ἀρρήκτου σειρᾶς, ἣν ξυρράπτουσα ἀεὶ καὶ ξυγκολλῶσα τῷ φθίνοντι τὸ φυόμενον, οὐκ ἀπολισθαίνει ἐς τὸ μὴ εἶναι. ὥστε οὐκ αἰσχύνεται ὁ φιλόσοφος τῇ φιλοτεκνίᾳ, ὥσπερ οὐδὲ τῇ φιλοσοφίᾳ τε καὶ φιλολογίᾳ. Θεμιστίου. ἐκ τοῦ μετριοπαθοῦς.

Τοῖς παισὶ μάλιστα χρὴ τῶν ἀφύσων δατεῖσθαι τὰ χρήματα, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρόν τι ἔωσι διὰ χειρὸς ἔχοντες, ἅμα μὲν γὰρ πολλῶν φειδότεροι γίγνονται ἐς τὰ χρήματα, καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν. ἐν γὰρ τῷ ξυνῷ τὰ τελεύμενα, οὐκ ἀνιᾷ, ὥσπερ ἰδίῃ οὐκ εὐθυμεῖ τὰ ἐπικτώμενα ἀλλὰ πολλῷ ἧσσον. Δημοκρί.

Ἔξεστιν οὖν πολλὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας, καὶ τεῖχος τὲ καὶ σωτηρίαν περιβαλέσθαι τοῖς τε χρήμασι, καὶ τοῖς σώμασιν αὐτῶν.

Ἦ περὶ σμικροῦ οἴεσθε νυνὶ κινδυνεύειν καὶ σὺ καὶ Λυσίμαχος, ἀλλ' οὐ περὶ τούτου τοῦ κτήματος, ὃ τῶν ἡμετέρων μέγιστον ὂν τυγχάνει, υἱέων γάρ που ἢ χρηστῶν, ἢ τἀναντία γενομένων, καὶ πᾶς ὁ οἶκος τοῦ πατρὸς, οὕτως οἰκήσεται, ὁποῖοι ἂν τινὲς οἱ παῖδες γένωνται. ἀληθῆ λέγεις. πολλὴν ἄρα δεῖ προμήθειαν αὐτοῦ ἔχειν Πλάτωνος

Ἀλλ' ὅταν ἡ σωφροσύνη τὸ κοινὸν ᾖ, πάντες μὲν οἱ πρεσβύτεροι πατέρες. πάντες δὲ συγγενεῖς οἱ νεώτεροι. πᾶσαι δὲ αἱ κυήσασαι πώποτε μητέρες. τὸ γὰρ κοσμίους εἶναι τοὺς παῖδας καὶ σώφρονας. μίαν καὶ κοινὴν ἁπάντων ἔχει συγγένειαν. Γαΐου.

Εὖ γὰρ ἴσθι σωκράτην πρὸς ἡμᾶς πολλάκις εἰπόντα, ὅτι οἱ τῶν νέων, ἵνα πολλὴν μὲν ἔχωσιν οὐσίαν φροντίζοντες, ἵνα δὲ καλοὶ κἀγαθοὶ γένονται ἀμελοῦντες, ἴσον πεπόνθασι τοῖς ἱπποτροφοῦσι. καὶ τὰ μὲν πολεμικὰ οὐ διδάσκουσι. τροφὴν δὲ παμπόλλην παρεχομένους, οὕτω γὰρ προτέροις μὲν τοῖς Ξενοφῶντος ἐκ τῆς πρὸς κείτωνα ἐπιστολῆς.



Ayuntamiento de Madrid

ἴσως οἷς χρήσονται. ἀπείροις δὲ ὧν χρή. εἶναι γὰρ ἴσως ἀρετήν, οὐ τὴν εὐσαρκίαν. τὴν δὲ κατὰ πόλεμον εὐτολμίαν, καὶ ἐμπειρίαν. τὰ ἄλλα δ᾽ οὐκ ἐξαμαρτάνειν, καὶ τοὺς γῆν πολλὴν κτωμένους τοῖς υἱέσιν, ἄλλων δὲ μὴ ἐπιμελομένους. ἃ γὰρ κεκτήσονται, πολλὰ ἄξια νομισθήσονται. ἄλλοι δέ, ὀλίγου. προσήκει δὲ τὸ φυλάττον τοῦ κτηθέντος, ἀξιοτιμότερον εἶναι. καὶ τοίνυν ὁ τὸν ἑαυτοῦ παῖδα πολλοῦ ἄξιον ἀποδείξας, κἂν ὀλίγα καταλίπῃ, πολλὰ ἔδωκε. γνώμῃ γὰρ ἢ πλείω ἢ ἐλάττω γίνεται. ἀγαθῇ μὲν ἔμμετρα. ἐκμελεῖ δὲ καὶ ἀπαιδεύτῳ ὀλίγα. Σὺ δὲ οὐδὲν πλείω τῶν ἀναγκαίων παρέχεις, ἄλλοις μέν, διὰ παιδεύσεως ἰοῦσι, ἀναγκαῖά τε καὶ πλούσια νομίζεται. τοῖς δ᾽ ἀμαθέσι, τὸ μὲν ἀλγεινὸν τῆς στερήσεως ἐκλύει. τὴν δὲ περὶ τοῦ μέλλοντος δυσελπιστίαν, οὐ μειοῖ.

## ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ Η ΦΙΛΑΔΕΛΦΙΑ ΚΑΙ ἡ περὶ τοὺς συγγενεῖς διάθεσις, καὶ ὅτι ἀναγκαῖοι.

## ΛΟΓΟΣ πβʹ.

Μενάνδρου. Ὦς ἡδύ γ᾽ ἐν ἀδελφοῖς ἐστὶν ὁμονοίας ἔρως.

Εὐριπίδου. Τὸν τῇ φύσει οἰκεῖον, οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ.

Δεινὸν κασιγνήτοισι γίγνεσθαι λόγους.
μάχεσθ᾽ ὅταν ποτ᾽ ἐμπέσωσιν εἰς ἔριν.

Διφίλου. Ἀνδρὸς φίλου γὰρ καὶ συγγενοῦς οἰκίαν
αὑτοῦ νομίζειν δεῖ τὸν ὀρθῶς συγγενῆ.

Ἦ τι κασιγνήτοις ἐπιμέμφεται ᾧ σι παρ᾽ ἀνήρ.
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.

Σωτίωνος. Οἱ ἀδελφοὺς παρέντες καὶ ἄλλους φίλους ζητοῦντες, παραπλήσιοι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι. τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν.

Πλουτάρχου. Ὅτι χωρεὶς ἀδελφῶν οὔτε πλοῦτον φασίν, οὔτε τὰς ἰσοδαίμονος ἀνθρώποις βασιληίδας ἀρχὰς ἐστί τις χάρις καὶ ὄνησις.

Ὁ διστάδελφον μὴ φιλῶν, οὐδὲ γονέας, οἷς ἀμφοῖν συνεβάλλοιτο.



Ayuntamiento de Madrid

Οἱ χρηστοὶ παῖδες οὐ μόνον διὰ τοὺς γονεῖς ἑαυτῶν ἀγαπήσουσιν· ἀλλὰ καὶ τοὺς γονεῖς δι' ἑαυτούς, ὀφείλοντες γὰρ τοῖς γονεῦσι διὰ πολλὰ χάριν, μάλιστα διὰ τοὺς ἀδελφοὺς ὀφείλουσι.

Πολυδεύκης τὸν καταψιθυρίζοντα τοῦ ἀδελφοῦ πρὸς αὐτὸν κονδύλῳ παίσας, ἀπέκτεινε. καὶ οὐδὲ θεὸς ἠθέλησε μόνος, ἀλλ' ἡμίθεος μᾶλλον σὺν τῷ ἀδελφῷ γενέσθαι.

Θεόφραστός φησιν, ὅτι τοὺς μὲν ἀλλοτρίους, οὐ φιλοῦντα δεῖ κρίνειν· ἀλλὰ κρίναντα φιλεῖν. τοὺς δὲ ἀδελφούς, ἔμπαλιν.

Σκίλουρος ὀγδοήκοντα παῖδας ἄρρενας ἀπολιπών, ἐπειδὴ τελευτᾶν ἤμελλε. δέσμην ἀκοντίων ἑκάστῳ προτείνων, ἐκέλευε καταθραῦσαι. πάντων δ' ἀπαγορευσάντων, καθ' ἓν αὐτὸς ἕλκων ἀκόντιον· πάντα ῥᾳδίως ἔκλασε διδάσκων ἐκείνους, ὅτι συνεστῶτες καὶ ὁμονοοῦντες ἰσχυροὶ διαμενοῦσιν· ἀσθενεῖς δ' ἔσονται διαλυθέντες.

Φιλάδελφον καὶ πένητα λέγεσθαι κρεῖσσον, ἢ μισάδελφον καὶ πλούσιον. Σωτίωνος.

Κύνα μὲν χαλεπὸν ὄντα, ἐπιχειρεῖς πραΰνειν, ὅπως σοι πρᾶος ᾖ· τὸν ἀδελφὸν δὲ οὔ.

Ἀρίστιππος ἔφη πρὸς τὸν ἀδελφόν. μέμνησο ὅτι τῆς μὲν διαστάσεως σὺ ἦρξω, τῆς δὲ διαλύσεως ἐγώ.

Ἱεροκλέους ἐκ τοῦ περὶ φιλαδελφίας.

Πρώτη μὲν οὖν ὑποθήκη μάλα σαφής, εὐθικῶς τε εὔπορος. πρὸς δὲ, κοινή. κατὰ παντὸς μὲν γὰρ εἰπεῖν προσώπου ὑγιὴς ὁ λόγος, ὡς σαφής. καὶ γὰρ οἰκέτῃ χρῶ τ' αὐτίς καλῶς ἐνθυμηθείς, πῶς ἂν ἠξίωσεν ἐκεῖνον αὐτῷ προσφέρεσθαι. εἴπερ ἐκεῖνος μὲν ἦν δεσπότης, αὐτὸς δὲ δοῦλος. ὁ δ' ὅμοιος λόγος καὶ γονεῦσι περὶ τέκνων· καὶ παισὶ περὶ τῶν γειναμένων· καὶ συνόλως πᾶσι περὶ πάντων. ἐξαιρέτως δ' ἐστὶν εὔπορος ἡ παραίνεσις κατὰ τὸν τῶν ἀδελφῶν τρόπον. ἐπειδή γε οὐδὲν δεῖ προϋποθέσθαι τὸν σκεπτόμενον, πῶς ἀδελφῷ χρηστέον. λαβεῖν δ' ἐξ ἑτοίμου· παρὰ τῆς φύσεως τοῦ προσώπου ταυτότητα. καὶ δῆτα καὶ πρῶτος οὗτος εἰρήσθω λόγος. ὥς τε τὸν χρὴ προσφέρεσθαι τὸν τρόπον ἀδελφῷ, ὅς γε αὐτίς ἐκεῖνον ἀξιώσειεν ἂν ἑαυτῷ. νὴ δία φήσει τις. ἀλλ' ἐγὼ μὲν εἰμὶ μέτριος καὶ εὐθικής. ὁ δ' ἀδελφός, σκαιὸς καὶ δυσομίλητος. οὐκ ὀρθῶς δὲ ἐρεῖ. πρῶτον μὲν ἴσως, οὐδ' ἀληθεύσει, ἱκανὴ γὰρ ἡ φιλαυτία, τὰ μὲν ἴδια μεγαλοποιῆσαι καὶ ἀποκυδῆναι. τὰ δὲ τῶν ἄλλων, κατασμικρῶσαι καὶ διαφαυλίσαι. πολλοὶ γοῦν διὰ ταύτην οἱ κακίους σφᾶς αὐτοὺς προσκυνοῦσι τῶν καὶ πολὺ βελτιόνων. ἔπειτα κἂν ὄντως τοιοῦτος ᾖ ἀδελφός, ἀλλὰ σύ γε φαύλου ἂν ἀμείνων εὑρέθητι καὶ νίκησον αὐτοῦ τὴν



Ayuntamiento de Madrid

ἀγριότητα ταῖς εὐποιίαις. ἐπεί τοι γε οὐδὲ πολλὴ χάρις τοῖς εὐγνώμοσι προσενεχθῆναι μετρίως· ἀλλ' ἀνδρὸς ἔργον, καὶ πολλῆς ἄξιον ἀποδοχῆς, τὸν ἀβέλτερον καὶ σκαιὸν, πραῦναι, τοῖς ἐς αὐτὸν πραττομένοις. καὶ γὰρ οὐδὲν πάμπαν ἐπ' ἀδύνατον ἡ παράκλησις. ἀλλ' ἔνεστι γὰρ κἂν τοῖς ἀπτώτατα διακειμένοις σπέρματα μεταβολῆς τῆς ἐπὶ τὸ κρεῖττον, τιμῆς τε καὶ ἀγαπήσεως τῶν εὐεργετησάντων. οὐ γὰρ δὴ ζῶα μὲν ἄγρια καὶ φύσει πρὸς τὸ γένος ἡμῶν ἐκπεπολεμωμένα πρὸς βίαν ἀχθέντα, καὶ τὴν πρώτην κατασχεθέντα δεσμοῖς ἢ γαλεάγραις, χρόνοις ὕστερον τιθασσὰ γίνεται καθημερούμενα ποιαῖς τημελείαις, καὶ τῇ καθ' ἡμέραν τροφῇ. οὐχ ὅπως δὲ ἄνθρωπος ἀδελφὸς, ἀλλὰ κἂν μηδὲν προσήκων τύχοι, οὕτω παντὶ μᾶλλον ἐπιμελείας ἀξιούμενος, μεταβάλλει πρὸς τὸ ἡμερώτερον, κἂν ὑπερβολὴν μὴ ἀπολίπῃ σκαιότητος. μιμητέον οὖν ἐπὶ παντὸς μὲν ἀνθρώπου· πολὺ δὲ διαφερόντως ἐπ' ἀδελφοῦ, τὸ τοῦ Σωκράτους· ἐκεῖνος γὰρ πρὸς τὸν εἰπόντα ἀποθανοῦμαι, εἰ μή σε τιμωρησαίμην, ἔφη, ἀποθανοῦμαι εἰ μή σε φίλον ποιήσω. μετὰ ταῦτα δ' ἐνθυμητέον, ὅτι τρόπον τινὰ οἱ ἀδελφοὶ τὰ αὐτοῦ μέρη τυγχάνουσιν ὥσπερ οἱ ὀφθαλμοὶ ἐμοῦ· καὶ ὡσαύτως μέλη τε καὶ χεῖρες, καὶ τὰ λοιπά. καὶ γὰρ οὗτοι, τοῦτον ἔχουσι τὸν τρόπον, εἴτε πρὸς τὸν οἶκον ἐξετάζοντες. ὥσπερ οὖν οἱ ὀφθαλμοὶ καὶ αἱ χεῖρες εἴπερ ἕκαστον ἰδίαν ψυχὴν καὶ νοῦν λάβοι· περιέποι ἂν τὰ λοιπὰ πάσῃ μηχανῇ, διὰ τὴν εἰρημένην κοινωνίαν, τὸ μὴ δ' αὐτὰ τὸ ἴδιον ἔργον οἷά τε εἶναι παρέχειν καλῶς δίχα τῆς τῶν ἑτέρων παρουσίας, οὕτω δὴ καὶ ἡμᾶς ἀνθρώπους γε ὄντας, καὶ τὴν ψυχὴν ὁμολογοῦντας ἔχειν, μηδὲν παριέναι σπουδῆς, ὑπὲρ τοῦ δεόντως προσφέρεσθαι τοῖς ἀδελφοῖς, καὶ γὰρ αὖ καὶ πλεῖόν τι παρὰ τὰ μέρη συλλαμβάνειν ἀλλήλοις ἀδελφοὶ πεφύκασιν. οἵ τε ὀφθαλμοὶ μὲν ὁρῶσιν ἀλλήλους, παρὼν παρόντι· καὶ χεὶρ συνεργάζεται παροῦσα, χειρὶ παρούσῃ. ἡ δ' ἀδελφῶν σύμπραξις ἀλλήλοις, πολυχουστέρα πως ἐστί. πράττουσι γὰρ τὰ κοινῇ διαφέροντα, καὶ διεστηκότες πάμπαν. μέγα θ' ὑπάρχουσιν ἀλλήλων ὄφελος, κἂν μυρίον ᾖ τὸ διάστημα. ὅλως δὲ ἐνθυμητέον, ὡς βίος ἡμῖν κινδυνεύει μακρός τις εἶναι καὶ πολυετὴς πόλεμος. τοῦτο μὲν, διὰ τὴν ἑαυτῶν τῶν πραγμάτων φύσιν, ἐχόντων τι ἀντίτακτον. τοῦτο δὲ, διὰ τὰς ἐξαιφνιδίους καὶ ἀπροσδοκήτους ἐπιδρομὰς τῆς ψυχῆς. πολὺ δὲ μάλιστα δι' αὐτὴν τὴν κακίαν, οὔτε βίας τινὸς ἀπεχόμενον, οὔτε δόλου κακῶν στρατηγημάτων. οὐδεὶς οὖν ἐστι μόνος, οὐδ' ἀπὸ δρυὸς, οὐδ' ἀπὸ πέτρης, ἀλλ' ἐκ γονέων· καὶ μετ' ἀδελφῶν καὶ συγγενῶν, καὶ ἄλλων οἰκείων. μέγας δὲ βοηθὸς

ὁ λόγος. καὶ τοὺς ὀθνείους καὶ μηδὲν καθ' αἷμα προσήκοντας δεξιούμενος, ἀφθονίαν γε παρέχων συμμάχων. διὰ τοῦτο καὶ φύσιν ἡμῖν σπουδὴ, καὶ ὅντινοῦν προσαγαγέσθαι καὶ φιλοποιήσασθαι. γίνεται γοῦν ἤδη τὸ πρᾶγμα, πλεωτάτη μανιῶν. τῷ μὲν οὐδὲν ἐκ φύσεως ἔχουσι φίλτρον πρὸς ἡμᾶς ἐθέλειν συγκραθῆναι, καὶ τῇ γνώμῃ ἐς ἐφόσον ἐνδέχεται πλεῖστον χέαι τὴν οἰκειότητα. τῶν δὲ ἐξ ἑτοίμου καὶ παρ' αὐτῆς χορηγουμένων τῆς φύσεως, καταμεμεληκέναι βοηθῶν κἀπικούρων, οἵους δὴ συμβέβηκεν εἶναι τοὺς ἀδελφούς.

Ο δή μοι δοκεῖ δεινότατον, οὐδὲ πενίαν ἔνιοι προφασίζεσθαι ἔχοντες, ἀλλ' εὔ- Μουσωνίου.
ποροι χρημάτων ὄντες, τινὲς δὲ καὶ πλούσιοι, ὅμως τολμῶσι τὰ ἐπιγινόμενα τέκνα μὴ τρέφειν, ἵνα τὰ προγενόμενα εὐπορῇ. μᾶλλον δὲ ἀνοσίως μηχανώμενοι τὴν εὐπορίαν τοῖς παισὶν. διὰ ἀδελφῶν φόνον, οἵγε ἀναιροῦσιν ἄλλων τοὺς ἀδελφούς. ἵν' ἐκεῖνοι μείζω τῶν πατρῴων ἔχωσι. κακῶς εἰδότες, ὅσῳ κρεῖττον πολλοὺς ἔχειν ἀδελφοὺς, τοῦ πολλὰ ἔχειν χρήματα. χρήματα μὲν γὰρ ἐπιβουλὰς ἐγείρει παρὰ τῶν πλησίων. οἱ δ' ἀδελφοὶ τοὺς ἐπιβούλους ἀνείργουσι. καὶ τὰ μὲν ἄλλα δεῖται βοηθείας. οἱ ἀδελφοὶ βοηθοί εἰσι κράτιστοι. καὶ οὔτε φίλον ἀγαθὸν ἀδελφῷ παρὰ ἀπὸ ἀνθρώπων ἑτέρων ὁμοίων τε καὶ ἴσων, τῷ ἀπ' ἀδελφῶν. τί δ' ἄν τι παραβάλλοι καλὸν εὐνοίᾳ τῇ ἐξ ἀδελφοῦ εἰς ἀσφαλείας λόγον. τίνα δὲ κοινωνὸν ἀγαθὸν εὐμενέστερον σχοίη τις ἂν, ἢ ἀδελφὸν ἐπιεικῆ. τίνος δὲ παρουσίαν ἐν συμφοραῖς μᾶλλον ποθήσειεν ἂν, ἢ τοιούτου ἀδελφοῦ. ἐγὼ μὲν ἀξιοζηλότατον ἡγοῦμαι τὸν ἐπὶ πλήθει ἀδελφῶν ὁμονοούντων βιοῦντα, καὶ θεοφιλέστατον εἶναι νομίζω, τὸν ἄνδρα τοῦτον, οἴκοθεν ἔχοντα τἀγαθά. διὸ καὶ νομίζω δεῖν ἕκαστον ἡμῶν τοῖς αὑτοῦ παισὶ παραδοῦναι χρημάτων μᾶλλοι ἀπολείπειν ἀδελφούς. ὡς ἀφορμὰς ἀγαθῶν ἀπολείψοντας μείζονας.

Χαιρεφῶντα δέ ποτε καὶ χαιρεκράτην, ἀδελφὼ μὲν ὄντε ἀλλήλων, ἑαυτῷ Ξενοφῶντος
δὲ γνωρίμων, αἰσθόμενος διαφθειρομένω, ἰδὼν τὸν χαιρεκράτην, εἰπέ μοι τος ἐν δευ-
ἔφη ὦ χαιρέκρατες. οὐδέν που καὶ σὺ εἶ τῶν τοιούτων ἀνθρώπων, οἳ χρη- τέρῳ ἀπο-
σιμώτερον νομίζουσι χρήματα, ἢ ἀδελφούς; καὶ ταῦτα τῶν μὲν ἀφρό- μνημονευ-
νων ὄντων. τοῦ δὲ φρονίμου, καὶ τοῦ μὲν, βοηθείας δεομένου. τῶν δὲ, μάτων.
βοηθεῖν δυναμένων. καὶ πρὸς τούτοις, τῶν μὲν, πλειόνων ὑπαρχόντων. τοῦ δὲ, ἑνός. θαυμαστὸν δὲ, καὶ τὸ εἴ τις, τοὺς μὲν ἀδελφοὺς ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται. τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει. ἀλλ' ἐνταῦθα μὲν δύνανται λογίζεσθαι, ὅτι



Ayuntamiento de Madrid

κρεῖττον σὺν πολλοῖς οἰκοῦντα, ἀσφαλῶς τἀρκοῦντα ἔχειν, ἢ μόνον διαιτώμενον, τὰ τῶν πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι. ἐπὶ δὲ τῶν ἀδελφῶν, τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι. καὶ οἰκέτας μὲν, οἱ δυνάμενοι ὠνοῦνται. ἵνα συνεργοὺς ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι. τῶν δὲ ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν, γιγνομένους φίλους. ἐξ ἀδελφῶν δὲ, οὐ γιγνομένους. καὶ μὴν πρὸς φιλίαν, μέγα μὲν ὑπάρχει, τὸ ἐκ τῶν αὐτῶν φῦναι. μέγα δὲ τὸ ὁμοῦ τραφῆναι. ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίνεται τῶν συντρόφων. πρὸς δὲ τούτοις, καὶ οἱ ἄλλοι ἄνθρωποι, τιμῶσί τε μᾶλλον τοὺς συναδέλφους ὄντας, τῶν ἀναδέλφων. καὶ ἧττον τούτοις ἐπιτίθενται. καὶ ὁ χαιρεκράτης, εἶπεν. ἀλλ' εἰ μὲν ὦ σώκρατες μὴ μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν ἀδελφὸν, καὶ μὴ μικρῶν ἕνεκα φεύγειν, ἀγαθὸν γάρ ὥσπερ καὶ σὺ λέγεις ἀδελφὸς ὢν, οἷον δεῖ. ὁπότε μέντοι παντὸς ἐνδέοι, καὶ πᾶν τὸ ἐναντιώτατον εἴη, τί ἄν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις, καὶ ὁ σωκράτης ἔφη. πότερα δὲ ὦ χαιρέκρατες οὐδενὶ ἀρέσαι δύναται χαιρεφῶν, ὥσπερ οὐδὲ σοί. ἢ ἔστιν οἷς καὶ πάνυ ἀρέσκει. διὰ τοῦτο γάρ τοι ἔφη ὦ σώκρατες ἄξιόν ἐστιν ἐμοὶ μισεῖν αὐτὸν, ὅτι ἄλλοις μὲν ἀρέσκειν δύναται. ἐμοὶ δὲ ὅπου ἂν παρῇ πανταχοῦ καὶ λόγῳ καὶ ἔργῳ ζημία μᾶλλον, ἢ ὠφέλειά ἐστιν. ἆρ' οὖν ἔφη ὁ σωκράτης ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μὲν, ἐγχειροῦντι δὲ χρῆσθαι ζημία ἐστὶν, οὕτω καὶ ἀδελφὸς, ὅταν τις αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ, χρῆσθαι ζημία ἐστίν; πῶς δ' ἂν ἐγὼ ἔφη ὁ χαιρεκράτης ἀνεπιστήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε καὶ εὖ λέγειν τὸν εὖ λέγοντα, καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα. τὸν μέντοι καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν, οὐκ ἂν δυναίμην οὔτ' εὖ λέγειν, οὔτ' εὖ ποιεῖν. ἀλλ' οὐδὲ πειράσομαι. καὶ ὁ σωκράτης ἔφη. θαυμαστὰ λέγεις χαιρέκρατες. εἰ κύνα μὲν εἴ σοι ἦν ἐπὶ προβάτοις ἐπιτήδειος ὤν, καὶ τοὺς μὲν ποιμένας ἠσπάζετο, σοὶ δὲ προσιόντι ἐχαλέπαινεν, ἠμελήσας ἂν τοῦ ὀργίζεσθαι. ἐπεί περ ὁ εὖ ποιήσας, πραΰνει αὐτὸν τὸν ἀδελφὸν, ὃν φῄς μὲν μέγα ἀγαθὸν εἶναι, ὄντα πρός σε οἷον δεῖ. ἐπίστασθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ λέγειν, οὐκ ἐπιχειρεῖς μηχανᾶσθαι, ὅπως σοι ὡς βέλτιστος ᾖ; καὶ ὁ χαιρεκράτης. δέδοικα ἔφη ὦ σώκρατες, μὴ οὐκ ἔχω ἐγὼ τοσαύτην σοφίαν, ὥστε χαιρεφῶντα ποιῆσαι πρὸς ἐμὲ, οἷον δεῖ. καὶ μὴν οὐδέν γε ποικίλον ἔφη ὁ σωκράτης, οὐδὲ καινὸν δεῖ ἐπ' αὐτὸν ὡς ἐμοὶ δοκεῖ μηχανήσασθαι. οἷς δὲ καὶ σὺ ἐπίστασαι αὐτὸς, οἶμαι ἂν αὐτὸν ἁλόντα, περὶ πολλοῦ ποιεῖσθαί σε. οὐκ ἂν φθάνοις ἔφη λέγων, εἴ τι

ᾔσθησαί με

Ayuntamiento de Madrid

ἢ ἀθησαί με φίλτρον ἐπιστάμενον, ὃ ἐγὼ εἰδὼς λέληθα ἐμαυτόν. λέγε δή μοι ἔφη, εἴ τινα τῶν γνωρίμων βούλοιο κατεργάσασθαι, ὁπότε θύοι καλεῖν σε ἐπὶ δεῖπνον, τί ἂν ποιῇς. δηλονότι κατάρχοιμι ἂν τοῦ αὐτὸς, ὅτε θύοιμι καλεῖν ἐκεῖνον. εἰ δὲ βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε ἀποδημοίης ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποιοίης. δηλονότι πρότερος ἂν ἐγχειροίην ἐπιμελεῖσθαι τῶν ἐκείνου, ὁπότε ἀποδημοίη. εἰ δὲ βούλοιο ξένον ποιῆσαι, ἀποδέχεσθαί σε αὐτὸν, ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης. δηλονότι καὶ τοῦτον πρότερος ὑποδεχοίμην ἂν, ὁπότε ἔλθοι ἀθήναζε. καὶ εἴγε βουλοίμην ἂν ἄλλον προθυμεῖσθαι, διαπράττειν μοι ἐφ' ἃ ἥκοιμι, δηλονότι καὶ τοῦτο δέοι ἂν πρότερον αὐτὸν ἐκείνῳ ποιεῖν. πάντ' ἄρα σύγε τὰ ἐν ἀνθρώποις φίλτρα ἐπιστάμενος πάλαι, ἀπεκρύπτου, ἢ ὀκνεῖς ἔφη ἄρξαι μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς. καὶ μὴν, πλείστου γε δοκεῖ ἀνὴρ ἄξιος εἶναι ἐπαίνου, ὃς ἂν φθάνοι τοὺς μὲν πολεμίους κακῶς ποιῶν. τοὺς δὲ φίλους εὐεργετῶν, εἰ μὲν οὖν ἐδόκει μοι χαιρεφῶν ἡγεμονικώτερος εἶναί σου πρὸς τὴν φιλίαν ταύτην, ἐκεῖνον ἂν ἐπειρώμην πείθειν, πρότερον ἐγχειρεῖν τὸ σὲ φίλον ποιεῖσθαι. νῦν δέ μοι σὺ δοκεῖς ἡγούμενος μᾶλλον ἂν ἐξεργάσασθαι τοῦτο. καὶ ὁ χαιρεκράτης εἶπεν. ἄτοπα λέγεις ὦ σώκρατες. καὶ οὐδαμῶς πρὸς σοῦ, ὅς με κελεύεις νεώτερον ὄντα ἡγεῖσθαι. καί τοι τούτου γε παρὰ πᾶσιν ἀνθρώποις, τἀναντία νομίζεται. τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ λόγου καὶ ἔργου. πῶς ἔφη ὁ σωκράτης. οὐ γὰρ καὶ ὁδοῦ παραχωρῆσαι τὸν νεώτερον τῷ πρεσβυτέρῳ συντυγχάνοντι πανταχοῦ νομίζεται. καὶ καθήμενον ὑπαναστῆναι. καὶ κοίτῃ μαλακῇ τιμῆσαι, καὶ λόγων ὑπεῖξαι. ὦ ἀγαθὲ μὴ ὄκνει ἔφη. ἀλλ' ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν, καὶ πάνυ ταχύ σοι ὑπακούσεται. οὐχ ὁρᾷς ὡς φιλότιμός ἐστι καὶ ἐλευθέριος; τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια. οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις, ἢ εἰ δοίης τι. τοὺς δὲ καλοὺς κἀγαθοὺς ἀνθρώπους προσφιλῶς χρώμενος, μάλιστ' ἂν κατεργάσαιο. καὶ ὁ χαιρεκράτης εἶπεν. ἐὰν οὖν ἐμοῦ ταῦτα ποιοῦντος, ἐκεῖνος μηδὲν βελτίων γίγνηται. τί γὰρ ἄλλο ὁ σωκράτης ἔφη. κινδυνεύσεις ἐπιδεῖξαι, σὺ μὲν χρηστός τε καὶ φιλάδελφος εἶναι. ἐκεῖνος δὲ φαῦλός τε καὶ οὐκ ἄξιος εὐεργεσίας. ἀλλ' οὐδὲν οἶμαι τούτων ἔσεσθαι. νομίζω γὰρ αὐτὸν ἐπειδὰν αἴσθηταί σε προκαλούμενον εἰς τὸν ἀγῶνα τοῦτον πάνυ φιλονικήσειν, ὅπως περιγένηταί σου καὶ λόγῳ καὶ ἔργῳ εὖ ποιῶν. νῦν μὲν γὰρ οὕτως ἔφη διάκεισθον. ὥσπερ εἰ τὼ χεῖρε ἃς ὁ θεὸς ἐπὶ τῷ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν, ἀφεμένω τούτου, τράποιντο πρὸς

Ayuntamiento de Madrid

τὸ διακωλύειν ἀλλήλω. ἢ εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν ἀλλήλοιν, ἀμελήσαντε τούτου, ἐμποδίζοιεν ἀλλήλω. οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ κακοδαιμονία, τοῖς ἐπ' ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι. καὶ μὴν ἀδελφώ γε, ὡς ἐμοὶ δοκεῖν ὁ θεὸς ἐποίησεν, ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν, ἢ χεῖρέ τε καὶ πόδε καὶ ὀφθαλμὼ καὶ τἄλλα ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις. χεῖρες μὲν γὰρ εἰ δέοι αὐτὰς πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο. πόδες δέ, οὐδ' ἂν ἔπειτα ὀργυιὰν ἔλθοιεν ἅμα. ὀφθαλμοὶ δὲ οἱ δοκοῦντες ἐπιπλεῖστον ἐξικνεῖσθαι, οὐδ' ἂν τῶν ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα καὶ τὰ ὄπισθεν ἰδεῖν δύναιντο. ἀδελφὼ δὲ φίλω ὄντε καὶ πολὺ διεστῶτε, πράττετον ἅμα ἐπ' ὠφελείᾳ ἀλλήλοιν.

Ἱεροκλέους ἐκ τοῦ πῶς συγγενέσι χρηστέον.

Τοῖς εἰρημένοις περὶ γονέων χρησίμως καὶ ἀδελφῶν, γυναικός τε καὶ τέκνων, ἀκόλουθόν ἐστι προσθεῖναι, καὶ τὸν περὶ συγγενέων λόγον, συμπεπονθότα μέν πως ἐκείνοις. δι' αὐτὸ δὲ τοῦτο συντόμως ἀποδοθῆναι δυνάμενον. ὅλος γὰρ ἕκαστος ἡμῶν, οἷον κύκλοις πολλοῖς περιγέγραπται. τοῖς μὲν σμικροτέροις. τοῖς δέ, μείζοσι. καὶ τοῖς μέν, περιέχουσι, τοῖς δέ, περιεχομένοις. κατὰ τὰς διαφόρους καὶ ἀνίσους πρὸς ἀλλήλους σχέσεις, πρῶτος μὲν γάρ ἐστι κύκλος καὶ προσεχέστατος, ὃν αὐτός τις καθάπερ περὶ κέντρον τὴν ἑαυτοῦ γέγραπται διάνοιαν. ἐν ᾧ κύκλῳ τό τε σῶμα περιέχεται, καὶ τὰ τοῦ σώματος ἕνεκα παρειλημμένα. σχεδὸν γὰρ ὁ βραχύτατος καὶ μικροῦ δεῖν αὐτοῦ προσαπτόμενος τοῦ κέντρου κύκλος οὗτος. δεύτερος δὲ ἀπὸ τούτου, καὶ πλέον μὲν ἀφεστὼς τοῦ κέντρου, περιέχων δὲ τὸν πρῶτον, ἐν ᾧ τετάχαται γονεῖς, ἀδελφοί, γυνή, παῖδες, ὁ δ' ἀπὸ τούτων τρίτος ἐν ᾧ θεῖοι, καὶ τηθίδες, πάπποι τε καὶ τίτθαι. καὶ ἀδελφῶν παῖδες, ἔτι δ' ἀνεψιοί. μεθ' ὃν ὁ τοὺς ἄλλους περιέχων συγγενεῖς, τούτῳ δ' ἐφεξῆς, ὁ τῶν δημοτῶν. καὶ μετ' αὐτῶν ὁ τῶν φυλετῶν, εἶθ' ὁ πολιτῶν. καὶ λοιπὸν οὕτως. ὁ μέν, ἀστυγειτόνων. ὁ δέ, ὁμοεθνῶν. ὁ δ' ἐξωτάτω καὶ μέγιστος περιέχων τε πάντας τοὺς κύκλους, ὁ τοῦ παντὸς ἀνθρώπων γένους. τούτων οὖν τεθεωρημένων, κατὰ τὸν ἐντεταμένον ἐστὶ παρὰ τὴν δέουσαν ἑκάστων χρῆσιν, τὸ ἐπισυνάγειν πως τοὺς κύκλους ὡς ἐπὶ τὸ μὲν κέντρον, καὶ τῇ σπουδῇ μεταφέρειν ἀεὶ τοὺς ἐκ τῶν περιεχόντων εἰς τοὺς περιεχομένους. κατὰ τὸν φιλοίκειον γοῦν ἐστι γονέας μὲν καὶ ἀδελφούς. ὁμοίως καὶ κατὰ τὴν αὐτὴν ἀναλογίαν, καὶ τῶν συγγενῶν τοὺς μὲν πρεσβυτέρους καὶ πρεσβυτέρας, ὡς πάππους, θείους, ἢ τηθίδας. τοὺς δ' ὁμήλικας, ὡς ἀνεψιούς. τοὺς δὲ νεωτέρους, ὡς παῖδας ἀνεψιῶν. ὥστε εἴρηται διὰ συντόμων, ὑποθήκη σαφὴς τίνας χρὴ προσφέρεσθαι συγγενέσιν. ἐπειδὴ προεδιδάχθημεν, πῶς τε χρηστέον ἑαυτοῖς, καὶ

Ayuntamiento de Madrid

πρὸς γονεῦσι καὶ ἀδελφοῖς. ἔτι δὲ γυναικὶ καὶ τέκνοις. προσκεῖσθαι δ' ὅτι, καὶ τούτοις μὲν ὁμοίως τιμητέον τοὺς ἐκ τρίτου κύκλου. τούτοις δ' αὖ τοὺς συγγενεῖς. ἀφαιρήσεται μὲν γάρ τι τῆς εὐνοίας τὸ καθ' αἷμα διάστημα πλέον ὄν. ἡμῖν δ' ὅμως σπουδαστέα περὶ τοῦ ἐξομοίως ἐστίν. ἥκοι μὲν γὰρ ἂν εἰς τὸ μέτριον. εἰ διὰ τῆς ἡμετέρας αὐτῶν ἐνστάσεως ἐπιτεμνόμεθα τὸ μῆκος τῆς πρὸς ἕκαστον τὸ πρόσωπον σχέσεως. τὸ μὲν οὖν συνέχον καὶ πραγματικώτερον εἴρηται. χρὴ δ' ἐπὶ μετρίαν καὶ κατὰ τὴν τῶν προσηγοριῶν χρῆσιν. τοὺς μὲν ἀνεψιοὺς, καὶ θείους, καὶ τηθίδας ἀδελφοὺς ἀποκαλοῦντας, πατέρας τε καὶ μητέρας· τῶν δὲ συγγενῶν, τοὺς μὲν θείους. τοὺς δὲ, ἀδελφιδοῦς τοὺς δὲ ἀνεψιούς. ὡς ἂν καὶ τὰ τῆς ἡλικίας παρείκῃ ἕνεκα τῆς ἐν τοῖς ὀνόμασιν ἐκτενείας, οὗτος γὰρ τῆς προσρήσεως ὁ τρόπος. ἅμα μὲν ἂν σημεῖον οὐκ ἀμαυρὸν εἴη τῆς οὔσης ἡμῖν σπουδῆς περὶ ἑκάστους. ἅμα δ' ἂν ἐποτρύνοι καὶ προσεντείνοι, πρὸς τὴν ὑποδεδειγμένην οἷον συνελκυσμὸν τῶν κύκλων. ἐνταῦθα μέντοι γενομένοις, οὐκ ἄκαιρος τοῦ ῥηθέντος ἐπὶ γονέων διορισμοῦ φαντάζεται μνήμη. ἐλέγομεν γὰρ ἂν μετ' ἐκεῖνον, ἡνίκα τὸν τόπον ᾖμεν ἔνθα μητέρα πατρὶ συνεκρίναμεν, ὡς χρὴ τῇ μὲν μητρὶ, τῆς στοργῆς. τῆς δὲ τιμῆς τῷ πατρὶ πλέον ἀπονέμειν. οἷς ἑπομένοις, καὶ δεῦρο τιθεῖμεν ἄν. ὡς τοὺς μὲν μητρόθεν προσήκοντας, στέργειν πλέον πρέπει, τοὺς δ' αὖ κατὰ μητέρα συγγενεῖς, διὰ μείζονος ἄγειν τιμῆς.

Ξενοφῶντος ἐκ τοῦ ὀγδόου τῆς κύρου παιδείας.

Ο Ἴσθι μὲν οὖν καὶ σὺ ὦ καμβύση, ὅτι οὐ τὸ χρυσοῦν σκῆπτρόν ἐστι τὸ τὴν βασιλείαν διασῷζον. ἀλλ' οἱ πιστοὶ φίλοι, σκῆπτρον βασιλεῦσιν ἀληθέστατον. πιστοὺς καὶ ἀσφαλεστάτους δέ, μὴ νόμιζε φύσει φύεσθαι αὐτούς. πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο. ὥσπερ καὶ τὰ ἄλλα τὰ πεφυκότα πᾶσιν αὐτὰ φαίνεται. ἀλλὰ τοὺς μὲν πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ. ἡ δὲ κτῆσις αὐτῶν ἐστὶν, οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ τῆς βασιλείας συμφύλακας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου, ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. καὶ πολῖται τοι ἄνθρωποι, ἀλλοδαπῶν οἰκειότεροι. καὶ σύσσιτοι αὐτοσκήνου. οἱ δ' ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες, καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι, καὶ τὴν αὐτὴν μητέρα, καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι. μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς μάταιά ποιήσητε. ἀλλ' ἐπὶ ταῦτ' εὐθὺς οἰκοδομεῖτε, ἄλλα φιλικὰ ἔργα. καὶ οὕτω δὴ ἀνυπέρβλητος ἔσται ἡ ὑμετέρα φιλία. ἑαυτοῦ τε κήδεται ὁ προνοῶν ἀδελφοῦ. τίνι γὰρ ἄλλῳ ἀδελφὸς ὢν μέγας οὕτω καλὸν ὡς ἀδελφῷ. τίς δ' ἄλλως τιμήσεται

Ayuntamiento de Madrid

## Ὅτι κάλλιστον ἡ φιλαδελφία

δι' ἄνδρα μέγα δυνάμενον οὕτω, ὡς ἀδελφός. τίνα δὲ φοβήσεταί τις ἀδικεῖν, ἀδελφοῦ μεγάλου ὄντος, οὕτως, ὡς τὸν ἀδελφόν. μήτε οὖν θᾶττον μηδεὶς συντούτῳ ὑπακουέτω. μὴ δὲ προθυμότερον παρέστω. οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου, οὔτε τἀγαθὰ, οὔτε τὰ δεινά, ἢ σκό. ἐννόει δὲ καὶ τάδε. τίνι χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυγχάνειν, ἢ τούτῳ. τίνι δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις. τίνα δ' αἴσχιον μὴ φιλεῖν, ἢ τὸν ἀδελφόν. τίνα δὲ προτιμᾶν πάντων κάλλιον, ἢ τὸν ἀδελφόν. μόνου τοι ὦ Καμβύση πρωτεύοντος ἀδελφοῦ παρ' ἀδελφῷ, οὐδὲ φθόνος παρ' ἄλλων ἐφικνεῖται.

## ΟΙΚΟΝΟΜΙΚΟΣ. ΛΟΓΟΣ. πγ΄.

**Σοφοκλέ.** Ὁ δ' εἶπε πρός με βαιά· ἀεὶ δ' ὑμνούμενα.
γύναι· γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.

**Εὐριπίδου.** Τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἐᾶν.
ἥτις τὸ μὲν δίκαιον, οὐ σιγήσεται.
τὰ δ' αἰσχρὰ μισεῖ, καὶ κατ' ὀφθαλμοὺς ἔχει.

**Ἡσιόδου.** Μὴ δὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω.
αἱμύλα κωτίλλουσα τεὴν διφῶσα καλιήν.

**Εὐριπίδου.** Γ αὐτα γὰρ δι' ἀρσένων γυναιξὶ πράσσειν
εἰκός, αἵ τινες σοφαί.

Εἰς ὄχλον ἕρπειν παρθένοισιν, οὐ καλόν.

Κομίζετ' εἴσω τήνδε. οὐ πιστεύειν δὲ χρή,
γυναικὶ μηδὲν, ὅστις εὖ φρονεῖ βροτῶν.

**Θεοφράστου.** Οὐ χρὴ δὲ τὴν γυναῖκα δεινὴν ἐν τοῖς πολιτικοῖς, ἀλλ' ἐν τοῖς οἰκονομικοῖς εἶναι.

Γάμος γὰρ ἀπὸ μὲν φιλίας διπλῆς κράσεως βελτίων, ἑτέρως δὲ σφαλερός.

**Πλουτάρχου.** Αἱ βουλόμεναι μᾶλλον ἀνοήτων κρατεῖν ἀνδρῶν, ἢ φρονίμων ἀκούειν, ἐοίκασιν ἐν ὁδῷ βουλομέναις μᾶλλον ὁδηγεῖν τυφλοὺς, ἢ τοῖς γινώσκουσιν ἀκολουθεῖν, καὶ βλέπουσιν.

Ayuntamiento de Madrid

Ἀνὴρ φιλοσώματος καλλωπίστριαν γυναῖκα ποιεῖ· φιλήδονος, ἐρωτικὴν καὶ ἀκόλαστον· φιλάγαθος καὶ φιλόκαλος, σώφρονα καὶ κοσμίαν.

Θεμιστοκλῆς, τῶν τὴν θυγατέρα μνωμένων αὐτοῦ, τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας ἄνδρα, ἔφη ζητεῖν χρημάτων δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός.

Μέγα γὰρ δυσώπημα σωφροσύνης τέκνωσις. *Δίωνος.*

Τὸ μὲν γὰρ τίκτειν, ἀνάγκης ἔργον ἐστί· τὸ δὲ ἐκτρέφειν, φιλοσοργίας.

Τοῦτον οὖν ἄριστον, ὁ Σόλων εἶπεν αὐτῷ δοκεῖν οἶκον, ὅπου τὰ κτήματα μήτε κτωμένοις ἄδικα, μήτε φυλάττουσιν ἄπαντα· μήτε δαπανῶν μετάνοια πρόσεστιν. *Τῶν ἑπτὰ σοφῶν.*

Ὁ δὲ Βίας, ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπότης δι' αὑτὸν, οἷος ἔξω διὰ τὸν νόμον.

Ὁ δὲ Θαλῆς, ἐν ᾧ πλείστην ἄγειν τῷ δεσπότῃ χολὴν ἔξεστιν.

Ὁ δὲ Κλεόβουλος, εἰ πλείονας ἔχοι τῶν φοβουμένων αὐτὸν τοὺς φιλοῦντας ὁ δεσπότης.

Ὁ δὲ Πιττακὸς, ὡς ἄριστος οἶκός ἐστιν, ὁ τῶν περιττῶν μηδενὸς δεόμενος, καὶ τῶν ἀναγκαίων μηδενὸς ἐνδεόμενος.

Ὁ δὲ Χίλων, ἔφη, δεῖν μάλιστα βασιλευόμενον πόλει, προσεοικέναι τὸν οἶκον.

Εἶτα προσεῖπε καὶ Λυκοῦργος, πρὸς τὸν κελεύοντα δημοκρατίαν ἐν τῇ πολιτείᾳ καταστῆσαι, πρῶτον ἔφη ποίησον ἐν τῇ οἰκίᾳ σου δημοκρατίαν.

Οὕτως ἔχει ποτ' ἄλλα τἀνθρώπινα πράγματα, καθάπερ καὶ τᾶς ἀλύσιος τοὶ κρίκοι· τῆνοι τε γὰρ ἐξ ἀλλάλων ἄρτηνται, ἀλλάλοις τ' ἀκολουθέοντι, καὶ ἑνὸς ἐξ αὐτῶν ἑλκυσθέντος, ὁποίου δή ποκα, τό τε ὅλον, καὶ τὰ ἐξ ἀρχᾶς ἀκολουθεῖ. καὶ τῶν τοῦ βίου δὲ πραγμάτων ὁποῖα ἂν βούλῃ ἑλέσθαι, εὑρήσεις καὶ τὰ λοιπὰ ἐξ ἀνάγκας, κατὰ τὸ ἑξῆς ἀλλάλοις ἑπόμενα. αὐτίκα γὰρ αἴ κα γεωργίαν τις ἐπιτηδεύοι, ἆρ' οὐ πρᾶτον εἶμεν δεῖ τεκτονικάν; εἰ τεκτονικάν, δεῖν δὴ χαλκευτικάν· χαλκευτικὰν, δεῖν δὴ μεταλλευτικάν· ἀλλ' ἵνα ἀγραυλεῖν δυνατοὶ ὦντι, δεῖ σκέπαν ἦμεν τὰν περὶ τὸ σῶμα· τοιγαροῦν ὑφαντικᾶς καὶ οἰκοδομικᾶς ἐντὶ χρεία. καὶ τἄλλα μὲν πάντα μαστευόμενος καὶ ἀνερευνῶν, οὕτως εὑρήσεις ἔχοντα ποτ' ἄλλαλα. οὕτω δὴ πᾶσιν ἡμῖν ἄγρα τειχῶς. ὁ μὲν γάρ τις δοῦλος κατὰ νόμον γίγνεται. ὁ δὲ, κατὰ τὸν τρόπον τᾶς ψυχᾶς, ὁ κρατούμενος ὑπὸ τῶν ἰδίων παθημάτων τᾶς ψυχᾶς. ὁ δὲ τοιοῦτος, οὐχ ἁπλῶς δοῦλος· οὐδ' ὁ τᾷ φύσει δοῦλος, ἀλλὰ τῶν παθῶν δοῦλος· καὶ ἐν καταχρήσει δοῦλος. καὶ μᾶλλον μοχθηρὸς ἄνθρωπος, ἢ δοῦλος κατὰ φύσιν. κατὰ φύσιν δὲ δοῦλος, ὁ δυνά- *Ἐκ τοῦ Βρύσωνος οἰκονομικοῦ.*

Ayuntamiento de Madrid

μενος ἀλλ' ἀρκέως τὰς διὰ τῶ σώματος ὑπηρεσίας παρέχεσθαι τοῖς δεσπόταις καὶ ἐν τῷ ὁδοὺς προοδεῦσαι καὶ φορτία βαστάξαι, καὶ κακοπαθείας καὶ διακονίας ὑπομένεν· μήτε δὲ ἀρετὰν, μήτε κακίαν ἐπιδεχόμενος ψυχικάν·

Καλλικρατίδα πυθαγορείου λάκωνος· ἐκ τοῦ περὶ οἴκων εὐδαιμονίας.

Τὸ μὲν ὦν ὅλον ὑπολαπτέον εἶπεν σύστημα κοινωνίας συγγενικᾶς· ἔκ τινων ἐναντίων καὶ ἀνομοίων σύγκειται· καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται· καὶ ἐπὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται. ὅ, τε γὰρ ὀνυμαινόμενος χορὸς σύστημά τι ἐντι κοινωνίας ὠδικᾶς· καὶ ποτὶ ἕν τι κοινὸν ἐπαμφέρεται τὰν συνῳδίαν. ἔν τε ναῒ τὸ σύστημα τῶ σώματος περὶ τὰν ναῦν, ἔκ τινων ἀνομοίων καὶ ἐναντίων συνέστακε, καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται τὸν κυβερνάταν· καὶ ἐπὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται τὰν εὔπλοιαν. οὕτω δὲ καὶ ὁ οἶκος, σύστημα κοινωνίας συγγενικᾶς ὑπάρχων, ἔκ τινων ἀνομοίων συνέστακε τῶν ἰδίων μερέων· καὶ ποτὶ ἕν τι τὸ ἄριστον συντέτακται τὸν οἰκοδεσπόταν· καὶ ποτὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται τὰν ὁμοφροσύναν. ὡς δ' ἁπλῶς εἰπεῖν, πᾶς ὁ οἶκος καθάπερ ψαλτήριον τριῶν τούτων χρήζει τυχεῖν ἐξαρτύσιος, συναρμογᾶς· ἁφᾶς τινος καὶ χρήσιος μωσικᾶς. ἐξάρτυσις μὲν ὦν ἐντι, ἁ σύνθεσις τῶν ἄλλων μερῶν ἁπάντων. ἐξ ὧν συμπλαροῦται τό, τε ὅλον καὶ τὸ πᾶν σύστημα τᾶς συγγενικᾶς κοινωνίας. τῶν δὲ μερέων αὐτᾶς, δύο πρᾶτα καὶ μέγιστα· ἄνθρωπος, καὶ κτᾶσις τὸ κυβερνώμενον, καὶ τὰν χρᾶσιν ἐμπαρεχόμενον. ὥσπερ δὲ καὶ ζώῳ τὰ πρῶτα μέρεα καὶ μέγιστα ψυχὰ καὶ σῶμα· καὶ ψυχὰ μὲν ἐντι, τὸ κυβερνῶν καὶ χρεόμενον· σῶμα δὲ, τὸ κυβερνώμενον· καὶ τὰν χρᾶσιν ἐμπαρεχόμενον. τὸ ὁ μὲν βίος, ὄργανον ἐπὶ κτᾶσιν ζωᾶς τᾶς ἀνθρωπίνας· τὸ δὲ σῶμα, ὄργανον σύμφυτον καὶ συγγενὲς τᾶς ψυχᾶς. τῶν δὲ συμπληρούντων τὸν οἶκον ἀνθρώπων, τοὶ μὲν, συγγενέες· τοὶ δ' οἰκῆοι· καὶ συγγενέες μὲν, ἀπὸ τῶ αὐτῶ αἵματος γενόμενοι· ἢ τὰν ἄλλαν ἀρχὰν ἔχοντες, ἐκ τῶν κατασπειράντων πράτων τὸ γένος· οἰκῆοι δὲ, ἐπίκτητοι συγγενέες, ἀπὸ τᾶς τῶ γάμω κοινωνίας λαμβάνοντες τὰν καταρχάν. οὗτοι δὲ τυγχάνοντι, ἤτοι πατέρες ἢ ἀδελφοί, ἢ μητροπάτορες, ἢ πατροπάτορες, ἢ ἔγγονοι τούτων, ἐπὶ τὸν οἶκον ἐπαμφέρεται. μέζων γὰρ οὕτως γίνεται καὶ μεγαλοπρεπέστερος, οὐ μόνον οὐσίᾳ καὶ συγγενείᾳ πολυάριθμος γενόμενος, ἀλλὰ καὶ φίλων πολυπλαθίᾳ. φανερὸν ὡς καὶ τοῦτο, μέζονα ποιεῖ τὸν οἶκον, τὸ ἑταιρικὸν εἶδος τᾶς φιλίας, συγκαταριθματέον ἐν τᾷ συμπλαρώσει τῶ οἴκω. τᾶς δὲ κτάσιος, ἁ μὲν ἐντι, ἀναγκαία· ἁ δὲ, ἐλευθέριος. ἀναγκαία μὲν ἁ ποτὶ αὐτὰς ἐξυπηρετοῦσα τὰς τῶ βίω χρήας· ἐλευθέριος δὲ, ἁ ποτὶ κόσμον καὶ διαγωγὰν ἄγοισα τὸν ἄνθρωπον. ὥστε μὴ ἑτέρων δέεσθαι. ἁ δ' ὑπερβάλλοισα,

Ayuntamiento de Madrid

κόσμον ἐλευθέριον καὶ διεξαγωγάν, κατάρχα ὕβριος καὶ ὀλέθρου ῥιζοῦται τοῖς ἀνθρώποις. ἀνάγκη γὰρ τὼς πολλὰ ἔχοντας, τετυφῶσθαι πρᾶτον. τετυφωμένως δὲ ἀλαζόνας γίνεσθαι, ἀλαζόνας δὲ γενομένως, ὑπερηφάνως ἦμεν. καὶ μήτε ὁμοίως μήτε ἴσως ὑπολαμβάνειν τὼς συγγενέας, καὶ ὁμοφύλως, καὶ φυλέτας. ὑπερηφάνως δὲ γενομένως, ὑβριστὰς ἦμεν. ὕβριος δὲ πάσας ἔσχατον καὶ πέρας, ὄλεθρος. ὅκα οὖν ἐν οἴκῳ καὶ πόλει περιουσιάζῃ, τὰ περισσὰ τὸν νομοθέταν δεῖ περικόπτειν καὶ περιτέμνειν, ὡς ἀγαθὸν γεωργόν, τὰ φύλλα μὴ ἀνιέντα τᾶς κτήσιος. τῶ δὲ συγγενικῶ καὶ οἰκειακῶ μέρεος τῶ ἀνθρώπω τρίτον εἶδος. τὸ μὲν γάρ ἐντι ἄρχον. τό δ' ἀρχόμενον. τὸ δ' ἐπικουροῦν τῶ οἴκω καὶ τᾶς συγγενείας. καὶ ἄρχον μέν, ὁ ἀνήρ. ἀρχόμενον δέ, ἁ γυνά. ἐπικουροῦν δέ, τὸ γεννατὸν ἐκ τούτων.

Ἐπὶ τᾶς πρακτικᾶς καὶ κατὰ λογισμὸν ἀρχᾶς· ἃ μὲν δὴ δεσποτικά. ἃ δὲ ἐπιστατικά. ἃ δέ, πολιτικά. καὶ δεσποτικὰ μέν ἐντι, ἁ τῶ ἰδίω συμφέροντος ἄρχοισα, ἀλλ' οὐ τῶν ἀρχομένων. ταύταν γὰρ ἄρχει τὰν ἀρχάν, ὁ μὲν δεσπότας, τῶν δούλων. ὁ δὲ τύραννος, τῶν ὑποτεταγμένων. ἐπιστατικὰ δέ, ἕνεκα τῶν ἀρχομένων. ἀλλ' οὐχ αὑτᾶς. ταύταν δ' ἄρχοντι τὰν ἀρχάν, τοὶ μὲν ἀλεῖπται, τῶν ἀθλητῶν καὶ τοὶ ἰατροί, τῶν νοσεόντων. καί τοι διδάσκοντες, τῶν διδασκομένων. οὐ γὰρ αὐτοῖς τὸ συμφέρον, ἀλλὰ τοῖς ἀρχομένοις πόνοι ποιοῦντι· τοῖς μὲν καμνόντεσσι, τοὶ ἰατροί. τοῖς δὲ σωμασκεῦσι, τοὶ ἀλεῖπται. τοῖς δ' ἀνεπιστάμοσι, οἱ ἐπιστάμονες. πολιτικὰ δέ ἐντι ἀρχά, ἅ τις τέλος ἔχει, τὸ κοινᾷ συμφέρον. καὶ τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων. κατὰ γὰρ ταύταν τὰν ἀρχάν, ἐν μὲν τοῖς ἀνθρωπίνοις, ὅ τε οἶκος καὶ ἁ πόλις συνήρμοσται. ἐν δὲ τοῖς θείοις, ὁ κόσμος. μέμακε δ' οἶκος καὶ πόλις, κατ' ἀναλογίαν τᾶς τῶ κόσμω διοικήσεως. ἀρχὰ μέν, τὸ θεῖον, τᾶς φύσιος. οὔτε τὸ ἐκείνων συμφέρον σκοπεύμενον, οὔτε μὰν τὸ ἴδιον ἀπολελυμένως, ἀλλὰ τὸ κοινᾷ. καὶ διὰ τοῦτο ποταγορεύεται ὁ κόσμος, ἀπὸ τᾶς τῶν πάντων διακοσμάσιος. ποθ' ἓν τὸ ἄριστον συντεταγμένος. τό δ' ἔνεστιν ἄειστον αὐτός, ὅπερ ἐστὶ κατ' ἀνέννοιαν, ζῶον οὐράνιον, ἄφθαρτον. ἀρχά τε καὶ αἰτία τᾶς τῶν ὅλων διακοσμάσιος. ἐπεὶ ὦν καὶ ὁ ἀνὴρ ἀρχὰ τᾶς γυναικός, ἤ τοι τὰν δεσποτικὰν ἄρχη ἀρχάν, ἢ τὰν ἐπιστατικάν, ἢ τόγε ἔσχατον, τὰν πολιτικὰν ἄρχη. οὔτε δὲ τὰν δεσποτικὰν ἀρχάν· κάδεται γὰρ καὶ ἐπιμελῆται τᾶς αὐτῶ γυναικός. οὔτε τὰν ἐπιστατικὰν καθάπαξ. καὶ αὐτὸς γὰρ μέρος ἐντὶ τᾶς κοινωνίας. ἀπολεί-

πτου ὦν, τὰν πολιτικὰν, κατ' ἂν τίθεται καὶ ὁ ἄρχων καὶ ὁ ἀρχόμενος τὸ κοινᾷ συμφέρον. διόπερ καὶ ὁ γάμος, ἐπὶ βίου κοινωνίᾳ συνίσταται. οἱ μὲν ὦν τὰν δεσποτικὰν ἄρχοντες ἀρχὰν τῶν ἀνδρῶν, μισεῦνται ὑπὸ τῶν γυναικῶν, οἱ δὲ τὰν ἐπιστατικὰν, καταφρονέονται. προσθῆκαι γὰρ ἂν φαίνοιντο τῶν γυναικῶν, καὶ κόλακες. οἱ δὲ τὰν πολιτικὰν, καὶ θαυμαίνονται καὶ φιλέονται. ἀμφότερα δὲ ταῦτα ἐσεῖται, αἴ κα ἁδονᾷ καὶ σεμνότατι κεκραμέναν ποτιφέρηταί τις τὰν ἀρχάν. τὰν δὲ ἁδοναν, ἐν τῷ ἀγαπῆν ποτιφερόμενος. τὰν δὲ σεμνότατα, ἐν τῷ μηδὲν εὐτελὲς μηδὲ ταπεινὸν πράττειν.

Γαμίσκοντα δὲ, δεῖ γαμεῖν, ποτὶ τὰν αὐτῶ τύχαν. ἵνα μήτε ὑπὲρ τὰν δύναμιν, μήτε μήονα τᾶς δυνάμιος τὸν γάμον ἐπάγηται, ἀλλὰ ποτὶ λόγον τᾶς ἰδίας δυνάμιος. οἱ μὲν γὰρ ὑπὲρ τὰν δύναμιν ἐπάγοντες, στασιάζοντι διὰ τὰν ἡγεμονίαν. τὰ μὲν γὰρ τῷ πλούτῳ καὶ τῷ γένει καθυπερέχοισα, τὸν ἄνδρος ἄρχειν προαιρῆται. ὁ δὲ ἀνάξιον ἄγεῖται. καὶ παρὰ φύσιν συγχωρεῖν. οἱ δὲ μήονα τᾶς δυνάμιος, τὸ ἀξίωμα καὶ τὸ μέγεθος τῶν οἴκων συναιροῦντι. δεῖ δὲ τὸν μωσικὸν μιμεῖσθαι, ὃς τὸν ἴδιον τόνον τᾶς φωνᾶς ἐκμαθὼν, οὕτως πειρᾶται τὰν μέσαν καθιστάμεν, ὅπως καὶ ἐπὶ τὰ ὀξέα, καὶ ἐπὶ τὰ βαρέα διαρκέσαι δύναται. καὶ μήτε ῥήξῃ, μήτε ἀπολίπῃ τὴν τάσιν. οὕτως οὖν δεῖ καὶ γάμον συναρμόζεσθαι ποτὶ τὸν ἴδιον τόνον τὰς ψυχάς. ὅπως μὴ μόνον ἐν εὐτυχίᾳ συνεκφέρειν ἀλλήλοις δυνατοὶ ὦντι, ποτὶ λόγον δὲ μαστευόμενον τὸν γάμον. δεῖ καὶ ἐπίτροπον καὶ κύριον καὶ ἐπιστάταν τᾶς αὐτῶ γυναικὸς ἦμεν. ἐπίτροπον μὲν, τῷ φροντίζειν τῶν ἐκείνας. κύριον δὲ, τῷ ἄρχεν καὶ κυριεύειν. διδάσκαλον δὲ, τῷ διδάσκειν τὰ δέοντα. τοῦτο δ' ἐσεῖται μάλιστα αἴ κα τὶς ἀγαθῶν προγόνων σκοπασάμενος, παιδίον ἀκμάζουσαν γαμίσκῃ. καὶ γὰρ εὔπλαστοι, καὶ εὐάγωγοι τυγχάνοντι προτονύμφευτοι. καὶ ποτὶ τὸ μαθεῖν, εὐφυῶς ἔχοντι. καὶ ποτὶ τὸ φοβηθῆμεν καὶ ἀγαπάξαι, τὸν αὖ ταύτας ἄνδρα.

Περικτυόνης πυθαγορείας, ἐκ τοῦ περὶ γυναικὸς ἁρμονίας.

Τὴν ἁρμονίην γυνὰ, ἱκανώσασθαι δεῖ φρονήσιός τε καὶ σωφροσύνης πλείω κάρτα. γὰρ ψυχὴν πεπνῦσθαι δεῖ ἐς ἀρετὴν, ὥστ' ἔσται καὶ δικαίη, καὶ ἀνδρήη, καὶ φρονέουσα, καὶ αὐταρκίῃ καλλωπιζομένη. καὶ κενὴν δόξαν μισέουσα. ἐκ τούτων γὰρ ἔργματα καλὰ γίνεται γυναικὶ, ἐς αὐτήν τε καὶ ἄνδρα, καὶ τέκνα, καὶ οἶκον. πολλάκις δὲ καὶ πόλει. εἴγε πόλιας, ἢ ἔθνεα ἡ τοιήγε κρατύνοι, ὡς ἐπὶ βασιλήης ὁρέομεν. κρατέουσα οὖν ἐπιθυμίας καὶ θυμοῦ, θείη καὶ ἁρμονίη γίγνεται. ὥστε οὐδὲ ἔρωτες αὐτὴν ἄνομοι διώξουσιν.

ἀλλ' ἐς

Ayuntamiento de Madrid

ἀλλ' ἐς ἄνδρα τε, καὶ τέκνα, καὶ τὸν οἶκον ξύμπαντα, φιλίαν ἔχειν. ὁκόσαι γὰρ ἐράστριαι τελέθοντι ἀλλοτρίων λεχέων, αὗται δὲ πολέμιαι γίγνονται πάντων τῶν ἐν τῇ οἰκίῃ, ἐλευθέρων τε καὶ οἰκετέων. καὶ συντίθη καὶ δόλως ἀνδρὶ, καὶ ψεύδεα κατὰ πάντων μυθίζεται· πρὸς τοῦτον, ἵνα μούνη δοκέῃ διαφέρειν εὐνοίῃ. καὶ τῆς οἰκίης κρατῇ. ἀργίαν φιλεῦσα, ἐκ τούτων γὰρ φθορὴ γίνεται συμπάντων, ὁκόσα αὐτῇ τε καὶ τῷ ἀνδρὶ ξυνά ἐστι. καὶ ταῦτα μὲν ἄχρι τῶνδε λελέχθω. σκήνεος δὲ ἄγειν χρὴ, πρὸς μέτρα φύσιος. τροφῆς τε πέρι καὶ ἱματίων καὶ λουτρῶν. καὶ ἀλείψεων, καὶ τριχῶν θέσιος. καὶ τῶν ὁκόσα ἐς κόσμον ἐστὶ χρυσοῦ καὶ λίθων. ὁκόσαι γὰρ πολυτελέα πάντα ἐσθίουσι καὶ πίνουσι καὶ ἀμπέχονται, καὶ φορέουσι, τὰ φορεῦσι γυναῖκες, ἐς ἁμαρτίαν ἕτοιμαι κακίης συμπάσης, ἔς τε λέχεα καὶ ἐς τὰ ἄλλα ἀδικοπραγέειν. λιμὸν ὦν καὶ δίψαν ἐξακέσασθαι δεῖ μοῦνον. κἢν ᾖ ἐκ τῶν εὐτελέων, κἢν εἶρος, κἢν νάκος, κἢν σισύρη. βρωτῆρας δὲ εἶναι τῶν τηλόθεν, ἢ τῶν πολλοῦ πωλεομένων, ἢ τῶν ἐνδόξων, κακίη οὐχὶ μικρὰ πέφανται. ἢ διαφᾶσθαι εἵματα ὁκόσα λίαν καὶ ποικίλα ἀπὸ θαλασσίης βάψιος τοῦ κόχλου, ἢ ἄλλης χροιῆς πολυτελέος, μωρίη πολλή. σκῆνος γὰρ ἐθέλει μὴ ῥιγέειν, μηδὲ γυμνὸν εἶναι, χάριν εὐπρεπείης, ἄλλου δ' οὐδενὸς χρήζει. δόξα δὲ ἀνθρώπων μετὰ ἀμαθίης, ἐς τὰ κενεά τε καὶ περισσὰ ἵεται. ὥστ' οὔτε χρυσὸν ἀμφιθήσεται, ἢ λίθον ἰνδικὸν, ἢ χώρης ἐούσης ἄλλης. οὐδὲ πλέξεται πολυτεχνίησι τρίχας, οὐδ' ἀλείψεται ἀραβίης ὀδμῆς ἐμπνέοντα. οὐδὲ χρίσεται πρόσωπον λευκαίνουσα, ἢ ἐρυθραίνουσα τοῦτο. ἢ μελαίνουσα ὀφρύας τε καὶ ὀφθαλμούς. καὶ τὴν πολιὴν τρίχα βαφαῖσι τεχνεωμένη, οὐδὲ λούσεται θαμινά. ἡ γὰρ ταῦτα ζητέουσα θηητῆρα ζητεῖ ἀκρασίης γυναικηίης. κάλλος γὰρ τὸ ἐκ φρονήσιος, οὐχὶ δὲ τὸ ἐκ τούτων ἁνδάνει ταῖς γιγνομέναισιν εὖ. ἀναγκαῖα δὲ μὴ ἡγέεσθω εὐγενίην καὶ πλοῦτον. καὶ μεγάλης πόλιος πάντως γενέσθαι. καὶ δόξαν καὶ φιλίην ἐνδόξων, καὶ βασιληίων ἀνδρῶν, ἢν μὲν γὰρ ἔῃ, οὐ λυπέει. ἢν δὲ μὴ ἔῃ, οὐδὲ ζητέειν οὐ ποιέει. τούτων γὰρ δίχα φρονίμη γυνὴ ζῆν οὐ κωλύεται. κἢν ἔῃ δὲ ταῦτα ἀπὸ λελάχηται, τὰ μεγάλα καὶ θαυμαζόμενα, μήποτε διζέσθω ψυχή. ἀλλὰ καὶ ἄπωθεν αὐτῶν βαδιζέτω. βλάπτει γὰρ μᾶλλον ἐς ἀτυχίην ἕλκοντα, ἢ ὠφελέει. τούτοις γὰρ ἐπιβουλή τε, καὶ φθόνος, καὶ βασκανίη προσκέεται, ὥστε ἐν ἀταραξίῃ οὐκ ἂν γένοιτο ἡ τοιήδε. θεοὺς δὲ σέβειν δεῖ, ἐς εὐελπιστίην εὐδαιμονίης. νόμοισί τε καὶ θεσμοῖσι πειθομένην πατρῴοισι. μετὰ δὲ τούτους μυθέομαι τοὺς θεοὺς, γονέας τιμᾶν καὶ σέβειν, οὗτοι γὰρ ἴσα θεοῖσι πάντα τελεῦσι, καὶ



Ayuntamiento de Madrid

περιέπουσι τοῖς ἐκγόνοισι. πρὸς δὲ τὸν ἄνδρα τὸν ἑωυτῆς, ζώειν ὧδε δεῖ νομίμως καὶ κρηγύως, μηδὲν ἐννοεομένην ἰδίην. ἀλλ᾽ εὐνὴν τηρεῦσαν καὶ φυλάττουσαν, ἐν τούτῳ γὰρ ἔστι τὰ ξύμπαντα. φέρειν δὲ χρὴ τῷ ἀνδρὸς πάντα. κἢν ἀτυχῇ, κἢν ἁμάρτῃ, κατ᾽ ἄγνοιαν, ἢ νοῦσον ἢ μέθην, ἢ ἄλλῃσι γυναιξὶ συγγίνηται. ἀνδράσι μὲν γὰρ ἐνὶ χωρέεται ἁμαρτίη αὕτη. γυναιξὶ δὲ, οὐκέτι. τιμωρείη δ᾽ ἐφέστηκεν, ὥσασθαι οὖν τὸν νόμον δεῖ, καὶ μὴ ζηλοτυπέειν. φέρειν δὲ καὶ ὀργὴν καὶ φειδωλίην, καὶ μεμψιμοιρίην, καὶ ζηλοτυπίην, καὶ κατηγορίην. καὶ ἤν τι ἄλλο ἔχῃ ἐκ φύσιος. καὶ ταῦτα ζήσεται πάντα, ὅκως φίλον ἐστὶν αὐτέῳ σωφρονέουσα. γυνὴ γὰρ ἀνδρὶ φίλη οὖσα καὶ τἀνδρὸς περιέπουσα κρηγύως, ἁρμονίη ὑπάρχει, καὶ οἶκον τὸν ξύμπαντα φιλέει. καὶ τοὺς θύρηθεν εὐνόους τῇ οἰκίῃ ποιέει. ἐπὴν δὲ μὴ φιλέῃ οὔτε οἶκον, οὔτε παῖδας τοὺς ἑωυτῆς, οὔτε θεράποντας, οὔτε θυσίην ἥν τινα ὧν ἐθέλει σώαν ἐσιδέειν. φθορὴν δὲ πᾶσαν ἄγεται. καὶ εὔχεται εἶναι, ὡς πολεμίη ἐοῦσα, καὶ τὸν ἄνδρα εὔχεται τεθνάναι ὡς ἐχθρόν. ὅπως ἄλλοισιν ὁμευρέῃ, καὶ ὁκόσοι ἁνδάνουσι τουτέῳ, ἐχθαίρει. ὁρῶ δ᾽ αὐτὴν ὧδε δοκέω, ἢ πλείως τελέθει φρονήσιός τε καὶ σωφροσύνης. οὐ γὰρ μοῦνον ἐθελήσει τὸν ἄνδρα, ἀλλὰ καὶ παῖδας καὶ συγγενέας καὶ δούλους, καὶ τὴν οἰκίαν ξύμπασαν. ἐν ᾗ καὶ κτήματα, καὶ φίλοι, πολιῆταί τε καὶ ξένοι εἰσί. καὶ ἀπεριεργίῃ τὸ σκῆνος διάξει τουτέων, λεχαίνουσά τε καὶ ἀκούουσα καλά. καὶ ἀκολουθέουσά τε αὐτέῳ, καθ᾽ ὁμοδοξίην τῆς ξυνῆς βιοτῆς, καὶ οἷς ἐκεῖνος αὔξει συγγενέσι τε καὶ φίλοισι ξυνομαρτέουσα. καὶ ταῦτα ἡ γενομένη γλυκέα τε καὶ πικρὰ τἀνδρὶ, ἢν μὴ ἀναρμόνιος ἐς τὸ πᾶν ἔῃ.

Μουσωνίου ἐκ τοῦ περὶ σκευῶν.

Καὶ μὴν συνῳδὰ καὶ συγγενῆ τῇ περὶ τὰς οἰκίας πολυτελείᾳ, καὶ τὰ τῶν σκευῶν τῶν κατ᾽ οἰκίαν φαίνεται ὄντα κλῖναι καὶ τράπεζαι. καὶ στρώματα καὶ ἐκπώματα, καὶ εἴ τι τοιοῦτον, πάντα τὴν χρείαν ὑπερβεβηκότα, καὶ προσωτέρω τῶν ἀναγκαίων ἐληλυθότα. κλῖναι μὲν ἐλεφάντιναι καὶ ἀργυραῖ, ἐν εἴδει δὲ χρυσαῖ. τράπεζαι δὲ, παραπλησίας ὕλης. στρωμναὶ δὲ, ἁλουργεῖς καὶ ἄλλων χρωμάτων δυσποριστῶν. ἐκπώματα δὲ χρυσοῦ, καὶ ἀργύρου πεποιημένα· τὰ δὲ, λίθων· ἢ λιθοειδῶν τινῶν ἁμιλλωμένων τῇ πολυτελείᾳ τοῖς ἀργυροῖς καὶ χρυσοῖς. καὶ σπουδάζεται ταῦτα πάντα, τοῦ μὲν σκίμποδος οὐδὲν κάκιον παρεχομένου κατάκλισιν ἡμῖν τῆς ἀργυρᾶς. ἢ τῆς ἐλεφαντίνης κλίνης· τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑποστρῶσθαι, ὥστε μὴ δεῖσθαι πορφυρίδος, ἢ φοινικίδος. ἐσθίειν δ᾽ ὑπάρχοι τοῖς ἡμῖν ἀβλαβῶς, ἀπὸ τραπέζης ξυλίνης, ὡς μὴ ποθεῖν μηδαμῶς τὴν ἀργυρᾶν. καὶ πίνειν γε

Ayuntamiento de Madrid

ῥᾳδία ἐκ κεραμέων ποτηρίων παρὸν, ἅ τό, τε δίψος σβεννύειν παραπλησίως πέφυκε τοῖς χρυσοῖς καὶ τὸν ἐγχεόμενον αὐτοῖς οἶνον οὐ λυμαίνεται. ὁμοίως δέ γε ἡδίω τῶν χρυσῶν παρέχεται καὶ τῶν ἀργυρῶν, καθόλου δ' ἀρετὴ καὶ κακία σκευῶν καὶ θείη ἂν ὀρθῶς, ἐκ τριῶν τούτων τῆς τε κτήσεως, καὶ τῆς χρήσεως, καὶ τῆς τηρήσεως. ὅσα μὲν γὰρ κτήσασθαι δύσκολά ἐστιν, ἢ χρήσασθαι μὴ ἐπιτήδεια, ἢ φυλάξαι μὴ ῥᾴδια, ταῦτα χείρω. ἃ δὲ καὶ κτώμεθα μὴ χαλεπῶς, καὶ χρώμενοι ἐπαινοῦμεν, καὶ φυλάττομεν ῥᾳδίως, ταῦτα ἀμείνω. διόπερ τὰ κεράμεια καὶ τὰ σιδηρᾶ, καὶ ὅσα τοιαῦτα πολλὰ, κρείττω τῶν ἀργυρῶν τε καὶ χρυσῶν. ὅτι ἡ κτῆσις τούτων, εὐμαρεστέρα, ὅσῳ καὶ εὐτελεστέρα. ἥ τε χρῆσις πλείων, ὅτι καὶ πυρὶ ῥᾳδίως ταῦτ' ἐμβάλλομεν. ἐκεῖνα δὲ, οὔ. ἥ τε φυλακὴ ἧττον. τὰ γὰρ εὐτελῆ τῶν πολυτελῶν ἐπιβουλεύεται ἧττον. μέρος δέ τι τῆς φυλακῆς οὖσα καὶ ἡ ἐκκάθαρσις, περὶ τὰ πολυτελῆ πλείων ἐστίν. ὥσπερ οὖν ἵππος, ὁ τιμῆς μὲν ἐωνημένος ὀλίγης, χρείας δὲ παρεχόμενος πολλὰς, αἱρετώτερος τοῦ ὀλίγα μὲν ὑπουργοῦντος, πολλοῦ δ' ἠγορασμένου, κατὰ τὰ ἄλλα καὶ σκεύη τὰ εὐτελέστερα καὶ πολυχρηστότερα κρείττω τῶν ἐναντίων. τί ποτ' οὖν διώκεται τὰ σπάνια καὶ πολυτελῆ. πρὸ τῶν ἐν μέσῳ καὶ τῶν εὐτελῶν, ὅτι ἀγνοεῖται τὰ καλὰ καὶ τἀγαθά. καὶ ἀντὶ τῶν ὄντων, τὰ δοκοῦντα σπουδάζεται παρὰ τοῖς ἀνοήτοις. ὥσπερ δὴ καὶ οἱ μαινόμενοι πολλάκις λευκὰ τὰ μέλανα νομίζουσιν. ἄνοια δὲ μανίας συγγενέστερον. ἐπεὶ τῶν γε νομοθετῶν τῶν ἀρίστους, καὶ ἐν πρώτοις Λυκοῦργον εὕροιμεν ἂν, πολυτέλειαν μὲν ἐξελαύνοντα τῆς Σπάρτης, ἀντεισάγοντα δ' εὐτέλειαν. καὶ τὸ ἐνδεὲς τῆς διαίτης, τοῦ περιττοῦ προτιμῶντα πρὸς ἀνδρείαν. καὶ τὴν μὲν τρυφὴν, ὡς λύμην ἐκτρεπόμενον. τὸ δ' ἐθελόπονον, ὡς σωτήριον ζηλοῦν ἀξιοῦντα. τεκμήρια δὲ τούτων, αἱ τῶν ἐφήβων ἐκεῖ καρτερήσεις, ἐθιζόμεναι φέρειν λιμόν τε καὶ δίψος, καὶ μετὰ τούτων, ῥῖγος. ἔτι δὲ πληγὰς καὶ πόνους ἄλλους σεμνοῖς ἔθεσιν οἱ πολλοὶ Λακεδαιμόνιοι γραφέντες, ἄριστοι τῶν Ἑλλήνων ἦσάν τε καὶ ἐνομίζοντο. καὶ τὴν πενίαν τὴν ἑαυτῶν ζηλωτοτέραν τοῦ βασιλέως πλούτου κατέστησαν. ἐγὼ δ' οὖν καὶ αὐτὸς δεξαίμην ἂν νοσῆσαι μᾶλλον, ἢ τρυφῆσαι. τὸ μὲν γὰρ νοσεῖν, μόνον βλάπτει τὸ σῶμα. τὸ δὲ τρυφᾶν, ἄμφω διαφθείρει, ψυχήν τε καὶ σῶμα. σώματι μὲν ἀσθένειαν καὶ ἀδυναμίαν. ψυχῇ δὲ ἀκολασίαν καὶ ἀνανδρείαν ἐμποιοῦν. καὶ μὴν καὶ ἀδικίαν τίκτει τρυφὴ, ὅτι καὶ πλεονεξίαν. οὔτε γὰρ τρυφῶντά τινα, δυνατὸν μὴ πολυτελῆ εἶναι, οὔτε πολυτελῆ ὄντα, ὀλίγα βούλεσθαι ἀναλίσκειν. βουλόμενον δὲ πολλὰ, μὴ καὶ πορίζειν πολλὰ ἐπιχειρεῖν, οὐδ' αὖ πορίζειν ἐπιχειροῦντα πολλὰ, μὴ πλεονεκτεῖν καὶ ἀδικεῖν. οὐ γὰρ ἂν πορίσαιέ τις



Ayuntamiento de Madrid

ἐκ δικαίων πολλά. ἔτι καὶ ἄλλον τρόπον, ἄδικος ἂν εἴη πάντως ὁ τρυφῶν. καὶ γὰρ ὑπὲρ πόλεως τῆς αὐτοῦ ποιεῖν τοὺς προσήκοντας πόνους, ὀκνήσειεν ἄν, ἢ οὐκ ἂν ἔτι τρυφῴη. κἂν ὑπὸ φίλων ἢ συγγενῶν κακοπαθῆσαι δέῃ, οὐκ ἂν ὑπομείνειεν. οὐ γὰρ ἐάσει αὐτὸν ἡ τρυφή. καὶ μὴν καὶ διὰ θεοὺς ἔστιν ὅτε πονητέον τῷ δικαίῳ εἶναι βουλομένῳ περὶ τοὺς θεούς. ἐπὶ θυσίας, ἢ τελετάς, ἢ τινα ἄλλην ὑπηρεσίαν τελέσαι τοῖς θεοῖς. ὁ δὲ τρυφῶν, οὐδ' ἐνταῦθα. διόπερ ἄδικος ἂν εἴη πάντως καὶ περὶ πόλιν, καὶ περὶ φίλους, καὶ περὶ θεούς, ἃ χρὴ πράττειν αὐτόν, οὐ πράττων. ὡς οὖν καὶ ἀδικίας αἰτίαν οὖσαν τὴν τρυφήν, φευκτέον τρόπῳ παντί.

Ἱεροκλέους ἐκ τοῦ οἰκονομικοῦ.

Πρὸ πάντων γε περὶ τῶν ἔργων ὑφ' ὧν οἶκος συνέχεται. ταῦτ' οὖν διαιρετέον μὲν κατὰ τὸ πλεῖστον. τῷ μὲν ἀνδρί, τὰ κατ' ἀγρὸν καὶ τὰ περὶ τῆς ἀγορᾶς καὶ τὴν ἀστυπολίαν ἀνακεῖσθαι. τῇ δὲ γυναικί, τὰ περὶ ταλασίαν καὶ σιτοποιίαν, καὶ ὅλως τὰ κατοικίδια τῶν ἔργων. οὔτε μὴν ἀγεύστους ἀξιωτέον εἶναι τοὺς ἑτέρους τῶν ἑτέρων. γένοιτο γὰρ ἄν ποτε καὶ γυναικὶ κατ' ἀγρὸν γενομένῃ καθῆκον, τὸ τοῖς ἐργαζομένοις ἐπιστῆναι. καὶ τὴν τοῦ οἰκοδεσπότου τάξιν ἐκπληρῶσαι. καὶ ἀνδρὶ περὶ τὴν κατὰ τὴν οἰκίαν ἐπιστροφὴν ποιήσασθαι. καὶ τὰ μέν, διαπυνθάνεσθαι. τὰ δέ, καὶ ἐπιδεῖν τῶν γινομένων. οὕτω γὰρ ἐπισυνδέοιτο μᾶλλον τὰ τῆς κοινωνίας, εἰ συμμετέχοιεν ἀλλήλοις τῶν ἀναγκαίων φροντίδων. δεύτερος μέν τοι τοῦ λόγου γενόμενος, οὐκ ἂν ὀκνῆσαί μοι δοκῶ, καὶ τῆς αὐτουργίας ποιήσασθαί τινα γνώμην ἀπτακῶς, τοῖς ὑπὲρ τῶν ἔργων εἰρημένοις καὶ τοῦτο προστιθεῖσαι. ὡς μὲν τοίνυν ἀνδρὶ καθήκει τῶν γεωργικῶν ἅπτεσθαι πόνων, τί καὶ λέγειν δεῖ χρή· οὐ πολὺς γὰρ ὁ κατὰ τοῦτο δυσπειθής. ἀλλὰ καί περ τοσαύτης τρυφῆς καὶ ἀπονοίας τὸν νῦν κατεχούσης βίον. ὅμως σπάνιός ἐστι. μὴ καὶ δι' ἑαυτοῦ προθυμούμενος ἔργων κοινωνῆσαι τῶν ὑπὲρ πόρου καὶ φυτείας, καὶ τῶν ἄλλων τῶν κατὰ γεωργίαν. δυσπειθέστερα δ' ἴσως ὁ περὶ θάτερα τῶν ἔργων, ὅσα γυναιξὶν ἀπονέμηται, παρακαλῶν τὸν ἄνδρα λόγος. καὶ τάχ' οὖσί γε οὐ κατ' ἦθος οἱ καθαριώτεροι μὴ καθ' ἑαυτοὺς εἶναι νομίζοντες ἅψασθαι ταλασίας. ἐπεὶ γὰρ ὡς ἐπὶ τὸ πλῆθος εὐτελεῖς ἀνθρωπίσκοι, καὶ τὸ τῶν κατεαγότων καὶ γυννίδων φῦλον, ὡς τὴν ἐρίων ἐργασίαν καταφέρεται ζήλῳ θηλύτητος, οὐ δοκεῖ κατὰ τὸν ἀληθινώτερον ἄνδρα τυγχάνειν, τὸ εἰς ταῦτα συγκαθιέναι. ὥστ' ἔγωγε τάχ' ἂν οὐδ' ἂν αὐτὸς συμβουλεύσαιμι, τοῖς μὴ τελείαν παρεσχημένοις πίστιν, ὑπὲρ τῆς ἑαυτῶν ἀρρενότητος καὶ σωφροσύνης ἅπτεσθαί τοι οὐδενός. εἰ μέν τοι διὰ τοιοῦδε βίου πεποίηκέ τις ἂν ἑαυτὸν

πάτης

Ayuntamiento de Madrid

πάσης ὑπονοίας ἀτόπου καθάπερ ὄντα, τί κωλύει καὶ κατὰ ταῦτα τῇ γυναικὶ κοινωνῆσαι τὸν ἄνδρα. τῶν μὲν γὰρ ἄλλων κατοικιδίων ἔργων, μὴ καὶ τὸ πλέον ἀνδράσι προσήκειν ἡγητέον, ἤπερ γυναιξίν. ἔστι γὰρ καματωδέστερα καὶ ῥώμης δεόμενα σωματικῆς, οἷον ἀλέσαι καὶ στῖ μάξαι· διασχίσαι τε ξύλα, καὶ ὕδωρ ἀνιμῆσαι, καὶ σκεύη μεταθεῖναι. καὶ διατινάξαι στρώματα, καὶ πᾶν τὸ τούτοις παραπλήσιον. καὶ τὰ μὲν ὑπὲρ ἀνδρῶν ἀποχρῶν ἄν. ὧδι μερίσαι δ' ἔτι καὶ τὴν γυναῖκα πρέπον. ὥστε μὴ τῆς ταλασίας κοινωνεῖν μόνον ταῖς θεραπαίναις, ἀλλὰ καὶ τῶν ἄλλων ἔργων τῶν ἐπανδροτέρων. καὶ γὰρ σιτοποιίας ἅψασθαι κατὰ τὴν ἐλευθέραν εἶναί μοι δοκεῖ. καὶ ὕδωρ ἀνιμῆσαι. πῦρ ἀνακαῦσαι. κλίνην καταστρῶσαι. καὶ πᾶν τὸ τούτοις ἐοικός. πολλὰ δ' ἂν ἀνδρεῖ φαίνοιτο καλλίων τῇ γε ἑαυτῆς, καὶ μάλιστα νεαῖς οὖσα. καὶ μὴ δ' ὅπως τε ῥυμμένη κυοφορείας, ἢ καὶ τρύγης ἀμπέλων ἀλλουργοῦσα συμμετάσχοι. καὶ συλλογῆς ἐλαῶν. ἢ δὲ παρήκοι, καὶ σπόρου καὶ ἀρόσεως, καὶ προσδόσεως ἐργαλείων, τοῖς σκάπτουσιν ἢ φυτεύουσι. τοῦτον γὰρ τὸν τρόπον ἕνεκα τῶν ἔργων, οἶκος προστατούμενος ὑπ' ἀνδρὸς καὶ γυναικός, ἄριστά μοι δοκεῖ κατά γε ταῦτα διεξάγεσθαι.

Ξενοφῶντος ἀπομνημονευμάτων.

Καὶ οἰκίας δὲ λέγων τὰς αὐτὰς καλάς τε εἶναι καὶ χρησίμους, παιδεύειν ἔμοιγε ἐδόκει, οἵας χρὴ οἰκοδομεῖσθαι. ἐπεσκόπει δὲ ὧδε, ἆρά γε τὸν μέλλοντα οἰκίαν οἵαν δεῖ ἔχειν, τοῦτο δεῖ μηχανᾶσθαι, ὅπως ἡδίστη τε ἐνδιαιτᾶσθαι καὶ χρησιμωτάτη ἔσται. τούτου δὲ ὁμολογουμένου, οὐκοῦν ἡδὺ μὲν θέρους ψυχεινὴν ἔχειν. ἡδὺ δὲ χειμῶνος ἀλεεινήν. ἐπειδὴ δὲ καὶ τοῦτο συμφαῖεν. οὐκοῦν ἐν ταῖς πρὸς μεσημβρίαν βλεπούσαις οἰκίαις, τοῦ μὲν χειμῶνος ὁ ἥλιος εἰς τὰς παραστάδας ὑπολάμπει. τοῦ δὲ θέρους, ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῶν στεγῶν πορευόμενος, σκιὰν παρέχει. οὐκοῦν εἴγε καλῶς ἔχει ταῦτα οὕτω γίνεσθαι, οἰκοδομεῖν δεῖ, ὑψηλότερα μὲν τὰ πρὸς μεσημβρίαν, ἵνα ὁ χειμερινὸς ἥλιος μὴ ἀποκλείηται, χθαμαλώτερα δὲ τὰ πρὸς ἄρκτον. ἵνα μὴ οἱ ψυχροὶ παρεμπίπτουσιν ἄνεμοι. ὡς δὲ συνελόντι εἰπεῖν, ὅποι πάσας ὥρας αὐτός τε ἂν ἥδιστα καταφεύγοι, καὶ τὰ ὄντα ἀσφαλέστερα τιθοῖτο. αὕτη ἂν εἰκότως ἡδίστη τε καὶ καλλίστη οἴκησις εἴη. γραφαὶ δὲ ποικιλίαι, πλείονας εὐφροσύνας ἀποστεροῦσιν ἢ παρέχουσι. ναοῖς γε μὴν καὶ βωμοῖς χώραν ἔφη εἶναι πρεπωδεστάτην. ἥτις ἀσφαλεστάτη οὖσα, ἀστιβεστάτη εἴη. ἡδὺ μὲν γὰρ ἰδόντας προσεύξασθαι. ἡδὺ δὲ ἁγνῶς ἔχοντας προσιέναι.

Τοῦ αὐτοῦ ἐκ τοῦ οἰκονομικοῦ.

Οὐκοῦν ἔφη ὁ σωκράτης. ἐπιστήμης μέν τινος ἐδόκει ἡμῖν ὄνομα εἶναι ἡ



Ayuntamiento de Madrid

οἰκονομία. ἡ δ' ἐπιστήμη αὕτη ἐφαίνετο, ἣ οἴκους αὔξειν δύνανται ἄνθρω-ποι. οἶκος δ' ἡμῖν ἐφαίνετο, ὅπερ κτῆσις ἡ σύμπασα. κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι, ὅτι ἑκάστῳ εἴη ὠφέλιμον ἐς τὸν βίον. ὠφέλιμα δὲ πάντα εὑρίσκετο, ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι. πάσας μὲν οὖν τὰς ἐπιστήμας, οὔτε μαθεῖν ἡμῖν οἷόν τε ἐδόκει εἶναι, συναπεδοκιμάζομέν τε ταῖς πόλεσι, τὰς βαναυσικὰς καλουμένας τέχνας· ὅτι καὶ τὰ σώματα λυμαίνεσθαι δοκοῦσι, καὶ τὰς ψυχὰς καταγνύουσι.

## ΠΕΡΙ ΕΥΓΕΝΕΙΑΣ. ΟΤΙ ΕΥΓΕΝΕΙΣ ΟΙ κατ' ἀρετὴν ζῶντες, κἂν μὴ λαμπρῶν ὦσι γεγονό-τες πατέρων καὶ ἀγαθὸν τὸν τρόπον.

### ΛΟΓΟΣ. πδ'.

Εὐριπίδου

Εἰς δ' εὐγένειαν, ὀλίγ' ἔχω φράσαι καλά·
ὁ μὲν γὰρ ἐσθλὸς, εὐγενὴς ἔμοιγ' ἀνήρ.
ὁ δ' οὐ δίκαιος, κἂν ἀμείνονος πατρὸς
ζηνὸς πεφύκῃ δυσγενὴς εἶναι δοκεῖ.
Γ περισσόμυθος ὁ λόγος. εὐγένειαν
τὸ βρότειον εὐλογήσομεν.
τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα
διὰ δ' ἔκρινεν. ἁ τεκοῦσα γᾶ βροτοὺς,
ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν
ἴδιον οὐδὲν ἔχομεν. μία δὲ γονά,
τό τ' εὐγενὲς καὶ τὸ δυσγενὲς,
νόμῳ δὲ γαῦρον αὐτὸ κραίνει χρόνος.
τὸ φρόνιμον, εὐγένεια, καὶ τὸ συνθετὸν,
Ἀστυδά- ὁ θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος
μαντος. Γ νέοις δ' ἔπαινός ἐστιν ἀσφαλέστατος,

Ayuntamiento de Madrid

κατ' ἄνδρ' ἐπαινεῖν, ὅστις ἂν δίκαιος ᾖ,
τρόποις τε ἄριστος, τοῦτον εὐγενῆ καλεῖν.
εὕνεκα τῶν ἔστιν εὑρεῖν ἄνδρ' ἕνα,
καὶ τοῦτον οἱ ζητοῦντες, εἰσὶ μύριοι.
Οὐ μὴ φρονήσεθ', οἳ κενῶν δοξασμάτων. Εὐριπίδου
πλήρεις πλανᾶσθε. τῇ δ' ὁμιλίᾳ βροτοὺς
κρίνετε. καὶ τοῖς ἤθεσι τοὺς εὐγενεῖς.
οἱ γὰρ τοιοίδε, τὰς πόλεις οἰκοῦσιν εὖ,
καὶ δώμαθ', αἱ δὲ σάρκες αἱ κεναὶ βροτῶν
ἀγάλματ' ἀγορᾶς εἰσὶν, οὐδὲ γὰρ δόρυ
μᾶλλον βραχίων σθεναρὸς ἀσθενοῦς μένει.
ἐν τῇ φύσει δὲ τοῦτο κἀν εὐψυχίᾳ.
Ἐγὼ μὲν οὖν οὔποτ' εὐγένειαν ᾤεσα, Θεοδέκτου
τὴν προστάταισι χρωμένην ἀναξίοις.
Ἀπολεῖ με τὸ γένος. μὴ λέγ' εἰ φιλεῖς ἐμὲ, Ἐπιχάρμου
μῆτερ. ἐφ' ἑκάστῳ τὸ γένος, οἷς ἂν τῇ φύσει
ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον πρόσον
ἐκεῖσε καταφεύγουσιν εἰς τὰ μνήματα.
καὶ τὸ γένος. ἀριθμοῦσί τε τοὺς πάππους ὅσοι
οὐδ' ἕνα δ' ἔχοις ἰδεῖν ἂν, οὐδ' εἰπεῖν ὅτῳ
οὐκ εἰσὶ πάπποι. πῶς γὰρ ἐγένοιτό ποτε
εἰ μὴ λέγειν οὐκ ἔχουσι τοῦτο διά τινα
τόπου μεταβολὴν ἢ φίλων ἐρημίαν
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι.
ὃς ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθά.
κἂν αἰθίοψ ἡ μήτηρ ἔστιν εὐγενής.
σκύθης τις ὄλεθρος, ὁ δ' ἀνάχαρσις οὐ σκύθης.
Φειδώμεθ' ἀνδρῶν εὐγενῶν φειδώμεθα. Εὐριπίδου
κακοὺς δ' ἀποπτύωμεν, ὥσπερ ἄξιοι.
Ἐγὼ μὲν οὐκ οἶδ' ὅπως δεῖ σκοπεῖν χρεὼν
τὴν εὐγένειαν, τοὺς γὰρ ἀνδρείους φύσιν
καὶ τοὺς δικαίους τῶν τέκνων δοξασμάτων,
κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω.
Οὐθὲν γένους γὰρ οἶμαι διαφέρειν. Μενάνδρου



Ayuntamiento de Madrid

ἀλλ' ἂν δικαίως ἐξετάσεις καὶ γνησίους.
ὁ χρηστὸς ἐστίν. ὁ δὲ πονηρὸς, καὶ νόθος.

Εὐριπίδου — Η που κρεῖσσον τῆς εὐγενείας, τὸ καλῶς πράσσειν.

Σοφοκλ. — Εν φύλῳ ἀνθρώπων μί' ἔδειξε πατρὸς καὶ ματρός.
ἡμέρας ἁμέρα τοὺς πάντας. οὐδεὶς ἔξοχος
ἄλλος ἔβλαστεν ἄλλου. βόσκει δὲ τοὺς μὲν,
μοῖρα δυσαμερίας. τοὺς δ' ὄλβος ἡμῶν.
τοὺς δὲ δουλείας ζυγὸν ἔχει ἀνάγκης.

Βίωνος. — Αντίγονος ὁ βασιλεὺς βίωνα τὸν φιλόσοφον διαβληθέντα ὡς δυσγενῆ, ἤρετο. τίς πόθεν εἰς ἀνδρῶν, πόθι τοι πόλις ἠδὲ τοκῆες; κἀκεῖνος εἶπεν. ἀλλ' ὀρθῶς ὦ βασιλεῦ. ὅταν τοξοτῶν χρείαν ἔχῃς, οὐκ ἐρωτῶντα τὸ γένος. ἀλλὰ τιθέντα τὸν σκοπὸν, τοὺς ἀρίστους τοξότας παραλαμβάνειν. οὕτως οὖν καὶ ἐπὶ τῶν φίλων ἐξέταζε. οὐ πόθεν εἰσίν. ἀλλὰ τίνες.

Σώστρατος ὁ αὐλητὴς, ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ γονέων ἀσήμων εἶναι, εἶπε. καὶ μὴν διὰ τοῦτο ὤφειλον μᾶλλον θαυμάζεσθαι, ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται;

Ἀνάχαρσις ὀνειδιζόμενος ὅτι σκύθης ἐστὶν, εἶπε. τῷ γένει ἀλλ' οὐ τῷ τρόπῳ.

Φιλάριδος — Σεμνυνέσθω μὲν ὥσπερ ἄλλῳ τινὶ τῶν καλῶν εὐγενείᾳ, οὐκ ἀπαιτικός ἐστιν. ἐγὼ δὲ μίαν εὐγένειαν ἀρετὴν εἶδα. τὰ δὲ ἄλλα πάντα τύχην. καὶ γένοιτ' ἂν, ὁ μὲν ἐκ φαύλων, ἀγαθός. καὶ βασιλέων καὶ πάντων εὐγενέστατος. ὁ δὲ, ἐξ ἀγαθῶν, φαῦλος. ἄδοξός τε αὐτοῦ, καὶ τῶν ταπεινοτάτων δυσγενέστατος. ὥστε ψυχῆς ἔπαινον αὔχει. μὴ προγόνων τεθνηκότων εἰς ἀδοξοτέρης εὐγένειαν.

Δημοκράτης. — Κτηνέων μὲν εὐγένεια, ἡ τοῦ σκήνεος εὐσθένεια. ἀνθρώπων δὲ, ἡ τοῦ ἤθεος εὐτροπίη.

Διογένης, πυνθανομένου τινὸς, τίνες τῶν ἀνθρώπων εὐγενέστατοι, οἱ καταφρονοῦντες εἶπε πλούτου. δόξης. ἡδονῆς. ζωῆς. τῶν δὲ ἐναντίων, ὑπεράνω ὄντες πενίας. ἀδοξίας. πόνου. θανάτου.

Σωκράτης ἐρωτηθεὶς τί εὐγένεια, εὐκρασία ἔφη ψυχῆς καὶ σώματος.

Πλουτάρχου ἐκ τοῦ περὶ εὐγενείας. — Τί γὰρ ἄλλο νομίζομεν εἶναι τὴν εὐγένειαν, ἢ μὴ παλαιὸν πλοῦτον, ἢ παλαιὰν δόξαν. οὐδέτερον ἐφ' ἡμῖν ὄν. ἀλλὰ τὰ μὲν τύχης ἄδηλου, τὰ δ' ἀκρασίας χάριν ἀνθρωπίνης. ὥστ' ἐκδύειν ἀλλοτρίων κρέμαται τὸ πεφυσημένον ὄνομα ἡ εὐγένεια καὶ ὁ πλοῦτος μὲν, οὐχ ὁμοίους αὐτῷ τοὺς γεννηθέντας ποιεῖ, ἀλλ' ὁ ἐξ ἀρετῆς γεννηθεὶς, κομίζει τὴν ἐπὶ τῆς ψυχῆς δικαίων εἰς τοὺς ἐκγόνους διαδεχομένων. καὶ τοῦτ' ἐστὶν, ἡ ὄντως εὐγένεια. ὁμοίωσις δικαιοσύνης.

Ἀρίστωνος

Ayuntamiento de Madrid

Ἆρ' οὖν εὐγενέστερος ἦν ὁ Μίδου πλοῦτος τῆς Ἀριστείδου πενίας; καίτοι ὁ μὲν οὐδ' ἐντάφια καταλιπών. τῷ δὲ Φρυγὶ, πάντ' ἂν ἐδύνατο εἶναι τάφος. ἀλλ' οὐκ ἐν πλουσίῳ τὸ εὐγενές. πυρὸς ἔχει τινὰ τρόπον πᾶσα πονηρία. ἀμφότερα χωρὶς τροφῆς ἀφανίζεται σβεννύμενα. ἡ δὲ Σωκράτους ἀδοξία, μαίας καὶ ἑρμογλύφου πατρὸς, οὐκ ἦν εὐγενεστέρα τῆς Σαρδαναπάλου δόξης; μὴ σύ γε νομίζῃς, ὅτι Ξέρξης εὐγενέστερος ἦν Κυναιγείρου; καίτοι ὁ μὲν, ὑπὲρ τῆς ἰδίας πατρίδος ἀπεκόπη τὴν χεῖρα. ὁ δ' ὑπὲρ τοῦ ζῆν, ἔφυγεν. ἀντὶ τῆς μεγάλης βασιλείας, μεγάλην περικείμενος δειλίαν.

Σωκράτους

Οὔτε σῖτον ἄριστον ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφὴν, οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον εὔνουν, τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα.

Ἀριστοτέλους.

Ὅλως δὲ περὶ εὐγενείας ἐγὼ ἀπορῶ, τίνας χρὴ καλεῖν τοὺς εὐγενεῖς. εἰκότως γὰρ ἔφην τοῦτο εὖ διαπορῶν. καὶ γὰρ καὶ παρὰ τῶν σοφῶν, τὰ μὲν, ἀμφισβητεῖται. τὰ δ' οὐ λέγεται σαφῶς, εὐθὺς τὰ περὶ τῆς δυνάμεως. λέγω δὲ τοῦτο, πότερον τῶν τιμίων ἐστὶ καὶ σπουδαίων, ἢ καθάπερ Λυκόφρων ὁ σοφιστὴς ἔγραψε καινόν τι πάμπαν. ἐκεῖνος γὰρ ἀντιπαραβάλλων ἑτέροις ἀγαθοῖς αὐτὴν, εὐγένειαν μὲν οὖν ἧς ἀφανὲς τὸ κάλλος. ἐν λόγῳ δὲ τὸ σεμνὸν, ὡς πρὸς δόξαν οὖσαν τὴν αἵρεσιν αὐτῆς. κατὰ δ' ἀλήθειαν, οὐθὲν διαφέροντας τοὺς ἀγεννεῖς τῶν εὐγενῶν.

Ἀμφισβητεῖται δὲ καθάπερ καὶ περὶ τοῦ πηλίκον ἀγαθόν ἐστιν, οὕτω καὶ τίνας δεῖ καλεῖν εὐγενεῖς. οἱ μὲν γὰρ, τοὺς ἐξ ἀγαθῶν γονέων, εὐγενεῖς εἶναι νομίζουσι, καθάπερ καὶ Σωκράτης. διὰ γὰρ τὴν Ἀριστείδου ἀρετὴν, καὶ τὴν θυγατέρα αὐτοῦ γενναίαν εἶναι. Σιμωνίδην δέ φασιν ἀποκρίνασθαι ἐρωτώμενον. τίνες εὐγενεῖς, τοὺς ἐκπάλαι πλουσίων φάναι, καίτοι κατὰ τοῦτον τὸν λόγον, οὐκ ὀρθῶς ἐπιτιμῶσι. Θέογνις δ' ὁ ποιητὴς ὁ ποιήσας, ὡς ὅτι τὴν μὲν εὐγένειαν αἰνοῦσι βροτοὶ, μᾶλλον δὲ κηδεύουσι τοῖς πλουσίοις. ἢ πρὸς Διὸς οὐχ αἱρετώτερος ὁ πλουτῶν αὐτὸς, ἢ οὗ ὁ πρόπαππος, ἢ τῶν προγόνων τις πλούσιος ἦν, αὐτὸς δὲ πένης. πῶς γὰρ οὐκ εἶπε, καὶ δέοιτ' ἂν κηδεύειν τοῖς πλουσίοις μᾶλλον, ἢ τοῖς εὐγενέσιν. εὐγενεῖς γὰρ οἱ παλαιοί. κρείττους δὲ οἱ νῦν. οὐκοῦν ὁμοίως κἄν τις ὑπολαμβάνῃ. οὐ τοὺς εὐγενεῖς εἶναι τοὺς ἐκπάλαι πλουσίων, ἀλλὰ τοὺς ἐξ ἀγαθῶν πάλαι. κρείττω γὰρ ἂν δόξειεν ἀρχαίας ἀρετῆς, πρόσφατος. καὶ μετέχειν μᾶλλον ἕκαστον πατρὸς ἢ προπάππου. αἱρετώτερον δ' αὐτοῦ εἶναι σπουδαῖον, ἀλλ' οὐ τὸν πρόπαππον ἢ τινὰ τῶν ἄλλων προγόνων. ὀρθῶς ἔφη λέγειν. ἆρ' οὖν οὐκ ἐπεὶ ἐν μηδετέρῳ τούτων ὁρῶμεν τὴν

Ayuntamiento de Madrid

εὐγένειαν σκεπτέον ἄλλον τρόπον, τίνα τοῦτον. εἰ ὅτι σκεπτέον δ' ἔφη τὸ εὖ σημαίνει, τί δή που τῶν ἐπαινετῶν καὶ σπουδαίων, οἷον τὸ εὐπρόσωπον. καὶ τὸ εὐόφθαλμον. ἀγαθὸν γάρ τι ἢ καλὸν σημαίνει κατὰ τοῦτον τὸν λόγον. πάνυ γὰρ εἶπεν. οὐκοῦν εὐπρόσωπον μέν ἐστι, τὸ ἔχον ἀρετὴν προσώπου. εὐόφθαλμον δὲ, τὸ ὀφθαλμοῦ ἀρετήν. οὕτως εἶπεν. ἀλλὰ μὴν ἔστι γένος τὸ μὲν σπουδαῖον, τὸ δὲ, φαῦλον, ἀλλ' οὐ σπουδαῖον. πάνυ γὰρ εἶπε. σπουδαῖον δέ γε φαμὲν ἕκαστον κατὰ τὴν αὑτοῦ ἀρετὴν εἶναι. ὥστε καὶ γένος σπουδαῖον ὡσαύτως. οὕτως εἶπε. δῆλον ἄρ' ἔφην, ὅτι ἐστὶν ἡ εὐγένεια, ἀρετὴ γένους.

Πλάτωνος Πότερον οἴει ἀμείνους γίγνεσθαι φύσεις ἐν γενναίοις γένεσιν, ἢ μή; δηλονότι ἐν γενναίοις. οὐκοῦν τοὺς εὖ φύντας, ἂν καὶ εὖ τραφῶσιν, οὕτω τελέους γίγνεσθαι πρὸς ἀρετήν; ἀνάγκη. σκεψώμεθα δὴ τοῖς ἐκείνων τὰ ἡμέτερα ἀντιτιθέντες. πρῶτον μὲν εἰ δοκοῦσι φαυλοτέρων γενῶν εἶναι οἱ Λακεδαιμονίων καὶ Περσῶν βασιλεῖς. ἢ οὐκ ἴσμεν ὡς οἱ μὲν Ἡρακλέους, οἱ δ' Ἀχαιμένους ἔκγονοι. τὸ δ' Ἡρακλέους γένος καὶ τὸ Ἀχαιμένους, εἰς Περσέα τὸν Διὸς ἀναφέρεται. καὶ γὰρ τὸ ἡμέτερον ὦ Σώκρατες εἰς Εὐρυσάκην. τὸ δὲ Εὐρυσάκους, εἰς Δία. καὶ γὰρ τὸ ἡμέτερον ὦ γενναῖε Ἀλκιβιάδη, εἰς Δαίδαλον. ὁ δὲ Δαίδαλος, εἰς Ἥφαιστον τὸν Διός. ἀλλὰ τὰ μὲν τούτων ἀπ' αὐτῶν ἀρξάμενα, βασιλεῖς εἰσιν ἐκ βασιλέων μέχρι Διός. οἱ μὲν, Ἄργους τε καὶ Λακεδαίμονος. οἱ δὲ, τῆς Περσίδος ἀεί. πολλάκις δὲ καὶ τῆς Ἀσίας, ὥσπερ καὶ νῦν. ἡμεῖς δὲ, αὐτοί τε ἰδιῶται καὶ οἱ πατέρες. εἰ δὲ καὶ τοὺς προγόνους δέοι τὴν πατρίδα Εὐρυσάκους ἐπιδεῖξαι, ἢ τὴν Αἰακοῦ τοῦ ἔτι προτέρου Αἴγιναν Ἀρταξέρξῃ τῷ Ξέρξου, πόσον δὴ οἴει γέλωτα ὀφλεῖν. ἀλλ' ὅρα μὴ τῷ τοῦ γένους ὄγκῳ ἐλαττώμεθα τῶν ἀνδρῶν, καὶ τῇ ἄλλῃ τροφῇ. ἢ οὐκ ᾔσθησαι τοῖς τε Λακεδαιμονίων βασιλεῦσιν, ὡς μεγάλα τὰ ὑπάρχοντα. ὧν αἱ γυναῖκες δημοσίᾳ φυλάττονται ὑπὸ τῶν ἐφόρων. ὅπως εἰς δύναμιν μὴ λάθῃ ἐξ ἄλλου γενόμενος βασιλεὺς, ἢ ἐξ Ἡρακλειδῶν. ὁ δὲ Περσῶν τοσοῦτον ὑπερβάλλει, ὥστ' οὐδεὶς ὑποψίαν ἔχει, ὡς οὐκ ἐξ ἄλλου ἂν βασιλεὺς γένοιτο, ἢ ἐξ αὐτοῦ. διὸ οὐ φρουρεῖται ἡ βασιλέως γυνή. ἀλλ' ἢ ὑπὸ φόβου. ἐπειδὰν δὲ γένηται ὁ παῖς ὁ πρεσβύτατος, οὗπερ ἡ ἀρχὴ, ἑορτάζουσι πάντες οἱ ἐν τῇ βασιλέως ὧν ἂν ἄρχῃ. μετὰ τοῦτο τρέφεται ὁ παῖς. οὐχ ὑπὸ γυναικὸς τροφοῦ ὀλίγου ἀξίας. ἀλλ' ὑπὸ εὐνούχων, οἳ ἂν δοκῶσι τῶν περὶ βασιλέα ἄριστοι εἶναι. οἷς τά τ' ἄλλα προστέτακται ἐπιμελεῖσθαι τοῦ γενομένου, καὶ ὅπως ὅτι κάλλιστος ἔσται. μηχανᾶσθαι ἀναπλάττοντας τὰ μέλη τοῦ παιδὸς, καὶ κατορθοῦντας. καὶ ταῦτα δρῶντες, ἐν μεγάλῃ τιμῇ εἰσιν. ἐπειδὰν δὲ ἑπταετεῖς

Ayuntamiento de Madrid

γένωνται οἱ παῖδες, ἐπὶ τοὺς ἵππους καὶ ἐπὶ τοὺς τούτων διδασκάλους φοιτῶσι. καὶ ἐπὶ τὰς θήρας ἄρχονται ἰέναι. δὶς δ᾽ ἑπτὰ γενόμενον ἐτῶν τὸν παῖδα, παραλαμβάνουσιν, οὓς ἐκεῖνοι βασιλείους παιδαγωγοὺς νομίζουσιν. εἰσὶ δὲ ἐξειλεγμένοι Περσῶν οἱ ἄριστοι δόξαντες ἐν ἡλικίᾳ τέσσαρες. ὅ, τε σοφώτατος, καὶ ὁ δικαιότατος. καὶ ὁ σωφρονέστατος, καὶ ὁ ἀνδρειότατος. ὧν ὁ μὲν σοφώτατος, μαγείαν τε διδάσκει τὴν Ζωροάστρου τοῦ Ὡρομάζου. ἔστι δὲ τοῦτο θεῶν θεραπεία. διδάσκει δὲ καὶ βασιλικά. ὁ δὲ δικαιότατος, ἀληθεύειν διὰ παντὸς τοῦ βίου. ὁ δὲ σωφρονέστατος, μηδὲ ὑπὸ μιᾶς ἄρχεσθαι τῶν ἡδονῶν. ἵν᾽ ἐλεύθερος εἶναι ἐθίζηται, καὶ ὄντως βασιλεύς. ἄρχων πρῶτον τῶν ἐν αὑτῷ, ἀλλὰ μὴ δουλεύων. ὁ δὲ ἀνδρειότατος, ἄφοβον καὶ ἀδεᾶ παρασκευάζων, ὡς ὅταν δείσῃ, δοῦλον ὄντα.

## ΟΤΙ ΟΥΚ ΑΕΙ ΤΟΙΣ ΕΥΓΕΝΕΣΙ ΚΑΙ ΧΡΗΣΤΟΙΣ ΤΩΝ ΠΑΤΕΡΩΝ ΕΟΙΚΕ ΤΑ ΤΕΚΝΑ.

### ΛΟΓΟΣ. πε΄.

Καὶ τόδε Φωκυλίδου, τὸ πλέον γένος εὐγενὲς εἶναι. Φωκυλίδου
οἷς οὔτ᾽ ἐν μύθοις ἕπεται χάρις, οὔτ᾽ ἐνὶ βουλῇ.

Πολλῶν δ᾽ ἐν πολυπληθίᾳ πέλεται. Σοφοκλ.
οὔτ᾽ ἀπ᾽ εὐγενέων ἐσθλὸς, οὔτ᾽ ἀχρείων.
τὸ λίαν κακὸς, βροτῷ δὲ πιστὸν οὐδέν.

Ἀπολεῖ με τὸ γένος μὴ λέγ᾽ εἰ φιλεῖς ἐμέ. Μενάνδρου
μῆτερ. ἐφ᾽ ἑκάστῳ τὸ γένος, οἷς ἂν τῇ φύσει.
ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσὸν,
ἐκεῖσε καταφεύγουσιν εἰς τὰ μνήματα.
καὶ τὸ γένος, ἀριθμοῦσί τε τοὺς πάππους ὅσοι
οὐδὲν ἔχουσι πλεῖον. οὐδ᾽ ἐρεῖ ὅτῳ
οὐκ εἰσὶ πάπποι. πῶς γὰρ ἐγένοντ᾽ ἄν ποτε
εἰ μὴ λέγειν δ᾽ ἔχουσι τούτους διά τινα
τόπου μεταβολὴν. ἢ φίλων ἐρημίαν
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι.

Μόνον δ᾽ ἂν αὐτὰ χρημάτων οὐκ ἂν λάβοις. Εὐριπίδου
γενναιότητα κἀρετὴν, καλὸς δέ τις

Ayuntamiento de Madrid

κἂν ἐκ πονηρῶν σωμάτων γένοιτο παῖς.

Σοφοκλέ. Οὐκ ἄν ποτ' ἄνδρος ἄνδρα θαυμάσαιμ' ἔτι
ὃς μηδὲν ὢν γοναῖσιν, εἶθ' ἁμαρτάνει.
ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι,
τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.

Ἐπιχάρμου. Οὐκ ἔστιν οὐδεὶς ἀποδεδειγμένος τόπος.
ὃς ἢ πονηροὺς πάντας, ἢ χρηστοὺς ποιεῖ.

Εὐριπίδου. Ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶ πατρίς.
Ἀλλ' εὐγενὲς μὲν ἐν δὲ κιβδήλῳ τόδε.
πολλοὶ γὰρ ὄντες εὐγενεῖς, εἰσὶ κακοί.
Ἤδη γὰρ εἶδον ἄνδρα γενναῖον πατρὸς
τὸ μηδὲν ὄντα, χρηστὰ δ' ἐκ κακῶν τέκνα.

Ὁμήρου. Οἱ πλέονες κακίους· παῦροι δέ τε πατρὸς ἀρείους.

Ἀντίγονος, ἐπεὶ νεανίσκος ἀνδρείου πατρὸς, αὐτὸς δὲ μὴ πάνυ δοκῶν ἀγαθὸς εἶναι στρατιώτης ἠξίου τὰς τοῦ πατρὸς λαμβάνειν ἀποφοράς, ἀλλ' ἐγὼ εἶπεν ὦ μειράκιον, ἀνδραγαθίας οὐ πατραγαθίας μισθὸν καὶ δωρεὰς δίδωμι.

## ΟΤΙ ΕΥΓΕΝΕΙΣ, ΟΙ ΑΡΟ ΧΡΗΣΤΩΝ ΡΑΤΕΡΩΝ Η ΔΥΝΑΤΩΝ Η ΕΝΔΟΞΩΝ ΓΕΝΟΜΕΝΟΙ.

### ΛΟΓΟΣ. πς'.

Εὐριπίδου. Ἡ τοῖς ἐν οἴκῳ χρήμασι λελείμμεθα.
ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει.
Φ. Εὖ φεῦ· τὸ φῦσαι πατρὸς εὐγενοῦς ἄπο.
ὅσην ἔχει φρόνησιν ἀξίωμά τε.
κἂν γὰρ πένης ὢν τυγχάνῃ χρηστὸς γεγὼς,
τιμὴν ἔχει τινά, ἀναμετρούμενος δέ πως,
τὸ τοῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ.
Ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων.
πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς.
Φ. Ἔρα δὲ καὶ τοῦτ' οὐ μικρὸν εὐγενής.
ἀνὴρ στρατηγῶν, εὐκλεᾶ τ' ἔχων φάτιν.
Ἐν τοῖς τέκνοις γὰρ ἡ ἀρετὴ τῶν εὐγενῶν

Ayuntamiento de Madrid

συνέλαβε. κρείσσων τ' ἐστὶ πλουσίου γάμου.
Δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς,
ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας τοὔνομα τοῖσιν ἀξίοις.
Οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας,
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
γαμεῖν τ' ἐπ' ἐσθλῶν. ὃς δὲ νικηθεὶς πόθῳ
κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω.
τέκνοις ὄνειδος οὕνεχ' ἡδονῆς λιπεῖν.
τὸ δυστυχὲς γὰρ ηὑγένει' ἀμύνεται,
τῆς δυσγενείας μᾶλλον. ἡμεῖς γὰρ κακῶν
εἰς τοὔσχατον πλέοντες, εὕρομεν φίλους.
Τοσόνδε παῖδας σωφρονοῦσ' ἐπίσταμαι
χρυσοῖς θ' ὁμιλοῦσ' εὐσεβεῖν ἠσκηκότα.
πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς
γένοιτ' ἂν οὐδείς. τοῦτο μ' ἂν πείθοι ποτέ.
Τό τ' εὐγενὲς πολλὴν δίδωσ' ἐλπίδ' ὡς ἄρξουσι γῆς.
Τὴν εὐγένειαν κἂν ἄμορφος ᾖ γάμος,
τιμῶσι πολλοὶ πρὸς τέκνων χάριν λαβεῖν,
τό τ' ἀξίωμα μᾶλλον, ἢ τὰ χρήματα.
Ἀλλ' εἴπερ εἶ γενναῖος ὡς αὐτὸς λέγεις,
σήμαιν' ὅτου τ' εἶ ὁπόθεν. τὸ γὰρ καλῶς
πεφυκὸς, οὐδεὶς ἂν μιάνειεν λόγος.

Ἄπιστος ἡ τῶν σοφιστῶν συκοφαντία κατὰ τῆς εὐγενείας. εἰ μὴ καὶ τὰ ἐν μέσῳ καὶ πᾶσι γνώριμα σκοποῦσιν. ὅτι πρὸς τὰς ὀχείας τοὺς εὐγενεῖς ἵππους καὶ κύνας ὠνοῦνται, καὶ κιχρῶνται. καὶ ἀμπέλων εὐγενῆ σπέρματα, καὶ ἐλαιῶν, καὶ τῶν ἄλλων δένδρων. ἀνθρώπου δὲ, οὐδὲν ὄφελος νομίζουσιν εὐγένειαν εἰς τὰς μελλούσας διαδοχάς. ἀλλ' αὐτὸ πείθονται βάρβαρον εἶναι καὶ ἑλληνικὸν σπέρμα. καὶ οὐκ οἴονται λεληθυίας τινὰς ἀρχὰς καὶ σπέρματα ἀρετῆς συγκαταβάλλεσθαι τοῖς γινομένοις. ὥσπερ τῷ Τηλεμάχῳ τοῦ Ὀδυσσέως, ἐφ' οὗ καὶ πάνυ τῷ ὀνόματι ὁ ποιητὴς εἴρηκεν. ἐνέστακται μένος ἠΰ. ὡς ἂν ἐν ταῖς σπερμάτων ὀλίγαις σταγόσι, καὶ τῶν ἀρετῶν συρρεόντων ἀγαθῶν.

Πλουτάρχου ὑπὲρ εὐγενείας.

Φανερὸν τοίνυν ἔφην ἐγὼ, περὶ ὧν πάλαι διηπορήσαμεν διὰ τί ποτε οἱ ἐκ πάλαι πλουσίων, ἢ οἱ ἐκ πάλαι σπουδαίων, εὐγενέστεροι δοκοῦσιν εἶναι μᾶλλον

Ayuntamiento de Madrid

τῶν σύνεγγυς τἀγαθὰ κεκτημένων, αὐτὸς γὰρ εἰ δεύτερος σπουδαῖος ὤν, ἢ πάππου σπουδαίου τετυχηκώς, ὥστ' εἴη ἂν εὐγενής, ὁ ἀγαθὸς ἀνήρ. καί τινες δὲ εἰρήκασιν οὕτως ἐκ τοῦ διελέγχειν προσποιούμενοι τὸν συλλογισμὸν τῆς εὐγενείας, ὥσπερ φησὶ καὶ Εὐριπίδης. οὐχὶ τῶν ἔκπαλαι σπουδαίων, εὐγένειαν φάμενος εἶναι. ἀλλ' οἷς τις ἀνὴρ ἀγαθοὶ ἁπλῶς. τὸ δ' οὐκ ἔστιν. ἀλλ' ὀρθῶς ζητοῦσιν, οἱ τὴν ἀρχαίαν ἀρετὴν προστιθέντες. τὰ δ' αἴτια εἴπωμεν. τουτέστιν, ὅτι ἡ μὲν εὐγένειά ἐστιν, ἀρετὴ γένους. ἡ δ' ἀρετή, σπουδαῖον. σπουδαῖον δ' ἐστὶ γένος, ἐν ᾧ πολλοὶ σπουδαῖοι πεφύκασιν ἐγγίνεσθαι. συμβαίνει δὲ τὸ τοιοῦτον, ὅταν ἐγγένηται ἀρχὴ σπουδαία ἐν τῷ γένει. ἡ γὰρ ἀρχή, τοιαύτην ἔχει τὴν δύναμιν. πολλὰ παρασκευάζειν. οἷα περ αὐτή. τοῦτο γάρ ἐστιν ἀρχῆς ἔργον, ποιῆσαι οἷον αὐτή, ἕτερα πολλά. ὅταν οὖν ἐγγένηται τοιοῦτος εἷς τις ἐν τῷ γένει, καὶ οὕτω σπουδαῖος, ὥστ' ἔχειν τὸ ἀπ' ἐκείνου ἀγαθὸν πολλὰς γενεάς, τοῦτο σπουδαῖον ἀνάγκη εἶναι τὸ γένος. πολλοὶ γὰρ ἔσονται σπουδαῖοι ἄνθρωποι. ἄν τε ἀνθρώπων ᾖ τὸ γένος, ἄν τε ἵππων, ἵπποι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ζώων. ὥστ' εὐλόγως, οὐχ οἱ πλούσιοι οὐδ' οἱ ἀγαθοί. ἀλλ' οἱ ἔκπαλαι πλουσίων, ἢ ἔκπαλαι ἀγαθῶν, εὐγενεῖς εἰσιν ἄν. ζητεῖ γὰρ ὁ λόγος τἀληθῆ. ἀρχὴ γὰρ ἄνωθεν πάντων, οὐ μὴν, ἀλλ' οὐδ' οἱ ἐκ προγόνων ἀγαθῶν, εὐγενεῖς πάντως, ἀλλ' ὅσοι τυγχάνουσιν ἀρχηγοὶ τῶν προγόνων ὄντες. ὅταν μὲν οὖν αὐτὸς ἀγαθὸς, μὴ ἔχει δὲ τοιαύτην δύναμιν τῆς φύσεως, ὥς τίκτειν πολλοὺς ὁμοίως, οὐκ ἔχει ἀρχὴν τοιαύτην δύναμιν ἐν τούτοις. ἀρχὴ τοῦ γένους καὶ εὐγενεῖς, οἱ ἀπὸ τούτου τοῦ γένους ὄντες. οὐκ ἐὰν ὁ πατὴρ εὐγενὴς ᾖ, ἀλλ' ἐὰν ὁ ἀρχηγὸς τοῦ γένους. οὐ γὰρ δι' αὐτὸν ὁ πατὴρ ἐγέννησεν ἀγαθὸν, ἀλλ' ὅτι ἐκ τοιούτου γένους ἦν.

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα Κύρνε καὶ ἵππους.
εὐγενέας. καί τις βούλεται ἐξ ἀγαθοῦ κτήσασθαι.
γῆμαι δὲ κακὴν κακοῦ, οὐ μελεδαίνει,
ἐσθλὸς ἀνὴρ ἤν τις χρήματα πολλὰ διδῷ.
οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
πλουσίου. ἀλλ' ἀφνειὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα γὰρ τιμῶσι. καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε.
καὶ κακὸς ἐξ ἀγαθοῦ πλοῦτος ἔμιξε γένος.

Ayuntamiento de Madrid

## ΟΠΟΙΟΝ ΧΡΗ ΕΙΝΑΙ ΤΟΝ ΕΥΓΕΝΕΙ

### ΛΟΓΟΣ. πζ'.

Τοὺς εὖ γεγονότας καὶ τεθραμμένους καλῶς, Μενάνδρ
κἂν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας.
Δός τὴν χάριν μοι τήνδε, καὶ μίμου τρόποις. Εὐριπίδου
πατρὸς δικαίου. πᾶσι γὰρ κλέος τόδε
κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς,
εἰς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.

Τοῖς εὐγενέσι καὶ καλοῖς μάλιστα κατεπείγει κάλλος μὲν αὐτῆς ὄψεως. σω- Δημοσθένους.
φροσύνην δὲ, αὐτῆς ψυχῆς, αἰδῶ εἰκὴν δὲ, ἐπ' ἀμφοτέρων. χάριν τε αὐτῶν
λόγων διατελεῖν ἔχουσι.

Ἐλευθέρῳ τὸ καταγελᾶσθαι πολὺ αἴσχιόν
ἐστι. τὸ δ' ὀδυνᾶσθ', ἀνθρώπινον. Μενάνδρου

Οὐκ ἐλευθέρου φέρειν νενόμικα
κοινωνοῦσαν ἡδονὴν ὕβρει.

Ἐχρῆν γὰρ εἶναι τὸ καλὸν εὐγενέστατον.
τὸν ἐλεύθερον δὲ δεῖ πανταχοῦ φρονεῖν μέγα.

Ἀλλ' ἀξίως ἔλεξας. οὐδὲ μὲν πικρῶς
γένος γὰρ εἰς ἔλεγχον ἄξιον καλόν. Σοφοκλ.

Εὔκλειαν ἂν κτήσαιτο μᾶλλον ἢ ψόφον.

Ἐπίσταμαι δὲ πάνθ' ὅσ' εὐγενῆ χρεὼν Εὐριπίδου
σιγᾶν ὅπου δεῖ, καὶ λέγειν, ἵν' ἀσφαλές.
ὁρᾶν θ' ἃ δεῖ με, κοὐχ ὁρᾶν ἃ μὴ χρεών.
γαστρὸς κρατεῖν δὲ, καὶ γὰρ ἐν κακοῖσιν ὤν,
ἐλευθέροισιν ἐκπεπαίδευμαι τρόποις.

## ΠΕΡΙ ΔΥΣΓΕΝΕΙΑΣ.

### ΛΟΓΟΣ. πη'.

Τὸ μωρὸν αὐτὸ τοῦ πατρὸς νόσημ' ἔνι. Εὐριπίδου
φιλεῖ γὰρ οὕτως ἐκ κακῶν εἶναι κακούς.

Ayuntamiento de Madrid

Ὦ παῖς Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα,
ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα.
κακῶν δ' ὅμοια τῇ φύσει τῇ τοῦ πατρός.
ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.
Φεῦ φεῦ παλαιὸς αἶνος ὡς καλῶς ἔχει.
οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.
Μέγιστον ἆρ' ἦν ἡ φύσις. τὸ γὰρ κακὸν
οὐδεὶς τρέφων εὖ, χρηστὸν ἂν θείη ποτέ.
Οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτο σκότος
οὐ δῶμα γαίας κλειστὸν ἔνθα τὴν φύσιν
ὁ δυσγενὴς κρύψας ἂν εἴη σοφός.

Ἐπιχάρμου. Πνίγομ' ὅταν εὐγένειαν, οὐδὲν ὤν, κακῶς
λέγῃ τις, αὐτὸς δυσγενὴς ὢν τῷ τρόπῳ.
τίς γὰρ κατόπτρῳ καὶ τυφλῷ κοινωνία.

Εὐδώρου. Μορφὰς ἀτερπεῖς ὄψεσι κεκτημένος.
παρεμφερεῖς ταύταισι τοὺς τρόπους ἔχεις.
ἐκ τοῦ κακοῦ γὰρ ἡ φύσις τίκτει κακόν.
ὡς ἐξ ἐχίδνης πάλιν ἔχιδνα γίγνεται.

Εὐριπίδου. Οὐκ ἂν γένοιτο θαῦμα, εἴ τις εὖ ξύσκ
θάμνοις ἐλείοις οὐδ' ἂν ἐκ μητρὸς κακῆς
ἐσθλοὶ γένοιντο παῖδες, ἐς ἀλκὴν δορός.
Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
ὅταν συνίδῃ μητρὸς ἢ πατρὸς κακά.
μόνον δὲ φασι τοῦθ' ἁμιλλᾶσθαι βίῳ.
γνώμην δικαίαν κἀγαθὴν ὅταν παρῇ.
κακοὺς δὲ θνητῶν ἐξέφην' ὅταν τύχῃ
προσθεὶς κάτοπτρον ὥστε παρθένῳ νέα.

Σωκράτης ὀνειδιζόμενος ἐπὶ δυσγενείᾳ ὑπό τινος εὐγενοῦς, μοχθηροῦ δέ. ἐμοὶ μὲν τὸ γένος ὄνειδος ἔφη. σὺ δὲ τῷ γένει.

## ΕΠΑΙΝΟΣ ΠΛΟΥΤΟΥ

### ΛΟΓΟΣ πθ'.

Οὔ σε μάτην ὦ πλοῦτε θεῶν τιμῶσι μάλιστα. Θεόγνιδος
σὺ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις.
Πᾶσιν δ' ἀνθρώποις ἀρετὴ μία γίγνεται ἥδε.
πλουτεῖν· τῶν δ' ἄλλων, οὐδὲν ἄρ' ἦν ὄφελος.
οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις ῥαδαμάνθυος αὐτοῦ
πλείονα δ' εἰδείης σισύφου αἰολίδεω.
καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν.
ἡ πενίη δὲ σοφῷ σύμφορον ἀνδρὶ φέρειν.
Πάλαι μὲν οὖν ὑμνηθὲν, ἀλλ' ὅμως ἐρῶ. Εὐριπίδου.
τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα.
δύναμίν τε πλείστην τὴν ἐν ἀνθρώποις ἔχει.
Ὦ χρυσὲ δεξίωμα κάλλιστον βροτοῖς
ὡς οὐδὲ μήτηρ ἡδονὰς τοίας ἔχει.
οὐ παῖδες ἀνθρώποισιν· οὐ φίλος πατήρ.
εἰ δ' ἡ κύπρις τοιοῦτον ὀφθαλμοῖσιν ὁρᾷ,
οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν τρέφειν.
Ἐν τοῖς τοιούτοις ἡνίκ' ἂν γνώμης πέσω,
σκοπῶ τὰ χρήμαθ' ὡς ἔχει μέγα σθένος.
φίλοις τε δοῦναι, σῶμά τ' εἰς νόσον πεσὸν
δαπάναισι σῶσαι· τῆς δ' ἐφημέρου βορᾶς,
εἰς μικρὸν ἥκει· πᾶς γὰρ ἐμπλησθεὶς ἀνήρ,
ὁ πλούσιός τε καὶ πένης ἴσον φέρει.
Ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν,
ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.
Οὐ γὰρ παρὰ κρητῆρα καὶ θοίνην μόνον
τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει.



Ayuntamiento de Madrid

ἀλλ' ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει.

Μενάνδρου. Τοῦτο μόνον αὐτὸ σκοτεῖ καὶ δυσγένειαν
καὶ τρόπου πονηρίαν, καὶ πᾶσιν οἷς
ἔχηκεν ἄνθρωπος κακοῖς, τὸ πολλὰ
κεκτῆσθαι. τὰ δ' ἄλλ' ἐλέγχεται.

Θεόγνιδος. Ἀλλὰ χρὴ ταύτην γνώμην πάντας καταθέσθαι.
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Χαιρήμονος. Πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς ἰδών.
οὐκ ἔχει ὄγκον, ὥστε καὶ δόξης τυχεῖν.
ἀλλ' ἔστι σεμνός, ἐν δὲ δόσει βροτῶν,
ἡδὺς συνοικεῖν, καί τιν' εἰληχὼς χάριν.

Φιλήμονος. ὁ τῆς ἀμαθίας δοκεῖς εἶναι κέρας.
Τοῖον γράφουσιν οἱ γραφεῖς κέρας βοός;
ἀργύριόν ἐστι, τοῦτ' ἐὰν ἔχῃς λέγε,
πρὸς τοῦτ' εἰ βούλει πάντα σοι γενήσεται.
φίλοι. βοηθοί. μάρτυρες. συνοικίαι.

Ἀντιφάνους. Ἄρ' ἔστι λῆρος πάντα πρὸς τὸ χρυσίον.
μόνον γὰρ ἀεὶ διαμένειν εἴωθ' ἀεὶ
τὸ χρῶμα δ' αὐτό, τῶν φίλων δὲ τοὺς τρόπους.
οὐδέ ποθ' ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι.
πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
ὅταν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα.
τί τοῦτον ἀπορήσαντ' ἂν οὐκ οἴει ποιεῖν.

Τιμοκλέους. Ἀργύριόν ἐστιν, αἷμα καὶ ψυχὴ βροτοῖς.
ὅστις δὲ μὴ ἔχει τοῦτο μηδ' ἐκτήσατο,
οὗτος μετὰ ζώντων τεθνηκὼς περιπατεῖ.

Διφίλου. Ἰσχυρότερον κείνῳ τὸ χρυσίον πολὺ
τὰ πάντα τούτου τέμνεται καὶ πράττεται.

Εὐριπίδου. Μὴ πλούσιον θῇς. ἐνδεέστερος γὰρ ὤν,
ταπεινὸς ἔσται. κεῖνο δ' ἰσχύει μέγα
πλοῦτος. λαβὼν τοῦτον, εὐγενὴς ἀνήρ.
Χρυσὸν μάλιστα βούλομαι δόμοις ἔχειν.
καὶ δοῦλος ὢν γάρ, τίμιος πλουτῶν ἀνήρ.
ἐλεύθερος δέ, χρειὸς ὤν, οὐδὲν σθένει.

χρυσοῦ νόμιζ' ἄλλον οὕνεκ' εὐτυχεῖν.
Τ ἰὼ δ' εὐγένειαν πρὸς θεῶν μή μοι λέγε.
ἐν χρήμασι τὸ δ' ἐστὶ μὴ γαυροῦ πάτερ.
κύκλῳ γὰρ ἕρπει. τῷ μὲν, ἔσθ', ὁ δ' οὐκ ἔχει.
κοινοῖσι δ' ἄλλοις χρώμεθα. ὧ δ' ἂν ἐν δόμοις
χρόνον συνοικεῖ πλεῖστον, οὗτος εὐτυχής.
Ε χειν τε πειρῶ. τοῦτο γὰρ τοὐτ' εὐγενές.
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.
ἐν τῷ πένεσθαι δ' ἐστὶν, ἥ τ' ἀδοξία,
κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία βίου.
Α ρ' οἶσθ' ὅθ' οὕνεχ' οἱ μὲν εὐγενεῖς βροτῶν
πένητες ὄντες, οὐδὲν ἐμφαίνουσ' ἔτι,
οἳ δ' οὐδὲν ἦσαν πρόσθεν ὄλβιοι δὲ νῦν,
δόξαν φέρονται τοῦ νομίσματος χάριν.
καὶ συμπλέκοντες σπέρμα καὶ γάμοις τέκνων.
δοῦναι δὲ μᾶλλον πλουσίῳ πᾶς τις κακῷ.
πρόθυμός ἐστιν, ἢ πένητι κἀγαθῷ.
κακὸς δ' ὁ μὴ ἔχων, οἱ δ' ἔχοντες ὄλβιοι.
Α γάμεμνον. ἀνθρώποισι, πᾶσιν αἱ τύχαι
μορφὴν ἔχουσι. συντρέχει δ' εἰς χρήματα.
τούτου δὲ πάντες, οἵ τε μουσικῆς φίλοι.
ὅσοι τε χωρὶς ζῶσι χρημάτων ὕπερ
μοχθοῦσιν. ὃς δ' ἂν πλεῖστ' ἔχει, σοφώτατος.
Χ ρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι. Ἡσιόδου.
Π λοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί. Θεόγνιδος
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις,
ὡς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει.
ἀλλ' ἔραται. θυμὸν δ' οὐ δύναται κορέσαι.
Τ ὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους Σοφοκλέ.
αὖθις δὲ τιμάς. εἶτα τῆς ὑπερτάτης
τυραννίδος θάκοισιν ἀγχίστην ἕδραν.
ἔπειτα δ' οὐδεὶς ἐχθρὸς οὔτε φύεται
πρὸς χρήμαθ', οἵ τε φῦντες ἀρνοῦνται στυγεῖν.
δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τὰ βατὰ



Ayuntamiento de Madrid

καὶ πρὸς τὰ βατά, χ' ὁπόθεν πένης ἀνὴρ,
μὴ δ' εὐτυχῶν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν.
καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον
γλώσσῃ σοφὸν τίθησιν, εὔμορφόν τ' ἰδεῖν.
μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία.
πάρεστιν αὐτῷ κἀπικρύψασθαι κακά.

Καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους, ἄναξ,
ὧδ' ἀντέχεσθαι. καὶ γὰρ οἱ μακρὸν βίον
θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως.
ἀτρὶξ ἔχονται, κἄστι πρὸς τὰ χρήματα.
θνητοῖσι τἄλλα δεύτερ', ἔστι δ' οἵ τινες
αἰνοῦσιν ἄνοσον. ἀλλ' ἐμοὶ δ' οὐδεὶς δοκεῖ
εἶναι πένης ὢν ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.

Μενάνδρ. Ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει,
ἀνέμους. ἥλιον. γῆν. ὕδωρ. πῦρ. ἀστέρας.
ἐγὼ δ' ὑπέλαβον χρησίμους εἶναι θεοὺς,
τὸ ἀργύριον ἡμῶν καὶ χρυσίον.
ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν.
εὔξαι τί βούλει, πάντα σοι γενήσεται.
ἀγρός. οἰκίαι. θεράποντες. ἀργυρώματα.
φίλοι. δικασταί. μάρτυρες, μόνον δίδου.
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.

Δημοσθ. Δεῖ δεῖ χρημάτων. καὶ ἄνευ τούτων, οὐδὲν ἔστι τῶν δεόντων γενέσθαι.

Σιμωνίδης ἐρωτηθεὶς, πότερον αἱρετώτερον. πλοῦτος, ἢ σοφία. οὐκ οἶδα ἔφη. ὁρῶ γὰρ τοὺς σοφοὺς, ἐπὶ τὰς τῶν πλουσίων θύρας φοιτῶντας.

Βίων ἔλεγεν. ὥσπερ τὰ φαῦλα τῶν βαλαντίων, κἂν μηδενὸς ᾖ ἄξια, τοσοῦτόν ἐστιν ἄξια, ὅσον ἐν ἑαυτοῖς τὸ νόμισμα ἔχουσιν, οὕτω καὶ τῶν πλουσίων τοὺς οὐδενὸς ἀξίους, καρποῦσθαι τὰς ἀξίας ὧν κέκτηνται.

Ἐκ τοῦ περὶ συγκρίσεως πλούτου καὶ ἀρετῆς ἀνωνύμου.

Αὐτὸς μὲν οὖν ὁ πλοῦτος ἐσεμνύνετο χρείας ἀνθρώπων διορθοῦν. ἢ τελεῖν ἐπιθυμίας ἢ βλάβας ἀντέχειν ἐπιμελεῖσθαι σώματος. ψυχὴν χαρίζεσθαι. πρέπειν μὲν εἰρήνῃ. πολέμοις δὲ, παρέχειν. θεραπείαν δ' ἐκ νόσων. παρέχειν τε ταῖς ὥραις βοηθήματα. ἀλέας μὲν ἐν τοῖς πάγοις. ἐκτροπὰς δ' ἀπὸ θέρους. αὔξειν δ' οἴκους. καὶ διαδοχὰς μεγάλων γενῶν. γάμους ποιεῖν μείζονας.

Ayuntamiento de Madrid

ζοντας. παιδοποιΐα βοηθεῖν, κόσμῳ δ' εἶπεν ἱερά. καλλίονες δ' ἐξ ἐμοῦ καὶ πόλεις. ἐμὰ δὲ ἔργα καὶ τείχη. καὶ λιμένες καὶ στόλοι. ποταμοὺς δὲ ἀβάτους, γεφύραις, σκέπω. καὶ τὴν κεχωρισμένην ἥρμοσα. ἐμοῦ δ' ἐμπορίαι δέονται. καὶ γεωργία δ' αὐτή, δαπάνας ἀπαιτεῖ ἐκ τῶν ἐμῶν ταμιείων. γῆ γὰρ οὐδὲ αὐτὴ δίδωσιν αὐτόματον, ἂν μὴ προλάβῃ. λαβεῖν δὲ ἐκ μόνων ἔχει τῶν ἐμῶν. δίδωμι δὲ ἀφορμὰς καὶ τοῖς ἄλλοις ἅπασι. κάλλει μὲν ἐκ κόσμου πλεῖστα συλλαμβάνω. διακονοῦμαι. παιδείᾳ δ' ἁπάσῃ διδασκάλους ἐγὼ παρέχομαι. πόθεν δ' οὖν ταῖς γυναιξὶν εἰς ταλασίας. πόθεν δ' ὅπλα τοῖς ἀνδράσιν. ἐλέφας δὲ καὶ χρυσὸς ὁ τοῖς ἀγάλμασιν ἁρμόσας, ἐμός ἐστι. καὶ πάντα ἀναθήματα δι' ἐμοῦ, μεγάλαι πόλεις. βασιλεῖαι δ' ἐξ ἐμοῦ δυνατώτεραι. ποιῶ δὲ ἑορτὰς ἐγώ. τράπεζα δέ μοι φιλόξενος. προχειρότεραι δ' εὐεργεσίαι. δι' ἐμοῦ μεγάλαι ἀμοιβαί. δύναται δ' ὁ ἔχων ἐμὲ μὴ μόνος εὐτυχεῖν, ἀλλ' εὐτυχίας χαρίζεσθαι. τέχνας δὲ πάσας ποιῶ κρείττονας ἐκ τῆς ἐλπίδος. μισθὸς γὰρ αὐτὰς ὁ μέγας τρέφει γίνεται δ' ἐξ ἐμοῦ. καὶ σὺ δ' αὐτὸς ὦ Ζεῦ πλοῦτον ἀνθρώποις ἀναγκαῖον ἀπέφηνας. ὅσων δὲ δέδωκας ἐσθήτων δεομένοις. οὐ θριξὶν ὡς τὰ ἄλλα καὶ δοραῖς σκεπομένοις. τροφὴν δέ, οὐ πόαν. οὐδὲ ταὐτόματα. ἀλλ' ἀεὶ δεῖ τινα πρίασθαι τὸ ζῆν. οἴκησιν δὲ ἀνάγκην ἔδωκας. πόλεις δ' ἥρμοσας. νόσοι δ' ἐν ἀνθρώποις εἰσίν, ἐφ' ἃ πάντα δεῖ χρημάτων. διὰ τί με μὴ καλεῖς εὐδαίμονα, δι' οὗ τὰς ὧδε πάντα χρείας ἔχεις. ταῦθ' ὁ πλοῦτος εἰπών, ἐδόκει νενικηκέναι. καὶ περιέβλεπεν ὡς μακαριζόμενος. ἐβοήθει μὲν αὐτῷ κρατερῶς ἡ τύχη, κρίνεσθαι μετ' αὐτοῦ. δοκοῦσα γὰρ μέγιστον αὐτῆς ἀπώλλυτο. εἰ πλοῦτος οὐκ ἀγαθόν ἐστιν. ἦγε δὲ καὶ θεὰς ἄλλας μετ' αὐτοῦ, συνηγόρους τε καὶ μάρτυρας. ἡδονάς. ἐλπίδας. εὐχάς. εὐθυμίας. ἔρως αὐτῷ συνέπραττεν, ὡς πολλαχοῦ χρώμενος. ὑγεία καὶ αὐτὴ χάριν εἶχεν, ὡς δι' αὐτοῦ νόσοις μαχομένη.

δύο δ' ἦλθον ἐναντίαι μὲν ἀλλήλαις. οἰκονομία καὶ τρυφή. πλούτου δὲ ἀμφότεραι. σὺν αὐτῷ δ' ἐδόκουν ἀπολαύσεσθαι, τοσοῦτος δὲ ὁ πλοῦτος ἦν.



Ayuntamiento de Madrid

# ΟΣΑ ΠΛΟΥΤΟΣ ΠΟΙΕΙ, ΔΙΑ ΤΗΝ ΤΩΝ ΠΛΕΙΣΤΩΝ ΑΝΟΙΑΝ.

## ΛΟΓΟΣ ἐνενηκοστός.

Εὐριπίδου Ἀλλ' οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα.
τὸν γὰρ κάκιστον, πλοῦτος εἰς πρώτους ἄγει.
Πλούτου δ' ἀπορρυέντος, ἀσθενεῖς γάμοι.
τὴν μὲν γὰρ εὐγένειαν, αἰνοῦσι βροτοί.
μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν.
Ἔστιν δ' ἐν ὄλβῳ καὶ τὸ δ' οὐκ ὀρθῶς ἔχον.
εὐτυχίας δόκησις· οἰόμεθα γὰρ
τὸν εὐτυχοῦντα, πάντ' ἐπίστασθαι χρεών.
Νῦν δ' αὖ τίς οἴκων πλουσίαν ἔχῃ φάτνην.
πρῶτος γέγραπται τῶν κακιόνων κρατεῖ.
τὰ δ' ἔργ' ἐλάσσω χρημάτων νομίζομεν.

Μενάνδρου Πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν,
καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.

Θεόγνιδος Πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες· οἱ δὲ, τὰ καλὰ
ζητοῦσιν χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται.
εἴργει τοὺς μὲν δὴ χρήματα. τοὺς δὲ, νόος.

Ἡψχίου. Ὥσπερ ἐπὶ χειρὸς τρεμούσης, χρυσίον ἐάν τις θῇ, τρέμει, οὕτω καὶ ὁ πλοῦτος. ἐν φοβουμένῃ καὶ συνεχομένῃ ἐπισωρεύοιτο ψυχῇ, συγκραδαίνεται καὶ συμπεριπίπτει.

Πλουτάρχου Μὴ παιδὶ μάχαιραν ἡ παροιμία φησίν· ἐγὼ δὲ φαίην ἄν, μὴ παιδὶ πλοῦτον· μὴ δὲ ἀνδρὶ, ἀπαιδευσίαν.

Ἰσοκράτους. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ μὴ δυναμένων τοῖς ὑπάρχουσι. παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος.

Διογένους. Τοὺς δὲ πολλοὺς τῶν πλουσίων ὁμοίους τοῖς ἐπὶ τῶν δυσβάτων καὶ ἀποκρήμνων φυομένοις δένδροις καὶ ἀμπέλοις· τόν τε γὰρ τούτων καρπὸν, ἀνθρώπους μὴ λαμβάνειν. κόρακας δὲ καὶ παραπλήσια τούτων ζῶα κατεναλίσκειν. ἐκείνους τε τὸν πλοῦτον εἰς μὲν τὰ ἐπιεικῆ τῶν πραγμάτων οὐ κατατίθεσθαι, κόλαξι δὲ καὶ πόρναις καὶ ταῖς αἰσχροτάταις ἡδοναῖς, καὶ

Ayuntamiento de Madrid

κενωτάτους δόξαις χορηγεῖν.

Ὥσπερ ἐν μὲν τοῖς ἕλκεσι φαγέδαιναι κάκιστον νόσημα, οὕτως ἐν τοῖς χρή- Δημοκρί.
μασι τὸ μὴ προσαρμόζειν καὶ τὸ συνεχές.

Ἐγὼ μὲν ὥσπερ ἠρξάμην ἐρυξίαν, τοῦτον ἡδέως ἐροίμην ἄν· εἰ δοκοῦσιν αὐτῷ Πλάτωνος
εἶναι ἄνθρωποι ἄδικοι καὶ δίκαιοι. νὴ Δία ἔφη ἐκεῖνος καὶ σφόδρα μέντοι. τί δαί
τὸ ἀδικεῖν· πότερόν σοι κακὸν δοκεῖ εἶναι, ἢ ἀγαθόν. κακὸν ἔμοιγε. δοκεῖ
ἄν σοι αὐτὸς ὁ μοιχεύων τὰς τῶν πέλας γυναῖκας ἀδικεῖν ἄν, ἢ οὔ. καὶ ταῦτα
μέντοι καὶ τῆς πόλεως καὶ τῶν νόμων κωλυόντων ἀδικεῖν. ἔμοιγε δοκεῖ. οὐ-
κοῦν ἔφην ὁ πλούσιος ὢν τυγχάνοι, καὶ ἀργύριον δυνατὸς ὢν ἀναλῶσαι, ὁ
ἄδικός τε αὐτὸς καὶ ὁ βουλόμενος, ἐξαμαρτάνοι ἄν. ὁ δέ γε μὴ ὑπάρχοι πλου-
σίῳ εἶναι τῷ ἀνθρώπῳ, οὐκ ἔχων ὁπόθεν ἀναλίσκοι, οὐδ' ἂν διαπράττεσθαι
δύναιτο ἃ βούλεται. ὥστ' οὐκ ἂν οὐδ' ἐξαμαρτάνοι. διὸ καὶ λυσιτελοῖ ἂν τῷ
ἀνθρώπῳ μᾶλλον μὴ εἶναι πλουσίῳ. εἴπερ ἧττον διαπράξεται ἃ βούλεται.
βούλεται δὲ καὶ μοχθηρά. καὶ πάλιν αὖ τὸ νοσεῖν, πότερον ἂν φαίης κακὸν,
ἢ ἀγαθὸν εἶναι. κακὸν ἔγωγε. τί δαί. δοκοῦσί τινές σοι ἀκρατεῖς εἶναι ἄν-
θρωποι; ἔμοιγε. οὐκοῦν ὁ βέλτιον εἴη πρὸς ὑγίειαν τούτῳ τῷ ἀνθρώπῳ σίτων
καὶ ποτῶν, καὶ τῶν ἄλλων ἡδέων τῶν δοκούντων εἶναι. ὁ δὲ μὴ οἷός τ' εἴη δι' ἀκρά-
τειαν, βέλτιον ἂν εἴη τούτῳ τῷ ἀνθρώπῳ μὴ ὑπάρχειν, ὁπόθεν ἂν ἐκπο-
ριεῖται ταῦτα μᾶλλον, ἢ πολλὴν περιουσίαν εἶναι τῶν ἐπιτηδείων. οὕτω
γὰρ ἂν αὐτῷ, οὐκ ἐξουσία εἴη διαμαρτάνειν, οὐδ' εἰ σφόδρα βούλοιτο. οὐκοῦν
ἔφην κατὰ τὸν αὐτὸν λόγον, οὐδὲ φάρμακον παντὶ τῷ χρήσιμον εἶναι. ἀλ-
λὰ τούτῳ ὅστις τυγχάνει εἰδὼς, ὡς δεῖ χρῆσθαι αὐτῷ. φημί. οὐκοῦν καὶ τἄλ-
λα πάντα ὁμοίως, ἔοικε. χρυσίον τοίνυν καὶ ἀργύριον καὶ τἄλλα τὰ δοκοῦν-
τα χρήματα εἶναι, τούτῳ ἂν μόνῳ χρήσιμα εἴη. ὅστις τυγχάνει ἐπιστάμενος
ὡς χρηστέον τούτοις; οὕτως. οὐκοῦν πρότερον ἐδόκει καλοῦ κἀγαθοῦ ἀνθρώ-
που εἶναι εἰδέναι, ὅπου γε καὶ ὅπως τούτων ἑκάστοις χρηστέον ἐστί; φημί.
τοῖς ἄρα καλοῖς καὶ ἀγαθοῖς τῶν ἀνθρώπων, τούτοις ἂν μόνοις καὶ χρήσι-
μα ταῦτ' εἴη. εἴπερ γε οὗτοι ἐπιστήμονες ὡς χρηστέον. εἰ δὲ τούτοις μόνον
χρήσιμον, τούτοις ἂν μόνον καὶ χρήματ' εἶναι ταῦτα φαίνοιτο. ἀτὰρ ὡς ἔοι-
κε καὶ τὸν ἀνεπιστήμονα ἱππικῆς, κεκτημένον δὲ ἵππους. οἳ τυγχάνουσιν
αὐτῷ ἀχρεῖοι ὄντες, εἴ τις τοῦτον ἱππικὸν ποιήσειεν, ἄρ' ἅμα καὶ πλουσιώ-
τερον πεποιηκὼς εἴη. εἴπερ γε αὐτῷ ἃ ἐτύγχανε πρόσθεν ἀχρεῖα ὄντα, χρή-
σιμα πεποίηκεν. ἐπιστήμην γάρ τινα παραδιδοὺς τῷ ἀνθρώπῳ, ἅμα καὶ
πλούσιον αὐτὸν πεποίηκεν.

## ΨΟΓΟΣ ΠΛΟΥΤΟΥ.

## ΛΟΓΟΣ. ΕΝΕΝΗΚΟΣΤΟΣ α΄.

Ἀλέξιδος. Ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.
Εὐριπίδου. Δεινόν γε τοῖς πλουτοῦσι· τοῦτο δ' ἔμφυτον,
σκαιοῖσιν εἶναι· τί ποτε τοῦτ' αἴτιον·
ἆρ' ὄλβος αὐτοῖς, ὅτι τυφλὸς ξυνηρεφεῖ.
τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης.
Ὕβριν τε τίκτει πλοῦτος, ἢ φαύλῳ βίῳ·
Καὶ νῦν ἐφέλκετ' ὦ κακοὶ τιμὰς βροτοὶ,
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι.
σύμμικτ' ἅμ' ἢ δίκαια καὶ ἄδικα ὁμοῦ.
ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.
Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
μὴ δ' ὄλβος ὅστις τὴν ἐμὴν κνίζει φρένα.
Μή μοί ποτ' εἴη χρημάτων νικωμένῳ,
κακῷ γενέσθαι μὴ δ' ὁμιλοίην κακοῖς.

Σκαιὸν τὸ πλουτεῖν, κἄλλο μηδὲν εἰδέναι.
Μὴ πλοῦτον εἴπῃς οὐχὶ θαυμάζω θεόν.
ὃν χ' ὡ κάκιστος ῥᾳδίως ἐκτήσατο.
Τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς.
ὃν γ' ἐξαλείφει ῥᾷον, ἢ γράφει θεός.
Πλουτεῖς; ὁ πλοῦτος δ' ἀμαθία· δειλόν θ' ἅμα.
Ἄδικον ὁ πλοῦτος· πολλὰ δ' οὐκ ὀρθῶς ποιεῖ.
Σκαιόν τι χρῆμα πλοῦτος, ἥτ' ἀπειρία.
Πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν.
Ὦ πλοῦτε· ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν,

πόνοι

Ayuntamiento de Madrid

πόνοι δὲ κἀν σοὶ καὶ φθοραὶ πολλαὶ βίου
ἔνεισιν. ὁ γὰρ πᾶς ἀσθενὴς δίων βροτοῖς.
Ἰσορῶ. δειλόν θ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.
Σμικρὰν θέλοιμ' ἂν καὶ καθ' ἡμέραν ἔχων
τροφὴν, ἀνοικεῖν μᾶλλον, ἢ πλουτῶν νοσεῖν.
Οὐπώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα Ἀριστοφά-
ἄνθρωπον ἀπολαύοντα μηδὲν ὧν ἔχει. νους.
ὁ δὲ πλοῦτος ἡμᾶς καθάπερ ἰατρὸς κακὸς,
τυφλοὺς βλέποντας παραλαβὼν, πάντας ποιεῖ.
Τυφλὸν ὁ πλοῦτος. καὶ τυφλοὺς ἐμβλέποντας, Μενάνδρου
εἰς αὐτὸν δεικνύει.
Ὑπερήφανον γίνεθ' ἡλίκον τρυφή.
ὅτε πλοῦτος ἐξώκειλε τὸν κεκτημένον,
εἰς ἕτερος ἦθος, οὐκ ἐν ᾧ τὸ πρόσθεν ἦν.
Χρυσός τοι κόνις ἐστὶ καὶ ἄργυρος. ἡ δὲ καὶ αὐτοὶ Ναυμα-
λᾶαι αὐτῇ ῥηγμῖνι πολυψηφῖδι θαλάσσης. χίου.
πολλοὶ δ' ἐρρίφαται ποταμῶν παρὰ χείλεσιν αὔτως.
εἵματα δ' εἰναλίης ἐρυθαίνεται αἵματι κόχλου
τοῖς αὐτοφυσιόωσι δ' ἀλίφρονα ἀσπαλιῆα.

Πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν. ἐξουσίαν μὲν τῇ ῥαθυμίᾳ παρασκευάζων. ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. Ἰσοκράτους.

Ἀνακρέων δωρεὰν παρὰ Πολυκράτους λαβὼν πέντε τάλαντα. ὡς ἐφρόντισεν ἐπ' αὐτοῖς δυοῖν νυκτοῖν, ἀπέδωκεν αὐτὰ, εἰπὼν, οὐ τιμᾶσθαι αὐτὰ τῆς ἐπ' αὐτοῖς φροντίδος.

Ἀγαθὸν δὲ ὄντα διαφόρως, καὶ πλούσιον εἶναι διαφερόντως, ἀδύνατον. εὐδαίμονας μὲν ἅμα καὶ ἀγαθοὺς, ἀνάγκη γίγνεσθαι. πλουσίους δ' αὖ σφόδρα καὶ ἀγαθοὺς ἀδύνατον. οὕς γε δὴ πλουσίους οἱ πολλοὶ καταλέγουσιν. ὁ λόγος ἡμῖν ὀρθὸς, ὡς οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί. εἰ δὲ μὴ ἀγαθοὶ, οὐδ' εὐδαίμονες. ὀνομάζων λόγος, αὐτός τε ἄθλιος. γυναικῶν καὶ παίδων ὢν λόγος. ἀνθρώποις τοὺς πειθομένους ἀπεργάζεται τοιούτοις. Πλάτωνος

Ἑώρων γὰρ καὶ τότε καὶ νῦν ὁρῶ τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους. τῶν τ' ἰδιωτῶν καὶ τῶν μονάρχων, σχεδὸν ὅσῳ περ ἂν μείζους ὦσι τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας, καὶ πρὸς ἡδονὴν μετ' αἰσχρᾶς βλάβης

Ayuntamiento de Madrid

ὁμιλοῦντας τρεφούσας. οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς ἄλλης ἐξουσίας δύναμις.

Τοὐντεῦθεν τοίνυν εἶπον, προϊόντες εἰς τὸ πρόσθεν τοῦ χρηματίζεσθαι, ὅσῳ ἂν τοῦτο τιμιώτερον ἡγῶνται, τοσούτῳ ἀρετὴν ἀτιμοτέραν. ἢ οὐχ οὕτω πλούτου ἀρετὴ διέστηκεν, ὥσπερ ἐν πλάστιγγι ζυγοῦ κειμένου ἑκατέρου. ἀεὶ τοὐναντίον ῥέποντες. καὶ μάλα ἔφη. τιμωμένου δὲ πλούτου ἐν πόλει καὶ τῶν πλουσίων, ἀτιμοτέρα ἀρετή τε καὶ οἱ ἀγαθοί; δῆλον. ἀσκεῖται δὴ τὸ ἀεὶ τιμώμενον, ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. οὕτω.

Δημοκράτους. Αἱ μὲν ποδήρεις αἰσθῆτες, τὰ σώματα. αἱ δὲ ὑπέρμετροι περιουσίαι, τὰς ψυχὰς ἐμποδίζουσι.

Ἐκ τοῦ περὶ συγκρίσεως πλούτου καὶ ἀρετῆς.

Καθ' αὑτοὺς μὲν ἄνθρωποι πρὸς ἀρετὴν γεγόνασιν. ὅτι δὲ ἐπ' ἄλλον τρέπει. χρήματα δὲ εἰς κακίαν ἔχει μυρίαν. καὶ δόξαν ἀγαθοῦ προσθεὶς οὐκ ἔχοντας, ἀπάγει τῶν ἀληθεστάτων. οὐκ ἐᾷ δὲ ἐπ' αὐτῷ φρονεῖν τὸν ἄνθρωπον, ἀλλ' εἰς τὰ ἔξω φέρει. κἀκ τῶν τυχαίων καὶ αὐτομάτων ἀναρτᾷ. θρασύτατος δέ ἐστιν ὁμοῦ καὶ δειλότατος. ἐπαιρόμενος μὲν ὡς ἐπὶ μεγίστοις. φοβούμενος δὲ, ὡς ἐπὶ ἀσθενεῖ πράγματι. ὑπερήφανος ἅμα ἐξ ἀλαζονείας. ταπεινὸς ἐκ φροντίδος. χρώμενος μὲν, ἄσωτός ἐστι. μὴ χρώμενος δὲ, ἄθλιος. δυστυχεῖ μέν τις δι' αὐτόν. ἐν ταῖς εἰς τὸ πορίζειν ταλαιπωρίαις. φθείρεται δὲ ἄλλος εἰς ἡδονὰς ἀπὸ τῶν περιττῶν. κόρον δὲ οὐκ ἔχει τοῖς κτησαμένοις. ἀεὶ δ' ἀνία τις αὐτῷ πάρεστιν, ὅπως ἂν γένηται. καὶ ὥσπερ ἡ τῶν ὑδεριώντων νόσος, αὔξεται, πρὸς τὸ μᾶλλον ποθεῖν, ἀφ' ὧν πίμπλανται. κακὸς μὲν ἐστι τῷ φιλοπόνῳ πλοῦτος, ἀναλίσκει γὰρ αὐτοῦ τὴν φιλοπονίαν, εἰς κέρματα, ἀλλαχοῦ δυναμένην. κακῶς δὲ ῥαθύμῳ δίδωσιν ἀφορμὰς ἁμαρτημάτων. ἀμφοτέροις δ' ὀλέθριος. τὸν μὲν γὰρ ἀδύνατα κάμνειν, ἀσχολεῖ. τὸν δ' εἰς τρυφὴν νοσοῦντα, καὶ προτρέπειν ποιεῖ. ποιεῖ δὲ, ἅμα μὲν κόλακας ἀνθρώπους, εἰς ἐλπίδα χρημάτων. ἅμα δ' ὑπὸ πολλῶν κολακευομένους διὰ χρήματα. ὁμοῦ δ' ἀγαθὸν μὲν οὐκ ἔστιν ὁ πλοῦτος. φθόνον δὲ ἀγαθῶν μέγιστον ἔχει. μυρίαι δ' ἐπιβουλαὶ δι' αὐτὸν, ἐκ βασιλέων. ἐξ ὁμόρων, ἀπ' οἰκείων. οὐκ ἔχει δέ τις πλουτῶν ἀσυλίαν ἰδίου βίου. πάρεργον δέ που χρημάτων καὶ αὐτὸς συναπόλλυται. πρῶτον μὲν ἀμελεῖ τῶν ἐκ διανοίας ἀγαθῶν. ὡς καὶ χωρὶς ἐκείνων εὐτυχῶν. εἶτα τὸ σῶμα λυμαίνεται ταῖς τρυφαῖς. ἐθίζει μὲν εἰς πλησμονὰς, ἀπὸ τῶν ἀφορμῶν. καὶ πλείστας νόσους συλλέγει. τὴν δὲ αὐτουργίαν τῶν ἀνθρώπων ἀφαι-

ρεῖται, τὸ πάντων ὑγιεινότατον. γυμνάσιον γάρ ἐστιν οὐχ ὡρισμένον, ὡς
παλαίστρα καὶ κυνηγέσια. ἀλλ' ὅσῳ τοῦ βίου διακονούμενός τις ἑαυτῷ, πο-
λὺ κρείττων ἐστὶ τοῦ ζῶντος δι' ἄλλων. θρύπτει δ' ὁ πλοῦτος καὶ μαλάττει
λαβὼν πολλὰ πολλάκις καὶ τὰς ὑγιεινὰς φύσεις, καὶ περιήγαγεν εἰς ἀ-
σθένειαν, ὅδ' ἐξ ἐθῶν πολυτελῶν. πάντα μὲν ἐφ' ὕπνῳ παρασκευαζόμενος, δυ-
σκολωτέρους ἔχει διὰ τοῦτο τοὺς ὕπνους. ἑτοιμότεροι δ' εἰσὶν οἱ κατὰ φύ-
σιν. οὐ γὰρ ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατεσκευασμέναι κλῖναι καὶ πορφυ-
ροῖ τάπητες, οὐδὲ ὑπόβαθρα καὶ πασάδες ὕπνους ποιοῦσιν. ἀλλ' ἔργα καὶ
νόμιμοι πόνοι, καὶ τὸ τῆς φύσεως αὐτῆς ἀναγκαῖον. οὐκ ἐᾷ δ' ὁ πλοῦτος
αὐτομάτων μετασχεῖν καλῶν. λυμαίνεται δὲ τοῖς ἰδίοις ἔθεσι. καὶ φαρ-
μακεύει τὰ πεφυκότα. ταῖς γὰρ ὥραις οὐκ ἀφίησι χρῆσθαι ἢ μελετᾶν πρὸς τὰ
γινόμενα. ποιεῖ δὲ καὶ πρὸς θάλπος ἀσθενέστερον τὸν εὐτυχοῦντα, καὶ
πρὸς κρύος, καὶ δι' ὧν ἐπιτηδεύει μὴ παθεῖν ταῦτα, εὐπαθέστερος αὐτοῖς γί-
νεται. καταπαχύνει δὲ μᾶλλον αὐτῶν ὁ κεχρημένος. μένει γὰρ ἐν τῇ τοῦ βίου
τάξει. καὶ πρὸς ἀέρα ζῆν ἐπίσταται. καὶ οὐκ ἀγανακτεῖ τοῖς τοῦ θεοῦ
πράγμασιν. ἀλλὰ δι' αὐτῶν ἄπεισιν ἐρρωμένως. οὕτω μὲν ὁ πλοῦτος, καὶ
τὰ σώματα βλάπτει. τὰ δὲ ἄλλα μείζω πάθη. στασιάζει μὲν οἴκους, καὶ κα-
κὸν ἆθλον ἀδελφοῖς πρόκειται. τέκνα δὲ χείρω ποιεῖ πατράσιν, ἐπιθυμοῦν-
τα τῆς περὶ τὸν πλοῦτον ἐξουσίας. αὐτοῖς δὲ τοῖς τέκνοις, τοὺς γονεῖς βαρυ-
τέρους. φίλοι δὲ ὕποπτοι διὰ πλοῦτον. ὁ μὲν ἀληθής, ἀπιστεῖται διὰ τὸν κό-
λακα. νικᾷ δὲ ὁ κόλαξ, τὸν ἀληθεύοντα μιμούμενος. λαφύρῳ δ' ὅμοιόν
ἐστιν, ἐλπιζομένων νόσων πλουσίοις, καὶ τοῖς ἐλευθεριωτέροις, ὅτι μὴ κο-
λακεύουσιν, ὀργίζεται. τοὺς δὲ κολακεύοντας, ὑφορᾶται. καὶ ἐφ' ἁρ-
παγὴν παρεῖναι δοκεῖ. τελευτήσαντι δέ, οὐ γίνεται πλουσίῳ πένθος, οὐδὲ
παρὰ τῶν διαδεξαμένων. ἐπιχαίρουσιν εἰληφότες. οὔτε παρὰ τῶν μὴ
λαβόντων, ἐπεὶ μισοῦσιν, ὡς ἐκ τοσούτων ἄτιμοι. τί πρὸς τούτοις, ὃ μά-
λιστα τῇ πόλει προσεῖναι δοκεῖ, τὸ δοῦναι χάριν, οὐχ ἁπλοῦν ἐστιν, ἀλλ'
ἔχει συμφορὰς πλείονας. ἔστι μὲν οὐδὲ εὐεργέτης ἡ χάρις, ἡ δι' ἀρ-
γυρίου δοθέντος, ἐράνῳ δ' ἔοικεν. οἱ δ' αὖ ἐκ χρημάτων ἀπ' εὐνοίας ἐ-
πιδεικνύμενοι καὶ βοηθοῦντες, ἐλευθέριον τὴν εὐεργεσίαν ἔχουσι, καὶ
τοῖς τυγχάνουσι καὶ τοῖς κεχαρισμένοις. εἶτα ὁ μὲν λαβὼν παρὰ τοῦ
πλουσίου, πάλιν ἀπαιτεῖ. καὶ τὸ πρῶτον ἀπόλωλεν, ἂν μὴ γένηται.
πάλιν ὁ τυχὼν ἐγκαλεῖ, κἂν ἄλλοι τυγχάνωσι. καὶ πλείονας οὕτως ὁ χα-
ριζόμενος πιστὴ τοὺς μεμφομένους ἔχει. πᾶσι γὰρ οὐκ ἀρέσκει, πάντες δ' ὡς

Ayuntamiento de Madrid

ἐκ πειθῶν ἀπαιτοῦσι. ταῦτα ἐν τῷ πλούτῳ πρόσεστι, καὶ ἐκ τῶν δοκούντων καλῶν. τἄλλα δ' ἀφόρητα. ἀλαζονεία. θρασύτης. ὑπεροψία. φροντίδες αἰσχραί. κακαὶ μὲν ὀρέξεις. κακαὶ δ' ἡδοναί. πόθος δ' ἀνήρεστος αὐτῷ πρόσεστιν. ἐξ αὐτοῦ δὲ αἱ πλεῖσται πονηρίαι. καὶ μνεία τῶν κακῶν οὐκ ἂν ἦν, εἰ μὴ πλοῦτος ἤδιον. γίνεται φόνος, διὰ κέρδος. ἱερὰ συλᾶται. φιλία παραβαίνεται. πίστις ἀμελεῖται. φερούσης τῆς κέρδος ἀπιστίας. προδίδονται πατρίδες. οὐδὲ ἓν ὀκνεῖται κακόν.

Πλουτάρχου. Φύσει μὲν γὰρ δυσχαλίνωτον ὄρεξις. προσλαβοῦσα δὲ καὶ πλούτου χορηγίαν ἀχαλίνωτον.

Α Ἀλλ' ἀπληστία καὶ ἄπιστός ἐστιν ἐν αὐτοῖς μανία. τοιούτῳ μὲν ἐνθουσιασμῷ χρῆσθαι περὶ τὴν κτῆσιν, ὡς εἰ κτήσαιντο, μηκέτι κεχρημένοις. τοσαύτη δὲ ἀμέλεια περὶ τὰ ληφθέντα, ὡς μὴ γενόμενα, δυσεροτιῶσι δὲ τῶν ἀπόντων ὑπερορῶντες ὧν ἔχουσιν. οὐδὲν γὰρ οὕτως ἀγαπῶσιν. ὡς δὲ ἐλπίζουσιν, οὐκ οἶδα πότερον αὐτοῖς ἄμεινόν ἐστιν. ἔχειν, ἢ προσδεῖν. ἔχοντες γὰρ, οὐ χρῶνται. προσδεῶντες δὲ, καὶ μένουσι. τί οὖν ἐπαινοῦμεν τοιοῦτον ἀγαθὸν, οὗ πέρας ἐστὶν οὐδὲν, ἀλλ' ὃ τὸ ληφθὲν, ἑτέρων ἀρχή.

Β Βίων ἔλεγε, καταγελάστους εἶναι τοὺς σπουδάζοντας περὶ πλοῦτον. ὃν τύχη μὲν παρέχει. ἀνελευθερία δὲ φυλάττει. χρηστότης δὲ, ἀφαιρεῖται.

Δ Διογένης ἔλεγε, μήτε ἐν πόλει πλουσίᾳ, μήτε ἐν οἰκίᾳ, ἀρετὴν οἰκεῖν δύνασθαι.

Τ Τὸν πλοῦτον εἶπε, τύχης ἔμετον εἶναι.

Σ Σωκράτης εἶπε. πολλοῦ ἂν ἄξιον ἦν τὸ πλουτεῖν, εἰ καὶ τὸ χαίρειν αὐτῷ συνῆν. νῦν δὲ ἄμφω ταῦτα κεχώρισται, ἐὰν γὰρ θέλωσι χρῆσθαι τῷ πλούτῳ, τῇ ἡδυπαθείᾳ διαφθείρονται. ἐάν τε τῷ πλουτεῖν φυλάττειν, τῇ φροντίδι. ἐάν τε κτήσασθαι, τῇ ἐπιθυμίᾳ.

Ἱέρακος. Η Πῶς ἂν ἡ τοῦ πλούτου κτῆσις ἐπὶ δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετὰς τινὸς ἡγήσαιτο. τὰ γὰρ ὑπηρετοῦντα πρὸς τὰ χείρω, ἐναντία πρὸς τὴν τῶν βελτίστων κτῆσιν. τὰ χρήματα δὲ, παρακαλεῖ μὲν ἐπὶ ῥᾳθυμίαν. ζωπυρεῖ δὲ τὰς ἡδονάς. ἐπιβουλὰς δὲ, διχῆ συντίθησι. κατὰ μὲν τῶν εὐπόρων, διὰ τῶν φθονούντων. κατὰ δὲ τῶν πενήτων, διὰ τῶν δυνατωτέρων. ἃ τοίνυν ἄλλοις μὲν τοῖς κεκτημένοις ἐπιβουλεύειν ποιεῖ. τῇ δὲ ἔχοντας ἰσχυρούς, πρὸς ἀδικίαν παρασκευάζει, πῶς ἂν εἰς δικαιοσύνην συντελέσειεν.

Ayuntamiento de Madrid

## ΟΤΙ ΤΑ ΧΡΗΜΑΤΑ ΑΒΛΑΒΗ, ΣΥΜΜΕΤΡΩΣ καὶ δικαίως ποριθέντα. καὶ ὅτι τῶν μέσων ὁ πλοῦτος.

### ΛΟΓΟΣ Ἐνενηκοστὸς β'.

Ὦ τέκνον, ἀνθρώποισιν ἔστιν οἷς βίος Εὐριπίδου
ὁ μικρὸς εὔκρατος, ἐγένετο δ' ὄγκος κακόν.
Κρείσσων δὲ βίος ὄλβος ἀβλαβὴς βροτοῖς,
ἢ δῶμα πλούτῳ δυσσεβῶς ὠγκωμένον.
Κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν
ἐφ' οἷσι μέλλει μή ποθ' ὕστερον στένειν.
μή μοι ποτ' εἴη χρημάτων νικωμένῳ,
κακὸν γενέσθαι, μήθ' ὁμιλοίην κακοῖς.
Ἀδίκως δὲ μὴ χρήματ' ἀεὶ βούλη πολὺν χρόνον
μελάθροις ἐμμένειν, τὰ γὰρ κακῶς
οἴκοις ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν.
Ὁ δ' ὄλβος ἀδίκως καὶ μετὰ σκαιῶν συνών,
ἐξέπτη τ' οἴκων βραχὺν ὁμιλήσας χρόνον.
Κέκτησο δ' ὀρθῶς, ἂν ἔχης ἄνευ ψόγου.
καὶ σμικρὰ σώζων τοὐπέχ' ὂν σέβειν πρέπει.
μὴ δ' ὡς κακῶς ναύκληρος εὖ πράξας ποτέ,
ζητῶν τὰ πλείον' εἶτα πάντ' ἀπώλεσεν.
Μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει. Μενάνδρου
χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς.
οὕτω μαθεῖν δεῖ πάντα καὶ πλοῦτον φέρειν.
ἀσχημοσύνης γὰρ γίνετ' ἐνίοις αἴτιος.
Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους. Σοφοκλέ.
οὔτοι τὰ χρήματα ἴδια κέκτηνται βροτοί.
τὰ τῶν θεῶν δ' ἔχοντες, ἐπιμελούμεθα.
ὅταν δὲ χρήζωσ' αὐτῶν, ἀφαιροῦνται πάλιν.

Ayuntamiento de Madrid

## Ὅτι τὰ χρήματα ἀβλαβῆ συμμέτρως καὶ δικαίως πορισθέντα.

Σωκράτους. Ὁ μὲν οἶνος συμμεταβάλλει τοῖς ἀγγείοις. ὁ δὲ πλοῦτος τοῖς τῶν κεκτημένων τρόποις.

Οὔτε τὸν ἄρρωστον ἡ χρυσῆ ὠφελεῖ κλίνη, οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.

Ἰσοκράτους. Τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖσθαι μὴ πλοῦτον, ἀλλὰ κίνδυνον ποιήσειν. μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε, τὸ δὲ ἀναλῶσαι ζημίαν. οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν. ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται, τοῦτ' ὠφελεῖ τοὺς ποιοῦντας.

Ἀριστοτέλ. Κρεῖττω πρὸς εὐδαιμονίαν ἐλάττω κεκτῆσθαι, ἢ πολλὰ μετὰ φθόνου, καὶ γὰρ καλλίων καὶ ἡδίων οὗτος ὁ βίος.

Οὐ τὸ πλουτεῖν καλόν. ἀλλὰ τὸ ἐκ καλῶν πλουτεῖν.

Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν, μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

Τίμα τὴν ὑπάρχουσαν οὐσίαν, δυεῖν εἵνεκεν. τοῦ τε ζημίαν μεγάλην ῥᾳδίως ἐκτίσαι, καὶ τῷ φιλοσπουδαίῳ δυστυχοῦντι βοηθῆσαι. πρὸς δὲ τὸν ἄλλον βίον, μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα. στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω.

Πλάτωνος. Ἠρώτα γὰρ αὐτὸν τὸ μειράκιον πῶς οἴεται: κακὸν εἶναι τὸ πλουτεῖν. καὶ ὅπως ἀγαθόν, ὁ δ' ὑπολαβών, ὥσπερ καὶ σὺ νῦν δή ἔφη. τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων, ἀγαθόν. καὶ τοῖς ἐπισταμένοις ὅπου δεῖ χρῆσθαι τοῖς χρήμασι. τούτοις μὲν, ἀγαθόν. τοῖς δὲ μοχθηροῖς καὶ ἀνεπιστήμοσι, κακόν. ἔχει δ' ἔφη καὶ τ' ἄλλα πράγματα οὕτω πάντα. ὁποῖοι γὰρ ἂν τισὶν ὦσιν οἱ χρώμενοι, τοιαῦτα καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι. καλῶς δ' ἔφη δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι. καὶ φρονοῦσι τοιαῦθ', ὁποίοις ἐγκυρέωσιν ἔργμασιν.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρώτου τῶν πολιτειῶν. Οὔτοι ἕνεκα ἠρόμην ἦν δ' ἐγώ, ὅτι μοι ἔδοξας οὐ σφόδρα ἀγαπᾶν τὰ χρήματα. τοῦτο δὲ ποιοῦσιν ὡς τὸ πολύ. οἳ ἂν μὴ αὐτοὶ κτήσωνται. οἱ δὲ κτησάμενοι, διπλῇ ἢ ἄλλοι ἀσπάζονται αὐτά. ὥσπερ γὰρ οἱ ποιηταί, τὰ αὑτῶν ποιήματα, καὶ οἱ πατέρες τοὺς παῖδας ἀγαπῶσι, ταύτῃ δὴ καὶ οἱ χρηματισάμενοι τὰ χρήματα σπουδάζουσι. ὡς ἔργον ἑαυτῶν καὶ κατὰ τὴν χρείαν, ᾗπερ οἱ ἄλλοι. χαλεποὶ οὖν καὶ συγγενέσθαι εἰσίν, οὐδὲν ἐθέλοντες ἐπαινεῖν ἄλλο, ἢ τὸν πλοῦτον. ἀληθῆ ἔφη λέγεις. πάνυ μὲν οὖν ἦν δ' ἐγώ, ἀλλά μοι ἔτι, τοσόνδε εἰπέ. τί μέγιστον οἴει ἀγαθὸν ἀπολελαυκέναι, τοῦ πολλὴν οὐσίαν κεκτῆσθαι. ὃ δ' ὅς, ἴσως. οὐκ ἂν ἄλλοις καὶ πολλοὺς πείσαιμι λέγων. εὖ γὰρ ἴσθι ἔφη ὦ Σώκρατες. ὅτι ἐπειδάν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευτήσειν, εἰσέρχεται αὐτῷ δέος καὶ φροντίς, περὶ ὧν

ἐν τῷ πρόσθεν οὐκ εἰσῄει. οἵ τε γὰρ λεγόμενοι μῦθοι περὶ τοῖς ἐν ἅδου, ὡς τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην· καταγελώμενοι τέως· τότε δὴ στρέφουσιν αὐτοῦ τὴν ψυχὴν, μὴ ἀληθεῖς ὦσι· καὶ αὐτὸς ἤτοι ὑπὸ τῆς τοῦ γήρως ἀσθενείας, ἢ καὶ ὥσπερ ἤδη ἐγγυτέρω ὢν τῶν ἐκεῖ· μᾶλλόν τι καθορᾷ αὐτά. ὑποψίας δ' οὖν καὶ δείματος μεστὸς γίγνεται. καὶ ἀναλογίζεται καὶ σκοπεῖ, εἴ τινα τι ἠδίκησεν. ὁ μὲν οὖν εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα, καὶ ἐκ τῶν ὕπνων ὥσπερ οἱ παῖδες θαμὰ ἐγειρόμενος, δειμαίνει καὶ ζῇ μετὰ κακῆς ἐλπίδος. τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι, ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι, καὶ ἀγαθὴ γηροτρόφος· ὥσπερ καὶ Πίνδαρος λέγει. χαριέντως γὰρ ὦ σώκρατες τοῦτ' ἐκεῖνος εἶπεν. ὅτι ὃς ἂν δικαίως καὶ ὁσίως τὸν βίον διαγάγῃ, γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος ξυναορεῖ ἐλπίς· ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ. εὖ οὖν λέγει θαυμαστῶς ὡς σφόδρα. πρὸς δὴ τοῦτο ἔγωγε τίθημι, τὴν τῶν χρημάτων κτῆσιν, πλείστου ἀξίαν εἶναι. οὔ τι τῷ παντὶ ἀνδρὶ, ἀλλὰ τῷ ἐπιεικεῖ. τὸ γὰρ μὴ δὲ ἄκοντά τινα ἐξαπατῆσαι, ἢ ψεύσασθαι, μὴ δ' αὖ ὀφείλοντα ἢ θεῷ θυσίας τινὰς, ἢ ἀνθρώπῳ χρήματα. ἔπειτα ἐκεῖσε ἀπιέναι δεδιότα, μέγα μέρος εἰς τοῦτο, ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται· ἔχει δὲ καὶ ἄλλας χρείας πολλάς· ἀλλὰ ἕν γε ἀνθ' ἑνὸς οὐκ ἐλάχιστον ἔγωγε θείην ἂν εἰς τοῦτο ἀνδρί. νοῦν ἔχοντι ὦ σώκρατες πλοῦτον χρησιμώτατον εἶναι. παγκάλως ἦν δ' ἐγὼ λέγεις ὦ κέφαλε.

Τῶν μὲν Κροίσου καὶ Κύρου θησαυρῶν, πενίαν ἐσχάτην καταψηφιούμεθα· ἕνα δὲ καὶ μόνον πιστεύομεν εἶναι πλούσιον, ἢ σοφόν· τὸν δυνάμενον κτήσασθαι τὸ ἐνδεὲς πανταχοῦ. Μουσωνίου

Χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον ἐς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελές. ξὺν ἀνοίῃ δὲ, χορηγίη ξυνή. Δημοκρί.

Χρήματα πορίζειν μὲν, οὐκ ἀχρεῖον. ἐξ ἀδικίης δὲ, πάντως κάκιον.

Οὔτε ἵππον χωρὶς χαλινοῦ, οὔτε πλοῦτον δίχα φρονήσεως δυνατὸν κρατεῖσθαι. Πυθαγόρου.

Πλάτων ἐρωτηθεὶς πόσην δεῖ οὐσίαν ἔχειν εἶπεν· ὅσην ἔχων, οὔτ' ὑπὸ βουλευθήσῃ· οὔτε τῶν ἀναγκαίων ἀπορήσεις.

Κλεάνθης ἐρωτώμενος, πῶς ἄν τις εἴη πλούσιος, εἶπεν εἰ τῶν ἐπιθυμιῶν εἴη πένης.

Οὐδεὶς γοῦν οὕτω πλουτεῖ, ὅστις οὐκ ἐλάττω ἔχει ὧν βούλεται. τοὺς δὲ εὐθυμεῖσθαι θέλοντας, χρὴ ἐν μὲν τοῖς ἀγαθοῖς, ἀφορᾶν εἰς τοὺς ἐλάττω ἀγαθὰ κεκτημένους· ἐν δὲ τοῖς κακοῖς, εἰς τοὺς μᾶλλον δυστυχοῦντας. ἐὰν δέ γε ἢ ἐν τοῖς ἀγαθοῖς εἰς τὸ ὑπερέχον, ἢ ἐν τοῖς κακοῖς εἰς τὸ ἐνδεέστερον ἀποβλέπῃς, ἀεὶ λυπήσῃ. ἔστι δὲ λύπη, αἰτία ἐπὶ τοῖς οἰκείοις κακοῖς. Φαβωρίνου

Ayuntamiento de Madrid

Ὅτι τὰ χρήματα ἀβλαβῆ συμμέτρως καὶ δικαίως πορισθέντα.

Α ρετὴν οὖν τοῖς πᾶσι μᾶλλον εὐκταῖον, ἢ πλοῦτον ἀνοήτοις σφαλερόν. ὑπὸ γὰρ χρημάτων, αὔξεται κακία. καὶ ὅσῳ τις ἂν ἄφρων ᾖ, τοσούτῳ πλέον ἐξυβρίζει τὸ λυσσῶδες αὐτοῦ τῶν ἡδονῶν ἐκπληροῦν ἔχον.

Ἀριστίππου. Ο ὐχ ὥσπερ ὑπόδημα τὸ μεῖζον δύσχρηστον, οὕτω καὶ ἡ πλείων κτῆσις· τοῦ μὲν γὰρ ἐν τῇ χρήσει τὸ περιττὸν ἐμποδίζει· τοῦ δὲ, καὶ ὅλῃ χρῆσθαι κατὰ καιρὸν ἔξεστι καὶ μέρει.

Σωκράτης. Ι δρὼς μὲν ὁ ἐκ γυμνασίων, εὐσχημονέστερος· πλοῦτος δὲ ἐκ τῶν ἰδίων πόνων.

Τ ὸν πλοῦτον ὥσπερ φίλον ἐκτενῆ καὶ ἀπροφάσιστον, εἰς τὰς καλὰς δεῖ παραλαμβάνειν πράξεις.

## ΠΕΝΙΑΣ ΕΠΑΙΝΟΣ.

## ΛΟΓΟΣ Ἐνενηκοστὸς γ'.

Ἀντιφάνους. Ἅπανθ' ὁ λιμὸς γλυκέα πλὴν αὐτοῦ ποιεῖ.
πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος.

Μενάνδρου. Τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει.
πενία; τί γὰρ τοῦτ' ἐστὶν ἧς γένοιτ' ἂν εἷς
φίλος βοηθήσας, ἰατρὸς ῥαδίως.

Διφίλου. Π ένητος ἀνδρὸς, οὐδὲν εὐτυχέστερον,
τὴν γὰρ ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ.

Μενάνδρου. Α εἰ νομίζονθ' οἱ πένητες τῶν θεῶν,
ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς σώφροσι.

Πολυΐδου. Π λουτεῖς· τὰ δ' ἄλλα μὴ δόκει ξυνιέναι.
ἐν τῷ γὰρ ὄλβῳ, φαυλότης ἔνεστί τις.
πενία δὲ, σοφίαν ἔλαχε, διὰ τὸ δυστυχές.

Ἀλέξιδος. Τ ῶν γὰρ ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει.
ἀβεβαιότατον γάρ ἐστιν ὧν κεκτήμεθα.
τὰ δ' ἄλλ' ἐπιεικῶς τοῖς ἔχουσι παραμένει.

Ἀπολλω- λύκου. Ο ὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρὸν, ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι, ὄνειδος.

Αἰλιανοῦ ἐκ τῆς συμμίκτου ἱστορίας. Π ενέστατοι ἐγένοντο, οἱ ἄριστοι τῶν Ἑλλήνων. Ἀριστείδης ὁ Νικομάχου. καὶ Φωκίων ὁ Φώκου. καὶ Ἐπαμινώνδας ὁ Πολύμνιδος. καὶ Πελοπίδας ὁ Θηβαῖος. καὶ Λάμαχος ὁ Ἀθηναῖος. καὶ Σωκράτης ὁ Σωφρονίσκου. καὶ Ἐφιάλτης ὁ Σοφωνίδου.

Διογένης

Ayuntamiento de Madrid

Διογένης τὴν πενίαν αὐτοδίδακτον ἔφη εἶναι ἐπικούρημα· πρὸς φιλοσο-
φίαν, ἃ γὰρ ἐκείνη πείθειν τοῖς λόγοις πειρᾶσθαι, ταῦτ' ἐν ἔργοις τὴν πε-
νίαν ἀναγκάζειν.

Διογένης, ὀνειδίσαντος αὐτῷ τινος πενίαν μοχθηροῦ, ἔφη· διὰ μὲν πενίαν οὐ-
δένα πώποτε στρεβλούμενον εἶδεν· διὰ δὲ κακίαν, πολλούς.

Ἐκ τοῦ ἐπικτήτου ἐγχειριδίου.

Μέτρον κτήσεως, τὸ σῶμα, ὡς ὁ πούς ὑποδήματος. ἐὰν μὲν ἐπὶ τούτου στῇς, ἕ-
ξεις τὸ μέτρον καὶ τὴν ἐπὶ βάθραν. ἐὰν δὲ ὑπερβῇς ἀφῆκας ὡς κατὰ κρημνοῦ
σεαυτόν. οὕτω γίνεσθαι κατάχρυσον ὑπόδημα, εἶτα πορφυροῦν· εἶτα κεν-
τητόν. ὑπερέβη γὰρ τὴν χρείαν τοῦ ποδός. τὸ αὐτὸ καὶ ἐπὶ τῆς κτήσεως, ἐὰν
ὑπερβῇ σῶμα, ὅρος οὐδείς ἐστι.

Πενίας διττὸν εἶδός ἐστιν. ἢ γὰρ διὰ τὴν γνώμην ἄνθρωποι πένονται, ἢ διὰ τὴν τύ- Φαβωρίνου
χην. ἀλλὰ τὴν μὲν τύχην, ἔστι θεραπεῦσαι, καὶ δόσει καὶ εὑρέσει. καὶ ἐρ-
γασίᾳ, καὶ αὐταρκείᾳ. τὴν δὲ γνώμην, οὐκ ἔστιν. οὐ γὰρ ὁμοίων δέονται οὗ-
τός τοι κἀκεῖνος. ἀλλ' ὁ μὲν περιέρχεται αἰτίζων ἀκόλους· ὁ δὲ, οὐκ ἀκό-
λους· οὐδὲ ψωμόν.

Ἀρχύτας ἀναγνοὺς τὸν ἐρωτηθεῖσιν ἑρμῆν, τοῦτον ἐπήνεγκε τὸν στίχον. χρειὼ Πλουτάρχου
πάντ' ἐδίδαξε. τί δ' οὐ χρειώ κεν ἀνεύροι. καὶ τοῦτο ὀρθῶς· γὰρ καὶ μᾶλλον
ἐπωδίνουσι μέριμναι.

Οὐδέποτε λιμὸς ἐγέννησε μοιχείαν· οὐδέποτε ἀπειρία χρημάτων, ἀσωτίαν.
βραχεῖά τις ἐστὶ σωφροσύνη τὸ πενιτεύειν· ὀλίγη τις εὐνομία, τὸ ἀπορεῖσθαι.

Ἀρκεσίλαος τὴν πενίαν λυπρὰν μὲν ἔλεγεν εἶναι, ὥσπερ καὶ τὴν ἰθάκην, ἀ-
γαθὴν καὶ κουροφόφον. ἐθίζουσαν συνεῖναι λιτότητι καὶ καρτερείᾳ. καὶ κα-
θόλου γυμνάσιον ἀρετῆς ἔμπρακτον.

Διογένης τὴν πενίαν ἔλεγεν αὐτοδίδακτον εἶναι ἀρετήν.

Θεράπευε τὸ φοβεῖσθαι, καὶ οὐ φοβήσῃ πενίαν. Ὑψαίου.

Ἡ πενία κωλύει πρὸς τὸ φιλοσοφεῖν· ὁ δὲ πλοῦτος εἰς ταῦτα χρήσιμον, οὐκ εὖ. Τέλητος.
πόσους γὰρ οἴει δι' εὐπορίαν ἢ δι' ἔνδειαν κωλυθῆναι σχολάζειν. ἢ οὐχ ὁρᾷς
ὅτι ὡς ἐπὶ τὸ πολὺ οἱ πτωχότατοι, φιλοσοφοῦσιν· οἱ δὲ πλούσιοι διὰ ταῦτ'
» ἄλλα, ἐν πάσῃ ἀσχολίᾳ εἰσίν. οὐ κακῶς δὲ καὶ Θέογνις λέγει. πολλῷ τοι
» πλείους λιμοῦ, κόρος ὤλεσεν ἄνδρας.

Ἐπεὶ ποῦ ἂν δείξειας δι' ἔνδειαν κεκωλυμένους φιλοσοφεῖν, ὥσπερ διὰ πλοῦ-
τον, ἢ οὐχ ὁρᾷς ὅτι διὰ μὲν ἔνδειαν καρτερεῖν βιάζονται. διὰ δὲ πλοῦ-
τον τὰ ἐναντία. ὅταν γὰρ οἶμαι τῷ ἀνθρώπῳ προσγένηται εὐχερῶς πορί-



Ayuntamiento de Madrid

ζεσθαι ὧν αὖ ἐπιθυμῇ, οὐκέτι οὗτος πρὸς τὸ ποιεῖν ἢ ζητεῖν ἔτι ἐστίν. ἀλλ' ἔ-
χων συνεργὸν τὸν πλοῦτον, τῇ αὐτοῦ κακίᾳ, οὐδεμιᾶς ἡδονῆς ἀπέχεται. ἢ
πάλιν οὐχ ὁρᾷς, διότι οἱ μὲν πλούσιοι πλείω πράττοντες, κωλύονται τοῦ σχολά-
ζειν, ὁ δὲ πένης οὐκ ἔχων τι πράττῃ, πρὸς τὸ φιλοσοφεῖν γίνεται. ζήνων ἔφη κρά-
τητα ἀναγινώσκειν ἐν σκυτίῳ καθήμενον τὸν ἀριστοτέλους προτρεπτικόν, ὃν
ἔγραψε πρὸς θεμίσωνα τὸν κυπρίων βασιλέα. λέγων, ὅτι οὐδενὶ πλείω ἀγαθὰ
ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι. πλοῦτόν τε γὰρ πλεῖστον αὐτὸν ἔχειν. ὥστε δα-
πανᾶν εἰς ταῦτα. ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῷ. ἀναγινώσκοντος δὲ αὐτοῦ, τὸν σκυ-
τέα ἔφη προσέχειν ἅμα ῥάπτοντα, καὶ τὸν κράτητα εἰπεῖν. ἐγώ μοι δοκῶ ὦ φι-
λίσκε γράφειν εἰς σὲ προτρεπτικόν. πλείω γὰρ ὁρῶ σοι ὑπάρχοντα πρὸς τὸ φι-
λοσοφῆσαι, ὧν ἔγραψεν ἀριστοτέλης. ἢ πάλιν, οἰκέται μὲν οἱ τυχόντες αὐτοὺς
τρέφουσι, καὶ μισθὸν τελοῦσι τοῖς κυρίοις. ἐλεύθερος δὲ ἀνὴρ αὑτὸν τρέφειν οὐ δυ-
νήσεται; ἐπεὶ καὶ τῶν τοιούτων φροντίδων μοι δοκεῖ ὁ ἄσιος λελυμένος πολὺ
εὐσχολώτερος εἶναι τῷ μηδὲν ὑπάρχειν. οἷον δή που ἐν τῷ νῦν πολέμῳ, περὶ
οὐδενὸς φροντίζει, ἢ περὶ αὐτοῦ. ὁ δὲ πλούσιος, καὶ περὶ ἑτέρων, οὐ κακῶς οὖν
» οὐδὲ σοφοκλῆς πεποίηκε λέγοντα τὸν οἰδίπουν. τὸ μὲν γὰρ ὑμῶν ἄλγος, εἰς
» ἓν ἔρχεται. ἐγὼ δὲ ἐμαυτόν, καὶ πόλιν. καὶ σὲ στένω. ἀλλ' ὅμως ταῦθ' ὁρῶντες
γινόμενα. οὐδὲν ἧττον κακοδαιμονεῖν οἴονται, κἂν πένητες ὦσι. φασὶ δὲ καὶ
ἐν ταῖς πόλεσιν ἐντιμοτέρους εἶναι μᾶλλον τοὺς πλουσίους τῶν πενήτων.
οἱ τοιοῦτοι δέ μοι δοκοῦσιν οὐκ ἀκούειν, διότι ἀριστείδης πτωχότατος ὢν πάν-
των ἀθηναίων ἐντιμότερος ἦν. καὶ ὅτε τοὺς φόρους ταῖς πόλεσιν ἤθελον
τάξαι ἀθηναῖοι, ἐκεῖνον κατέστησαν. οὐδένα οἰόμενοι δικαιότατ' ἂν τάξαι.
καὶ ὅτι καλλίας πλουσιώτατος ὢν ἀθηναίων, μᾶλλον προσ-
ποιεῖτο ἀριστείδου οἰκεῖος εἶναι, ἢ ἀριστείδης καλλίου. καὶ πολὺ μᾶλλον,
ἠγωνίετο ἀριστείδης ἐπὶ τῷ πλούτῳ καλλίου, ἢ καλλίας ἐπὶ τῇ ἀριστείδου
πενίᾳ. ἢ πάλιν λυσάνδρου τοῦ σπαρτιάτου, τίς ἐντιμότερος γέγονεν, ἢ τι-
μῶν πλειόνων ἠξιώθη. καὶ οὕτως τὰς θυγατέρας οὐκ ἐδύνατο προῖκα
ἄλλους δὲ ὁπόσους θέλεις ἄν τις εἴποι. οἱ πένητες ὄντες, ἐν μείζονι τι-
μῇ ἐγένοντο τῶν πλουσίων. οὐκ ἀπὸ τρόπου δέ μοι δοκεῖ οὐδ' ὁ εὐριπίδης ἐγκω-
μιάζων λέγειν τὸν ἐτεοκλέα, διότι νεανίας μὲν ἐνδεὴς ἦν, πλεῖστας δὲ τιμὰς
ἔσχεν ἀργείων πόλει.

Ξενοφῶντος ἐκ τοῦ συμποσίου.

Τί γὰρ σύ ἔφη ὦ χαρμίδη, ἐπὶ τίνι μέγα φρονεῖς; ἐγὼ αὖ ἔφη, ἐπὶ πενίᾳ μέ-
γα φρονῶ. νὴ δί' ἔφη ὁ σωκράτης, ἐπ' εὐχαρίστῳ γε πράγματι. τοῦτο γὰρ δὴ ἥκι-
στα μὲν ἐπίφθονον, ἥκιστα δὲ περιμάχητον καὶ ἀφύλακτον ὄν, σώζεται, καὶ
ἀμελούμενον, ἰσχυρότερον γίνεται.

Ayuntamiento de Madrid

Ος τις δὲ ταύρων σπέρμα γενναῖον τ᾽ ἔχων. Εὐριπίδου
βίον σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ.
πενίᾳ δ᾽ ἐλάσσων ἐστίν, ἐν δ᾽ ἀλγύνεται.
φρονῶν δ᾽ ὑπ᾽ αἰδοῦς ἔργ᾽ ἀπωθεῖται χερῶν.
P ενία διδάσκει δ᾽ ἄνδρα τῇ χρείᾳ κακόν.
οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν δυνάμεθ᾽.
ἔτι γὰρ θάλλει πενία, κακὸν ἔχθιστον
φεύγει δ᾽ ὄλβος.
O ὐκέτι πενίας ἱερὸν αἰχίστης θεοῦ.
μισῶ γὰρ ὄντως οἵτινες φρονοῦσι μὲν
φρονοῦσι δ᾽ οὐδενός τι χρημάτων ὕπερ.
E ὐκαταφρόνητόν ἐστι γοργία πένης,
κἂν πάνυ λέγῃ δίκαια· τοῦτον γὰρ λέγειν
ἕνεκα μόνον νομίζεθ᾽ οὗτος τοῦ λαβεῖν.
καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον
ἔχων καλεῖται, κἂν ἀδικούμενος τύχῃ.
Ο στις πένης ὢν ζῆν παρὸ ζῆν βούλεται Φιλημονος.
ἢ γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά.
ἔρημος ἐστ᾽ ἄνθρωπος ἠπορημένος.
P ενία δὲ δυσκραθεῖσα δυσσεβεῖ τρόπῳ. Διφίλου.
ἄρδην ἀνεῖλε καὶ κατέστρεψε βίον.
P ενία δὲ τοῖς ἔχουσιν, οὐ σμικρὰ νόσος. Σοφοκλέ.
πενίας οὐδείς ἐστι μείζων πολέμιος.
P ρὸς ἅπαντα δειλὸν ὁ πένης ἐστὶ γάρ. Μενάνδρου
καὶ πάντας αὐτοῦ καταφρονεῖν ὑπολαμβάνει.
ὁ γὰρ μετρίως πράττων, περισκελέστερον
ἅπαντα τ᾽ ἀνιαρὰ λαμπρῶς φέρει.
A αἰ τοῖς μικροῖς, μικρὰ διδοῦσι θεοί. Καλλιμάχου.
O ὐκ ἔστι πενίας οὐδὲν ἀθλιώτερον.
ἐν τῷ βίῳ σύμπτωμα· καὶ γὰρ ἂν φύσει Κράτητος.
σπουδαῖος ᾖς, πένης δέ, καταγέλαστος ἔσῃ.
A δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις, Θεόγνιδος

σῶμα καταισχύνει καὶ νόον ἡμέτερον·
αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίῃ κακὰ πολλὰ διδάσκει·
ἐσθλὰ μετ' ἀνθρώπων καὶ καλ' ἐπιστάμενον·
πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι εἰπεῖν,
οὔθ' ἔρξαι δύναται· γλῶσσα δέ οἱ δέδεται·

Μή ποτέ μοι πενίην θυμοφθόρον ἀνδρὶ χαλεφθεὶς
μηδὲ ἀχρημοσύνην κακὴν πρόφερε·
Ζεὺς γάρ τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως·
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν·
χρὴ δ' αἰεὶ κατὰ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης,
δίζεσθαι χαλεπῆς κύρνε λύσιν πενίης·

Χρὴ πενίην φεύγοντα, καὶ ἐς μεγακήτεα πόντον·
εἰπεῖν, καὶ πετρῶν κύρνε κατ' ἠλιβάτων·

Αλκέου· Αργαλέον πενία, κακὸν ἄσχετον ἃ μέγαν
δάμνησι λαὸν ἀμηχανίᾳ σὺν ἀδελφέᾳ·

Ησιόδου· Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ·
τέτλαθ' ὀνειδίζειν μακάρων δόσιν αἰὲν ἐόντων·

Αριστοφῶντος· Σαφὴς ὁ χειμών ἐστι, τῆς πενίας ὁ λύχνος,
ἅπαντα φαίνει τὰ κακὰ καὶ τὰ δυσχερῆ·

Μενάνδρου· Ὅστις πένης ὢν ζῆν ἐν ἄστει βούλεται,
ἀθυμότερον αὑτὸν ἐπιθυμεῖ ποεῖν·
ὅταν γὰρ εἰς τρυφῶντα καὶ σχολὴν ἄγειν,
δυνάμενον ἐμβλέψῃ, τότ' αὐτὸν ἔστ' ἰδεῖν·
ὡς ἄθλιον ζῇ καὶ ταλαίπωρον βίον·
κακῶς ὁ δεσπότης βεβούλευται πάνυ·
ὡς ἀγρῷ γὰρ οἰκῶν, οὐ σφόδρ' ἐξελέγχεται·
τῆς μερίδος ὢν τῆς οὐδαμοῦ τεταγμένης·
εἶχεν δὲ παραπέτασμα τὴν ἐρημίαν·

Αριστοφῶντος· Αἰσχρὸν γενέσθαι πτωχόν· ἀσθενὴ θ' ἅμα
τὸ τέλος πᾶσιν ἐστὶ τοῖς πτωχοῖσι, νύξ·
ἐπισκοτεῖ γὰρ τοῖς κακοῖσι πανταχοῦ·

Ayuntamiento de Madrid

## ΣΥΓΚΡΙΣΙΣ ΠΕΝΙΑΣ ΚΑΙ ΠΛΟΥΤΟΥ.

## ΛΟΓΟΣ ΕΝΕΝΗΚΟΣΤΟΣ έ.

Καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς. — Ἀντιφάνους.
τὸ μὲν γὰρ ἔλεον, τὸ δ' ἐπιτίμησιν φέρει.
Κρεῖττον γάρ ἐστιν ὦ σκόπει τις κατὰ λόγον. — Μενάνδρου
μὴ πόλλ' ἀηδῶς, ὀλίγα δ' ἡδέως ἔχειν.
πενίαν ἄλυπον μᾶλλον, ἢ πλοῦτον πικρόν.
Κακόν τι βούλευμ' ἦν ἄρ' εἰς εὐανδρίαν, — Εὐριπίδου
ὁ πλοῦτος ἀνθρώποισιν. αἵ τ' ἄγαν τρυφαί.
πενία δὲ, δύστηνον μὲν, ἀλλ' ὅμως τρέφει
μοχθοῦντ' ἀμείνω τέκνα καὶ δραστήρια.
πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.
λαμπροὶ γὰρ εἰς γένος γε. χρημάτων γε μὴν
πένητες, οὐδὲν ἡ εὐγένει' ἀπόλλυται.
Ἴσον τοι πλουτοῦσ', ὅσοις πολὺς ἄργυρός ἐστι — Θεόγνιδος
καὶ χρυσός. καὶ γῆς πυροφόρου πεδία.
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ τάδε πάντα πάρεστι.
γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν.
παιδός τ' ἠδὲ γυναικός. ὅταν δέκε τῶν δ' ἀφίκηται
ὥρη σὺν δ' ἥβη γίνεται ἁρμοδία.
ταῦτ' ἄφενος θνητοῖσι. τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς ἀΐδην.
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρείας
νούσους. οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.
Ὁ πλοῦτός ἐστι παρακάλυμμα τῶν κακῶν. — Ἀντιφάνους.
ὦ μῆτερ, ἡ πενία περιφανές τε καὶ ταπεινόν. — 
Οἱ μὲν, γὰρ κακότητα κατακρύψαντες ἔχουσι, — Θεόγνιδος
πλούτῳ. τοὶ δ' ἀρετὴν οὐλομένη πενίη.



Ayuntamiento de Madrid

Εὐριπίδου. Ὁ δ' οὐδεὶς οὐδείς· διατέλους δὲ δυστυχῶν
τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ τητώμενος,
οὐκ οἶδ' ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων.
οὕτως ἄμεινον μὴ πειρᾶσθαι καλῶν·
ἐκεῖνο γὰρ μεμνήμεθ' οἷος ἦν ποτε.
κἀγὼ μετ' ἀνδρῶν ἦν ἵκ' εὐτύχουν ποτέ.

Κρατίνου. Σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν
κρεῖσσον σύνοικον ἐστὶν ἐνδόμοις ἔχειν.

Εὐριπίδου. Μικρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων
ἄλυπος οἰκεῖν μᾶλλον, ἢ πλουτῶν νοσεῖν.

Ἱππώνακτος. Εἴ τις καθείρξει χρυσὸν ἐνδόμοις πολύν,
καὶ σῦκα βαιὰ δύο ἢ τρεῖς ἀνθρώποις,
γνώῃ χάσσον τὰς σῦκα τοῦ χρυσοῦ κρείσσω.

Μενάνδρου. Ὤμην ἐγὼ τοὺς πλουσίους ὦ Φανία,
οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν οὐ στένειν
τὰς νύκτας· οὐδὲ στρεφομένους ἂν νύκτα,
οἴμοι λέγειν· ἡδὺν δὲ καὶ πρᾶόν τινα
ὕπνον καθεύδειν, ἀλλὰ τῶν πτωχῶν τινά.
νυνὶ δὲ καὶ τοὺς μακαρίους καλουμένους
ὑμᾶς, ὁρῶ ποιοῦντας ἡμῖν ἐκφερῆ.

Τοῦ αὐτοῦ. Φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ
σοφοὺς ἡγεῖσθαι τοὺς λόγους· ὅταν δέ τις
λεπτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνήρ,
γελᾶν· ἐγὼ δὲ πολλάκις σοφωτέρους
πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων,
καὶ θεοῖς μικρὰ χειρὶ θύοντας τέλη,
τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους.

Θεόγνιδος. Πολλ' ἐν ἀμηχανίῃ κυλίνδομαι ἀχνύμενος κῆρ.
ἄκρην γὰρ πενίην οὐχ ὑπεδράμομεν,
πᾶς τις πλούσιον ἄνδρα τίει· ἀτίει δὲ πενιχρόν.
πᾶσιν δ' ἀνθρώποις, αὐτὸς ἔνεστι νόος.

Εὐριπίδου. Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλλούμενον.
κράτιστον εἶναί φημι μὴ φῦναι βροτῷ.
φιασῶν δὲ βροτῶν· ἐκεῖνα νικᾶν μίαν.

Ayuntamiento de Madrid

πλούτου τε, καὶ ὅτῳ σπέρμα γενναῖον προσῆ.
πενίας τε ἀριθμὸν γὰρ τοσόνδε προυθέμην.
ὁ μὲν ζάπλουτος, ἐς γένος δ᾽ οὐκ εὐτυχής.
ἀλγεῖ μὲν ἀλγεῖ, παγκάλως δ᾽ ἀλγύνεται.
ὄλβου διοίγων θάλαμον ἥδιστον χερί.
ἔξω δὲ βαίνων τοῦδε τὸν πάρος χρόνον
πλουτῶν ὑπ᾽ ἄτης· ζεύς τ᾽ αὐαχάλλει πεσών.
ὅστις δὲ γαῦρον σπέρμα γενναῖον τ᾽ ἔχων
βίον σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ.
πενία δ᾽ ἐλάσσων ἐστίν· ἐν δ᾽ ἀλγύνεται.
φρενῶν ὑπ᾽ αἰδοῦς δ᾽ ἔργ᾽ ἀπωθεῖται χερῶν.
ὁ δ᾽ οὐδὲν οὐδεὶς διὰ τέλους δὲ δυστυχῶν,
τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ τητώμενος,
οὐκ οἶδεν ἀεὶ δυστυχῶν κακῶς τ᾽ ἔχων.
οὕτως ἄριστον μὴ πεπειρᾶσθαι καλῶν.
ἐγὼ γάρ, ἃ νοῶ εἶχ᾽ ἔμ᾽ ὁ σπείρας πατήρ.
ἠπιστάμην ἂν μουσικὴν παρασπονεῖν.
ὡς εὐτυχήσων καὶ κακῶς πράξων ποτέ.
πρῶτον μέν, ἐξ ὧν πάντα γίγνεται βροτοῖς.
εὔογκος εἶναι γαστρὶ μὴ πληρουμένη.
στέργειν θ᾽ ὑδρηροῖς ὥστε θὴρ ἀεὶ ποτοῖς.
χειμῶνι τ᾽ ἀσκεῖν σῶμα θερμά θ᾽ ἡλίου.
τοξεύματ᾽ αἰνεῖν μὴ σκιαγραφούμενος.
νῦν δ᾽ οὐκ ἐθισθεὶς ταῦτ᾽ ἐπίσταμαι μὲν οὖν
φέρειν δ᾽ ἀνάγκη· τὸν γὰρ ὀρφέα λαβὼν
ἅπαν τε μουσῶν ἐννεάφθογγον μέλος·
οὐκ ἂν πίθοιμι γαστέρα, ἀλλὰ δεῖ βίον.
N ἡ δία τὸν μέγιστον ᾤμην σωσία
ἐγὼ πρότερον τοὺς πένητας ζῆν μόνον,
ὀδυρομένους· τῶν πλουσίων δὲ τὸν βίον
ἱλαρόν τιν᾽ εἶναι καὶ φέρειν εὐθυμίαν.
νῦν δὲ διαφέροντα τοῖς καθ᾽ ἡμέραν
δαπανήμασιν δὴ τὸν βίον ὁρῶ μόνον
λύπας δ᾽ ἔχοντας μείζονας τοὺς μείζονας.



Ayuntamiento de Madrid

Αἰ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει.
φθόνον τε καὶ ἐπήρειαν καὶ μῖσος πολύ.
πράγματά τε πολλὰ καὶ ὀχλήσεις μυρίας
πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου.
εἶτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανὼν,
ἄλλοις καταλείψας ἐς τρυφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
ἔχειν τε μέτρια, καὶ μέριμνον ζῆν βίον.
καὶ μήτ' ἔχειν με πλοῦτον, μήτε πράγματα.
πᾶς γὰρ πένης ὢν, μεγάλα κερδαίνει κακά.

Ἐκ τῆς ἐπιτομῆς τῆς περὶ φιλίας.

Ἐν πενίᾳ μέν τις διετέλεσεν εὐδαίμων, ὃς ἥκιστα δὲ πλούτων, καὶ ἀρχαῖς τοσοῦτον ὑπερχαίρει, πενίας ἀγαθὸν, ὥστ' αἰσχροῦ πλούτου νόμιμος ἀνὴρ, ἀλλάξαιτ' ἂν πενίαν.

Ἀναξιμένους. Οὐ γὰρ οὕτως οἱ πλουτοῦντες, ὡς οἱ πένητες τοὺς ἀτυχοῦντας οἰκτείρειν εἰώθασι. δεδιότες γὰρ περὶ αὐτῶν, τὰς τῶν ἄλλων συμφορὰς ἐλεοῦσιν. ἡ γὰρ πενία, καὶ πρὸς τὰς τέχνας δεινοτέρους, καὶ πρὸς τὸν βίον τεχνικωτέρους τοὺς ἀνθρώπους καθίστησι. χαλεπὴ γὰρ διδάσκαλος ἡ πενία τοῦ μικρὸν φρονεῖν.

Δημοκρίτου. Πενίη. πλοῦτος. ὀνόματα ἐνδείης καὶ κόρου. οὔτε οὖν πλούσιος ἐνδέων, οὔτε πένης ὁ μὴ ἐνδέων.

Ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει.

Διογένης ὀνειδίζοντος αὐτῷ τινὸς πενίαν, καὶ κακοδαίμονα εἶπεν. οὐδένα τυραννοῦντα διὰ πενίαν ἑώρακα. διὰ δὲ πλοῦτον, τοὺς πάντας.

Ἐκ τοῦ ἀρριανοῦ. Ἀλλὰ δὴ σωκράτην ἀρχελάου μεταπεμπομένου αὐτὸν ὡς ποιήσοντος πλούσιον, ἐκέλευσεν ἀπαγγεῖλαι αὐτῷ, διότι ἀθήνησι τέσσαρές εἰσι χοίνικες τῶν ἀλφίτων ὀβολοῦ ὤνιοι. καὶ κρῆναι ὕδατος ῥέουσιν. εἰ γάρ τοι μὴ ἱκανὰ τὰ ὄντα ἐμοὶ, ἀλλ' ἐγὼ τούτοις ἱκανὸς, καὶ οὕτω κἀκεῖνα ἐμοί. ἢ οὐχ ὁρᾷς ὅτι οὐκ εὐφωνότερον οὐδὲν, δι' ὧν ὁ πῶλος τὸν τύραννον οἰδίποδα ὑπεκρίνατο. ἢ τὸν ἐπὶ κολωνῷ ἀλήτην καὶ πτωχόν. εἶτα χείρων πώλου ὁ γενναῖος ἀνὴρ φανεῖται. ὡς μὴ πᾶν τὸ περιτεθὲν ἐκ τοῦ δαιμονίου πρόσωπον ὑποκρίνασθαι καλῶς. οὐδὲ τὸν ὀδυσσέα μιμήσεται, ὃς καὶ ἐν τοῖς ῥάκεσιν οὐδὲν μεῖον διέπρεπεν. ἢ ἐν τῇ οὔλῃ χλαίνῃ τῇ πορφυρᾷ.

Ὅτι

Ayuntamiento de Madrid

# ΛΟΓΟΣ ΕΝΕΝΗΚΟΣΤΟΣ ε΄.

Ἐκ τῶν Ἀριστωνύμου.

Ὅτι πλῷ ἔοικε τῷ παρὰ γῆν ὁ τῶν πενήτων βίος· ὁ δὲ τῶν πλουσίων, τῷ διὰ πελάγους. τοῖς μὲν γὰρ ῥᾴδιόν ἐστι, καὶ πεῖσμα βαλεῖν. καὶ προσχεῖν, καὶ νεωλκῆσαι. τοῖς δ' οὔ.

Υψαίου.

Μὴ φεῦγε πενίαν, ἀλλ' ἀδικίαν. οὐδεὶς γὰρ ὅτι πένης μετήλλαξεν. ἀλλ' ὅτι ἄδικος. οὐκηρῶ οὐδὲ πλούσιος ὢν βιοῖ ἐπαινετῶς, ἀλλ' ὅτι δίκαιος.

Ἐκ τῶν Τέλητος ἐπιτομή.

Δοκεῖ μοι ἡ τῶν χρημάτων κτῆσις, σπάνεως καὶ ἐνδείας παραλύειν. καὶ πῶς. οὐχ ὁρᾷς ἐνίους κεκτημένους μὲν πολλὰ ὡς δοκοῦσι, οὐ χρωμένους δὲ τούτοις δι' ἀνελευθερίαν, καὶ ῥυπαρίαν; ἀλλ' ὥσπερ ὁ Πρίαμος οὐδ' ἔτλη ἕζεσθαι ἐπὶ θρόνον, πολλῶν κατὰ οἶκον ἐόντων ἀλλὰ χαμαὶ ἐκάθητο κυλινδεύμενος κατὰ κόπρον, οὕτως ἔνιοι πολλῶν ὑπαρχόντων αὐτοῖς, δι' ἀνελευθερίαν, οὐδενὸς γεύονται, οὐδὲ ἅπτονται. ἀλλὰ πλείω οἱ μῦς κατεσθίουσι καὶ οἱ μύρμηκες, ἢ αὐτοί. ὥσπερ ὁ Λαέρτης, ἀγροῦ ἐπ' ἐσχατιῆς σὺν ἀμφιπόλῳ. ἥ οἱ βρῶσίν τε πόσιν τε παρτίθει εἰς ἀγρὸν ἀπελθὼν μόνος μετὰ γραϊδίου, κακουχεῖ αὑτὸν καὶ ξηραίνει. οἱ δὲ μνηστῆρες, τὰ ἐκείνου. καὶ ὥσπερ ὁ Τάνταλος ἐν λίμνῃ ἕστηκε, κατὰ κρατὸς δὲ καρποί. ἀλλ' ὁπότ' ἰθύσει ὁ γέρων πιεῖν, ἢ τῶν καρπῶν ἅψασθαι, ἡ μὲν λίμνη ξηρὰ ἐγίνετο, τοὺς δ' ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα. οὕτως ἐνίων ἡ ἀνελευθερία καὶ δυσελπιστία, καὶ τὸν οἶνον καὶ τὸν σῖτον καὶ τὴν ὀπώραν ῥίπτασκεν. οὐ ποτὶ νέφεα. ἀλλ' ἃ μὲν εἰς τὴν ἀγοράν, ἃ δὲ εἰς τὸ καπηλεῖον. καὶ ἐπιθυμοῦντες, οὐδενὸς γεύονται. καὶ ἐὰν μὲν πρὸς ἑτέρων κληθῇ, ἐκπαθῶς ἀπολαύει. αὐτὸς δὲ ἔχων, οὐθενὶ ἂν παρέχοι. ἀλλ' ἐπιθυμῶν στρατεύεται. καὶ εἰ μέν τις αὐτὸν ὀξίζοι, τὸν τοιοῦτον πολέμιον ἂν ἡγοῖτο. ἑαυτὸν δὲ ὀξίζων, οὐ δοκεῖ εἶναι πολέμιος. οὐκ ἀηδῶς δ' ἔμοιγε δοκοῦσι καὶ οἱ ἀρχαῖοι πρὸς ταῦτα ἐρωτᾶν. ὃ μὴ ἀπολύει ἀπληστίας καὶ ἀνελευθερίας καὶ ἀλαζονείας ἀνθρώπων, οὐδὲ ἐνδείας, οὐδὲ σπάνεως ἀπολύει. οὐθὲν δὲ τῶν τοιούτων ἀπληστίας καὶ ἀνελευθερίας ἀπολύει. τὸν γὰρ τρόπον οὐ μετατίθησιν. ὥσπερ οὐδὲ τῶν σωφρονούντων ἡ πενία, ἐὰν ἐκ πλουσίων, πένητες γένονται. θᾶττον γὰρ ἂν ἔμοιγε δοκεῖ τις εἰπεῖν, ὡς τὴν χρόαν τὸ μέγεθος, ἢ τὴν ὄψιν μετατίθησιν ἡ τῶν χρημάτων κτῆσις, ἤπερ τὸν τρόπον, ἕως δ' ἂν ᾖ οὗτος ἄπληστος, ἀνελεύθερος, ἀλαζών, δειλός, ἐν ἐνδείᾳ καὶ σπάνει ἔσται. καὶ πῶς σπανίζουσιν οὗτοι τούτων ἃ ἔχουσι. πῶς δὲ οἱ τραπεζῖται φησὶν ὁ Βίων χρημάτων ἔχοντες αὐτά. οὐ γὰρ αὐτῶν ὄντα ἔχουσιν. οὐδὲ γὰρ αὐτοὶ αὐτῶν. εἰ δὲ καὶ τοῦτο, τίς σπιδὼν ἐπὶ τοῦ παρόντος. ἀλλ' ὅμοιόν ἐστι τὸ οὕτως ἔχειν, ὅταν ἀδυνατῇς αὐτοῖς χρῆσθαι. ἢ τί διαφέρει μὴ ἔχειν, ἢ οὕτως ἔχειν, ὡς αἱ φορο-

Ayuntamiento de Madrid

κύδες τὸν ὀφθαλμὸν ἀποκείμεναι. ἄλλας δὲ εἰς φραγμοὺς καὶ βόθρους καὶ βόρβορον ἐμπίπτειν, μηδὲν προορωμένας. ἀλλ᾽ ἐώσας ἀπολεῖσθαι. ἕως ὅτε καὶ ἄλλον τὸν ὀφθαλμὸν ὁ πρεσβύς ὑφείλετο. ἤ τι διαφέρει μὴ ἔχειν τροφήν. ἢ τοιαύτην ἔχειν, ἰχθῦς καὶ πειστέειαν, ἧς οὐ μὴ γεύσηται. ἢ αἰγυπτίῳ κνῶα ἢ ἑλλιωικρχνίων ἀνθρώπου. ὁμοίως γὰρ σπανιεῖ τροφῆς, καὶ ἔχων ταύτην καὶ μὴ ἔχων, τί οὖν ὄφελος τὸ οὕτως ἔχειν. ἐπεὶ καὶ σὺ ἀργύριον ἔχεις, ἀλλ᾽ οὐ μὴ χρήσῃ διὰ ῥυπαρίαν καὶ δειλίαν. διὸ καὶ οἱ ἀρχαῖοι ἔλεγον οὐκ ἀηδῶς. ἔφασαν γὰρ τῶν ἀνθρώπων, οὓς μὲν χρήματα ἔχειν, οὓς δὲ κτήματα. οὓς μὲν γὰρ χρῆσθαι τοῖς ὑπάρχουσιν. οὓς δὲ μόνον κεκτῆσθαι. οὔτε ἑαυτοῖς οὔτε ἄλλοις μεταδιδόντας προϊεμένους. καὶ ὃν τρόπον ὅταν βασιλεὺς ἢ δυνάστης τὰ ὑπάρχοντα παρασφραγίσηται, οὐκ ἔστιν ἅψασθαι, οὕτως ἐνίων ἡ ἀνελευθερία καὶ δυσελπιστία, τὰ ὑπάρχοντα παρεσφράγισται, οὐκ ἐῶσα ἅψασθαι, ἀλλὰ σπανίζουσι καὶ ἐν ἐνδείᾳ εἰσίν. ἐπιθυμοῦντες μὲν πολλῶν, χρῆσθαι δὲ οὐ δυνάμενοι. διὸ καὶ ὁ Κράτης πρὸς τὸν ἐπιζητοῦντα, τί οὖν μοι ἔσται φιλοσοφήσαντι, δυνήσῃ φησὶ τὸ φασκώλιον ῥᾳδίως λῦσαι, καὶ τῇ χειρὶ ἐξελὼν, εὐλύτως διδόναι, καὶ οὐχ ὥσπερ νῦν, στρέφων καὶ μέλλων καὶ τρέμων, ὥσπερ οἱ παραλελυμένοι τὰς χεῖρας. ἀλλὰ καὶ πλῆρες ὂν αὐτὸ οὕτως ὄψει, καὶ κενούμενον ἰδὼν, οὐκ ὀδυνήσῃ. καὶ χρῆσθαι προαιρούμενος, ῥᾳδίως δυνήσῃ. καὶ μὴ ἔχων, οὐκ ἐπιποθήσεις. ἀλλὰ βιώσῃ ἀρκούμενος τοῖς παροῦσι, τῶν ἀπόντων οὐκ ἐπιθυμῶν. τοῖς συμβεβηκόσιν, οὐ δυσαρεστῶν. καὶ εἴ τις βούλεται, ἢ αὐτὸς ἐνδείας καὶ σπάνεως ἀπολυθῆναι, ἢ ἄλλον παραλῦσαι, μὴ χρήματα αὐτῷ ζητείτω, ὅμοιον γάρ φησιν ὁ Βίων, ὡς εἴ τις τὸν ὑδρωπικὸν βουλόμενος παῦσαι τοῦ δίψους. τὸν μὲν ὕδρωπα, μὴ θεραπεύοι. κρήνας δὲ καὶ ποταμοὺς αὐτῷ παρασκευάζοι. κείμενός τε γὰρ ἂν πρότερον πίνων διαρραγείη, ἢ παύσαιτο τοῦ δίψους. οὕτω τε οὐκ ἄν ποθ᾽ ἱκανωθείη, ὅταν ᾖ ἄπληστος καὶ δοξοκόπος καὶ δεισιδαίμων. διὸ καὶ εἰ βούλει τὸν υἱόν σου τῆς ἐνδείας καὶ σπάνεως παῦσαι, μὴ πρὸς τὸν Πτολεμαῖον πέμπε, ὅπως χρήματα κτήσεται. εἰ δὲ μὴ ἀλαζονείαν προσλαβὼν ἀπελεύσεται. περανεῖ δὲ οὐδέν. ἀλλ᾽ εἰς ἀκαδημίαν πρὸς Κράτητα, ἐκεῖνος ἠδύνατο ἐξ ἀπλήστων καὶ πολυτελῶν, ἐλευθερίους καὶ ἀφελεῖς κατασκευάζειν. καὶ Μητροκλῆς γὰρ ἐκεῖνος ἔφη. ὡς ἔοικεν, ὅτε μὲν παρὰ Θεοφράστῳ καὶ Ξενοκράτει σχολάζοι. πολλῶν αὐτῷ ἐξ οἴκου ἀποστελλομένων, φοβεῖσθαι μὴ τῷ λιμῷ ἀποθάνοι, καὶ ἀεὶ σπάζειν, καὶ ἐνδεὴς εἶναι. μεταβὰς δὲ ὕστερον πρὸς Κράτητα κἂν ἄλλον προστρέφειν, μηδενὸς πεμπομένου. τοῦ-

Ayuntamiento de Madrid

τὸ μὲν γε ἐξ ἀνάγκης ἔδει ὑπόδημα ἔχειν, καὶ τοῦτο ἀκάττυτον, ἥλους οὐκ ἔχον· εἶτα χλανίδα, παίδων ἀκολουθίαν. οἰκίαν μεγάλην. εἰς τὸ σύνδειπνον, ὅπως ἄρτοι καθαροὶ, ὄψον μὴ τὸ τυχόν. οἶνος ἡδύς. ὑποδοχὰς τὰς ἐπιβαλούσας, ἵνα πολυτελῶσιν. ἐλεύθερος γὰρ παρ' ἄλλοις ἡ τοιαύτη ἀναστροφὴ ἐγίνετο. πρὸς κράτιστα δὲ μεταβαίη, οὐδὲν ἦν τούτων. ἀλλ' ἀφελέστερος τῷ τρόπῳ γενόμενος, ἠρκεῖτο τρίβωνι, καὶ μάζῃ, καὶ λαχάνοις, οὐκ ἐπιποθῶν τὴν προτέραν δίαιταν. οὐδὲ τῇ παρούσῃ δυσχεραίνων. πρὸς ῥῖγος ἡμεῖς μὲν ζητοῦμεν παχύτερον ἱμάτιον. ἐκεῖνος δὲ διπλώσας τὸν τρίβωνα περιῄει. τρόπον τινὰ δύο ἱμάτια ἔχων. εἰ ἀλείψασθαι χρείαν ἔχοι. ἀπελθὼν εἰς τὸ βαλανεῖον, τῷ λοιπῷ ἠλείψατο. καὶ βαδίσας ἐνίοτε πρὸς τὴν κάμινον, περιχέας τὸ ἐλάδιον, καθίσας ἠλείψατο καὶ ἐκάθευδε. τὸ μὲν θέρος, ἐν τοῖς ἱεροῖς. τὸν δὲ χειμῶνα, ἐν τοῖς βαλανείοις, οὐ σπανίζων ὥσπερ πρὸ τοῦ. οὐδὲ ἐνδεὴς ὤν, ἀλλ' ἀρκούμενος τοῖς παροῦσι. διακόνους οὐκ ἐπιθυμῶν ἔχειν. θαυμαστὸν μὲν γάρ φησιν, εἰ μάνης μὲν διογένους ἄνευ δυνήσεται ζῆν. διογένης δὲ ἄνευ μάνειτος οὐ δυνήσεται θαρρεῖν. ὅταν δὲ ποιήσας ἀλαζόνα πολυτελῆ. δεισιδαίμονα. δοξοκόπον. ἄπληστον, χρήματα πολλὰ δίδως, οὐδὲν περαίνεις. τούτου δὲ μένοντος τοῦ ἄλλου ὁμοίως, οὐκ ἀρκεῖται. οὐδ' ἱκανεῖται. ἀλλ' ἐπιθυμίας καὶ ἐπιβουλὰς τοσούτων καὶ τοιούτων ἔχει. ἐξ ὧν ἐν ἐνδείᾳ καὶ σπάνει ἔσονται. ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον. καὶ παῖς μὲν ὤν, ἐπιθυμεῖ ἔφηβος γενέσθαι. ἔφηβος δὲ γενόμενος, ζητεῖ πάλιν τὸ χλαμύδιον ἀποθέσθαι. ὅταν δὲ ἀνδρωθῇ, πάλιν εἰς τὸ γῆρας σπεύδει. νῦν δέ φησιν ἀβίωτος ὁ βίος. στρατεία. λειτουργία. πολιτικὰ πράγματα. σχολάσαι αὐτῷ οὐκ ἔστι. πρεσβύτης γέγονε, πάλιν ἐπιθυμεῖ τῇ νεότητι. ἡ νεότης μοι φίλον ἀεὶ, τὸ δὲ γῆρας, βαρύτερον αἴτνης. καὶ μακαρίζει τὸν τοῦ παιδὸς βίον. οἰκέτης ἐστὶν, ἐλεύθερος σπεύδει γενέσθαι. κἂν τούτου τύχῃ, φησὶ πάντ' ἔχω. γέγονεν ἐλεύθερος. δοῦλον εὐθὺς ἐπιθυμεῖ κτήσασθαι. γέγονε τοῦτ' αὐτῷ. ἕτερον προσεπιδεῖ κτήσασθαι. μία γάρ φησι χελιδὼν, ἔαρ οὐ ποιεῖ. εἶτα δύο. εἶτα κἀγρόν. εἶτ' ἀθηναῖος γενέσθαι. εἶτα ἄρξαι. εἶτα βασιλεῦσαι. εἶτα ὥσπερ ἀλέξανδρος, ἀθάνατος γενέσθαι, εἰ δὲ καὶ τούτου τύχοι, οἶμαι ἵνα ζεὺς γένηται ἐπιθυμήσει. πῶς οὖν ὁ τοιοῦτος οὐκ ἐνδεής. ἢ ποία χρημάτων ὑπερέξις τούτων ἐπιθυμιῶν ἀπολύει. οἱ βασιλεῖς ἄλλοι πολλῆς ὑπάρχοντες, καὶ προσόδους μεγάλας ἔχοντες, οὐδὲν ἧττον σπανίζουσιν. ὥστε καὶ τυμβωρυχεῖν, καὶ ἱεροσυλεῖν. καὶ παρὰ τὸ προσῆκον φυγαδεύειν. ἅμα γὰρ τῇ

Ayuntamiento de Madrid

ἀρχῇ, πολλὰ τὰ ἀναγκαῖα ἀναπεπλάκασι. καὶ οὔτε τῆς ἀρχῆς ἀποστῆναι προχειροῦνται, οὔτε τὰ καθ' ἑαυτοὺς λιτότερον ἐξάγουσιν. εἶτα ἀναγκάζονται. πολλὰ γὰρ βούλονται. εἰ δὲ πάντων τις τῶν τοιούτων ὑπεραίω γένοιτο, ἐν πολλῇ ἂν εἴη ἀδείᾳ καὶ ἀσπαχνιστείᾳ. οὐκ ἀηδῶς γὰρ κράτης. οὐ οἶσθά φησι πήρα, δύναμιν ἡλίκην ἔχει. θέρμων τε χοῖνιξ. καὶ τὸ μηδενὸς μέλειν. τῷ ὄντι γὰρ μέγα καὶ ἀξιόλογον. καὶ πήρας. καὶ θέρμων. καὶ λαχάνων. καὶ ὕδατος μηδενὸς φροντίζειν. ἀλλ' εἶναι ἀθώπευτον καὶ ἀκολάκευτον.

Ξενοφῶντος.

Ἦ γὰρ οὕτως ὦ σάκα ὑπολαμβάνεις, ὡς ἐγὼ νῦν τοσούτῳ ἥδιον ζῶ ὅσῳ πλείονα κέκτημαι; οὐκ οἶσθα ἔφη ὅτι ἐσθίω μὲν καὶ πίνω καὶ καθεύδω οὐδ' ὁτιοῦν ἥδιον νῦν, ἢ ὅτε πένης ἦν; ὅτι δὲ πολλὰ ταῦτ' ἐστί. τοσοῦτο κερδαίνω, ἢ πλείω φυλάττειν δεῖ. πλείω δ' ἄλλοις διανέμειν. πλειόνων δὲ ἐπιμελομένων, πράγματα ἔχειν. νῦν γὰρ δὴ ἐμὲ, πολλοὶ μὲν οἰκέται σῖτον αἰτοῦσι. πολλοὶ δὲ πιεῖν. πολλοὶ δὲ ἱμάτια. οἱ δὲ ἰατρῶν δέονται. ἥκει δέ τις ἢ τῶν προβάτων λελυκωμένα φέρων, ἢ τῶν βοῶν κατακεκρημνισμένα. ἢ νόσον φάσκων ἐμπεπτωκέναι τοῖς κτήνεσιν. ὥστ' ἔμοιγε δοκῶ ἔφη ὁ φεραύλας, νῦν διὰ τὸ πολλὰ ἔχειν πλείω λυπεῖσθαι, ἢ πρόσθεν, διὰ τὸ ὀλίγα ἔχειν. καὶ ὁ σάκας εἶπεν. ἀλλὰ ναὶ μὰ τὸν δί' ὅταν σῶα ᾖ, πολλὰ ὁρῶν, πολλαπλάσια ἐμοῦ εὐφραίνῃ. καὶ ὁ φεραύλας εἶπεν. οὔτοι ὦ σάκα οὕτως ἡδύ ἐστι τὸ ἔχειν χρήματα, ὥσπερ ἀνιαρὸν τὸ ἀποβάλλειν. ἵν' ὡς ᾔδῃς ὅτι ἐγὼ τἀληθῆ λέγω. τῶν μὲν γὰρ πλουτούντων οὐδεὶς ἀναγκάζεται ὑφ' ἡδονῆς ἀγρυπνεῖν. τῶν δ' ἀποβαλλόντων τι, ὄψει οὐδένα δυνάμενον καθεύδειν ὑπὸ λύπης. μὰ δί' ἔφη ὁ σάκας, οὐδέ γε τῶν λαμβανόντων νυστάζοντα οὐδένα ὑφ' ἡδονῆς. ἀληθῆ ἔφη λέγεις. εἰ γάρ σοι τὸ ἔχειν οὕτως, ὥσπερ τὸ λαμβάνειν ἡδὺ ἦν, πολλοὶ ἂν διέφερον εὐδαιμονίᾳ, οἱ πλούσιοι τῶν πενήτων. καὶ ἀνάγκη δέ σοι ἐστὶν ὦ σάκα τὸν πολλὰ ἔχοντα, πολλὰ καὶ δαπανᾶν, καὶ εἰς θεοὺς, καὶ εἰς φίλους, καὶ εἰς ξένους. ὅστις οὖν ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι τοῦτον καὶ δαπανῶντα, ἰσχυρῶς ἀνιᾶσθαι. μὰ δί' ἔφη ὁ σάκας, ἀλλ' οὐκ ἐγὼ τούτων εἰμί. ἀλλὰ καὶ εὐδαιμονίαν τοῦτο νομίζω, τὸ πολλὰ ἔχοντα, πολλὰ καὶ δαπανᾶν. τί οὖν ἔφη πρὸς τῶν θεῶν ὁ φεραύλας. οὐχὶ σύ γε αὐτίκα μᾶλλον εὐδαίμων ἐγένου, καὶ με εὐδαίμονα ἐποίησας; ἀλλὰ γὰρ ἔφη πάντα ταῦτα κέκτησο. καὶ χρῶ ὥσπερ βούλει αὐτοῖς. ἐμὲ δὲ μηδὲν ἄλλο, ἢ ὥσπερ ξένον τρέφε. καὶ ἔτι εὐτελέστερον ἢ ξένον. ἀρκέσει γάρ μοι ὅ, τι ἂν καὶ σὺ ἔχοις, τούτου μετέχειν.

Ayuntamiento de Madrid

Πλάτωνος

Τί ποτ' ἐστὶν ᾧ χρώμεθα χρήμασι· καὶ πρός τι εὕρηται ἡ τῶν χρημάτων κτῆσις· ὥσπερ τὰ φάρμακα, πρὸς τὸ τὰς νόσους ἀπαλλάττειν. ἴσως γὰρ ἂν ἡμῖν οὕτω μᾶλλον φανερὸν γένοιτο, ἐπειδὴ ἀναγκαῖον μὲν φαίνεται, ὅσα περ τυγχάνει χρήματα ὄντα, ταῦτα καὶ χρήσιμα εἶναι· τῶν δὲ χρησίμων γένος τι, ὃ καλοῦμεν χρήματα. λοιπὸν ἂν εἴη σκέψασθαι τὰ πρός τινα χρείαν χρήσιμα χρῆσθαι· χρήματα δ' ἐστὶν, ὅσοις περ πρὸς τὴν ἐργασίαν χρώμεθα· ὥσπερ γε πάντα μὲν τὰ ψυχὴν ἔχοντα ζῶα. τῶν δὲ ζώων γένος τι καλοῦμεν ἄνθρωπον. εἰ δή τις ἡμᾶς ἔροιτο τίνος ἂν ἐκποδὼν ἡμῖν γενομένου, οὐδὲν δεοίμεθα ἰατρικῆς, οὔτε τῶν ταύτης ἐργαλείων, ἔχοιμεν ἂν εἰπεῖν, ὅτι, εἰ αἱ νόσοι ἀπαλλαγείησαν ἐκ τῶν σωμάτων, καὶ μὴ γίγνοιντο παντάπασιν, ἢ γιγνόμεναι παραχρῆμα ἀπαλλάττοιντο. ἔστιν ἄρα ὡς ἔοικεν ἡ ἰατρικὴ τῶν ἐπιστημῶν πρὸς τοῦτο χρησίμη, πρὸς τὸ νόσους ἀπαλλάττειν. εἰ δέ τις ἡμᾶς πάλιν ἔροιτο, τίνος ἂν ἡμῖν ἀπαλλαγέντος οὐδὲν δεοίμεθα χρημάτων, ἆρ' ἂν ἔχοιμεν εἰπεῖν. εἰ δὲ μὴ πάλιν ὧδε σκοπώμεθα φέρε. εἰ οἷός τε εἴη ζῆν ἄνθρωπος ἄνευ σιτίων καὶ ποτῶν, καὶ μὴ πεινῶν μηδὲ διψῶν, ἔσθ' ὅτι ἂν ἢ αὐτῶν τούτων δέοιτο, ἢ ἀργυρίου, ἢ ἑτέρου τινὸς ταῦτα ἐκπορίζηται; οὐκ ἔμοιγε δοκεῖ. οὐκοῦν καὶ τἆλλα κατὰ τὸν αὐτὸν τρόπον. εἰ μὴ δεοίμεθα πρὸς τὴν τοῦ σώματος θεραπείαν, ὧν νῦν ἐνδεεῖς ἐσμεν. καὶ ἀλέας καὶ ψύχους ἐνίοτε. καὶ τῶν ἄλλων ὅσων τὸ σῶμα ἐνδεὲς γιγνόμενον προσδεῖται. ἄχρηστ' ἂν ἡμῖν εἴη τὰ καλούμενα χρήματα. εἰ μηδέ γε παντάπασι μηδενὸς δέοιτο τούτων, ὧν ἕνεκεν νυνὶ βουλόμεθα χρήματα ἡμῖν εἶναι· ἵνα ἐξικοίμεθα πρὸς τὰς ἐπιθυμίας καὶ τὰς ἐνδείας τοῦ σώματος, ὧν ἂν ἑκάστοτε δεώμεθα. εἰ δ' ἔστιν ἄρα πρὸς τοῦτο χρήσιμον ἡ τῶν χρημάτων χρῆσις πρὸς τὴν τοῦ σώματος θεραπείαν τῶν ἐνδειῶν. εἰ γοῦν ἡμῖν τοῦτο ἐκ μέσου ἀναιρεθείη, οὐδὲν ἂν δεοίμεθα χρημάτων. ἴσως δ' ἂν οὐδ' εἴη παντάπασι χρήματα. φαίνεται ἄρα ἡμῖν ὡς ἔοικε, τὰ πρὸς ταύτην τὴν πραγματείαν χρήσιμα τῶν πραγμάτων ταῦτα εἶναι χρήματα. συνέφημεν ταῦτα εἶναι χρήματα. οὐ μὴν ἀλλ' ἐτάραττεν αὐτὸν σφόδρα τὸ λογίδιον. τί δαὶ τὰ τοιάδε. πότερ' ἂν φήσαιμεν οἷόν τε εἶναι ταὐτὸν πρᾶγμα πρὸς τὴν τοιαύτην ἐργασίαν τοτὲ μὲν χρήσιμον εἶναι, τοτὲ δὲ ἀχρεῖον; οὐκ ἔγωγ' ἂν φαίην. ἀλλ' εἴ τι δεοίμεθα τούτου πρὸς τὴν αὐτὴν ἐργασίαν, καὶ χρήσιμόν μοι δοκεῖ εἶναι, εἰ δὲ μὴ, οὔ. οὐκοῦν εἰ ἄνευ πυρὸς οἷοί τε ἦμεν ἀνδριάντα χαλκοῦν ἐργάσασθαι, οὐδὲ ἂν δεοίμεθα πυρὸς πρός γε τὴν τούτου ἐργασίαν. εἰ δὲ μὴ δεοίμεθα, οὐδ' ἂν χρήσιμον ἡμῖν εἴη. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῶν ἄλλων. οὐκοῦν ὅσων ἄνευ οἷόν τε γίγνεσθαί τι, οὐδὲν ἂν

Ayuntamiento de Madrid

τούτων ἡμῖν χρήσιμον φαίνοιτο πρός γε τοῦτο. οὐ γάρ, οὐκοῦν εἴποτε φαινοίμεθα οἷοί τε ὄντες ἄνευ ἀργυρίου καὶ χρυσίου καὶ τῶν ἄλλων τῶν τοιούτων, οἷς μὴ αὐτοῖς χρώμεθα πρὸς τὸ σῶμα· ὥσπερ σιτίοις καὶ ποτοῖς καὶ ἱματίοις καὶ στρώμασι καὶ οἰκίαις, παύοιεν τὰς τοῦ σώματος ἐνδείας, ὥστε μηκέτι δεῖσθαι· οὐκ ἂν ἡμῖν οὐδὲ χρήσιμα γένοιτο, πρός γε τοῦτο τἀργύριόν τε καὶ τὸ χρυσίον καὶ τἄλλα τὰ τοιαῦτα. εἴπερ ποτὲ καὶ ἄνευ τούτων οἷοί τε γίγνεσθαι. οὐ γὰρ οὐκ ἂν ἄρα οὐδ' ἂν χρήματα ἡμῖν ταῦτα φανείη. εἰ μηδὲν χρήσιμα. ἀλλὰ ταῦτ' ἂν εἴη οἷς τὰ χρήματα, οἷόν τ' ἐσμὲν ἐκπορίζεσθαι.

## ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ, ΟΤΙ ΒΡΑΧΥΣ ΚΑΙ ΕΥΤΕΛΗΣ ΚΑΙ ΦΡΟΝΤΙΔΩΝ ΑΝΑΜΕΣΤΟΣ.

### ΛΟΓΟΣ. ΕΝΕΝΗΚΟΣΤΟΣ ϛʹ.

Σοφοκλέ. Ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος.
ὡς οὐδέν ἐσμεν, πλὴν σκιαῖς ἐοικότες
βάρος περισσὸν γῆς ἀναστρεφόμενοι.
Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλήν.
εἴδωλ' ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.

Φιλήμονος. Τοιοῦτος ὁ βίος ἐστὶν ἀνθρώπου γύναι.
εὐφραινόμεθ' ἔλαττον, ἢ λυπούμεθα.

Εὐριπίδου. Τοὺς ζῶντας εὖ δρᾶ· κατθανὼν οὐδεὶς ἀνήρ.
γῆ καὶ σκιά, τὸ μηδὲν, εἰς οὐδὲν βλέπει.

Φιλήμονος. Οὐκ ἂν δύναιο μὴ γενέσθαι δέσποτα
ἄνθρωπος ὢν ἄνθρωπος· ἄλλως οὐ βοᾷς.
τὸν ζῶντ' ἀνάγκη πόλλ' ἔχειν ἐστὶν κακά.

Διφίλου. Ἄνθρωπός εἰμι· τοῦτο δ' αὐτὸ τῷ βίῳ
πρόφασιν μεγίστην εἰς τὸ λυπεῖσθαι φέρει.

Μενάνδρου. Ἅπαντα τὰ ζῶα, ἐστὶ μακαριώτατα.

Ayuntamiento de Madrid

καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾶτε πρῶτα τουτονί.
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
τούτῳ κακὸν δι' αὑτὸν οὐδὲν γίνεται.
ἃ δ' ἡ φύσις δέδωκε, ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν,
αὐτοὶ παρ' αὑτῶν ἕτερα προσποριζόμεν.
λυπούμεθ' ἂν πτάρῃ τις· ἂν εἴπῃ κακῶς,
ὀργιζόμεθ' ἂν ἴδῃ τις ἐνύπνιον,
σφόδρα φοβούμεθ' ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν.
ἀγωνίαι· δόξαι· φιλοτιμίαι· νόμοι·
ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

Αὐτὸς γὰρ ἐὼν παντογενὴς ὁ πάντα γεννῶν, οὐ κεῖναι δικαίως τὰ κατ' ἄνθρωπον ἕκαστον· καὶ γὰρ κατὰ γαῖαν τὰ κακὰ πέφυκεν ἀεί· καὶ τοῖς μεγάλοις κακοῖς γέγηθ' ὁ κόσμος· ὅτι πάντες, ὅσοι περισσὸν ἠθέλησαν εὑρεῖν, ἢ μηχανικὸν ποίημα ἢ σοφὸν μάθημα, οὗτοι κακὸν εἰς τὸν ἔσχατον τέλος ἐποίησαν, ὑπὸ τοῦ γεννήτορος κόσμου κακῶς παθόντες. σωκράτην ὁ κόσμος πεποίηκε σοφὸν εἶναι· καὶ κακῶς ἀνεῖλε τὸν σωκράτην ὁ κόσμος ἐν τῇ φυλακῇ· κώνειον ὅτι πιὼν τέθνηκε· πουλύποδα φαγὼν ὁ διογένης ὠμὸν τέθνηκεν· αἰσχύλῳ γράφοντι, ἄνωθεν πέπτωκε χελώνη· σοφοκλῆς ῥᾶγα φαγὼν σταφυλῆς, πνιγεὶς, τέθνηκε· κύνες οἱ κατὰ θράκην εὐριπίδην ἔφαγον, τὸν θεῖον ὅμηρον, λιμὸς κατεδαπάνησεν. Σωτάδου.

Ἀγαθὸς· εὐφυής· καὶ δίκαιος· εὐτυχὴς, ὃς ἐὰν ᾖ· τὸν φθόνον λαβεῖν δεῖ μερίδα. μῶμον ἔχειν δεῖ· πλουτεῖ τις ἄγαν· ἀλλὰ πάθος παρέλαβεν ἄλλον. εὐσεβής τις ἐστί, πενίαν δέδωκεν αὐτῷ. μέγας ἐστί, τύχη τῆς τις, ἀτυχῆ πεποίηκεν ἄλλον. κἂν αὐτὸ τὸ μέγιστον δίκαιος κριτὴς ὑπάρχῃ, δεῖ τὸν φύσει νικώμενον, ἄδικον ἄλλον εἰπεῖν. πλούσιός τις ἐστί, τὸ μέγα πτῶμα φοβεῖται. ἰσχυρὸς ὑπάρχει, νόσου πεῖραν εὐλαβεῖται. ἡμέρας μιᾶς ἀλυπία, μέγα ἐστὶ κέρδος. τί γάρ ἐσμεν ὅλως, ἢ ποταποῖς γεγόναμεν ὕλης. στόχασαι καὶ τὰ σεαυτὸν τὸ βιωτικὸν νοήσας. ἐκ τίνος ἐγένου. καὶ τίς εἶ. καὶ τίς πάλιν γίνῃ.

Τοῦ αὐτοῦ.

Τυφλόν γε καὶ δύστηνον ἀνθρώπου βίος.

Εὔφρονος.

Ὦ ζεῦ τί ποθ' ἡμῖν δοὺς χρόνον τοῦ ζῆν βραχύν.
πλέκειν ἀλύπως τοῦτον ἡμᾶς οὐκ ἐᾷς.

Ayuntamiento de Madrid

## Περὶ τοῦ βίου, ὅτι βραχὺς καὶ εὐτελὴς καὶ φροντίδων ἀνάμεστος.

**Μιμνέρμου** Ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυάνθεμος ὥρη,
ἔαρος ὅτ' αἶψ' αὐγῇ αὔξεται ἠελίου,
τοῖς, ἴκελοι, πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης,
τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν
οὔτ' ἀγαθόν· κῆρες δὲ παρεστήκασι μέλαιναι.
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου.
ἡ δ' ἑτέρη θανάτοιο. μίνυνθα δὲ γίνεται ἥβης
καρπὸς, ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος.
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
αὐτίκα δὴ τεθνάναι βέλτιον, ἢ βίοτος.
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίνεται, ἄλλοτε τ' οἶκος
τρυχοῦται· πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει.
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς ἀΐδην.
ἄλλος νοῦσον ἔχει θυμοφθόροι· οὐδέ τις ἐστὶν.
ἀνθρώπων, ᾧ ζεὺς μὴ κακὰ πολλὰ διδῷ.

**Φιλήμονος** Ὦ τρισμακάρια πάντα καὶ τρισόλβια
τὰ θηρίοις· οὐκ ἔνεστιν περὶ τούτων λόγος.
οὔτ' εἰς ἔλεγχον αὐτῶν οὐδὲν ἔρχεται.
οὔτ' ἄλλο τοιοῦτ' οὐδέν ἐστιν αὐτοῖς κακὸν
ἐπακτόν. ἣν δ' ἂν εἰσενέγκηται φύσιν
ἕκαστον, εὐθὺς καὶ νόμον ταύτην ἔχει.
ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον.
δουλεύομεν δόξαισιν, εὑρόντες νόμους,
προγόνοισιν ἐκγόνοισιν, οὐκ ἔστ' ἀποτυχεῖν
κακοῦ· πρόφασιν δ' ἀεὶ τιν' ἐξευρίσκομεν.

**Σιμωνίδου** Οὐδὲ γὰρ οἳ πρότερόν ποτ' ἐπέλοντο.
θεῶν δ' ἐξ ἀνάκτων ἐγένοντο υἷες,
ἡμίθεοι· ἄπονον· οὐδὲ ἄφθιτον
οὐδ' ἀκίνδυνον βίον ἐς γῆρας ἐξίκοντο τελέσαντες.

**Τοῦ αὐτοῦ.** Ὦ παῖ· τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος
πάντων· ὅσ' ἐστὶ, καὶ τίθησιν, ὅπη θέλει.
νόος δ' οὐκ ἐπ' ἀνθρώποισιν.
ἀλλ' ἐφημέριοι δὴ βροτοὶ ζώομεν.

ὅπως

Ayuntamiento de Madrid

μολοῦσ᾽ ἐλθεῖν, οἱ δ᾽ ἐτέων περιτροπάς.
νέοται δ᾽ οὐδείς, ὅστις οὐ δοκέει βροτῶν,
πλούτῳ τε καὶ γαθοῖσιν ἵξεσθαι φίλος·
φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβὸν,
πρὶν τέρμ᾽ ἵκηται· τοὺς δὲ, δύστηνοι νόσοι·
φθείρουσι θνητῶν· τοὺς δ᾽ ἄρει δεδμημένους,
πέμπει μελαίνης ἀΐδης ὑπὸ χθονός.
οἱ δ᾽ ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι,
καὶ κύμασιν πολλοῖσι πορφυρῆς ἁλὸς
θνήσκουσιν· εὖτ᾽ ἂν μὴ δυνήσωνται ζώειν.
οἱ δ᾽ ἀγχόνην ἅψαιντο δυστήνῳ μόρῳ.
καὐτάγρετοι λείπουσιν ἡλίου φάος,
οὕτω κακῶν ἄπ᾽ οὐδέν· ἀλλὰ μυρίαι
βροτοῖσι κῆρες κἀνεπίφραστοι δύαι,
καὶ πήματ᾽ ἐστίν, εἰ δ᾽ ἐμοὶ πιθοίατο,
οὐκ ἂν κακῶν ἐρῷμεν, οὐδ᾽ ἐπ᾽ ἄλγεσι
κακοῖς ἔχοντες θυμὸν αἰκιζοίμεθα.

Εἰ δ᾽ ἄτερ πόνων δοκεῖς ἔσεσθαι, μωρὸς εἶ, — Εὐριπίδου.
θνητὸς γεγώς.

Ἀλλ᾽ ἡμέραι τοι πολλὰ καὶ μέλαιναι νὺξ τίκτει βροτοῖς.

Ἄμοχθος γὰρ οὐδείς· ὁ δ᾽ ἥκιστα ἔχων, μακάρτατος. — Σοφοκλ.

Οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτὸς ἀλλὰ πονηροὶ — Σόλωνος.
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

Ῥαίτεσι θνατοῖσι δαίμων ἐπέταξεν πόνους
ἄλλοισιν ἄλλους.

Οὐ γάρ τις ἀνθρώπων χθονίων πάντα γ᾽ εὐδαίμων ἔφυ.

Θνατοῖσι μὴ φῦναι φέριστον· μὴ δ᾽ ἀελίου
προσιδεῖν φέγγος· ὄλβιος δὲ οὐδεὶς βροτῶν.
πάντα χρόνον.

Ὡς οἰκίην οὐκ ἔστιν εὐμαρέως εὑρεῖν — Ἡροδότου
αὐτοῦ κακῶν ζώουσαν· ὃς δ᾽ ἔχει μεῖον, — ἡμιαμβῶν
τούτου τὶ μεῖζον τοῦ ἑτέρου δοκεῖ πρήσσειν.

Ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ· — Σιμωνίδου
οἵηπερ φύλλων γενεὴ τοιήδε καὶ ἀνδρῶν.



Ayuntamiento de Madrid

παύροις μὲν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
ἀνδρῶν, ἥτε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ᾽ ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν· πόλλ᾽ ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ᾽ ἔχει γηρασέμεν οὐδὲ θανεῖσθαι.
οὐδ᾽ ὑγιὴς ὅταν ᾖ, φροντίδ᾽ ἔχει καμάτου.
νηπίοις ταύτῃ κεῖται νόος· οὐδὲ ἴσασιν
ὡς χρόνος ἔσθ᾽ ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς· ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

Εὐριπίδου Χ ρήμασι γὰρ εὐτυχῶ· ταῖς συμφοραῖσι δ᾽ ὡς
ὁρᾷς οὐκ εὐτυχῶ.

Γ λυκεῖα γάρ μοι φροντὶς οὐδαμῆ βίου.

Ἡσιόδου. Π λείη μὲν γὰρ γαῖα κακῶν· πλείη δὲ θάλασσα.
νοῦσοι δ᾽ ἀνθρώποισιν ἐφημέριαι, αἳ δ᾽ ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι.

Εὐριπίδου Φ εῦ φεῦ· βροτείων πημάτων ὅσαι τύχαι·
ὅσαι τε μορφαί· τέρμα δ᾽ οὐκ εἴποι τις ἄν.

Ο ὐκ οἶδ᾽ ὅτῳ χρὴ κανόνι τὰς βροτῶν τύχας·
ὀρθῶς ἀθρήσαντ᾽ εἰδέναι τὸ δραστέον.

Π ολλαί γε πολλοῖς εἰσι συμφοραὶ βροτοῖς·
μορφαῖς δὲ διαφέρουσιν, ἓν δ᾽ ἂν εὐτύχης·
μόλις ποτ᾽ ἐξεύροιεν ἀνθρώπου βίον.

Ο ὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ᾽ εἰπεῖν ἔπος,
οὐδὲ πάθος· οὐδὲ συμφορὰ θεήλατος,
ἧς οὐκ ἂν ἄραιτ᾽ ἄχθος ἀνθρώπου φύσις.

Ω δαῖμον· ὡς οὐκ ἔστ᾽ ἀποστροφὴ βροτοῖς,
τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν.

Σοφοκλέ. Τ ὰν δ᾽ ἀνθρώπου ζωὰν ποικιλομήτιδες ἆται
πημάτων πάσαις μεταλλάσσουσιν ὥραις.

Ζ ῶοι τις αἰὼν τὸ κατ᾽ ἦμαρ, ὅπως ἥδιστα πορσύνων·
τὸ δ᾽ ἐς αὔριον αἰεὶ τυφλὸν ἕρπει.

Ο ὐ θαῦμ᾽ ἔλεξας θνητὸν ὄντα δυστυχεῖν.

Ayuntamiento de Madrid

Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.
Τὸ γὰρ βρότειον σπέρμ᾽ ἐφημέρεια φρονεῖ. Αἰσχύλου.
Καὶ πιστὸν οὐδὲν μᾶλλον, ἢ καπνοῦ σκιά.
Ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι.
ζώειν ἀχνυμένοις.
Οὐ μὲν γάρ τί ποτ᾽ ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς
πάντων ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
Τί γὰρ δὴ δεῖ θνητῶν ἕνεκα πολεμίζειν,
δειλῶν· οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τε,
ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες·
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. οὐδέ τις ἀλκή.
Τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει. Μενάνδρου
πολλῶν τε μεστὸν ἐστὶ τὸ ζῆν φροντίδων.
Εὐκατηγόρητος πᾶς ὁ βίος θαυμαστῶς ὦ μακάριε, καὶ οὐδὲν ἔχων περιττόν. Ἀντιφῶντος.
οὐδὲ μέγα καὶ σεμνόν· ἀλλὰ πάντα μικρὰ καὶ ἀσθενῆ, καὶ ὀλιγοχρόνια.
καὶ ἀναμεμιγμένα λύπαις μεγάλαις.
Ποίην τις βιότοιο τάμῃ τρίβον· εἰν ἀγορῇ μὲν, Ποσιδίππου
νείκεα καὶ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις,
φροντίδες· ἐν δ᾽ ἀγροῖς, καμάτων ἅλις· ἐν δὲ θαλάσσῃ
τάρβος· ἐπὶ ξείνης δ᾽ ἢν μὲν ἔχῃς τι, δέος·
ἢν δ᾽ ἀπορῇς, ἀνιηρόν· ἔχεις γάμον· οὐκ ἀμέριμνος
ἔσσεαι· οὐ γαμέεις, ζῇς ἔτ᾽ ἐρημότερος.
τέκνα, πόνοι· πήρωσις ἄπαις βίος· αἱ νεότητες
ἄφρονες· αἱ πολιαὶ δ᾽ ἔμπαλιν ἀδρανέες.
ἦν ἄρα τῶν πάντων τόδε λώϊον, ἢ ἓ γενέσθαι
μήποτε, ἢ θανέειν αὐτίκα τικτόμενον.
Διζημένοισι τἀγαθὰ, μόλις παραγίνεται· τὰ δὲ κακὰ, καὶ μὴ διζημένοισι. Δημοκρί.
Σιμωνίδης ἐρωτηθεὶς πόσον χρόνον βιώη, χρόνον εἶπεν ὀλίγον ἔτη δὲ πολλά.
Τί γάρ ἐστιν ἄνθρωπος· ἀσθενείας ὑπόδειγμα· καιροῦ λάφυρον· τύχης παίγνιον· μετα- Ἀριστοτέ-
πτώσεως εἰκών· φθόνου καὶ συμφορᾶς πλάστιγξ· τὸ δὲ λοιπὸν, φλέγμα καὶ χολή. λους.
Αἱ γάρ τοι συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι, συνταράττουσι· καὶ βρα- Ἡροδότου.
χὺν ἐόντα, μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον· οὕτως ὁ μὲν θάνατος,
μοχθηρᾶς ἐούσης τῆς ζωῆς, καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν.
ὁ δὲ θεὸς γλυκὺν πλέξας τὸν αἰῶνα, δυσξύνετος ἐν αὐτῷ εὑρίσκεται αἰών.



Ayuntamiento de Madrid

Δημοκρίτου. Α πάντες ἄνθρωποι συνειδήσει τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης, τὸν τῆς βιοτῆς χρόνον, ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωρέουσι· ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθέοντες φόβον.

Αντιφῶντος. Τ ὁ ζῆν ἔοικε φρουρᾷ ἐφημέρῳ· τό, τε μῆκος τοῦ βίου, ἡμέρα μιᾷ ὡς ἔπος εἰπεῖν, ἣν ἀναβλέψαντες πρὸς τὸ φῶς, παρεγγυῶμεν τοῖς ἐπιγιγνομένοις ἑτέροις.

Ηροδότου. Α ἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι καὶ οὐχ οἱ ἄνθρωποι τῶν συμφορῶν.

Δημοκρίτου. Γ ιγνώσκειν χρεὼν ἀνθρωπίνην βιοτήν, ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον· πολλῇσί τε κηρσὶ συμπεφυρμένην, καὶ ἀμηχανίῃσιν· ὅκως ἂν πρὸς μετρίης τε κτήσιος ἐπιμελῆται καὶ μετρῆται ἐπὶ τοῖς ἀναγκαίοις ἡ ταλαιπωρίη.

Ερμολάου. Α τέκμαρτος ὁ πᾶς βίος, οὐδὲν ἔχων πιστόν· πλανᾶται συντυχίαις. ἐλπὶς δὲ φρένας παραθαρσύνει· τὸ δὲ μέλλον ἀκριβῶς οἶδεν οὐδείς. ὁ θάνατος ὅπῃ φέρεται· θεὸς δὲ πάντας ἐν κινδύνοις θνατοὺς κυβερνᾷ· ἀντιπνέει δὲ πολλάκις, ἀτυχίας δεινή τις αὔρα.

Ζ ήνων ἔλεγεν· οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι, ὡς χρόνου· βραχὺς γὰρ ὄντως ὁ βίος· ἡ δὲ τέχνη μακρή· καὶ μᾶλλον ἡ τὰς τῆς ψυχῆς νόσους ἰάσασθαι δυναμένη.

Σ ωκράτης ἔλεγε, νομίζειν ἀεὶ τοὺς θεοὺς γελᾶν, ὁρῶντας τὴν τῶν ἀνθρώπων κενοσπουδίαν, μικρὰ γὰρ τὰ ἀνθρώπινα πάντα ὄντα, οὐκ ἴσης σπουδῆς τυγχάνει.

Ν εοπτόλεμον τὸν τῆς τραγῳδίας ὑποκριτὴν ἤρετό τις· τί θαυμάζοι τῶν ὑπ' αἰσχύλου λεχθέντων, ἢ σοφοκλέους, ἢ εὐριπίδου, οὐδὲν μὲν τούτων εἶπεν· ὃ δ' αὐτὸς ἐθεάσατο ἐπὶ μείζονος σκηνῆς φίλιππον ἐν τοῖς τῆς θυγατρὸς κλεοπάτρας γάμοις πομπεύσαντα· καὶ τρισκαιδέκατον θεὸν ἐπικληθέντα, τῇ ἑξῆς ἐπισφαγέντα ἐν τῷ θεάτρῳ καὶ ἐρριμμένον.

Ἱπποδάμου πυθαγορείου, ἐκ τοῦ περὶ πολιτείας.

Π αὐτὰ μὲν ὦν τὰ θνητὰ δι' ἀνάγκαν φύσιος ἐν μεταβολαῖς καλινδεῖται· τὰ μέν, ἀπὸ τῶν χερηόνων ἐπὶ τὰ βελτίονα μεταβολὰν λαμβάνοντα· τὰ δέ, ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χερήονα· γενόμενα γάρ, αὔξεται τὰ πράγματα· καὶ αὐξωθέντα ἀκμάζει· καὶ ἀκμάζοντα γηράσκει· καὶ τέλος ὕστατα φθείρεται· τὰ μὲν ὑπὸ φύσιος γινόμενα, δι' αὐτᾶς τᾶς φύσιος ἐς τὸ ἄδηλον αὐτᾶς τερματιζόμενα· καὶ πάλιν ἐκ τοῦ ἀδήλου, ἐς τὸ θνατὸν ἐπισυνερχόμενα ἀμοιβᾷ γενέσιος· καὶ ἀνταποδόσει φθορᾶς· κύκλον αὖ ταύτας ἀναποδίζοισας· τὰ δέ, καὶ ὑπὸ ἀφροσύνας ἀνθρωπίνας, ὕβρει καὶ κόρῳ ζησάσας· οἶκοί τε καὶ πόλεις ὑπὸ μεγάλων εὐτυχημάτων ἀερθεῖσαι, καὶ βίον

βαθὺν

Ayuntamiento de Madrid

βαθὺν πλουτεῦσαι, ἅμα τοῖς μακαριζομένοις ἀγαθοῖς, ἐς τὸν ὄλεθρον ἔβαισαν. οὕτω δεῖ καὶ συμβαίνει πᾶσαν ἀγεμονίαν τρισὶ χρόνοις ὁ εἴζεσθαι. ἐν μὲν καὶ πρώτῳ, τῷ περιέχοντι τὰν κτῆσιν. δευτέρῳ δὲ, τῷ τὰν ἀπόλαυσιν. τελευταίῳ δὲ, τῷ τὰν ἀπόλεσιν. τοὶ μὲν γὰρ πρῶτοι ἀτυχέοντες ἐόντες, ἐκτήσαντο. τοὶ δὲ δεύτεροι εὐτυχέοντες γενόμενοι, διέφθειραν. τὰ μὲν ὦν ὑπὸ θεῶν διοικημένα, ἄφθαρτα δὲ ὄντα, ὑπὸ ἀφθάρτων, τὸν ἀεὶ χρόνον πέφυκε σώζεσθαι. τὰ δ' ὑπ' ἀνθρώπων θνατὰ ὄντα, ὑπὸ θνατῶν ἐπιδέχεται ποικίλαν ἀεὶ μεταβολάν. κόρου μὲν γὰρ καὶ ὕβριος πέρας, ὄλεθρος. ἀπειρίας δὲ καὶ στενοχωρίας πέρας, ἀνδραγαθία βίου ἀνθρωπίνου. τὸ καὶ ἀφ' ἑτέρων ἄλλον περαίνεσθαι.

Ἐκ τῶν Τέλητος.

Εἰ δὲ δεῖ τὸν εὐδαίμονα βίον ἐκ τῶν πλεοναζουσῶν ἡδονῶν συγκρῖναι, οὐδείς φησιν ὁ Κράτης εὐδαίμων γεγονὼς ἂν εἴη. ἀλλ' εἰ θέλει τις ἐκλογίσασθαι ἐν ὅλῳ τῷ βίῳ πάσας τὰς ἡλικίας, εὑρήσει πολλῷ πλείους τὰς ἀλγηδόνας. πρῶτον μὲν τοῦ παντὸς χρόνου ὁ ἥμισυς, ἀδιάφορος, ἐν ᾧ καθεύδω. εἶθ' ὁ πρῶτος ὁ κατὰ τὴν παιδοποιΐαν ἐπίπονος. πεινᾷ τὸ παιδίον. ἡ δὲ τροφὸς, κατακοιμίζει. διψᾷ. ἡ δὲ, λούει. κοιμηθῆναι θέλει. ἡ δὲ, κρόταλον ἔχουσα, ψοφεῖ. ἂν δ' ἐκπέφευγε τὴν τιθήνην, παρέλαβε πάλιν ὁ παιδαγωγός. παιδοτρίβης. γραμματοδιδάσκαλος. ἁρμονικός. ζωγράφος. προάγει ἡλικία. προσγίνεται ἀριθμητικός. γεωμέτρης. πωλοδάμνης. ὑπὸ τούτων πάντων μαστιγοῦται. ὄρθρου ἐγείρεται. σχολάσαι οὐκ ἔστιν. ἔφηβος γέγονεν. ἔμπαλιν τὸν κοσμητὴν φοβεῖται. τὸν παιδοτρίβην. τὸν ὁπλομάχον. τὸν γυμνασίαρχον. ὑπὸ πάντων τούτων μαστιγοῦται. παρατηρεῖται. τραχηλίζεται. ἐξ ἐφήβων ἐστὶ καὶ ἤδη εἴκοσι ἐτῶν, ἔτι φοβεῖται καὶ παρατηρεῖ, καὶ γυμνασίαρχον, καὶ στρατηγόν, παρακοιτεῖν ὅπου δεῖ. οὗτοι παρακοιτοῦσι, φυλάττειν καὶ ἀγρυπνεῖν. οὗτοι φυλάττουσιν. εἰς τὰ πλοῖα ἐμβαίνειν. οὗτοι ἐμβαίνουσιν. ἀνὴρ γέγονε καὶ ἀκμάζει. στρατεύεται καὶ πρεσβεύει ὑπὲρ τῆς πόλεως. πολιτεύεται. στρατηγεῖ. χορηγεῖ. ἀγωνοθετεῖ. μακαρίζει ἐκεῖνον τὸν βίον, ὃν παῖς ὢν ἐβίωσε. παρήκμασε, καὶ ἔρχεται εἰς γῆρας. πάλιν παιδοτροφίαν ὑπομένει, καὶ ἐπιποθεῖ τὴν νεότητα. καὶ ἡ νεότης μοι φίλον. τὸ δὲ γῆρας βαρύτερον Αἴτνης. οὐχ ὁρῶ οὖν, πῶς εὐδαίμονά τις βίον ἔσται βεβιωκώς. εἴπερ δεῖ τῷ πλεονασμῷ τῶν ἡδονῶν ἐκμετρῆσαι.

Ἡροδότου.

Ἐπεὶ δ' ἐγένοντο ἐν Ἀβύδῳ, ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατόν. καὶ προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ ἐπίτηδες αὐτῷ ταύτῃ προεξέδρη λίθου. ὡς δ' ἐώρα πάντα τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς

ἀκτὰς καὶ τὰ ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, ἐνταῦθα ὁ ξέρξης ἑωυτὸν ἐμακάρισε. μετὰ δὲ τοῦτο, ἐδάκρυσε. μαθὼν δέ μιν ἀρτάβανος ὁ πάτρως, ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως, οὐ συμβουλεύων ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν ἑλλάδα, οὗτος ὡνὴρ φρασθεὶς ξέρξην δακρύσαντα, εἴρετο τάδε. ὦ βασιλεῦ. ὡς πολὺ ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε, καὶ ὀλίγῳ πρότερον. μακαρίσας γὰρ ἑωυτὸν, δακρύεις, ὁ δ' εἶπεν. ἐσῆλθε γάρ με λογισάμενον κατοικτεῖραι, ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος. εἰ τούτων γε ὄντων τοσοῦτον, οὐδεὶς ἐς ἑκατὸν ἔτος περιέσται. ὁ δὲ, ἀμείβετο, λέγων, ἕτερα τούτου παρὰ τὴν ζωὴν πεπόνθαμεν οἰκτρότερα. ἐν γὰρ οὕτω βραχεῖ βίῳ, οὐδεὶς οὕτως ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκεν. οὔτε τούτων, οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις, καὶ οὐχὶ ἅπαξ τεθνάναι βούλεσθαι μᾶλλον, ἢ ζῆν. αἵ τε γὰρ συμφοραὶ συμπίπτουσαι. καὶ αἱ νοῦσοι συνταράττουσι. καὶ βραχὺν ἐόντα, μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. οὕτως ὁ μὲν θάνατος μοχθηρῆς ἐούσης τῆς ζωῆς, καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν. ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα, φθονερὸς ἐν αὐτῷ εὑρίσκεται. ἐπίσταμαι δὲ τοσούτῳ, ὅτι, εἰ πάντες ἄνθρωποι τὰ οἰκήϊα κακὰ ἐς μέσον συνενέγκαιεν, ἀλλάξασθαι βουλόμενοι τοῖσι πλησίοισιν, ἐγκύψαντες ἂν ἐς τὰ τῶν ἄλλων κακὰ, ἀσπασίως ἕκαστοι αὐτῶν ἐπιφεροίατο ὀπίσω, τὰ ἐσηνέγκαντο.

E Εἶναι δὲ θνητῶν οὐδένα οὐδ' ἔσεσθαι, τῷ, τὸ κακὸν ἐξ ἀρχῆς γινομένῳ, οὐ συνεμίχθη. τοῖσι δὲ μεγίστοισιν αὐτῶν, μέγιστα.

Πλάτωνος ἐκ τοῦ ἀξιόχου.

F Ποῖον ἔφη μέρος τῆς ἡλικίας ἄμοιρον τῶν ἀνιαρῶν, οὐ κατὰ μὲν τὴν πρώτην γένεσιν τὸ νήπιον κλαίει, τοῦ ζῆν ἀπὸ λύπης ἀρχόμενον; οὐ λείπεται γοῦν οὐδεμιᾶς ἀλγηδόνος. ἀλλὰ δι' ἔνδειαν, ἢ περὶ ψυγμὸν ἢ θάλπος, ἢ πληγὴν, ὀδυνᾶται. λαλῆσαι μὲν οὔπω δυνάμενον, ἃ πάσχει. κλαυθμυριζόμενον δὲ, καὶ ταύτην τῆς δυσαρεστήσεως μίαν ἔχον φωνήν. ὁπόταν δὲ εἰς τὴν ἑπταετίαν ἀφίκηται, πολλοὺς πόνους διατλῆσαν, ἐπέστησαν παιδαγωγοί. καὶ γραμματισταὶ, καὶ παιδοτρίβαι τυραννοῦντες. αὐξανομένῳ δὲ, κριτικοί. γεωμέτραι. τακτικοί. πλῆθος δεσποτῶν. ἐπειδὰν δὲ εἰς τοὺς ἐφήβους ἐγγραφῇ, κοσμητὴς, καὶ φόβος χείρων. εἶτα λύκειον. καὶ ἀκαδημία, καὶ γυμνασιαρχία. καὶ ῥάβδοι. καὶ κακῶν ἀμετρία. καὶ πᾶς ὁ τοῦ μειρακίου χρόνος, ὑπὸ σωφρονιστάς. καὶ τὴν ἐπὶ τοῖς νέοις αἵρεσιν, τῆς ἐξ ἀρείου πάγου βουλῆς. ἐπειδὰν δὲ ἀπολυθῇ τούτων, φροντίδες αὐτίκα ὑπέδυσαν καὶ διαλογισμοί. τίνα τις τοῦ ζῆν ὁδὸν ἐνστήσεται. καὶ τοῖς ὕστερον χαλεποῖς,

Ayuntamiento de Madrid

ἐφάνη τὰ πρῶτα παιδία· καὶ νηπίων ὡς ἀληθῶς φοβερά. στρατεῖαι γὰρ καὶ τραύματα, καὶ συνεχεῖς ἀγῶνες. εἶτα λαθὸν, ὑπῆλθε τὸ γῆρας. εἰς ὃ πᾶν συρρεῖ τὸ τῆς φύσεως ἐπίκηρον καὶ δυσαλθὲς κἂν μή τις θᾶττον ὡς χρέος ἀποδιδῷ τὸ ζῆν. ὀβολοστάτις ἡ φύσις ἐφεστῶσα, ἐνεχυράζει τοῦτο μὲν ὄψιν. τοῦτο δὲ ἀκοήν. πολλάκις δ' ἄμφω. κἂν ἐπιμένῃ τίς, παρέλυσεν. ἐλωβήσατο. παρήρθρωσεν. ἀλλ' οἱ θεοὶ τῶν ἀνθρωπείων ἐπιστήμονες, οὓς ἂν διὰ πλείστου ποιοῦνται, θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν. ἀγαμήδης οὖν καὶ τροφώνιος οἱ δειμάμενοι τὸ πυθοῖ τοῦ θεοῦ τέμενος, εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι, κατακοιμηθέντες, οὐκ ἐξανέστησαν. τό, τε τῆς ἀργείας ἱερείας ὁμοίως, εὐξαμένης αὐτοῖς τῆς μητρὸς γενέσθαί τι τῆς εὐσεβείας παρὰ τῆς ἥρας γέρας, ἐπειδὴ τοῦ ζεύγους ὑστερήσαντος ὑποδύντες αὐτοὶ, διήνεγκαν εἰς τὸν νεὼν τὴν μητέρα μετὰ τὴν εὐχὴν, νυκτὶ μετήλλαξαν. μακρὸν δ' ἂν εἴη διεξιέναι τὰ τῶν ποιητῶν. οἳ στόμασι θειοτέροις τὰ περὶ τὸν βίον θεσπιῳδοῦσιν. ὡς κατοδύρονται τὸ ζῆν. ἑνὸς δὲ μόνου μνησθήσομαι τοῦ ἀξιολογωτάτου λέγοντος. ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι. ζώειν ἀχνυμένοις. Καὶ οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς, πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει. Καὶ ὁ κελεύων τὸν φύντα θρηνεῖν, εἰς ὅσ' ἔρχεται κακά. Ποίαν δέ τις ἑλόμενος ἐπιτήδευσιν ἢ τέχνην, οὐ μέμφεται καὶ τοῖς παροῦσι χαλεπαίνει. τὰς χειρωνακτικὰς ἐπέλθωμεν καὶ βαναύσους τέχνας πονουμένων ἐκ νυκτὸς εἰς νύκτας, καὶ μόλις πορίζομένων τὰ ἐπιτήδεια. κατοδυρομένων δὲ ἑαυτοὺς, καὶ πᾶσαν ἀγρυπνίαν ἐμπιπλάντων, ὀλοφυρμῶν τε καὶ φροντίδων. ἀλλὰ τὸν πλωτικὸν καταλεξώμεθα περαιουμένων διὰ τοσῶνδε κινδύνων, καθὼς ἀπεφήνατο βίας, μήτ' ἐν τοῖς τεθνηκόσιν ὄντα, μήτ' ἐν τοῖς βιοῦσιν, ὁ γὰρ ἐπίγειος ἄνθρωπος, ὡς ἀμφίβιος, ἑαυτὸν εἰς πέλαγος ἔρριψεν, ἐπὶ τῇ τύχῃ γεγονώς. ἀλλ' ἡ γεωργία γλυκύ. δῆλον. ἀλλ' οὐχ ὅλον ὥς φασιν. ἕλκος ἀεὶ λύπης πρόφασιν εὑρισκόμενον. κλαίων νυνὶ μὲν αὐχμόν. νυνὶ δ' ἐπομβρίαν. νυνὶ δ' ἐπίκλυσιν. νυνὶ δ' ἐρυσίβην. νυνὶ δὲ θάλπος ἄκαιρον, ἢ κρυμόν. ἀλλ' ἡ πολυτίμητος πολιτεία, πολλὰ γὰρ ὑπερβαίνω, διὰ πόσων ἐλαύνεται δεινῶν. τὴν μὲν χαρὰν ἔχουσα φλεγμονῆς δίκην, παλλομένην καὶ σφυγματώδη. τὴν δ' ἀπότευξιν, ἀλγεινὴν, καὶ θανάτων μυρίων χείρω. τίς γὰρ ἂν εὐδαιμονήσαι πρὸς ὄχλον ζῶν εἰ ποππυσθείη, καὶ κροτηθείη δήμου παίγνιον. ἐκβαλλόμενον συριττόμενον, ζημιούμενον. θνῆσκον. ἐπεί τοι ἀξιοπολῖτικε. οὐ τέθνηκε μιλτιάδης; ποῖ δὲ θεμιστοκλῆς. ποῖ δὲ ἐφιάλτης. ποῖ δὲ πρώην οἱ δέκα στρατηγοί.



Ayuntamiento de Madrid

## ΠΕΡΙ ΛΥΠΗΣ. ΟΤΙ ΛΙΑΝ ΜΟΧΘΗΡΑ ΚΑΙ ΕΠΩΔΥΝΟΣ ΤΟΙΣ ΦΡΟΝΤΙΖΟΥΣΙΝ.

### ΛΟΓΟΣ ΕΝΕΝΗΚΟΣΤΟΣ ζ'.

Μενάνδρου

Πολλῶν φύσει τοῖς πᾶσιν αἴτια κακῶν
λύπη. διὰ λύπης καὶ μανία γὰρ γίνεται
πολλοῖσι. καὶ νοσήματ' οὐκ ἰάσιμα.
αὑτούς τ' ἀνηρήκασι διὰ λύπην τινές.
ἐπὰν τὸ λυποῦν πλέον, ἢ τὸ σῶζον ᾖ.

Κλεαινέτου.

Λύπη γὰρ ὀργήτ' εἰς ἕνα ψυχῆς τόπον
ἐλθόντα, μανία τοῖς ἔχουσι γίνεται.

Εὐριπίδου

Ὅστις δὲ λύπας φησὶ πημαίνειν βροτοὺς
δεῖν δ' αὖ χρόνων τε καὶ πετρῶν ῥιπτεῖν ἄπο,
οὐκ ἐν σοφοῖσιν ἐστίν. εὐχέσθω δ' ὅμως
ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί.

Φιλήμονος

Οὕτως ὅταν ἐμπέσῃ τις εἰς τὸν νοῦν φόβος,
κἂν τὴν καθεύδειν οὗτος οὐκ ἐξέρχεται.
Νόσον πολὺ κρεῖττόν ἐστιν, ἢ λύπην φέρειν.

Μενάνδρου

Οὐκ ἔστι λύπης ἐὰν ὀρθῶς τις σκοπεῖ,
ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώποις φύσει.

Εὐριπίδου

Ἔνεστι πάντων πρῶτον εἰδέναι τουτί.
φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως.
καὶ οὗτός γ' ἀνὴρ ἄριστος, αἵ τε συμφοραὶ,
ἥττον δάκνουσιν. ἀλλὰ ταῦτα γὰρ λέγειν
ἐπιστάμεθα. δρᾶν δ' ἀμηχάνως ἔχει.
Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους.
Ἤπου τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν.
ὥστε τὸ γε πάσχειν τοὔπιον μεῖζον κακόν.
Φρονῶ δ' ἃ πάσχω, καὶ τόδ' οὐ σμικρὸν κακόν.
τὸ μὴ εἰδέναι γὰρ, ἡδονὴν ἔχει τινὰ,
νοσοῦντα. κέρδος δ' ἐν κακοῖς ἀγνωσία.
Ὤικτειρ' ἀκούσας. οἰκτρὰ γὰρ τὰ δυστυχῆ
βροτοῖς ἅπασι. κἂν θυραῖος ὢν κυρῇ.

Οὐδεὶς

Ayuntamiento de Madrid

Οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν ἄνθρωπος ὤν
οὐδὲ μέχρι τέλους ἔμεινεν εὐτυχῶν.

Λύπη μάλιστά γ' ἡ διαφθείρουσά με.
δεινὴ γὰρ ἡ θεός. ἀλλ' ὅμως ἰάσιμος.

Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα γενναίως ἴσως
ἔπραξας. αἰνεῖσθαι δὲ δυστυχῶν ἐγὼ
μισῶ. λογισμὸς γὰρ τοὔργον οὐ νικᾷ ποτέ.

Οὐ δεῖ λέγειν μακάριον, τὸν χρήματα ἔχοντα
πλεῖστα. τὸν δὲ μὴ λυπούμενον.

Πολλῶν φύσει τοῖς πᾶσιν ἀνθρώπων κακῶν
ὄντων, μέγιστόν ἐστιν ἡ λύπη κακόν. Μενάνδρου

Τίκτουσι γάρ τοι καὶ νόσους δυσθυμίαι. Σοφοκλέ.

Πῶς οὖν μάχωμαι θνητὸς ὢν τύχῃ.
ὅπου τὸ δεινὸν ἐλπὶς, οὐδὲν ὠφελεῖ.

Αἱ δὲ φρενῶν ταραχαὶ, παρέπλαγξαν καὶ σοφόν. Πινδάρου.

Ἄπολλον, ὡς δυσάρεστον ἐσ' ἀνιώμενος Ἀμφιδος.
ἄνθρωπος. ἐφ' ἅπασίν τε δυσχερῶς ἔχει.

Ὅπου τὶς ἀλγεῖ, κἀεῖσε καὶ τὸν νοῦν ἔχει.

Τοῖς γὰρ λυπουμένοις τε καὶ μεριμνῶσιν, Ἀπολλο-
ἅπασα νὺξ ἔοικε φαίνεσθαι μακρά. δώρου.

Τῶν μετρίων αἱ μείζονες λῦπαι, Ἀλέξιδος.
ποιοῦσι τῶν φρενῶν μετάστασιν.

Οὕτω τι πολύπουν ἐστὶν ἡ λύπη κακόν. Ποσειδίππου

Ἔργον γε λύπην ἐκφυγεῖν, ἡ δ' ἡμέρα,
ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.

Ἅπαν τὸ λυποῦν ἐστὶν ἀνθρώπῳ νόσος. Ἀντιφάνους
ὀνόματα δ' ἔχουσα πολλά.

Λυπηρὸν ἀνθρώποισι καὶ τὸ ζῆν κακῶς.
ὥσπερ πονηρῷ ζωγράφῳ τὰ χρώματα
πρώτιστον ἀφανίζουσιν ἐκ τοῦ σώματος.

Ἀπολλόδωρος ὁ μεγαρείτης ἔλεγε τοὺς πενθοῦντας, ὅτι ἑτεροῖ εἰσιν οἱ ἄνθρωποι τοῦ σώματος, ἀλυπότατα διάξειν. καὶ μὴν εἴ τιν. ὅτι οἱ υἱεῖς αὐτοῦ ἕτεροι εἶναι πάντες ὑπέστησαν τοι. καὶ ὅμως ὑπὸ τῆς ἐπ' αὐτοῖς λύπης, πολλοὶ ἔχουσι τοῖς διαχρῶνται.

Ayuntamiento de Madrid

Εὐφράτης ὁ σύρος, τὴν γυναῖκα ἀποβαλὼν ἔλεγεν· ὦ φιλοσοφία· τετυράννηκέ σου τὰ περὶ πράγματα· λέγεις φίλα· κἂν ἀποβάλῃ τις, λέγεις μὴ λυποῦ.

Σωκράτης ἐρωτηθεὶς, πῶς ἄν τις ἄλυπος διάγοι, τοῦτο ἀδύνατον εἶπεν· οὐ γὰρ ἔστι πόλιν ἢ οἰκίαν οἰκοῦντα καὶ ἀνθρώποις ὁμιλοῦντα, μὴ λυπεῖσθαι.

## ΠΕΡΙ ΝΟΣΟΥ ΚΑΙ ΤΗΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΗΝ ΑΝΙΑΡΩΝ ΛΥΣΕΩΣ,

### ΛΟΓΟΣ Ἐνενηκοστὸς ή.

Εὐριπίδου

Ὦ φίλον ὕπνου θέλγητρον ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί γε.
ἰδοὺ φίλον τοι τῷ νοσοῦντι δέμνια.
ἀνιαρὸν τὸ κτῆμα· ἀναγκαῖον δ' ὅμως.
αὖθις δ' εἰς ὀρθὸν στῆσον· ἀνακύκλει δέμας.
δυσάρεστον οἱ νοσοῦντες, ἀπορίας ὕπο.
Ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις;
μάλιστα· δόξαν γὰρ τό δ' ὑγείας ἔχει.
κρεῖσσον δὲ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.
Πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν
ἰδόντ' ἀκεῖσθαι· μὴ 'πιτακτὰ φάρμακα
διδόντα, ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ.
Νόσοι δὲ θνητῶν, αἱ μέν εἰσιν αὐθαίρετοι·
αἱ δ' ἐκ θεῶν πάρεισιν, ἀλλὰ τῷ νόμῳ
ἰώμεθ' αὐτάς. ἀλλά σοι λέξαι θέλω
εἰ θεοί τι δρῶσιν αἰσχρὸν, οὐκ εἰσὶ θεοί.

Φιλήμονος

Πολὺ μεῖζόν ἐστι τοῦ κακῶς ἔχειν κακὸν,
τὸ καθ' ἕνα πᾶσι τοῖς ἐπισκοπουμένοις
δεῖν τὸν κακῶς ἔχοντα πῶς ἔχει λέγειν.

Ἐκ τοῦ ἡλιοδώρου ἰταλικῶν θεαμάτων.

Ἰταλίης οὐ πολλὸν ὑπερσέχοντι κολώνην,
γαυρέλην, χώρη τις ὁ διψάων ἐπὶ λαιὰ
κέκληται· ἀργήεσσα, χιονόεις· ἐκ δέ οἱ ὕδωρ
ἀΐσσει μάλα πικρὸν, ἀναπνεῦσαι πιέειν τε.
κεῖνο πολυστάφυλοι πεινάεται ἀνέρος ὕδωρ.

Ayuntamiento de Madrid

ὅσσων ἄλγεα ρ' ἔχουσιν· ὁ μὲν, λοετροῖο χατίζων
αὐτός· ὄφρα καὶ μοῦνον ἐν ὕδατι γυῖα καθήρῃ.
ὀφθαλμούς· βλεφάροισι λίην ἀραρόσι καλύψας
δύεται· ὥς μή οἵ τι παραδράμῃ ἕρκεος εἴσω,
ὑγρὸν ἐπιπλήνης· τὸ γὰρ ἄλγεος εἴη.
ὅς δὲ κυνημιρὴ νεφέλη λελυσμένος ὄσσε.
ἀχλάδη ὀδύναις· κεροέσσα δ' ἀμφὶ χιτῶνα
οἴδης παλέοισι περιβρεθὴ πλακόεσσι.
κείνω καίριόν ἐστι καὶ ἀσφαλὲς ὄμμα δῦναι.
ἀμπετὲς ἀκλήϊστον· ἄφαρ δ' ἀπὸ πᾶσα πλέοθη.
θυμοδακὴς ὀδύνη· ῥεῖα δ' ἔκθεται ὕδατι νοῦσος.

Διογένης πρός τινα τῶν συνήθων τὸ σῶμα βεβλαμμένον καὶ ποτνιώμενος, εὖ ἔφη φίλος· ὅτι πολιεῖς, ἵνα μὴ πονῇς.

Ὥσπερ γὰρ ἐν τοῖς σώμασιν· ἕως μὲν ἂν ἐρρωμένος ᾖ τίς, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν· ἐπὰν δὲ ἀρρώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα· κἂν ἄλλό τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ. Δημοσθένους.

Ἴναχος ποταμός ἐστι τῆς ἀργείας χώρας· γεννᾶται δ' ἐν αὐτῷ βοτάνη κύουρα καλουμένη, πηγάνῳ παρόμοιος· ἣν αἱ γυναῖκες ὅταν ἀκινδύνως ἐκτρῶσαι θέλωσιν· ἐν οἴνῳ βεβρεγμένην τοῖς ὀφθαλμοῖς ἐπιτιθέασιν. Ἀγάθωνος.

Ἐν εὐφράτῃ ποταμῷ τῆς παρθίας, γεννᾶται λίθος, ἀετίτης καλούμενος· ὃν αἱ μαῖαι ταῖς δυστοκούσαις ἐπὶ τὰς γαστέρας ἐπιτιθέασι· καὶ παραχρῆμα τίκτουσιν ἄτερ ἀλγηδόνος· εὑρίσκεται δ' ἐν αὐτῷ καὶ βοτάνη ἄξαλλα· μεθερμηνευομένη θερμόν· ταύτην οἱ τεταρταΐζοντες, ὅταν ἐπὶ τοῦ στήθους τιθῶσιν, ἀπαλλάσσονται παραχρῆμα. Χρυσέρμου.

Ἐν ὄρει δειμύλον καλουμένῳ τῆς παρθίας, γεννᾶται λίθος σαρδόνυξ παρόμοιος· ποιεῖ δ' ἄριστα πρὸς ἀμβλυωπίας, εἰς ὕδωρ θερμὸν βαλλόμενος. Νικίου.

Ἐν τραπεζοῦντι τῇ ἐν τῷ πόντῳ, γίνεται ἀπὸ τοῦ ξύλου μέλι βαρύοσμον· καὶ φασὶ τοὺς μὲν ὑγιαίνοντας ἐξιστάναι· τοὺς δ' ἐπιλήπτοις τελείως ἀπαλλάσσειν. Ἐκ τῶν ἀριστοτέλους.

Ἄραρ ποταμός ἐστι τῆς κελτικῆς· παρὰ τῷ ῥοδανῷ ἡρμόσθαι, τὴν προσηγορίαν εἴληφώς, καταφέρεται γὰρ εἰς τοῦτον κατὰ τὴν χώραν τῶν ἀλλοβρόγων· γεννᾶται δ' ἐν αὐτῷ μέγας ἰχθὺς, κλουπαῖα καλούμενος ὑπὸ τῶν ἐγχωρίων· οὗτος αὐξομένης μὲν τῆς σελήνης λευκός ἐστι· μειουμένης δὲ, μέλας γίνεται παντελῶς· ὑπεραυξήσας δὲ, ὑπὸ τῶν ἰδίων ἀκανθῶν ἀναιρεῖται. Καλλισθένης.

Ayuntamiento de Madrid

εὑρίσκεται δ' ἐν τῇ κεφαλῇ αὐτοῦ, λίθος χόνδρῳ παρόμοιος ἁλός· ὃς καὶ μάλιστα ποιεῖ πρὸς τεταρταίας νόσους, τοῖς ἀριστεροῖς μέρεσι τοῦ σώματος προσδεσμευόμενος, τῆς σελήνης μειουμένης.

Ἀρχελάου. Λυκόρμας τῆς Αἰτωλίας ποταμός. μετωνομάσθη δ' Εὔηνος. γεννᾶται δ' ἐν αὐτῷ, βοτάνη ζάρισα προσαγορευομένη, λόγχῃ παρόμοιος. ποιοῦσα πρὸς ἀμβλυωπίας ἄριστα.

Θρασύλλου. Ἐν Νείλῳ ποταμῷ τῆς Αἰγύπτου πρότερον δὲ οὕτω καλουμένῳ Μέλας, γίνεται λίθος κυάμῳ παρόμοιος· ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι. ποιεῖ δ' ἄριστα πρὸς τοὺς δαιμονιζομένους. ἅμα γὰρ αὐτῷ προστεθῶσι ταῖς ῥισίν, ἐξέρχεσθαι τὸ δαιμόνιον.

Τιμαγόρου. Καΐκος ποταμός ἐστι τῆς Μυσίας· φύεται δ' ἐν αὐτῷ βοτάνη ἡλιοφάρμακος καλουμένη, ἣν οἱ ἰατροὶ τοῖς αἱμορραγοῦσιν ἐπιτιθέασι. καὶ τῶν φλεβῶν μεσολαβοῦσι τὴν ἔκρυσιν.

Κτησίου κνιδίου. Ὄρος ἐστὶ τῆς Μυσίας Τεύθρας καλούμενον. γεννᾶται δ' ἐν αὐτῷ λίθος ἀντιπαθὴς προσονομαζόμενος· ὃς μάλιστα ποιεῖ πρὸς ἀλφοὺς καὶ λέπρας, δι' οἴνου τριβόμενος, καὶ τοῖς πάσχουσιν ἐπιτιθέμενος.

Σωστράτου. Ἐν Τίγριδι ποταμῷ τῆς Ἀρμενίας, γεννᾶται βοτάνη κριθῇ παρόμοιος ἀγρίᾳ. ταύτην οἱ ἐγχώριοι θερμαίνοντες ἐν ἐλαίῳ καὶ ἀλειφόμενοι, οὐδέποτε νοσοῦσι μέχρι τῆς ἀνάγκης τοῦ θανάτου.

Κλειτοφῶντος. Ἐν Ἰνδῷ ποταμῷ τῆς Ἰνδίας· φύεται βοτάνη καρπύκη καλουμένη, βουγλώσσῳ παρεμφερής. ποιεῖ δ' ἄριστα πρὸς ἰκτέρους, δι' ὕδατος χλιαροῦ διδομένη.

Πορφυρίου. Ἡ ἰτέα αὕτη, τὸν καρπὸν ἀποβάλλει πρὶν ἐκθρέψαι. διὸ, ὠλεσίκαρπον αὐτὴν ὁ ποιητὴς ὀνομάζει. καὶ μέντοι ἱστόρηται, ὡς μετὰ οἴνου δοθεὶς ὁ ταύτης καρπὸς, ἀγόνους ποιεῖ τοὺς πίνοντας. καὶ κατασβέννυσι τὸ σπέρμα. καὶ μαραίνει τὴν γόνιμον ὁρμήν.

Τροφίλου. Τὸ τῆς ἴκτιδος λέγεται αἰδοῖον εἶναι οὐχ ὅμοιον τῇ φύσει τῶν λοιπῶν ζώων. ἀλλὰ στερεὸν διὰ παντὸς οἷον ὀστοῦν. φασὶ δὲ καὶ στραγγουρίας αὐτὸ φάρμακον εἶναι. ἐν τοῖς ἀρίστοις καὶ δίδοσθαι ἐπιξυόμενον.

Ἐν ταυτῷ. Φασὶ τὸν γαλεώτην, ὅταν ἐκδύῃ τὸ δέρμα καθάπερ ὁ ὄφις, ἐπιστραφέντα καταπίνειν. τηρεῖσθαι γὰρ ὑπὸ τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιλήπτοις.

Ἐν ταυτῷ. Φασὶ τὴν φώκην ἐξεμεῖν τὴν πιτύαν, ὅταν ἁλίσκηται. εἶναι δὲ φαρμακώδες, καὶ τοῖς ἐπιληπτικοῖς χρήσιμον.

Ayuntamiento de Madrid

Ἐν ἄργει φασὶ γίνεσθαι ἀκρίδος τι γένος, ἣν καλεῖσθαι σκορπιομάχον. ὅταν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀναιρεῖται αὐτόν· ἀγαθὸν δὲ φασιν εἶναι καὶ πρὸς τὰς πληγὰς τοῦ σκορπίου, τὸ αὐτὴ φαγεῖν αὐτήν.

Λέγει δὲ τὰς νόσους συμπίπτειν ὡς μὲν ὑφ' οὗ, δι' ὑπερβολὴν θερμότητος, ἢ ξηρότητος· ὡς δὲ ἐξ οὗ, διὰ πλῆθος τροφῆς, ἢ ἔνδειαν, ὡς δ' ἐν οἷς, αἷμα, ἢ μυελόν, ἢ ἐγκέφαλον. γίνεσθαι δέ ποτε καὶ ὑπὸ τῶν ἔξωθεν αἰτιῶν, ὑδάτων ποιῶν, ἢ χώρας, ἢ κόπων, ἢ ἀνάγκης, ἢ τῶν τούτοις παραπλησίων. Ἀλκμαίωνος.

Πλῆθος καὶ διαφθορά, πάντων τούτῳ αἰτία. Ἐρασιστράτου.

Ἐὰν μέν σοι ἐθέλῃ ἀπνευστὶ ἔχοντι πολὺν χρόνον παύσασθαι ἡ λύγξ. εἰ δὲ μή, ὕδατι ἀνακογχυλίασον. εἰ δ' ἄρα πάνυ ἰσχυρά ἐστι, λαβόντι τοιοῦτον οἵῳ κνήσαις ἂν τὴν ῥῖνα, πτάρε. καὶ τοῦτο ποιήσας ἅπαξ ἢ δίς, κἂν πάνυ ἰσχυρὰ ἐστί, παύσεται. Πλάτωνος.

## ΠΕΡΙ ΥΓΕΙΑΣ ΚΑΙ ΤΗΣ ΠΕΡΙ ΤΗΝ ΔΙΑΜΟΝΗΝ ΑΥΤΗΣ ΠΡΟΝΟΙΑΣ.

### ΛΟΓΟΣ Ἐνενηκοστὸς θ'.

Οὐδ' ὑγείας τῆς κατὰ τὸ σῶμ' ἀμέλειαν ἔχειν χρή. Πυθαγόρου.
ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε
ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσει.
εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον ἄθρυπτον.

Ἀλκμαίων τῆς μὲν ὑγείας εἶναι συνεκτικὴν τὴν ἰσονομίαν τῶν δυνάμεων. ὑγροῦ. ξηροῦ. θερμοῦ. πικροῦ. γλυκέος. τῶν λοιπῶν. τὴν δ' ἐν αὐτοῖς μοναρχίαν, νόσου κατασκευαστικὴν εἶναι.

Ἡ ὑγεία ταῖς ἡδοναῖς ὥσπερ ἡ γαλήνη ταῖς ἀλκυόσιν ἀσφαλῆ, καὶ καλὴν γένεσιν, καὶ λοχείαν ἐνδίδωσι. κομψὸς γὰρ ἔοικεν εἰπεῖν, ὅτι τῶν ἡδυσμάτων ἄριστόν ἐστι τὸ πῦρ. ἀληθέστερον γὰρ ἄν τις εἴποι τὴν ὑγίειαν, ἥδυσμα θειότατον εἶναι καὶ προσηνέστατον. ἑφθὰ μὲν γὰρ καὶ ὀπτὰ καὶ πεπτὰ βρώματα, νοσοῦσιν Πλουτάρχου

Ayuntamiento de Madrid

ἢ κραιπαλῶσιν, ἢ ναυτιῶσιν, οὐδὲ μὲν ἡδονὴν ὑγιαίνοντι σώματι πᾶν ἡδὺ ποιεῖ.

Ἐκ τῶν ἀριστοξένους· Πυθαγορείου

Περὶ δὲ γενέσεως παίδων, τάδε ἔλεγε· καθόλου μὲν φυλάττεσθαι τὸ καλούμενον προφερές. οὔτε γὰρ τῶν φυτῶν, οὔτε τῶν ζώων εὔκαρπα τὰ προφερῆ γίνεσθαι. ἀλλὰ χρόνον τινὰ προπαρασκευάζεσθαι τῆς καρποφορίας. ἐν ᾧ ἐξισχύσαντα καὶ τετελειωμένα τὰ σώματα παρέχειν, τά τε σπέρματα καὶ τοὺς καρποὺς δεδύνωνται. πολλὰ δὲ εἶναι, ἐν τῷ ἐν οἷς ἡ ὀψιμαθία ἐστὶ βελτίω· οἷον καὶ τὸ τοῦ ἀφροδισιάζειν πρᾶγμα. δεῖν οὖν τοὺς παῖδας οὕτως ἄγεσθαι διὰ τῶν ἀσωμάτων ἀχόλοις· ὥστε μὴ μόνον μὴ ζητεῖν, ἀλλ᾽ εἰ δυνατὸν μηδὲ εἶναι τὴν τοιαύτην συνουσίαν, ἐντὸς τῶν εἴκοσιν ἐτῶν. ὅταν δὲ καὶ εἰς τοῦτο ἀφίκηται σπανίοις εἶναι χρηστέον τοῖς ἀφροδισίοις. τοῦτο γὰρ πρός τε τὴν τῶν γεννώντων, καὶ γεννησομένων εὐεξίαν πολὺ συμβάλλεσθαι. ἔλεγε δὲ, μήτε τρυφῆς μήτε μέθης πλήρη τοῖς γυναιξὶν εἰς τὸ γεννᾶν ὁμιλεῖν. οὐ γὰρ οἱ τοῖς ἐκ φαύλης καὶ ἀσυμφώνου καὶ ταραχώδους κράσεως εὔρυθμα καὶ καλὰ ἀλλ᾽ οὐδὲ ἀγαθὰ τὴν ἀρχὴν γίνεσθαι.

Πλάτωνος

Φ αὐτὴν αὖ δὴ καὶ τὰς φερούσας ἐν γαστρὶ πασῶν τῶν γυναικῶν μάλιστα θεραπεύειν ἐκεῖνον τὸν ἐνιαυτόν· ὅπως μήθ᾽ ἡδοναῖς τισι πολλαῖς ἅμα καὶ λαιμάργοις προσχρήσεται ἡ κύουσα, μήτ᾽ αὖ λύπαις· τὸ δὲ λεῖον καὶ εὐμενὲς, πρᾶόν τε τιμῶσα διασώζει τὸν τότε χρόνον.

Πλουτάρχου

Τὰ εὐτελῆ κρατεῖν τὴν ὄρεξιν ἐπὶ τῶν φυσικῶν μέτρων. ὀψοποιῶν δὲ τέχναι καὶ δημιουργῶν, καὶ πανοῦργα ταῦτα ὀψάρια καὶ ὑποτρίμματα, ἀεὶ τοὺς ὅρους τῆς ἡδονῆς μετατίθησιν εἰς τοὔμπροσθεν. καὶ παραλλάττει τὸ συμφέρον.

Δεῖ θαρροῦντας μάχεσθαι πρὸς τὰς ὀρέξεις ἐκφερομένας καὶ ἐπιπηδώσας ταῖς ἀπολαύσεσιν, ὡς ἐλαφρὸν καὶ παιδικὸν ἔχουσαι τὸ μεμψίμοιρον. εἶτα παυομένας ἀρθείσης τῆς τραπέζης· καὶ μηδὲν ἐγκαλούσας μηδὲ ἀδικουμένας, ἀλλὰ τοὐναντίον καθαρὰς, καὶ ἱλαρὰς, καὶ οὐ βαρείας. οὐδὲ ναυτιώδεις περιμενούσας τὴν αὔριον.

Λέγεται δὲ καὶ ἀλέξανδρον εἰπεῖν τοὺς ἐθάδας ὀψοποιοὺς ἀποπεμψάμενον, ὥστ᾽ ἔχειν βελτίονας ἀεὶ σὺν ἑαυτῷ πρὸς μὲν τὸ ἄριστον, τὴν νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον, τὴν ὀλιγαριστίαν.

Διὸ, μὴ δεῖ σκοπεῖν τὸν ἰχθὺν εἰ πρόσφατος. μηδὲ τὸν ἄρτον εἰ καθαρός. μηδὲ τὸ βαλανεῖον, εἰ θερμὸν, μηδὲ τὴν ἑταίραν εἰ εὔμορφος· ἀλλ᾽ ἑαυτὸν, εἰ μὴ ναυτιώδης, μηδὲ θολερὸς, μηδὲ τεταραγμένος. εἰ δὲ μὴ, καθάπερ εἰς οἰκίαν πενθοῦσαν ἐμβαλόντες, ἐπίκωμοι. μεθύοντες, οὐ φιλοφροσύνην παρέχον οὐδὲ ἡδονὴν, ἀλλὰ κλαυθμοὺς, καὶ ὀδυρμοὺς ἐπίησαν, οὕτως

Ayuntamiento de Madrid

ἀφροδίσια καὶ ὄψα καὶ βαλανεῖα καὶ οἶνος, ἐν σώματι, κακῶς καὶ παρὰ φύσιν ἔχοντι μιγνύμενα, τοῖς μὴ καθεστῶσι καὶ διαφθορῶσι, φλέγμα καὶ χολὴν κινεῖ. καὶ ταράττει καὶ προεξίστησιν.

Ἡ μὲν ἀκριβὴς σφόδρα καὶ διώνυχος λεγομένη δίαιτα, τό τε σῶμα κομιδῇ παρέχεται ψοφοδεὲς καὶ σφαλερὸν, αὐτῆς τε τῆς ψυχῆς τὸ γαῦρον κολούει. πάντα πράγματα, καὶ πᾶσαν οὐχ ἧττον ἐν ἡδοναῖς καὶ πόνοις διατριβὴν ὑφορωμένης. καὶ πρόσθεν ἰταμῶς καὶ θαῤῥαλέως βαδιζούσης. δεῖ δὲ ὥσπερ ἱστίον τὸ σῶμα μήτε συστέλλειν εὐδίας οὔσης καὶ πιέζειν σφόδρα, μήτε ἀνειμένως χρῆσθαι καὶ καταφρονεῖν ἐν ὑποψίᾳ γινόμενον. ἀλλ᾽ ἐνδιδόναι καὶ ποιεῖν ἐλαφρόν.

Ὅθεν οὐ περὶ τροφὴν μόνον οὐδὲ γυμνάσια δεῖ φυλάττειν τὸ σῶμα. μὴ παρὰ τὸ εἰωθὸς ἅπτεται, καὶ τούτων ὀκνηρῶς καὶ ἀπροθύμως. ἢ πάλιν διψῶδές ἐστι καὶ πειναλέον, ὡς οὐ πέφυκεν. ἀλλὰ καὶ τῶν ὕπνων τὸ μὴ συνεχὲς μηδὲ λεῖον, ἀλλ᾽ ἀνωμαλίας ἔχον καὶ σπασμούς, δεῖ εὐλαβεῖσθαι καὶ τῶν ἐνυπνίων τὴν ἀτοπίαν. ἂν γὰρ ὦσι μὴ νόμιμοι μὴ δὲ συνήθεις αἱ φαντασίαι, πλῆθος ἢ πάθος ὑγρῶν, ἢ πνεύματος ταραχὴν ἐντὸς κατηγοροῦσιν. ἤδη δὲ καὶ τῆς ψυχῆς κινήματα τὸ σῶμα μηνύει πρὸς νόσον ἐπισφαλῶς ἔχειν. ἄλογοι γὰρ ἴσχουσιν ἀθυμίαι καὶ φόβοι πολλάκις ἀπ᾽ οὐδενὸς φοβεροῦ, τὰς ἐλπίδας ἄφνω κατασβεννύουσι. γίνονται δὲ καὶ ταῖς ὀργαῖς ἐπίχολοι καὶ ὀξεῖς, καὶ μικρόλυποι. καὶ ἀναθυμιάσεις πυκναὶ συνιστάμεναι ταῖς τῆς ψυχῆς ὥς φησι Πλάτων ἀνακραθῶσι περιόδοις.

Ὅθεν ἄριστα λέγεται τὸ τροφῆς ἀκρείην καὶ πόνων ἀοκνίην καὶ σπέρματος οὐσίης τήρησιν. ὑγιεινότατα εἶναι. καὶ γὰρ ἡ παρὰ τὰς συνουσίας ἀκρασία, τῷ μάλιστα τὴν δύναμιν ἐκλύειν, ὑφ᾽ ἧς ἡ τροφὴ διαπονεῖται, πλέον περιττώματα ποιεῖ καὶ πλῆθος.

Σαρκὸς φωνή, μὴ πεινῆν. μὴ διψῆν. μὴ ῥιγοῦν. Πυθαγόρου

Γαληνοῦ χαρακτηριάζοντα εἰς Ἱπποκράτης.

Τὰ τῆς τέχνης στοιχεῖα σαφῶς ἀρέσκειν αὐτῷ λέγει, τὰ ὅσα ἐναργῆ. συνέστηκεν οὖν ὅ τε ἄνθρωπος, καὶ τὰ σύμπαντα ζῷα, ἐκ στερεῶν ὑγρῶν. καὶ πνευμάτων. οὐκ ἀμοιρεῖ δὲ οὐδ᾽ ἡ τῶν φυτῶν φύσις, τῆς τούτων συγγενείας. ἀλλὰ ζῇ τε καὶ αὔξεται, καὶ γεννᾷ καὶ φύεται, τῇ τούτων συστάσει. τὴν μὲν οὖν τῶν στερεῶν σύστασιν, ὀστοῖς ἀνατίθησι καὶ νεύροις, καὶ χόνδροις. ἤδη δὲ καὶ ὑμέσι. καὶ ἀρτηρίαις, καὶ φλεψί. καὶ γὰρ ταῦτα τοῦ στερεοῦ γένους ἐν τισιν εἶναι λέγει. τῆς

Ayuntamiento de Madrid

δὲ τούτων συμπηγίας καὶ διαπλάσεως, ἑπόμενος τῷ εὐλόγῳ. τὴν κεφαλὴν εἶναι ἀρχὴν συνδοκεῖ. ἀνατέθεικε δὲ τῇ τῶν στερεῶν φύσει. τό τε περὶ ἀκμῶν, καὶ τὰ περὶ ἄρθρων, καὶ τὰ τούτοις ὅμοια. τῷ δὲ πνεύματι, τὸ περὶ φύσεων ἰδίως ἐπιγραφόμενον σύγγραμμα. τοῖς δ' ὑγροῖς, τὸ περὶ χυμῶν, καὶ τὸ περὶ ἀνθρώπου φύσεως. ἤδη δὲ καὶ σποράδην ἐν ἄλλοις. ἔτι δὲ ταῦτα, αἷμα καὶ φλέγμα. χολὴ διττή. ξανθὴ καὶ μέλαινα. εἶναι δὲ τὸ μὲν αἷμα, τὴν φύσιν, ὑγρὸν καὶ θερμὸν, καὶ τὴν χρόαν ἐρυθρόν. τὴν δὲ ποιότητα, γλυκύ. τὸ δὲ φλέγμα, ψυχρὸν καὶ ὑγρὸν, καὶ λευκὸν, καὶ μᾶλλον ἁλμυρόν. τὴν δὲ ξανθὴν χολὴν, θερμήν τε καὶ ξηράν. καὶ ὠχρὰν, καὶ πικράν. τὴν δὲ ἑτέραν, ψυχρὰν καὶ ξηρὰν καὶ μέλαιναν καὶ φυκώδη. ἀρέσκει δὲ αὐτῷ καὶ τὰς ἡλικίας διαιρεῖν εἰς δ'. καὶ τὰς ὥρας τοῦ ἔτους ὁμοίως. πλεονάζειν δὲ τῶν εἰρημένων χυμῶν ἕκαστον, ἐν τῇ ἡλικίᾳ καὶ τῇ ὥρᾳ τῇ οἰκείᾳ ἑκάστου. καὶ ἐν μὲν τῇ τῶν παίδων ἡλικίᾳ, πλεονάζειν τὸ αἷμα καὶ τῇ ὥρᾳ τοῦ ἀέρος. ἐν δὲ τῇ τῶν ἀκμαζόντων, τὴν ξανθὴν χολὴν, καὶ ὥρᾳ θέρους. ἐν δὲ τῇ τῶν παρηβώντων τὴν μέλαιναν καὶ φθινοπώρῳ. ἐν δὲ τῇ τῶν γερόντων, τὸ φλέγμα καὶ χειμῶνος. ἐοικέναι γὰρ τὰς τῶν χυμῶν φύσεις ταῖς τῶν ὡρῶν. τὸ γοῦν ἔαρ, θερμόν τε καὶ ὑγρὸν, ὡς τὸ αἷμα. καὶ τὸ θέρος, θερμόν τε καὶ ξηρόν. τὸ δὲ μετόπωρον, ψυχρόν τε καὶ ξηρόν. ὁ δὲ χειμὼν, ψυχρὸς καὶ ὑγρός. ἀναλόγως τοῖς χυμοῖς, κατὰ ταυτὰ δὲ καὶ τὴν ἡμέραν διαιρεῖ. καὶ τῷ ἀριθμῷ καὶ τῇ φύσει. ὡς ἐν μικρᾷ τῇ ἀναλογίᾳ. καθόλου γε τὰς τῶν ἀνδρῶν φύσεις, πρὸς τὰς τῶν γυναικῶν διαφέρειν. εἶναι γὰρ τὰς μὲν, ἐπὶ τὸ θερμότερον καὶ ξηρότερον. τὰς δὲ, ἐπὶ τὸ ψυχρότερον καὶ ὑγρότερον. ἐν ἑκάστου δὲ τούτων γένει, καὶ πρὸς ἀλλήλους ἔχειν μικροτέραν διαφοράν. παρά τε τὰς τῶν χωρίων θέσεις, καὶ τὰς τῶν ἀέρων ἰδιότητας. καὶ τὰς τῶν διαιτημάτων ἀγωγάς. παρέχειν δὲ καὶ τῶν χυμῶν ἕκαστον, ἐν τῇ φύσει τοῦ ἀνθρώπου χρείαν ἐξαίρετον. καὶ τὸ μὲν αἷμα, τρέφειν καὶ θερμαίνειν καὶ ὑγιαίνειν. καὶ εὐχροίας εἶναι ποιητικόν. τὴν δὲ ξανθὴν χολὴν, συνέχειν τὸ σῶμα, καὶ τοὺς πόρους μὴ ἐᾶν ἐκλύεσθαι, καὶ μυωπίζειν τὴν αἴσθησιν. καὶ συντελεῖν τῇ πέψει. καὶ τὰς ὁδοὺς τῶν ἐκκρίσεων παρέχειν εὐπετεῖς. τὴν δὲ μέλαιναν, ἕδραν. καὶ οἱονεὶ βάθρον τῶν ἄλλων χυμῶν. τὸ δὲ φλέγμα, νεύροις. ὑμέσι. καὶ χόνδροις. καὶ ἄρθροις. καὶ γλώττῃ πρὸς τὸ εὔδρομον τῆς κινήσεως. δοκεῖ δὲ αὐτῷ καὶ τὸ σπέρμα πρὸς ζωογονίαν. τό, τε τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικὸς ἐπιούσης συντελεῖν. καὶ ἀπὸ πάντων τῶν μελῶν φέρεσθαι τοῦ σώματος. καὶ τὰ μὲν ἄρρενα ἐν τοῖς δεξιοῖς τῆς μήτρας, τὰ δὲ θήλεα, ἐν

τοῖς

Ayuntamiento de Madrid

τοῖς ἀριστεροῖς γεννᾶσθαι. ἰσχύειν δὲ καὶ τὰ δεξιὰ ὡς πρὸς τὰ ἀριστερά· καὶ τὰ ὑπερκείμενα, ὡς πρὸς τὰ ὑποκείμενα. δοκεῖ δ' αὐτῷ καὶ τὰς αἰτίας τῶν νοσημάτων ἃς μὲν, ἐκ πληγῶν βιαίων, ἃς δὲ ἐκ τοῦ περιέχοντος εἶναι. τὰς δὲ πλείστας ἐκ τῶν ὑγρῶν τῶν εἰρημένων κατὰ τὸ πλῆθος, καὶ ἔλλειψιν καὶ μεταβολὴν τὴν κατὰ τὴν ποιότητα, ἢ τὴν ἐκ τόπου εἰς τόπον. ἀρέσκει δὲ αὐτῷ καὶ τὰ βοηθήματα εἰσφέρειν, ἐκ τῶν ἐναντίων ἱσταμένων ταῖς αἰτίαις. τῶν δὲ νοσημάτων, ἃ μὲν εἶναι ὀξέα φύσει. ἃ δὲ, χρόνια. ἃ δὲ ἐνδυαστά. γίνεσθαι δὲ ὡς πολὺ, ἀπὸ χολῆς καὶ αἵματος, καὶ ἡλικίας ἀκμαζούσης. καὶ θέρους καὶ ἀέρος, τὰ ὀξέα. τὰ δὲ χρόνια, ἀπὸ φλέγματος καὶ μελαίνης χολῆς, καὶ ἐν πρεσβύταις καὶ χειμῶνι, τὰ δ' ἐνδυαστὰ, ὁπόσα μεμιγμένας ἔχει τὰς αἰτίας. ἤδη δὲ καὶ τίνα αὐτῶν σωτήρια, καὶ τίνα θανατικὰ προγινώσκειν. βούλεται δὲ καὶ τὴν πρόγνωσιν καὶ τὴν πρόρρησιν ἀναγκαίαν τε εἶναι πρὸς τὴν τέχνην, καὶ διαφέρειν ἀλλήλων. ὅπου μὲν γὰρ προγνῶναι χρὴ, μόνον τὸν ἰατρόν. ὅπου δὲ καὶ προειπεῖν ἀσφαλές. διαιρεῖται δὲ τὴν πρόγνωσιν, εἴς τε τὰ προγεγονότα, καὶ τὰ ἐνεστῶτα τῶν συμπτωμάτων, ὁπόσα ἔχει πρὸς τὴν ἀδηλότητα καὶ εἰς τὰ μέλλοντα. ἀρέσκει δ' αὐτῷ καὶ τὰς κρισίμους ἡμέρας ἐπεγνωκέναι. γίνεσθαι γὰρ ὡς τὸ πολὺ, τὰς μὲν περιττὰς κριτικὰς τῶν ὀξέων νοσημάτων. τὰς δὲ ἀρτίους, τῶν χρονίων. καὶ τὰς μὲν θέρους καὶ ἐπὶ νέων. καὶ τῶν δεξιῶν μερῶν, καὶ τῶν ὑπερκειμένων τὰς περιττάς. τὰς δὲ ἀρτίους, ἐπὶ τῶν ἐναντίων. ἤδη δὲ καὶ τοὺς πρωτοπαθοῦντας τόπους εἰδέναι παραινεῖ. ἐκ τῆς τούτων ἐπιγνώσεως, οὐ μικρὰν συμβαλλομένης μοῖραν, εἰς σημείωσίν τε καὶ θεραπείαν.

### Ἀντύλλου περὶ τῆς καθ' ἡμέραν διαφορᾶς τῶν ἀέρων.

Ἡμέραν λαμβάνομεν σὺν τῇ νυκτί. ἀναλογίαν δ' αὐτὴν ἔφαμεν ἔχειν τινὰ πρὸς τὸν ἐνιαυτὸν, καθάπερ Ἱπποκράτης ἐν τῇ δευτέρᾳ τῶν ἐπιδημιῶν ἐπεσημειώσατο. ἔστι δὲ ὁ μὲν ὄρθρος, ὑγρὸς καὶ θερμὸς ἔαρι ἐοικώς. διὰ τοῦτο, οἵ τε ὕπνοι εὐκρινεῖς, καὶ τὰ σώματα ἀνεῖται, καὶ τὰ τῶν ὑγιαινόντων, καὶ τὰ τῶν νοσούντων. ὥστε καὶ τοῖς πυρέσσουσιν, εὐφορώτατον εἶναι τόνδε τὸν καιρόν. ἀναθυμιάσεις δὲ ἄνεισι περὶ τὸν ὄρθρον. καὶ αὖραι ποταμῶν ἀποπνέουσιν ὑγραί. καὶ δρόσος ἐπιπίπτει. ἄνθη ἀναβαίνει. καὶ πάντα τὰ ἐκ τῆς γῆς φυόμενα ἀνίησιν. ἔαρι τῆς καταστάσεως τῆς ὀρθρινῆς ἐοικύας. τὰ δὲ μέσα τῆς ἡμέρας, θέρει παρείκασται. τὰ δὲ κατὰ τὴν δείλην, φθινοπώρῳ. διὰ τοῦτο βαρῶν καὶ δυσαρεστημάτων οἰστικὰ, νοσερῶς οὔσης τῆς δείλης, ἀνάλογον φθινοπώρῳ. τῆς δὲ νυκτὸς τὰ μὲν πρῶτα, καὶ τὰ περὶ τὴν ἑσπέ-



Ayuntamiento de Madrid

ραν ὅμοια τῇ δείλῃ. ἐντεῦθεν οὔτε ὕπνου ἐπιτρέπομεν τοῖς κάμνουσι περὶ τὴν δὲ τὴν ὥραν· οὔτε ποτὸν προσφέρομεν· οὔτε ἄλλο προσάγομεν βοήθημα, ἢ μή τι ἕτερον προκαλοῖτο. ὑποφώμενοι τὸν καιρὸν τοῦτον, ὥσπερ καὶ τὸν δειλινόν. τὰ δὲ μέσα τῆς νυκτὸς, χειμῶνι ἐξείκασται. πλεῖστον γὰρ τότε ὁ ἥλιος καθάπερ καὶ ἐν χειμῶνι ἀφέστηκεν ἡμῶν. αἵ τε οὖν ὀδύναι τοῖς νοσοῦσιν, ἰσχυρότεραι τῆς νυκτὸς, εἰκότως διὰ τὴν ψύξιν, πυκνουμένης τῆς ἐπιφανείας, καὶ ἀπολαμβανομένης τῆς κατὰ τὸ ἄδηλον διαπνοῆς. καὶ τὰ ῥεύματα δὲ, καὶ τὰ τῶν ὀφθαλμιώντων, καὶ τὰ τῶν δυσεντερικῶν καὶ κοιλιακῶν. καὶ τὰ αἱματικὰ, ἀπὸ τῆς αὐτῆς προφάσεως ἐπιγίνεται. παντὸς τοῦ ἔσωθότος ἀπιέναι κατὰ τὸ ἀφανὲς εἰς ἕνα τόπον συνδιδομένου τὸν ῥευματιζόμενον. τὰ δὲ τελευταῖα τῆς νυκτὸς διὰ τὴν πρὸς τὸν ὄρθρον γειτνίασιν, τῆς αὐτῆς ἐκείνῳ κράσεως μεταλαμβάνει.

Τοῦ αὐτοῦ ἀντίλλου. περὶ τῶν ἐν τῷ ἀέρι διαφορῶν

Εἰσὶ κατὰ θερμότητα καὶ ψύξιν διαφοραὶ τῶν ἀέρων. ὁ μὲν οὖν θερμὸς, παρέοικε τῇ θερινῇ ὥρᾳ. ὁ δὲ ψυχρὸς, τῇ χειμερινῇ. πρὸς δὲ κἀκεῖνο ἑκάτερος ἔχει. ὁ μὲν ψυχρὸς εὐσαρκίας τε καὶ εὐτροφίας, καὶ πιμελῆς γεννητικός. μεγάλα δὲ καὶ τὰ σώματα ἀπεργάζεται. τοιούτους δὲ ἔστιν ἰδεῖν, καὶ τοὺς τὰ ἀρκτικώτερα κλίματα κατοικοῦντας. πρὸς δὲ τὰ νοσήματα τὰ μὲν ὀξέα, οὐ πάνυ τι ἐπιτήδειος. πρὸς δέ τινα τῶν χρονίων, οἷον φθίσεις καὶ καχεξίας. καὶ παρέσεις. ἐπιληψίας τε καὶ ἀποπληξίας. καὶ πρὸς τὰ ἀρθριτικὰ, ἄθετος. ὁ δὲ θερμὸς ἀὴρ, σωμάτων δαπανητικός. ἰσχναίνων καὶ κατὰ ῥινῶν τὰ συγκείματα. εὐτονίαν μᾶλλον καὶ εὐκινησίαν, ἤπερ ὁ ψυχρὸς παρασκευάζει τοῖς ὑγιαίνουσιν. ἐν δὲ ταῖς νόσοις, ῥᾳδίως ἐξελέγχει τὴν δύναμιν. καὶ νεύροις μὲν καὶ θώρακι, ἀγαθός. τοῖς δὲ ἄλλοις μέρεσιν, οὐ πάνυ χρήσιμος. ἔστι δὲ καὶ κατὰ παχύτητα καὶ λεπτότητα, διαφορὰ τῶν ἀέρων. ὁ μὲν οὖν παχὺς ἀχρεῖος ὢν ὅσον ἐφ' ἑαυτῷ, πλὴν πρὸς τὸ τηρῆσαι δύναμιν σκορπιζομένην ἐπιτήδειος. ὁ δὲ λεπτὸς, ὑγιεινὸς σφόδρα ἐστί. καὶ παρὰ φῶς καὶ σκότος, διαφορὰ τῶν ἀέρων. οἷος δὲ ἑκάτερος, κατανοῆσαι ῥᾴδιον, ἀπὸ τῶν ἔμπροσθεν ἡμῖν περὶ νυκτὸς καὶ ἡμέρας εἰρημένων. δόξει μὲν οὖν τισιν ἀλλότρια εἶναι τοῦ περὶ βοηθημάτων τόπου τὰ εἰρημένα. ἐπεὶ, οὐκ ἐφ' ἡμῖν ἐστι ποιῆσαί τι αὐτῶν. οὐ μὴν ἀλλότριαί γε ἡ παράληψίς τε καὶ χρῆσις καὶ ἀπαγόρευσις, ἐφ' ἡμῖν οὖσαι. τὰ μὲν οὖν πλεῖστα συνίστησιν αὐτῶν ἐν καιρῷ ἕκαστον γινόμενα βοηθήματα. ὅσα δὲ τοιαῦτα μὴ δύναται συστῆναι τὴν κακίαν αὐτῶν ἐμφανίζουσαι, ἔκκλησιν τὴν ἀπ' αὐτῶν ἐν βοηθήματος χώρᾳ τάττειν.

Ayuntamiento de Madrid

# ΛΟΓΟΣ ΕΝΕΝΗΚΟΣΤΟΣ θʹ.

Τοῦ αὐτοῦ περὶ τῆς ἐν ἑκάστῃ τῶν ἐτησίων ὡρῶν διαφορᾶς.

Ἐν ἑκάστῃ τῶν ὡρῶν, τρεῖς διαφοραί. τῶν μέν, πρώτων ὄντων ἑκάστης· τῶν δὲ ὑστάτων· τῶν δέ, μέσων. τὰ μὲν μέσα, τὴν εἰλικρινεστάτην τῆς ὥρας ἔχει κρᾶσιν. τὰ δὲ πρῶτα καὶ ὕστατα, τῇ γειτνιάσει τῶν ὡρῶν ἀφομοιοῦται. αὐτίκα τοῦ ἀέρος, τὰ μὲν πρῶτα μᾶλλον ὑγρά, καὶ ἧσσον θερμά. τὰ δὲ μέσα, θερμὰ καὶ ὑγρὰ ἐπίσης. τὰ δὲ τελευταῖα, ἧσσον ὑγρὰ καὶ μᾶλλον θερμά. τοῦ δὲ θέρους τὰ μὲν πρῶτα θερμότερα. ἡ δὲ ἀπόληξις, ξηρὰ μέν, οὐ πάνυ δὲ ψυχρά. τὰ δὲ μέσα, ξηρὰ καὶ θερμὰ ἐπίσης. τὰ δὲ ὕστατα, ξηρότερα μᾶλλον. ἔλασσον δὲ θερμά. φθινοπώρου δέ, ἡ μὲν ἀρχή, ξηροτέρα, καὶ οὐ πάνυ ψυχρά. ἡ δὲ μεσότης, ἐπίσης ξηρὰ καὶ ψυχρά. τὰ δὲ ὕστατα, ψυχρότερα μέν, ἔλασσον δὲ ξηρά. ἀνάλογον δὲ καὶ χειμῶνος. τὰ μὲν πρῶτα, ψυχρὰ μᾶλλον. τὰ δὲ ὕστατα, ὑγρὰ μᾶλλον. τὰ δὲ μέσα ἐπίσης ὑγρὰ καὶ ψυχρά.

Τοῦ αὐτοῦ περὶ τόπων καὶ τῶν ἐν αὐτοῖς ἀέρων.

Οἱ ὑψηλοὶ τῶν τόπων, ὑγιεινότεροι, τοῦ ἀέρος ἐν αὐτοῖς μένοντος, ἀλλὰ περιχεομένου, καὶ ἀπὸ τῶν ἀνέμων συνεχὲς ἀπαιθουμένου. εὔπνοοί τε δὴ καὶ διαθέσεσι πάσαις ἐπιτήδειοι τοῖς περὶ θώρακα. καὶ κεφαλὴν πεπονθόσι, καὶ τοῖς αἰσθητηρίοις πᾶσιν. οἱ δὲ ταπεινοί, τοῖς μὲν προειρημένοις, ἀνάρμοστοι. διαφορουμένοις δέ, ἢ καὶ συγκοπτομένοις, ἐπιτήδειοι. καὶ γέρουσι δὲ ἁρμόζουσι μᾶλλον τῶν ὑψηλῶν. οἱ δὲ παραθαλάττιοι τόποι, τοῖς τε ὑδρωπικοῖς ὑπὸ ῥεύματος ὁπωσοῦν ἐνοχλουμένοις ἁρμόδιοι. καὶ ὅπου διαμύξαι, ἢ θάλψαι, ἢ ἀναστομῶσαι. ἀγαθοὶ δὲ καὶ νεφριτικοῖς, ἢ ἀρθριτικοῖς πᾶσιν. ἐπιτήδειοι δὲ καὶ τοῖς ὄρεξιν κεκακωμένοις. οἱ δὲ μεσόγειοι, ψυχρότεροι τῶν παραθαλαττίων. καὶ πρὸς μὲν τὰ ὀξέα νοσήματα ἐάν γε μὴ ἑλώδεις ὦσι, μηδὲ κοῖλοι, κρείττους τῶν παραθαλαττίων. πρὸς δὲ τὰ χρόνια, χείρους. οἱ δὲ ἑλώδεις, κακοὶ μὲν ἀεί. θέρους δέ, καὶ λοιμώδεις. οἱ δὲ πετρώδεις, θέρους μέν, πνιγώδεις. χειμῶνος δέ, χαλεπῶς ψυχροί. οὐ φαῦλοι δὲ πρὸς ὑγείαν. οἱ δὲ παραποτάμιοι, ψυχροὶ καὶ ἀνώμαλοι. ἀφοδίαις μόναις ἐπιτήδειοι ταῖς δι' ὑγρότητα συνισταμέναις. χείρους δὲ τούτων, οἱ τελματώδεις. οὐ γὰρ μόνον φαῦλον τὸν ἀέρα κατασκευάζουσιν, ἀλλὰ καὶ τοὺς καρπούς κακίους. στόμαχόν τε λυμαίνονται. καὶ τὰ σπλάγχνα, σκληροῦσι καὶ καχεξίας. καὶ κακοχυμίας, καὶ ὕδρωπας ἀποτελοῦσι. κακοὶ γὰρ δὲ καὶ οἱ πρὸς μετάλλοις τισὶν ὑφεστῶτες. ξηροὶ γὰρ καὶ πνιγώδεις. οἱ δὲ βαθύγειοι, εὐχυμότεροι ὄντες, ταῖς ξηροτέραις ἁρμόζουσι διαθέσεσιν. οἱ δὲ ἀργιλλώδεις, διαλυτικοὶ τοῦ στομάχου. ἔκλυτον ἔχοντες τὴν ἀναθυμίασιν. οἱ δὲ πυρόγειοι, ξηραντικώτεροι τούτων. οἱ δὲ μελάγγειοι, πάντες ἄριστοι.



Ayuntamiento de Madrid

Ξενοφῶντος ἐν πρώτῳ ἀπομνημονευμάτων.

Α λλὰ μὴν καὶ τοῦ σώματος, αὐτός τε οὐκ ἠμέλει· τούς τε ἀμελοῦντας, οὐκ ἐπῄνει. τὸν μὲν οὖν ὑπερεσθίοντα, ὑπερπονεῖν ἀπεδοκίμαζε. τὸν δὲ ὅσα ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε. ταύτην γὰρ τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι, καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν, οὐκ ἐμποδίζειν.

Σ ωκράτης παρῄνει, φυλάττεσθαι τῶν βρωμάτων· ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει· καὶ τῶν πομάτων, ὅσα πίνειν μὴ διψῶντας.

Γ οργίας ἐρωτηθεὶς, ποίᾳ διαίτῃ χρώμενος εἰς μακρὸν γῆρας ἦλθεν· οὐδὲν οὐδέποτε ἔφη πρὸς ἡδονὴν, οὔτε φαγὼν, οὔτε δράσας.

Ἱπποκρ. Σ ιτία· ποτά· ὕπνοι· ἀφροδίσια· πάντα μέτρια.

Ξενοφῶντος. Τ οιοῦτον τοίνυν ἐστὶν ὦ Χαρμίδη· τὸ ταύτης τῆς ἐπῳδῆς. ἔμαθον δὲ αὐτὴν ἐγὼ ἐκεῖ ἐπὶ στρατείας, παρά τινος τῶν Θρᾳκῶν, τῶν Ζαμόλξιδος πολιτῶν· οἳ λέγονται ἀπαθανατίζειν. ἔλεγε δὲ ὁ Θρᾷξ οὕτως· ὅτι ταῦτα μὲν δὴ οἱ Ἕλληνες ἰατροί, ἃ νῦν δὴ ἐγὼ ἔλεγον, καλῶς λέγοιεν· ἀλλὰ Ζάμολξις ἔφη λέγειν, ὁ ἡμέτερος βασιλεὺς θεὸς ὤν, ὅτι ὥσπερ ὀφθαλμοὺς ἄνευ κεφαλῆς οὐδεὶς ἐπιχειρεῖ ἰᾶσθαι, οὐδὲ κεφαλὴν ἄνευ σώματος, οὕτως οὐδὲ σῶμα ἄνευ ψυχῆς· ἀλλὰ τοῦτο καὶ αἴτιον εἴη τοῦ διαφεύγειν τοὺς παρὰ τοῖς Ἕλλησιν ἰατρούς, τὰ πολλὰ νόμιμα· ὅτι τοῦ ὅλου ἀμελοῖεν, οὗ δεῖ τὴν ἐπιμέλειαν ποιεῖσθαι· οὗ μὴ καλῶς ἔχοντος, ἀδύνατον εἴη τὸ μέρος ἔχειν. πάντα γὰρ ἔφη ἐκ τῆς ψυχῆς ὡρμῆσθαι, καὶ τἀγαθὰ καὶ τὰ κακὰ τῷ σώματι, καὶ παντὶ τῷ ἀνθρώπῳ. κἀκεῖθεν ἐπιρρεῖν ὥσπερ ἐκ τῆς κεφαλῆς ἐπὶ τὰ ὄμματα. δεῖν οὖν ἐκεῖνο καὶ πρῶτον καὶ μάλιστα θεραπεύειν, εἰ μέλλει, καὶ τὰ τῆς κεφαλῆς, καὶ τὰ τοῦ ἄλλου σώματος καλῶς ἔχειν. θεραπεύεσθαι δὲ τὴν ψυχὴν ἔφη, ὦ μακάριε ἐπῳδαῖς τισι. τὰς δ' ἐπῳδὰς ταύτας, τοὺς λόγους εἶναι τοὺς καλούς. ἐκ δὲ τῶν τοιούτων λόγων ταῖς ψυχαῖς σωφροσύνην ἐγγίγνεσθαι. ἧς ἐγγενομένης καὶ παρούσης, ῥᾴδιον ἤδη εἶναι τὴν ὑγίειαν καὶ τῇ κεφαλῇ καὶ τῷ ἄλλῳ σώματι πορίζειν.

Τοῦ αὐτοῦ νόμων ζ'. Ο τι τὰ σώματα ὑπὸ τῶν σεισμῶν τε καὶ κινήσεων κινούμενα ἄκοπα, ὀνίναται πάντων. ὅσα τε ὑπὸ ἑαυτῶν ἢ καὶ ἐν αἰώραις, ἢ καὶ κατὰ θάλατταν. ἢ καὶ ἐφ' ἵππων ὀχουμένων, καὶ ὑπ' ἄλλων ὁποσοῦν δὴ φερομένων τῶν σωμάτων κινεῖται. καὶ διὰ ταῦτα τὰς τῶν σίτων τροφὰς καὶ ποτῶν κατακρατοῦντα, ὑγίειαν καὶ κάλλος καὶ τὴν ἄλλην ῥώμην ἡμῖν, δυνατά ἐστι παραδιδόναι.

Ξενοφῶντος. Η γὰρ κατὰ μικρὸν ὑπάλλαξις, πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς. διδάσκει δὲ καὶ ὁ θεὸς ἀπάγων ἡμᾶς κατὰ μικρὸν, ἔκ τε τοῦ χειμῶνος εἰς

νος εἰς

Ayuntamiento de Madrid

τος εἰς τὸ ἀνέχεσθαι ἰσχυρὰ θάλπη· καὶ ἐκ τοῦ θάλπους, εἰς τὸν ἰσχυρὸν χειμῶνα· ὃν χρὴ μιμουμένους, εἰς ὃ διελθεῖν προσειθισμένους ἡμᾶς ἀφικνεῖσθαι.

Κατὰ δὲ ταυτὰ ταῦτα, καὶ τὰ μέρη θεραπευτέον· τὸ τοῦ παντὸς ἀπομιμούμενον εἶδος. τοῦ γὰρ σώματος ὑπὸ τῶν εἰσιόντων καιομένου ἐντὸς καὶ ψυχομένου, καὶ πάλιν ὑπὸ τῶν ἔξωθεν ξηραινομένου καὶ ὑγραινομένου, καὶ τὰ τούτοις ἀκόλουθα πάσχοντος ὑπ' ἀμφοτέρων τῶν κινήσεων, ὅταν μέν τις ἡσυχίαν ἄγων τὸ σῶμα παραδιδῷ, ταῖς κινήσεσι κρατηθὲν διώλετο. ἐὰν δὲ τήν τε τροφὸν καὶ τιθήνην τούτου παντὸς προσείπωμεν, μιμῆταί τις καὶ τὸ σῶμα, μάλιστα μὲν μηδέποτε ἡσυχίαν ἄγειν ἐᾷ. κινεῖ δὲ καὶ σεισμοὺς ἀεί τινας ἐμποιῶν αὐτῷ διαπαντὸς τὰς ἐντὸς καὶ ἐκτὸς ἀμύνεται κατὰ φύσιν κινήσεις. καὶ μετρίως σείων, τά τε περὶ τὸ σῶμα πλανώμενα παθήματα. καὶ μέρη κατὰ ξυγγενείας εἰς τάξιν κατακοσμῇ πρὸς ἄλληλα, κατὰ τὸν πρόσθεν λόγον. ὃν περὶ τοῦ παντὸς ἐλέγομεν. οὐκ ἐχθρὸν παρὰ ἐχθρὸν τιθέμενον ἐᾶσθαι, πολέμους ἐντίκτειν τῷ σώματι καὶ νόσους· ἀλλὰ φίλον παρὰ φίλον τεθὲν ὑγίειαν ἀπεργαζόμενον παρέξει. τῶν δ' αὖ κινήσεων, ἡ ἐν αὐτῷ ὑφ' ἑαυτῷ ἀρίστη· μάλιστα γὰρ τῇ διανοητικῇ καὶ τῇ τοῦ παντὸς κινήσει ξυγγενεῖ· ἡ δὲ ὑπ' ἄλλου χείρων, οὐχ ὁμοία· χειρίστη δὲ ἡ κινουμένου τοῦ σώματος καὶ ἄγοντος ἡσυχίαν, δι' ἑτέρων αὐτὸ κατὰ μέρη κινοῦσα. διὸ δὴ τῶν καθάρσεων καὶ συστάσεως τοῦ σώματος. ἡ μὲν διὰ τῶν γυμνασίων, ἀρίστη. δευτέρα δὲ, ἡ διὰ τῶν αἰωρήσεων, κατά τε τοὺς πλοῦς, καὶ ὅπῃπερ ἂν ὀχήσεις ἄκοποι γίνωνται. τρίτον δὲ εἶδος κινήσεως, σφόδρα ποτε ἀναγκαζομένῳ, χρήσιμον. ἄλλως δὲ οὐδαμῶς τῷ νοῦν ἔχοντι προσδεκτέον, τὸ τῆς φαρμακευτικῆς καθάρσεως γιγνόμενον ἰατρικόν. Πλάτωνος

Ε δη τῶν βοηθημάτων κατὰ γένη τέσσαρα. τὰ μὲν ποιούμενα τὴν ὠφέλειαν ἔχοντα ἐν τῇ τοῦ κάμνοντος ἐνεργείᾳ. τὰ δὲ προσφερόμενα ἐν τροφῆς καὶ ποτοῦ μέρει, λαμβανόμενα. τὰ δὲ κενούμενα, ὅσα ἐξάγονταί τι τοῦ σώματος βοηθεῖ. ἔστι δὲ καὶ περὶ τῶν κινουμένων τοῖς δυσχολοῦσι, πολλή τις ἀκριβολογία. τί δήποτε δὲ οὐχὶ κενοῦντα ἀλλὰ κενούμενα ὠνόμασαι. τὰ δὲ ἐστὶν ἔξωθεν προσπίπτοντα τῶν βοηθημάτων. Ἀντύλλου.

Τῶν ἔξωθεν προσπιπτόντων βοηθημάτων. τὰ μέν ἐστι λεπτομερῆ. τὰ δὲ, παχυμερῆ, λεπτομερῆ μὲν, ἀήρ τε καὶ ὅσα ἀέρος εἴδη. παχυμερῆ δὲ, τὰ συνεστῶτα. τῶν δὲ παχυμερῶν, τὰ μὲν γεώδη· τὰ δὲ, ὑδατώδη. γεώδη μὲν, καταπλάσματα καὶ μαλάγματα. ὑδατώδη δὲ, λουτρὰ καὶ καταντλήσεις, καὶ ἐμβροχαί. Τοῦ αὐτοῦ



Ayuntamiento de Madrid

Τοῦ αὐτοῦ. Ἀέρων διαφοραὶ, πλείους. αἱ μὲν γὰρ παρὰ τὰς ὥρας τὰς ἐτησίους. αἱ δὲ, παρὰ τὰς μηνιαίους παραλλαγάς. αἱ δὲ, παρὰ τὰς μεταβολὰς τὰς ἡμερησίους τε καὶ νυκτερινάς. αἱ δὲ παρὰ παχύτητα καὶ λεπτότητα. αἱ δὲ, παρὰ κίνησιν ἢ στάσιν. αἱ δὲ, παρὰ κίνησιν καὶ ἀναμίξιν γεωδῶν ἀναθυμιάσεων. εἰσὶ δὲ καὶ ἄλλαι μικρότεραι διαφοραὶ, δυνάμεναι τὴν ἀναφορὰν ἐπὶ τὰς ἐγκειμένας λαμβάνειν.

Τοῦ αὐτοῦ. περὶ τῆς κατὰ μῆνα τῶν ἀέρων διαφορᾶς.

Ἐργάζεται δὲ διαφορὰς ἐν τῷ ἀέρι, παραπλησίως τῷ ἀέρι καὶ ἡ σελήνη περιιοῦσα τὸν τῶν ζωδίων κύκλον. ἐργάζεται δὲ καὶ αὕτη τέσσαρας ὥρας μηνιαίους, ἀναλογούσας ταῖς ἐτησίοις. ἑβδοματικῷ δὲ ἀριθμῷ περικυκλουμένας. ἡ μὲν οὖν πρώτη τοῦ μηνὸς ἑβδομὰς, ἀρχὴν μὲν ἀπὸ νεομηνίας ἔχει. πρόεισι δὲ μέχρι διχοτόμου. ἔστι δὲ ἐοικυῖα ἔαρι. ὑγρὰ γὰρ καὶ θερμή. ἐντεῦθεν καὶ τὸ περιέχον ἐν τῷ καιρῷ τούτῳ, ὑγρότεροι καὶ ὄμβροι τηνικαῦτα ὡς ἐπίπαν καταρρήγνυνται, καὶ οὗτοί γε ὑγροὶ καὶ γονιμώτατοι παραπλησίως τοῖς ἐαρινοῖς. ἡ δὲ δευτέρα ἑβδομὰς, ἄρχεται μὲν, ἀπὸ διχοτόμου. πρόεισι δὲ ἄχρι πανσελήνου. θέρει δὲ παραπλήσιος. διὰ τοῦτο, ὅτι καρποὺς πέπαινει μάλιστα. ἡ τε μὴν μετὰ πανσέληνον ἑβδομὰς, ἕως διχοτόμου. φθινούσης τῆς σελήνης ξηρὰ καὶ φθινοπώρῳ παραπλήσιος. ἡ δὲ τελευταία, χειμῶνι ἔοικεν. ὅσα οὖν αἱ τοῦ ἐνιαυτοῦ ὧραι ἐπιφέρουσι, τοσαῦτα καὶ παρὰ τῶν μηνιαίων ἡγητέον ἀπαντᾶν. ἐκεῖνο μέντοι προσδιαληπτέον, ὅτι ὁ μὲν ἥλιος κατὰ τὴν αὐτοῦ δύναμιν θερμαίνει τὰ σώματα. ἡ δὲ σελήνη μᾶλλον ὑγραίνει. παρὰ ταύτην οὖν τὴν αἰτίαν, τούς τε ἐγκεφάλους διεροτέρους ἀποτελεῖ, καὶ τὰ κρέα σήπει. καὶ τὰ σώματα τῶν αἰθριοκοιτούντων, ὑγρότερα καὶ ἀμβλύτερα ἀπεργάζεται. καὶ καρηβαρείας καὶ ἐπιληψίας κινεῖ κατὰ τὴν ὁμοίαν αἰτίαν.

Ayuntamiento de Madrid

# ΠΕΡΙ ΙΑΤΡΩΝ, ΚΑΙ ΙΑΤΡΙΚΗΣ.

## ΛΟΓΟΣ ἑκατοστός.

Ἰατρὸς γὰρ ἀνὴρ, πολλῶν ἀντάξιος ἄλλων.
ἰούς τ' ἐκτάμνειν ἐπί τ' ἤπια φάρμακα πάσσειν. Ὁμήρου.

Μέλλον τ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον.
ἰάσατ' ἤδη μᾶλλον, ἢ τεμὼν χρόα. Εὐριπίδου

Οἷα δὴ φιλοῦσιν οἱ ἰατροὶ λέγειν. Μνημνέρμου
τὰ φαῦλα μείζω, καὶ τὰ δεινὰ ὑπὲρ φόβον
πυργοῦντες αὐτοὺς ἄνθρωπον ὄντα
ῥᾴδιον παραινέσαι ἐστί.
ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον.

Τεκμήριον δὲ τοὺς ἰατροὺς οἶδ' ἐγώ. Φιλήμονος.
ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
πάντας λαλοῦντας. εἶτ' ἐὰν πταίσωσί τι,
αὐτοὺς ποιοῦντας πάνθ' ὅσ' οὐκ εἴων τότε.
ἑτέρων τό, τ' ἀλγεῖν καὶ θεωρεῖν ἔστ' ἴσως.

Οὔτε γὰρ ἰατρὸς οὐδὲ εἷς ἂν εὖ σκοπῇς
τοὺς αὐτὸς αὑτοῦ βούλεθ' ὑγιαίνειν φίλους.
οὔτε στρατιώτης πόλιν ὁρᾶν, ἄνευ κακοῦ.

Τίς ἐστιν οὗτος ἰατρός. ὡς κακῶς ἔχει
ἅπας ἰατρὸς, ἂν κακῶς μηδεὶς ἔχῃ.
μόνῳ δ' ἰατρῷ τοῦτο καὶ συνηγόρῳ.
ἔξεστιν ἀποκτείνειν μὲν, ἀποθνήσκειν δὲ μή.

Καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε. ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε. καὶ γὰρ ἐκεῖνα οὔτε ἰσχὺν ἐντίθησιν, οὔτ' ἀποθνήσκειν ἐᾷ. Δημοσθένους.

Τῶν δ' ἐλευθερίων τεχνῶν ἰατρική. τὸ μὲν γλαφυρὸν καὶ περιττὸν καὶ ἐπιτερπὲς, οὐδεμιᾶς ἐνδεέστερον ἔχει. θεωρητικὸν δὲ μέγα τοῖς φιλομαθοῦσι, τὴν σωτηρίαν καὶ τὴν ὑγείαν.

Τρόφιλος ἰατρὸς ἐρωτηθεὶς τίς ἂν γένοιτο τέλειος ἰατρὸς, ὁ τὰ δυνατὰ ἔφη καὶ τὰ μὴ δυνατὰ δυνάμενος διαγινώσκειν.



Ayuntamiento de Madrid

## ΛΟΓΟΣ ρα'.

Ὁμήρου. Ἥβης τερπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι.
ὄλβον ἐπικλῶσαι γαμέοντί τε γινομένῳ τε.
αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισι
υἱέας δ᾽ αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους.

Βακχυλίδου. Ὄλβιος ᾧ τινι θεὸς μοῖράν τε καλῶν ἔπορε
σύν τ᾽ ἐπιζήλῳ τύχᾳ ἀφνεὸν βιοτὰν διάγειν.
οὐ γάρ τις ἐπιχθονίων πάντ᾽ εὐδαίμων ἔφυ.

Καρκίνου. Ἀσκεῖν μὲν ἀρετήν. εὐτυχεῖν δ᾽ αἰτεῖν θεούς.
ἔχων γὰρ ἄμφω ταῦτα, μακάριος θ᾽ ἅμα.
κεκλημένος ζῆν κἀγαθὸς δυνήσεται.

Καλλιμ. Οὔτ᾽ ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν.

Σοφοκλέ. Εὐδαίμονες, οἷσι κακῶν ἄγευστος αἰών.

Πινδάρου. Εὐδαίμων δραπέτας, οὐκ ἔστιν ὄλβιος.

Μενάνδρου. Μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει.
χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς.

Θεόγνιδος. Κάλλιστον τὸ δικαιότατον. λῷστον δ᾽ ὑγιαίνειν.
ἥδιστον δὲ τυχεῖν, ὧν τις ἕκαστος ἐρᾷ.

Σκληείου. Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ.
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι.
τρίτον δὲ πλουτεῖν ἀδόλως. εἶτα
τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

Σοφοκλέ. Ἐνδὸς κήποις ἀροῦσθαι μόνοι εὐδαίμονας ὄλβους.

Θεόγνιδος. Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισι
κύρν᾽ ἀρετῆς δ᾽ ἄλλης οὐδεμιᾶς ἔραμαι.

Σωτάδου. Ὁ πένης ἐλεεῖται, ὁ δὲ πλούσιος, φθονεῖται. ὁ μέσος δὲ βίος κεκραμένος, δίκαιός ἐστιν, ἀσφάλεια γὰρ πρὸς πᾶσιν, ἡδονὴ δικαία.

Θεόγνιδος. Εἴη μοι πλουτοῦντι κακῶν ἀπάτερθε μεριμνῶν,
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.
οὐκ ἔραμαι πλουτεῖν. οὐδ᾽ εὔχομαι. ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.



Ayuntamiento de Madrid

Κάλλιστόν ἐστι, τοὔνδικον πεφυκέναι·
λῷστον δὲ ζῆν ἄνοσον· ἥδιστον δ᾽ ὅτῳ
πάρεστι λῆψις ὧν ἐρᾷ καθ᾽ ἡμέραν. Σοφοκλέ.

Εὐτυχὴς, ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος· δυστυχὴς δὲ, ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος. Δημοκρίτου.

Σωκράτης ἐρωτηθεὶς, τί εὐδαιμονία, ἡδονὴ ἀμεταμέλητος ἔφη.

Σωκράτης ἐρωτηθεὶς τίνες εὐδαίμονες, εἶπεν· οἷς καὶ φρένες ἀγαθαὶ, καὶ λόγος πρόσεστιν.

Εὐδαιμονία γὰρ μία ἐστὶ, τὸ εὐφραίνεσθαι ἀληθινῶς καὶ μηδέποτε λυπεῖσθαι· ἐν ὁποίῳ δ᾽ ἂν τόπῳ ἢ καιρῷ ᾖ τις. Διογένους.

Εὐδαιμονίαν δὲ ταύτην εἶναι φαμὲν ἀληθινὴν, τὸ τὴν διάνοιαν καὶ τὴν ψυχὴν ἀεὶ ἐν ἡσυχίᾳ καὶ ἱλαρότητι διατελεῖν. Τοῦ αὐτοῦ.

Ὁ δ᾽ ἐπ᾽ ἄκρον φησὶ προκόπτων, ἅπαντα πάντως ἀποδίδωσι τὰ καθήκοντα· καὶ οὐδὲν παραλείπει. τὸν δὲ τούτου βίον, οὐκ εἶναί πω φησὶν εὐδαίμονα· ἀλλ᾽ ἐπιγίνεσθαι αὐτῷ τὴν εὐδαιμονίαν, ὅταν αἱ μέσαι πράξεις αὗται προσλάβωσι τὸ βέβαιον καὶ ἑκτικὸν καὶ ἰδίαν πῆξιν τινὰ λάβωσιν. Χρυσίππου.

Εὐδαίμων ἐστὶν, ὁ θεῷ κατὰ τὸ δυνατὸν ὅμοιος· τέλειος· ἁπλοῦς· καθαρός· ἐξηρτημένος ἀπὸ τῆς ἀνθρωπίνης ζωῆς. Ἰαμβλίχου

Ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα ἢ ἐγγὺς τούτου· καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις φορῆται· ἐξ ὧν ἢ εὖ, ἢ κακῶς πραξάντων, πλανᾶσθαι ἠνάγκασται· καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα παρεσκεύασται ζῆν. Πλάτωνος

Τὸν εὐθυμεῖσθαι μέλλοντα, χρὴ μὴ πολλὰ πράσσειν· μήτε ἰδίῃ, μήτε ξυνῇ· μηδὲ ὅσ᾽ ἂν πρήσσῃ ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν· ἀλλὰ τοσαύτην ἔχειν φυλακὴν, ὥστε καὶ τῆς τύχης ἐπιβαλούσης, καὶ ἐς τὸ πλέον ὑφηγεομένης τῷ δοκεῖν, κατατίθεσθαι, καὶ μὴ πλέω προσάπτεσθαι τῶν δυνατῶν· ἡ γὰρ εὐογκίη, ἀσφαλέστερον τῆς μεγαλογκίης. Δημοκρίτου.

Τῶν ζώων τὰ μὲν, ἐντὶ δεκτικὰ τᾶς εὐδαιμονίας, τὰ δὲ, ἄδεκτα. καὶ δεκτικὰ μὲν, ὅσα λόγον ἔχει· ἁ μὲν γὰρ εὐδαιμονία, οὐκ ἄτερ ἦεν ἀρετᾶς· ἁ δὲ ἀρετὰ ἐγγίνεται, τῷ λόγον ἔχοντι πρῶτον· ἄδεκτα δὲ, ὁ ψιος ἔργον· ἢ τὰς ὄψιος ἀρετάν· οὔτε τῷ λόγῳ ἄμοιρον, ἢ τὸ τῷ λόγῳ ἔχοντος ἔργον· ἢ τὰν τῷ λόγον ἔχοντος ἀρετάν· ὁ δ᾽ εὐδαιμονία καὶ ἀρετᾶ τῷ λόγον ἔχοντι κτώμενος ἔργον· τῷ δ᾽ ὡς τέκνα τις ἐντι· τῶν δὴ λόγον ἐχόντων ζώων· τὰ μὲν Ἱπποδάμου Θουρίου ἐκ τοῦ περὶ εὐδαιμονίας.

Ayuntamiento de Madrid

ἐντι ἀλλοτελέα· ὅσα δ' αὐτὰ τέλεά ἐντι καὶ οὐδενὸς ἐπιδεῆ τῶν ἔξωθεν· οὔτε ποτὶ τὸ ἦμεν, οὔτε ποτὶ τὸ καλῶς ἦμεν· τοιοῦτος δέ κεν εἴη ὁ θεός· οὐκ ἀλλοτελέα δέ, ὅσα μὴ δι' ἄλλα τέλεά ἐστι. ποτιδέεται καὶ τᾶς ἔξωθεν αἰτίας· τοιοῦτος δέ κεν εἴη ὁ ἄνθρωπος· τῶν δὴ οὐκ ἀλλοτελέων, τὰ μέν ἐστι τέλεα, τὰ δ' οὐ τέλεα· καὶ τέλεα μέν, ὅσα καὶ παρὰ τὴν ἄλλων αἰτίαν, καὶ παρὰ τὰς ἔξωθεν αἰτίας γίνονται· καὶ παρὰ μὲν τῶν ἄλλων, τῶ καὶ φύσιν ἀγαθὰν καὶ προαίρεσιν ποτενέγκασθαι· παρὰ δὲ τᾶν ἔξωθεν, τῶ εὐνομίαν καὶ ἐπιστάτας ἀγαθὼς λαβεῖν· οὐ τέλεα δέ, τὰ ἤτοι μηδ' ἑτέρω τούτων κοινωνάσαντα, ἢ τινὸς ἄλλων, ἢ τὸ καθόλου φαῦλα ὑπάρχοντα· κατὰ τὸν γὰρ τρόπον τᾶς ψυχᾶς· τοιοῦτος δὲ καὶ εἴη θάτερος ἄνθρωπος· τῶν γὰρ τελέων ἀνθρώπων διοιαὶ διαφοραί· τοὶ μὲν γὰρ ἐντιν αὐτῶν κατὰ τὰν φύσιν τέλειοι· τοὶ δέ, κατὰ τὸν βίον· καὶ κατὰ τὰν φύσιν μέν, μόνοι τοὶ ἀγαθοί· οὗτοι δὲ κ' εἶεν, τοὶ ἔχοντες τὰν ἀρετάν· ἁ γὰρ ἀρετὰ τᾶς ἑκάστου φύσιος καὶ ἀκρότας, καὶ τελειότας ἐντί· ἁ μὲν τῶ ὀφθαλμῶ, τᾶς τῶ ὀφθαλμῶ φύσιος, ἀκρότας καὶ τελειότας· ἁ δὲ τῶ ἀνθρώπω, τᾶς τῶ ἀνθρώπω φύσιος καὶ ἀκρότας καὶ τελειότας· κατὰ τὸν βίον δὲ τέλειοι· τοὶ μὴ μόνον ἀγαθοὶ ὄντες, ἀλλὰ καὶ εὐδαίμονες· ἁ μὲν γὰρ εὐδαιμονία, τελειότας ἐντὶ βίω ἀνθρωπίνω· ὁ δὲ βίος ὁ ἀνθρώπινος, σύστημα τῶν πράξεων· ἁ δ' εὐδαιμονία, συμπεραίνουσα τὰς πράξιας· συμπεραίνει δὲ τὰς πράξιας, ἀρετὰ καὶ τύχα· τὰ μὲν ἀρετά, κατὰ τὰν χρῆσιν· τὰ δ' εὐτυχία κατὰ τὰν κατόρθωσιν· ὁ μὲν ὦν θεὸς οὔτε μαθὼν παρά τινος τὰν ἀρετάν, ἀγαθὸς ἐγένετο, οὔτε ἐπισυναρξαμένας αὐτῷ τᾶς τύχας εὐδαίμων· φύσει γὰρ ἦν ἀγαθός, καὶ φύσει εὐδαίμων· καὶ ἀεὶ ἦν, καὶ ἐσσεῖται· καὶ οὐδέποκα ὑπολείψει τοιοῦτος ἐών, ἄφθαρτος ἐών, καὶ φύσει ἀγαθός· ὁ δὲ ἄνθρωπος, οὔτε τᾷ φύσει εὐδαίμων, ἀλλὰ μαθήσιος καὶ προνοίας ποτιδέεται· ποτὶ μὲν τὸ γενέσθαι ἀγαθός, τᾶς ἀρετᾶς· ποτὶ δὲ τὸ γενέσθαι εὐδαίμων, τᾶς εὐτυχίας· καὶ διὰ τοῦτο ἐκ δύο τούτων, ἁ ἀνθρωπίνα εὐδαιμονία, συγκεφαλαιοῦται, ἐπαίνω τε καὶ μακαρισμῶ· ἐπαίνω μέν, τῶ ἐξ ἀρετᾶς· μακαρισμῶ δὲ τῶ ἐξ εὐτυχίας· τὰν μὲν ὦν ἀρετὰν ἔχει, διὰ τὰν θείαν μοῖραν, τὰν δ' εὐτυχίαν, διὰ τὰν θνατάν· ἐξήρηται δὲ τὰ μὲν θνατά, ἀπὸ τῶν θεῶν· καὶ τὰ ἐπὶ γῆς τῶν οὐρανίων· τὰ δὲ χείρονα, ἀπὸ τῶν βελτιόνων· καὶ διὰ τοῦτο ὁ μὲν ἑπόμενος τοῖς θεοῖς ἀγαθός, εὐδαιμονεῖ· ὁ δὲ ἑπόμενος τοῖς θνατοῖς, κακοδαιμονεῖ· τῷ μὲν γὰρ τὰν φρόνασιν ἔχοντι, ἀγαθὸν εὐτυχία καὶ χρήσιμον· καὶ ἀγαθὸν μέν, διὰ τὰν γνῶσιν τᾶς χρήσιος· ὠφέλιμον δέ, διὰ τὸ συνεργεῖν ταῖς πράξεσι· καλὸν οὖν ὅκα εὐτυχία τε-

Ayuntamiento de Madrid

ρῇ τῷ νῷ, ὥσπερ οὐρίῳ ἀνέμῳ θέοντα ποτὶ τὰν ἀρετὰν ἀποβλέποντα ποιεῖσθαι τὰς πράξιας. ὥσπερ καὶ τὸν κυβερνάταν ποτὶ τὰς τῶν ἄστρων κινήσιας. οὕτω γὰρ οὐ μόνον ἀκολουθήσει τῷ θεῷ, ἀλλὰ καὶ συντάξει τὸ ἀνθρώπινον ἀγαθὸν ποτὶ τὸ θεῖον. καὶ μὰν καὶ τοῦτό γε φανερὸν, ὅτι ἐκ διαθέσιος καὶ πράξιος βίος διαφέρων γίνεται. ἀνάγκα δὲ τὰν μὲν διάθεσιν, ἢ σπουδαίαν ἢ φαύλαν ἦμεν. τὰν δὲ πρᾶξιν, ἢ εὐδαίμονα. ἢ κακοδαίμονα. καὶ σπουδαίαν μὲν τὰν ἀρετᾶς μετειληφυῖαν. φαύλαν δὲ, τᾶς κακίας. τὰς δὲ πράξιας, εὐδαίμονας μὲν ἐν τᾷ εὐτυχίᾳ. συμπταίνονται γὰρ ποτὶ τὸν λόγον, κακοδαίμονας δ' ἐν τᾷ δυστυχίᾳ. ἀποτυγχάνοντι γὰρ τῶ συμπεράσματος. διόπερ οὐ μόνον μαθεῖν δεῖ τὰν ἀρετὰν, ἀλλὰ καὶ κτήσασθαι καὶ χρήσασθαι αὐτᾷ. ἤτοι ἐς ἀσφαλακίαν, ἢ ἐς συναύξασιν, ἢ καὶ μέγιστον, ἐς ἐπανόρθωσιν οἴκων καὶ πολίων. οὐ γὰρ μόνον τὰν κτᾶσιν ἔχεν δεῖ τῶν καλῶν, ἀλλὰ καὶ τὰν ὄνασιν. ταῦτα δὲ πάντα ἐσσεῖται, αἴ κα πόλιος εὐνομίας τύχῃ ὁ ἄνθρωπος. καὶ ταῦτα μὲν ἐγὼ φαμὶ ἦμεν, τὸ ὀνομαζόμενον ἀμαλθείας κέρας. ἐν εὐνομίᾳ γὰρ τὰ πάντα ἐντί. καὶ ἄνευ ταύτας, οὔτε γίνεται τὸ μέγιστον τᾶς ἀνθρωπίνας φύσιος ἀγαθὸν, οὔτε γενναθὲν καὶ αὐξαθὲν, δύναιτο καὶ διαμένεν. καὶ γὰρ τὰν ἀρετὰν καὶ τὰν φορὰν ποτὶ ταν ἀρετὰν, αὐτὰ ἀμπέχει. τῶ καὶ φύσιας ἀγαθὰς γεννᾶσθαι κατ' αὐτάν. καὶ ἤθεα δὲ καὶ ἐπιτηδεύματα καὶ νόμως εἶμεν τὼς ἀρίστως. ἔτι δὲ λόγως ὀρθογνώμονας, καὶ εὐσέβειαν δὲ καὶ ὁσιότητα, ποτὶ τὰ τιμιώτατα. ὥστε τῷ μέλλοντι εὐδαιμονήσειν, καὶ ὀρθόπλοον ἕξειν τὸν αὐτῶ βίον, εὐνομίας ὑπαρχούσης. καὶ διαπρᾶσαι δεῖ καὶ διελθεῖν αὐτὸν, εὐνομίαν καταλιπόντα. ἅμα δὲ καὶ ἀνάγκαν ἐπαμφέρει ὁ λόγος τοῖσιν ἔμπροσθεν ἀρημένοις. ὁ γὰρ ἄνθρωπος, κοινωνίας μέρος ἐντί. καὶ σὺν τούτοις ὁλόκλαρος γίνεται κατ' αὐτὸν αὐτὸν λόγον, σὺν τῷ μὴ μόνον κοινανεῖν, ἀλλὰ καὶ καλῶς κοινανεῖν. ἃ μὲν γὰρ ἐν πλείοσιν, ἀλλ' οὐκ ἐν ἑνὶ πέφυκε γίγνεσθαι. ἃ δὲ, ἐν ἑνὶ μὲν, οὐ μὰν ἔτι ἐν πλείοσιν. ἃ δὲ καὶ ἐν πλείοσι, καὶ ἐν ἑνί. καὶ διὰ τοῦτο ἐν ἑνὶ, ὅτι καὶ ἐν πλείοσιν. ἁρμονία μὲν γὰρ καὶ συμφωνία καὶ ἀριθμὸς, ἐν πλείοσιν ἐγγίγνεσθαι πέφυκεν. οὐδὲν γὰρ αὐτάρκεύ, ὁ τούτων τῶν μερέων ποιεῖ τὸ ὅλον. ὀξυκοΐα δὲ καὶ ὀξυδορκία καὶ ποδῶν ὠκύτας, ἐν ἑνὶ μόνον. εὐδαιμονία δὲ καὶ ἀρετὰ ψυχῆς, καὶ ἐν ἑνὶ καὶ ἐν πλείοσι. καὶ ἐν τῷ ὅλῳ, καὶ ἐν τῷ παντί. καὶ διὰ τοῦτο ἐν τῷ ἑνὶ, ὅτι καὶ ἐν πλείοσι. καὶ ἐν τοῖς πλέοσιν, ὅτι καὶ ἐν τῷ ὅλῳ καὶ ἐν τῷ παντί. ἅτε γὰρ τᾶς ὅλας φύσιος διακόσμασις, καὶ τὸ

Ayuntamiento de Madrid

καθ' ἓν ἕκαστον, διακεκόσμακεν. αἱ καθ' ἕκαστον δὲ διακοσμάσιες, τὸ ὅλον καὶ τὸ πᾶν ἐκπεπλήρωκε. τοῦτο βοᾷ ἀκολουθεῖ, διὰ τὸ τᾷ φύσει πρῶτον εἶμεν τὸ ὅλον τὸ μέρεος, ἀλλ' οὐ τὸ μέρος τῶ ὅλω. αἴτε γὰρ μὴ ἦ ὁ κόσμος, οὐδ' ἂν ὁ ἥλιος ἦν. οὐδ' ἁ σελάνα. οὐδ' οἱ πλανᾶτες ἀστέρες. οὐδ' οἱ ἀπλανέες. ὄντος δέ γε τῶ κόσμω, καὶ τούτων ἕκαστόν ἐστι ἴδιοι δὲ καὶ τοῦτο αὔτις, καὶ ἐπ' αὐτᾶς τᾶς τῶν ζώων φύσιος. αἴκα γὰρ μὴ ἦ ζῶον, οὐδ' ὀφθαλμὸς οὐδ' ἂν στόμα, οὐδ' ἂν ἀκοά. ὄντος δέ κα ζώω. καὶ τούτων ἕκαστόν ἐστι, ὡς δὲ ἔχει τὸ ὅλον ποτὶ τὸ μέρος, οὕτω καὶ αἱ τῶ ὅλω ἀρεταί, ποτὶ τὰν τῶ μέρεος. μὴ ὑπαρχούσας γὰρ ἁρμονίας, καὶ ἐπόψιος θείας περὶ τὸν κόσμον, οὐκ ἂν ἐδύνατο συνεῖμεν, ἔτι καλῶς ἔχοντα τὰ ἐγκεκοσμαμένα. μὴ ὑπαρχούσας δ' εὐνοίας περὶ τὰς πόλιας, οὐκ ἂν δύναιτό τις ἀγαθὸς ἢ εὐδαίμων πολίτας ἦμεν, μὴ ὑπαρχούσας δ' ὑγείας περὶ τὸ ζῶον, οὐκ ἂν δύναιτο πούς ἢ χεὶρ ἀθισαρά τε καὶ ὑγιεινὰ ἦμεν. ἔστι γὰρ ἁ μὲν ἁρμονία, ἀρετὰ κόσμω. ἁ δ' εὐδαιμονία, ἀρετὰ πόλιος. ἁ δ' ὑγίεια καὶ ἡ ἰσχύς, ἀρετὰ σώματος. καὶ ἕκαστον δὲ τῶν ἐν αὐτοῖς μερέων, συντέτακται ποτὶ τὸ ὅλον καὶ τὸ πᾶν. ὀφθαλμοί τε γὰρ ὁρῶνται, ὑπὲρ τῶ παντὸς σώματος. καὶ τἆλλα δὲ μέλεά τε καὶ μέρεα, ὑπὲρ τῶ ὅλω καὶ τῶ παντὸς συντέτακται.

Εὐρυφάμου πυθαγορείου, περὶ βίου.

Βίος ἀνθρώπω τελήιος, θεῶ μὲν λείπεται, τῶ μὴ αὐτοτελὴς ἦμεν. ἀλόγων δὲ ζώων καθυπερέχει, τῶ ἀρετᾶς καὶ εὐδαιμοσύνας ἐπίμοιρος ἦμεν. οὔτε γὰρ ὁ θεὸς τᾶς ἔξωθεν αἰτίας ποτιδεής ἐστι, φύσει γὰρ ἀγαθὸς ἐὼν καὶ φύσει εὐδαίμων ἐξ αὑταυτῶ, τελήιός ἐστι. οὔτε τῶν ἀλόγων ζώων οὐδέν, λόγω γὰρ ἄμοιρα ὄντα, καὶ τᾶς ἐς τὰς πράξιας ἐπιστήμας, ἄμοιρά ἐστι. ἀνθρώπω δὲ φύσις, τὰ μέν, ἐκ τᾶς ἰδίας προαιρέσιος. τὰ δέ, καὶ τᾶς ἐκ τῶ θείω γινομένας ἐπικουρήσιος, ποτιδεής ἐστι. τῷ μὲν γὰρ λόγω τυπωτικὸς ἦμεν, καὶ καλῶν καὶ αἰσχρῶν νοατικός, καὶ τῷ ὀρθῶς ἀπὸ γῆς ἀνακεκλίσθαι. καὶ ἐς τὸν οὐρανὸν ἀποβλέπεν, καὶ θεῶν τῶν ἀνωτάτων νοητικὸς ἦμεν, ταῦτα δέ, καὶ τᾶς ἐκ τῶν θεῶν ἐπικουρήσιος τέτευχε. τῷ δὲ βούλησιν ἔχεν καὶ προαίρεσιν καὶ ἀρχὰν ἐν αὑταυτῷ τοιαύτην, καθ' ἂν κύριος οὗτός ἐστι. καὶ ἀρετὰν ἐπιταδεῦσαι, καὶ κακίαν ζαλῶσαι, καὶ θεοῖς ἀποδῆσαι, καὶ ἀπὸ θεῶν ἀποτραπῆμεν. ταῦτα δέ, καὶ καθ' αὑτὸν κινέεσθαι δυνατός ἐστι. διὸ καὶ ψόγων καὶ ἐπαίνων, καὶ τιμᾶς καὶ ἀτιμίας, τὰ μέν, ἐκ τᾶς τῶν θεῶν, τὰ δέ, καὶ τᾶς ἐκ τῶν ἀνθρώπων τυγχάνοιτί τοι, ἤτοι ἀρετάν, ἢ κακίαν ζηλώσαντες. ἔχει γὰρ οὕτως ὁ σύμπας λόγος τὸ θεῖον. ἄνθρωπον πολυτελέστατον ζῶον ἐς τὸν κόσμον ἐσῴκισεν. ἀντίτιμον μέν,

Ayuntamiento de Madrid

τᾶς ἰδίας φύσιος, ὀφθαλμὸν δὲ τᾶς τῶν ὄντων διακοσμάσιος. διὸ καὶ ὀνύματα μὲν ἔθηκε τοῖς πράγμασι, χαρακτὴρ ἄλλων γενόμενος. ἀνεύρετο δὲ καὶ γράμματα θησαυροὺς τᾶς μνάμας παρασκευασάμενος. ἐμιμάσατο δὲ, καὶ τὰν τῶ παντὸς διακόσμασιν. δίκαις τε καὶ νόμοις κοινωνίαν πόλεων συναρμοξάμενος. οὐδὲν γὰρ οὕτω κοσμοπρεπὲς, καὶ θεῶν ἄξιον ἔργον ἀνθρώποις πέπρακται, ὡς πόλιος εὐνομουμένας συναρμογὰ, καὶ νόμων καὶ πολιτείας διακόσμασις. εἷς γὰρ ἕκαστος ἄνθρωπος αὐτὸς καθ' αὑτὸν οὐδεὶς ἐὼν, οὔτε ποτὶ τὸ ζῶν ὁμοφροσύνᾳ ξυνᾷ καὶ ξυναρμογᾷ πολιτείας, καὶ αὐτὸς καθ' αὑτὸν ἱκανὸς γέγονε καὶ ποτὶ τὸ ὅλον καὶ τὸ τέλειον σύστημα τᾶς κοινωνίας εὐάρμοστος. αὐτῷ γὰρ ὁ βίος λύρας ἐξακριβωμένας, καὶ κατὰ πᾶν ἐπιτελέος ἐάσας ἔοικεν ἐντί. λύρα τε γὰρ πᾶσα χρήζει τριῶν τούτων τυχεῖν. ἐξαρτύσιος συναρμογᾶς, ἐπαφᾶς τινος μωσικᾶς. ἐξάρτυσις μὲν οὖν ἐντὶ, ἁ τῶν οἰκήων μερέων τῶ σώματος παρασκευὰ πάντων. λέγω δὲ τὰν χορδὰν, καὶ τῶν ὀργάνων τῶν ποτ' εὐφωνίαν καὶ πλῆγαν ἐπισυνεργούντων. συναρμογὰ δὲ, ἁ ἀπὸ τᾶς ἀλλήλως σύγκρασις τῶν φθόγγων. ἐπαφὰ δὲ μωσικὰ, ἁ κατὰ συναρμογὰν κίνησις ἤδη τούτων. οὕτως οὖν καὶ βίος ἀνθρώπων χρήζει τριῶν τούτων τυχεῖν. ἐξάρτυσις μὲν, ἁ τῶν τῷ βίῳ μερέων ἐντὶ συμπλάρωσις. βίω δὲ μέρεα, τά τε σώματος ἀγαθὰ, καὶ τὰ τῶν χρημάτων, καὶ τὰ τᾶς δόξας, καὶ τὰ τῶν φίλων. συναρμογὰ δὲ, ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύνταξις. ἐπαφὰ δὲ μωσικὰ, ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύγκρασις, ὀρθοπλοουμένας τᾶς ἀρετᾶς, καὶ μηδὲν ἔξωθεν ἀντιπίπτον ἐχούσας αὐτῷ. οὐ γὰρ ἐν τῷ ἀπερύκεσθαι τᾶς προθέσιος τῶν ἑκουσίων σκοπῶν πέπτωκε τὸ εὐδαιμονεῖν. ἀλλ' ἐν τῷ κατατυγχάνεσθαι. οὐδ' ἐν τῷ ἀδορυφόρατον ἦμεν, καὶ ἀνυπηρέτατον τὰν ἀρετάν. ἀλλ' ἐν τῷ συμπληροῦσθαι ταῖς οἰκήαις δυνάμεσι ποτὶ τὰς πράξιας. οὐ γὰρ αὐτοτελὴς ἐντὶ ὁ ἄνθρωπος, ἀλλ' ἀτελὴς, τέλειος δὲ γινόμενος, ἃ μὲν, παρ' αὐτόν. ἃ δὲ καὶ παρὰ τὴν ἔξωθεν αἰτίαν, καὶ τέλειος, ἤτοι κατ' αὐτὰν φύσιν, ἢ κατὰ τὸν βίον. καὶ κατὰ μὲν τὴν φύσιν, αἴ κα ἀγαθὸς γένηται. ἁ γὰρ ἑκάστω ἀρετὰ, ἀκρότας καὶ τελειότας ἐντὶ τᾶς ἑκάστω φύσιος. οἷον ἁ μὲν τῶν ὀφθαλμῶν φύσις ἀκρότας καὶ τελειότας, τᾶς τῶν ὀφθαλμῶν. ἁ δὲ τῶν οὐάτων, τᾶς τῶν οὐάτων. οὕτω δὲ τῷ ἀνθρώπω ἁ ἀρετὰ, ἀκρότας ἐντὶ καὶ τελειότας τᾶς ἀνθρώπω φύσιος. τέλειος δὲ κατὰ τὸν βίον, αἴ κα εὐδαίμων γένηται. ἁ γὰρ εὐδαιμονία, τελειότας καὶ συμπλάρωσις ἐντὶ τῶν ἀνθρωπίνων ἀγαθῶν. διὸ πάλιν ἀρετὰ καὶ εὐτυχία, μέρεα γίνονται τῷ ἐπ' αὐτῷ βίω. τὰς δὲ ἀρετὰς, ὡς ψυχᾶς κειμένας. τὰς δ' εὐ-

Ayuntamiento de Madrid

τυχίας, ὡς σώματος· τῶν δὲ συναμφοτέρων αὐτῶν, ὡς ζώω. τὸ μὲν γὰρ χρέεσθαι καλῶς αὐτοῖς ἐστι τοῖς κατὰ φύσιν ἀγαθοῖς· τὸ δὲ τὰν χρᾶσιν ἐμπαρέχεν, καὶ χρέεσθαι μὲν ἀρετά· χρᾶσιν δὲ παρέχεν εὐτυχία. καὶ ἃ μὲν, τὰν προαίρεσιν καὶ τὸν λόγον ὀρθὸν παρέχεσθαι, ἃ δὲ, τὰς ἐνεργείας καὶ τὰς πράξιας. τὸ μὲν γὰρ βουληθῆμεν τὰ καλὰ, καὶ ὑποστᾶμεν τὰ δεινὰ, τᾶς ἀρετᾶς οἰκῆον ἐντί· τὸ δ' ὀρθοπλοῆσαι, τᾶς προαιρέσιος, καὶ ἐπὶ τέλος ἐλθεῖν τὰς πράξιας, τᾶς εὐτυχίας· ἐνίκασε γὰρ ὁ στραταγὸς, καὶ σὺν τᾷ ἀρετᾷ, καὶ σὺν τᾷ εὐτυχίᾳ. καὶ εὐπλόησεν ὁ κυβερνάτας, καὶ σὺν τᾷ τέχνᾳ, καὶ σὺν τοῖς οὐρίοις πνεύμασιν. καὶ εἶδεν ὁ ὀφθαλμὸς καλῶς, καὶ σὺν τᾷ ὀξυδορκίᾳ καὶ σὺν τῷ φάει. καὶ ἄριστος ὁ βίος ὁ τῶν ἀνθρώπων ἐγένετο, καὶ διὰ τὰν ἀρετὰν αὐτὰν, καὶ διὰ τὰν εὐτυχίαν.

Ἐκ τοῦ Διδύμου ἐπιτομῆς

Τὴν δ' εὐδαιμονίαν, ἐκ τῶν καλῶν γίνεσθαι καὶ προηγουμένων πράξεων. διὸ καὶ δι' ὅλων εἶναι καλὴν, καθάπερ καὶ τὴν ἐν τοῖς ἄλλοις ἐνέργειαν δι' ὅλων εὔτεχνον. οὐ γὰρ ἐκβιβάζειν τὴν παράληψιν τῶν ὁλικῶν ἀρχῶν τῆς εἰλικρινείας, τοῦ καλοῦ τὴν εὐδαιμονίαν· ὡς οὐδὲ τὴν τῆς ἰατρικῆς εὔτεχνον δι' ὅλων ἐνέργειαν. τὴν τῶν ὀργάνων χρῆσιν, πᾶσαν μὲν γὰρ πρᾶξιν, ἐνέργειαν εἶναί τινα ψυχῆς· ἐπεὶ δ' ὁ πράττων συγχρῆταί τισι πρὸς τὴν τελειότητα τῆς προθέσεως, μέρη ταῦτα χρὴ νομίζειν τῆς ἐνεργείας. καίτοι γε αὐτῆ ζητούσης ἑκατέρας τῶν εἰρημένων ἑκάτερον, οὐ μὴν ὡς μέρος· ὡς δὲ ποιητικὸν τῆς τέχνης. τὰ γὰρ ὧν ἄνευ πράττειν ὁπωσοῦν, ἀδύνατον μέρη τῆς ἐνεργείας λέγειν, οὐκ ὀρθὸν, τὸ μὲν γὰρ μέρος ἐπινοεῖσθαι, κατὰ τὸ συμπληρωτικὸν τοῦ ὅλου. τὰ δ' ὧν οὐκ ἄνευ, κατὰ τὸ ποιητικὸν. τῷ φέρειν καὶ συνεργεῖν εἰς τὸ τέλος.

Πλάτωνος

Ἆρ' οὖν ὦ Κλεινία ἤδη τοῦτο ἱκανὸν πρὸς εὐδαιμονίαν ποιῆσαί τινα, τό, τε κεκτῆσθαι τὰ ἀγαθὰ καὶ τὸ χρῆσθαι αὐτοῖς; ἔμοιγε δοκεῖ. καλῶς γε ἦν δ' ἐγὼ λέγεις. πλέον γάρ που οἶμαι θάτερόν ἐστιν, ἐάν τις χρῆται μὴ ὀρθῶς ὁτῳοῦν πράγματι. ἢ ἐὰν ἐᾷ, τὸ μὲν γὰρ κακόν. τὸ δ' οὔτε κακὸν, οὔτ' ἀγαθόν.

Τοῦ αὐτοῦ νόμων ὀγδόου.

Τοῖς δὲ εὐδαιμόνως ζῶσιν, ὑπάρχειν ἀνάγκη πρῶτον, τὸ μήτε ἀδικεῖν ἄλλους, μήτε ὑφ' ἑτέρων αὐτοὺς ἀδικεῖσθαι. τούτοιν δὲ, ὁ μὲν, οὐ πάνυ χαλεπόν. τοῦ δὲ μὴ ἀδικεῖσθαι κτήσασθαι δύναμιν, παγχάλεπον. καὶ οὐκ ἔστιν αὐτὸ τελέως σχεῖν ἄλλως ἢ τελέως γενόμενον ἀγαθόν.

Ayuntamiento de Madrid

## ΛΟΓΟΣ. ρβ'.

Δύσμορον· ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ Ὁμήρου.
αἴσῃ ἐν ἀργαλέῃ φθίσῃ κακὰ πόλλ' ἐπιδόντα·
υἷας τ' ὀλλυμένους, ἑλκηθείσας τε θύγατρας.
καὶ θαλάμους κεραϊζομένους καὶ νήπια τέκνα
βαλλόμενα προτὶ ἄστυ ἐν αἰνῇ δηϊοτῆτι.
Γέροντα δυστυχοῦντα τῶν ἑαυτοῦ κακῶν Μενάνδρου
ἐπαγομένων λήθην, ἀνεμνήσας πάλιν.
ἔπειτα τυχεῖν τ' ἤγειρας.
Τῷ γὰρ κακῶς πράσσοντι, μυρία, μία Σοφοκλέ.
νὺξ ἐστὶν δεῖ παθόντα ἢ τέρα, θανεῖν.
Κεκλημένῳ δὲ φωτὶ μακαρίως ποτέ. Εὐριπίδου.
αἱ μεταβολαὶ λυπηρόν· ὁ δ' αἰεὶ κακῶς
ὃς τοὐδὲν ἀλγεῖ συγγενῶς δύστηνος ὤν.
Εὔπιστον ἀτυχῶν ἐστὶν ἄνθρωπος φύσει
τὸν πλησίον γὰρ οἴεται μᾶλλον φρονεῖν.
ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί.
Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις, Ἀμφίδος.
ἥκιστα τούτοις πλησιάζων ἥδεται.
Ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ ἀεί.
Ἐπ' ἄκραν ἥκομεν γραμμὴν κακῶν, αἰεὶ Εὐριπίδου.
τὸ μὲν, ζῇ, τὸ δὲ, μεθίσταται κακὸν
τὸ δ' οὐκ ἔφυσεν αὖ τις ἐξ ἀρχῆς νέον.
Νῦν δ' αἰεὶ πέσσω· τὸ δ' ἀέξεται ἄλλο
νοερὲς πῆμα κακοῦ δ' οὔπω γίνεται ἡσυχίη.
Ἦ μὲν δὴ πολέεσσι πεφύρημαι χαλεποῖσι Φιλήτου
θυμέ· γαλήνη δ' ἐπιμίσγεαι οὐδ' ὅσον ὅσον.
ἀμφὶ δὲ τοι νέαι αἰὲν ἀνίαι πεφρήχασιν.
Ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὐτυχεῖν· Μενάνδρου
τὰ δ' ἔνδον εἰσὶ πᾶσιν ἀνθρώποις ἴσοι.
Τῶ οὔ μοι πολέων γαίης ὕπερ οὐδὲ θαλάσσης Φιλήτου.

Ayuntamiento de Madrid

ἐκδὸς ὡρχίων ἔχομεν ὧν ἐπέων.
οὐδ' ἀπὸ μοῖρα μελέῳ κακῶν φέρει· ἀλλὰ φέρουσιν
ἔμπεδα καὶ τοῖσιν ἄλλα προσαυξάνεται.

Διφίλου. Ὥσπερ κυαθίζουσ' ἡμῖν ἐνίοτε ἡ τύχη.
ἓν ἀγαθὸν αὐθιχέασα, τρί' ἐπαντλεῖ κακά.

Γαΐου. Τὸ μὲν ἀδικεῖσθαι, καὶ παντί που δεινόν ἐστι. τὸ δὲ καὶ τῶν τοιούτων τι παθεῖν, ὃ μηδὲ γαΐου εἰπεῖν, ὁ πεπονθὼς δύναται σαφῶς δυστυχίας ὑπερβολὴν οὐκ ἔχει.

Ὅρα δὴ τὸ τῆς κατηγορίας δύσκολον. ἓν μὲν καὶ τὸ εἰπεῖν ἀδύνατον, αἰσχρὸν γάρ· καὶ τὸ σιωπῆσαι χαλεπώτερον. πῶς γὰρ ἂν δύναιτό τις ἄνευ λόγου δηλῶσαι τὰ πεπραγμένα.

Ἀντιφῶντος. Τῷ γὰρ ὁ θεὸς μὴ παντελῶς βούλεται ἀγαθὰ διδόναι ἀνδρί· χρημάτων πλοῦτον παρασχὼν, τοῦ καλῶς φρονεῖν πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος, ἀμφοτέρων ἀπεστέρησεν.

Δημοκρίτου. Ἀπορίη ξυνὴ, τῆς ἑκάστου χαλεπωτέρη· οὐ γὰρ ὑπολείπεται ἐλπὶς ἐπικουρίης.
Νόσος οἴκου καὶ βίου γίνεται, ὅκωσπερ καὶ σκήνεος.

Γαΐου. Ἔοικε δὲ ὁ βάσκανος δαίμων φιλοτιμότατος εἶναι πρὸς τὰς παραδόξους συμφοράς. ἕστηκέ σοι παιδοφόνος πατήρ. τὴν μὲν χεῖρα, μιαρώτατος. τὴν δὲ ψυχὴν, καθαρώτατος, μανίᾳ διακονησάμενος τὴν συμφοράν.

Ἡράκλειτος ἔφη· ὡς ἦθος ἀνθρώπῳ δαίμων.

Ξενοκράτης ἔλεγεν· ὡς τὸ κακοπρόσωπον αἶσχος προσώπου καὶ μοχθηρία τινὶ τὸ δύσμορφον. οὕτω δαίμονος κακία, τοὺς πονηροὺς κακοδαίμονας ὀνομάζομεν.

Πλάτωνος. Ἀλλὰ μὴν ὦ σώκρατες οὐδέν γε ἔδει παλαιοῖς πράγμασιν ἐλέγχειν. τὰ γὰρ καὶ πρώην γεγονότα, ταῦτα ἱκανῶς ἐξελέγξαι ἐστὶ, καὶ ἀποδεῖξαι, ὡς πολλοὶ ἀδικοῦντες ἄνθρωποι εὐδαίμονές εἰσι. τὰ ποῖα ταῦτα. ἀρχέλαον δήπου τοῦτον τὸν περδίκκου ὁρᾷς ἄρχοντα μακεδονίας. εἰ δὲ μὴ ἀλλ' ἀκούω γε. εὐδαίμων οὖν σοι δοκεῖ εἶναι, ἢ ἄθλιος. οὐκ οἶδα ὦ πῶλε, οὐ γάρ πω συγγέγονα τῷ ἀνδρί. τί δαὶ συγγενόμενος ἂν γνοίης, ἄλλως δὲ αὐτόθεν οὐ γιγνώσκεις ὅτι εὐδαιμονεῖ; μὰ δί' οὐ δῆτα. δῆλον δὲ ὦ σώκρατες ὅτι οὐδὲ τὸν μέγαν βασιλέα γινώσκειν φήσεις εὐδαίμονα ὄντα. καὶ ἀληθῆ γε ἐρῶ. οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει, δικαιοσύνης, τὸν μὲν γὰρ καλὸν κἀγαθὸν ἄνδρα καὶ γυναῖκα, εὐδαίμονας εἶναί φημι. τὸν δὲ ἄδικον καὶ πονηρὸν, ἄθλιον. ἄθλιος ἄρα οὗτός ἐστιν ὁ ἀρχέλαος κατὰ τὸν σὸν λόγον. εἴπερ γε ὦ φίλε ἄδικος.

Καπί γε

Ayuntamiento de Madrid

## ΛΟΓΟΣ ρβ΄.

Κατά γε τὴν ἐμὴν δόξαν ὦ Πῶλε, ὁ ἀδικῶν τε καὶ ὁ ἄδικος πάντως γε ἄθλιος· ἀθλιώτερος μέντοι, ἐὰν μὴ διδῷ δίκην, μηδὲ τυγχάνῃ τιμωρείας ἀδικῶν· ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην, καὶ τυγχάνῃ δίκης ὑπὸ θεῶν τε καὶ ἀνθρώπων.

## ΟΤΙ ΑΒΕΒΑΙΟΣ Η ΤΩΝ ΑΝΘΡΩΠΩΝ εὐπραξία, μεταπιπτούσης ῥᾳδίως τύχης.

## ΛΟΓΟΣ ργ΄.

Ὁρᾷς τυράννους διὰ μακρῶν ἠσκημένους Εὐριπίδου
ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα
τὸν μὲν, καθεῖλεν ὑψωθέντα δὴ ῥ' ἄνω.
ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε,
ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ.
Θνητῶν δὲ μηδεὶς μηδὲν ὄλβιόν ποτε, Διονυσίου
κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἴδῃ. τυράννου.
ἐν ἀσφαλεῖ γὰρ τὸν θανόντ' ἐπαινέσαι.
Οὐχ ἡ ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας Σοφοκλέ.
ἀνδρὸς, πρὶν αὐτῷ παντελῶς ἤδη βίος,
διεκπερανθῇ καὶ τελευτήσῃ βίον.
ἐν γὰρ βραχεῖ καθεῖλε κὠλίγῳ χρόνῳ
πᾶν πλοῦτον ὅλον βαρυδαίμονος κακοῦ
δόσις ὅταν μεταστῇ καὶ θεοῖς δοκεῖ τάδε.
Τοιοῦτο τὸ ζῆν ἐστὶν, ὥσπερ οἱ κύβοι· Ἀλέξιδος
οὔτ' αὔτ' ἀεὶ πίπτουσιν· οὐδὲ τῷ βίῳ
ταὐτὸν διαμένει σχῆμα, μεταβολὰς δ' ἔχει.
Ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθος, Διφίλου.
ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα.



Ayuntamiento de Madrid

Ὅτι ἀβέβαιος ἡ τῶν ἀνθρώπων εὐπραξία μεταπιπτούσης ῥαδίως τύχης.

Εὐριπίδου. Οὐκ ἄγαμαι ταῦτ' ἀνδρὸς ἀριστέως.
ἀγάμεμνον ἀτρεύς· δεῖ δέ σε χαίρειν
κἂν μὴ σὺ θέλῃς, τὰ θεῶν οὕτω νενόμισται
οὐκ ἐπὶ πᾶσιν ἔφυς ἀγαθοῖς.
καὶ λυπεῖσθαι, θνητὸς γὰρ ἔφυς.

Σιμωνίδου. Πάμπαν δ' ἄμωμος οὔτις οὐδ' ἀκήριος.

Εὐριπίδου. Οὐ χρή ποτ' ὀρθαῖς ἐν τύχαις βεβηκότα.
ἕξειν τὸν αὐτὸν δαίμον' εἰσαεὶ δοκεῖν.
ὁ γὰρ θεός πως, εἰ θεόν σφε χρὴ καλεῖν,
κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί.
θνητῶν δὲ θνητὸς ὄλβος· οἱ δ' ὑπέρφρονες
καὶ τῷ παρόντι τοὔπιον πιστούμενοι
ἔλεγχον ἔλαβον τὴν τύχην ἐν τῷ παθεῖν.

Σιμωνίδου. Ἄνθρωπος ἐὼν μήποτε φήσῃς ὅτι γίνεται
μὴ δ' ἄνδρα ἰδὼν ὅσον χρόνον ἔσσεται.
ὠκεῖα γὰρ, οὐδὲ τανυπτερύγου μυίας
οὕτως ἁ μετάστασις.

Μενάνδρου. Εὕροις δ' οὐθὲν τῶν ἁπάντων ὦ δημέα
ἀγαθὸν, ἐν ᾧ τι μὴ πρόσεστι καὶ κακόν.

Εὐριπίδου. Τοιόσδε θνητῶν ταλαιπώρων βίος
οὐδ' εὐτυχεῖ τὸ πάμπαν, οὔτε δυστυχεῖ.
εὐδαιμονεῖ τε καὖθις οὐκ εὐδαιμονεῖ.
τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες,
οὐ ζῶμεν ὡς ἥδιστα, μὴ λυπούμενοι.

Γ οὐ δὴ τὸ σαφὲς θνατοῖσι βιοτᾶς
θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ κατὰ
βένθος ἅλιον ἰθύνουσι· τύχας δὲ θνητῶν
τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος
μεθίστησι· τὸ δὲ μεῖον, αὔξων.

Ω Δέσποτ' οὐδεὶς οἶδεν ἄνθρωπος γεγώς.
οὔτ' εὐτυχοῦς ἀριθμὸν, οὔτε δυστυχοῦς.

Χ Χρὴ δ' οὔποτ' εἰπεῖν ὄλβιον οὐδένα βροτῶν.
πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς.
ὅπως περάσας ἡμέραν ἥξει κάτω.

Ayuntamiento de Madrid

Πᾶσι γὰρ ἀνθρώποισιν οὐχ ἡμῖν μόνον,
ἢ καὶ παραυτίκ᾽· ἢ χρόνῳ δαίμων βίον
ἔσφηλε· κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ.

Φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι.
οἱ μὲν γὰρ εὖ πράσσουσι· τοῖς δὲ συμφοραὶ
σκληραὶ πάρεισιν εὐσεβοῦσιν ἐς θεούς.
καὶ πάντ᾽ ἀκριβῶς κἀπὶ φροντίδων βίον,
οὐ τῷ δικαίῳ ζῶσιν αἰσχύνης ἄτερ.

Ὁ μὲν ὄλβιος ἦν, τὸ δ᾽ ἀπέκρυψεν θεὸς
ἐκείνων τῶν ποτε λαμπρῶν, νεύει βίοτος.
νεύει δὲ τύχα· κατὰ πνεῦμ᾽ ἀνέμων.

Ἀνάσσαι πολλοῖς ἐστὶν ἀνθρώπων κακά·
τοῖς δ᾽ ἄρτι λήγει· τοῖς δὲ, κίνδυνος μολεῖν.
κύκλῳ γὰρ ἕλπει, καρπίμοις τε γῆς φυτοῖς,
θνητῶν τε γενεὰ, τῶν μὲν, αὔξεται βίος.
τῶν δὲ, φθίνει τε καὶ θερίζεται πάλιν.

Οὐ τὸν κρατοῦντα χρὴ κρατεῖν ἃ μὴ χρεὼν
οὐδ᾽ εὐτυχοῦντας εὖ δοκεῖν πράξειν ἀεί.
κἀγὼ γὰρ ἦν ποτ᾽ ἀλλὰ νῦν, οὐκ εἴμ᾽ ἔτι.
τὸν πάντα δ᾽ ὄλβον ἦμαρ ἕν μ᾽ ἀφείλετο.

Μήπω μέγαν εἴπῃς, πρὶν τελευτήσαντ᾽ ἴδῃς. Σοφοκλέ.

Συνέσει δόξῃ πρόσθεν καὶ γένει μέγας. Μοσχίωνος
ἄργους δυνάστης· λιτός· ἐκ τυραννικῶν
δόμων· προσίκτην θάλλον ἠναγκασμένος.
ἔστειχεν εἰς γῆν ὄμμα συμπαθὲς φέρων.
καὶ πᾶσι δεικνὺς, ὡς τὰ λαμπρὰ τῆς τύχης,
τὴν κτῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει.
ὃν πᾶς μὲν ἀστῶν ἠλέησεν εἰσιδών.
ἅπας δὲ χεῖρα καὶ προσήγορον φάτιν
ὤρεξε· κἀνθοὺς τ᾽ ἐξέτηξε δακρύοις,
τύχαις συναλγῶν· τἀξίωμα γὰρ νοσοῦν
τὸ πρόσθεν, πολλοῖς οἶκτον εὐπορεῖ βροτῶν.

Τοῖς θεοῖς τίθει πάντα· πολλάκις μὲν ἐκ κακῶν Ἀρχιλόχου
ἄνδρας ὀρθοῦσι, μελαίνῃ κειμένους ἐπὶ χθονί.



Ayuntamiento de Madrid

Ὅτι ἀβέβαιος ἡ τῶν ἀνθρώπων εὐπραξία μεταπιπτούσης ῥᾳδίως τύχης·

πολλάκις δ' ἀναστρέπουσι, καὶ μάλ' εὖ βεβηκότας,
ὑπτίους κλίνουσ' ἔπειτα πολλὰ γίνεται κακά.
καὶ βίου χρήμη πλανᾶται, καὶ νόου παρήορος.

Θεοδέκτου Γ ολυστερεῖ μὲν ὦ γέρον καθ' Ἑλλάδα
φήμη πλανᾶται καὶ διέγνωσται πάλαι,
τὸ μὴ βεβαίους τὰς βροτῶν εἶναι τύχας.

Ἀλέξιδος Κ ἂν εὐτυχῇ τις ὡς ἔοικε προσδοκᾷν
ἀεί τι δεῖ· καὶ μήτι πιστεύειν τύχῃ.

Μενάνδρου Ο δ' ἠδικηκὼς ὅστις ἔσθ' οὗτός ποτε
τὴν ὑμετέραν πενίαν, κακοδαίμων ἔσθ' ὅτι
τοῦτ' ἠδίκηκεν, οὗ τυχὸν μεταλήψεται.
ὃ καὶ σφόδρ' εὐπορεῖ γὰρ, ἀβεβαίως φυσᾷ.
τὸ τῆς τύχης γὰρ ῥεῦμα, μεταπίπτει ταχύ.

Κλειτομά-χου· Τ οῖς εὐπαθοῦσιν ἀντιπνεύσασ' ἡ τύχη,
πάντα συγχεῖ· πάντα ναυαγεῖν ποιεῖ,
τὰ τῇ φρονήσει καὶ τοῖς λογισμοῖς ὀρθῶς
ἐκπεπονῆσθαι δοκοῦντα, πρὸς τὸ καλῶς ζῆν.

Βάθωνος. Α νθρωπος ὢν ἔπταικας· ἐν δὲ τῷ βίῳ,
τί ρχς ἐστίν, εἴ τις εὐτύχηκε διὰ βίου.

Εὐριπίδου Γ άλαι σκοποῦμαι τὰς τύχας τῶν βροτῶν·
ὡς εὖ μεταλλάσσουσιν· ὃς γὰρ ἂν σφαλῇ,
εἰς ὀρθὸν ἔστη· χ' ὁ πρὶν εὐτυχῶν, πιτνεῖ.
ὥστ' οὔτις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ.
οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.

Φ εὖ· οὐκ ἔστιν οὐδὲν πιστὸν οὔτ' εὐδοξία,
οὔτ' αὖ καλῶς πράξαντα, μὴ πράξειν κακῶς.

Ἡσιόδου. Α λλοτε μητρυιὴ πέλει ἡμέρη ἄλλοτε μήτηρ.

Σοφοκλέ. Ω ς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.

Λ όγος μὲν ἔστ' ἀρχαῖος ἀνθρώπων φανεὶς,
ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοις βροτῶν, πρὶν ἂν
θάνῃ τις, οὔτ' εἰ χρηστὸς, οὔτ' εἴ τῳ κακός.

Ο μως δ' ἐν ὑμῖν τοῖσιν εὖ σκοπουμένοις,

παρβεῖν

Ayuntamiento de Madrid

ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε.
Τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτῶν,
ἢ σμικρόν. ἢ τὸν μηδαμοῦ τιμώμενον,
οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει.
Ὁρῶ δὲ τοῖς πολλοῖς ἀνθρώποις ἐγὼ, Εὐριπίδου
τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν.
Πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις
ἔδωκεν ἡμῖν μεταβολάς τε τῆς τύχης.
Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ
βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον. Διφίλου.
Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
νὴ τὴν Ἀθηνᾶν συντόμως γε φίλτατε Νικοστράτου.
εὐριπίδη τὸν βίον ἔθηκας εἰς στίχον,
Οὐκ οἶδ' ὅτῳ πέποιθας ἀργυρείῳ πάτερ.
ὁ καιρὸς ὁ τυχὼν, τοῖς μὲν οὐ κεκτημένοις, Ἀπολλοδώρου.
ἔδωκε. τῶν κεκτημένων δ' ἀφείλετο.
Τὰ μεγάλα δῶρα, τῆς τύχης ἔχει φόβον.
καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ.
οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει.
ὃ περιέτρεψεν, ἢ χρόνος τις, ἢ φθόνος.
ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ.
ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα.
τῷ μὴ τελείαν ἐν ταπεινῷ τῆς ψυχῆς μέρα.
φέρεσθαι μήτ' ἐν ὑψηλῷ πάλιν εἶναι,
κἂν γὰρ πέσῃ τις ἐξ ἐλάττονος μέτρου,
εὐπερικάλυπτον ἔχει τὴν δυσπραξίαν.
ὄγκου δὲ μεγάλου, πτῶμα γίνεται μέγα.
πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται.
σφάλλει δ' ἐκείνους, οὓς ἂν ὑψώσῃ τύχη.

Νόμιζε μηδὲν εἶναι τῶν ἐν ἀνθρωπίνων βέβαιον. οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν, περίλυπος. Ἰσοκράτους

Ὡς κύκλος τῶν ἀνθρωπηΐων ἐστὶ πρηγμάτων, περιφερόμενος δὲ, οὐκ ἐᾷ αἰεὶ τοὺς αὐτοὺς εὐτυχεῖν. Ἡροδότου

Πᾶν ἐστὶν ἄνθρωπος συμφορή.

Ϲὐθέου. Εἰ δέ τις ὑπείληφε βεβαίως ἔχειν τὸν πλοῦτον, καὶ οὐδέποτε προλείψειν αὐτόν, οὗτος ἔοικε τύχης καὶ παραδόξων πραγμάτων καταπεφρονηκέναι, καὶ οὐκ εἰδέναι ὅτι πεπλανημένον τὸ εὖ πράττειν, καὶ οὐκ ἀεὶ παρὰ τοῖς αὐτοῖς.

Βίων ἔφη· τὰ χρήματα τοῖς πολλοῖς ἡ τύχη οὐ δεδώρηται ἀλλὰ δεδάνεικεν.

Σωκράτης. Ταὐτόν ἐστιν· ἐπ' εὐτυχίᾳ μέγα φρονεῖν, καὶ ἐπὶ ὀλισθηρᾶς ὁδοῦ σταδιοδρομεῖν.

Δημοκρί. Οὐκ ἔστιν οὕτως ἀσφαλὴς πλούτου πυλέων, ὃν οὐκ ἀνοίγει τύχης καιρός.

Ἀπελλῆς ὁ ζωγράφος ἐρωτηθεὶς διὰ τί τὴν τύχην καθημένην ἔγραψεν, οὐχ ἕστηκε γάρ, εἶπε.

Αἴσωπος ἐρωτηθεὶς, τί οἱ θεοὶ πράττουσιν, ἔφη· τὰ μὲν, οἰκοδομεῖν, τὰ δὲ, καταβάλλειν.

Φαβωρίνου. Ἄνθρωπος ὤν· μηδέποτε φῇς, ὅτι γίνεται αὔριον· μηδ' ἄνδρα ἰδὼν ὄλβιον, ὅσον χρόνον ἔσεται. ἀλλὰ μὴ δὲ οἶκον· ὥσπερ ἀμέλει ὁ ποιητὴς διεξέρχεται, τὴν τῶν σκοπάδων ἀθρόαν ἀπώλειαν. ἤδη δὲ καὶ πόλεις παρὰ προσεδόκησαν, ἀνάστατοι γεγόνασιν αἰφνίδιον· αἱ μὲν, ὑπὸ πυρὸς, αἱ δ' ὑπὸ σεισμοῦ· αἱ δὲ, τῆς θαλάττης ἐπελθούσης· ποῦ μοι Ἑλίκη· κατεπόθη· ποῦ Βοῦρα· καὶ αὕτη κατεπόθη· δύο πόλεις ἑλληνίδες ἀπώλοντο ὥσπερ πλέουσαι.

Ἡροδότου. Κροῖσος δὲ σπερχθεὶς, εἶπεν· ὦ ξεῖνε ἀθηναῖε· ἡ δὲ ἡμετέρη εὐδαιμονίη, οὕτω τοι ἀπέρριπται ἐς τὸ μηδὲν, ὥστε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας; ὁ δὲ Σόλων εἶπεν· ὦ Κροῖσε· ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηΐων πρηγμάτων πέρι. ἐν γὰρ τῷ μακρῷ χρόνῳ, πολλὰ μὲν ἐστὶν ἰδεῖν τὰ μή τις ἐθέλει· πολλὰ δὲ καὶ παθεῖν. ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζωῆς ἀνθρώπῳ προτίθημι. τουτέων τῶν ἁπασέων ἡμερέων τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα ἐουσέων, ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ, τὸ παράπαν οὐδὲν ὅμοιον ἐσάγει πρῆγμα. οὕτω ὦ Κροῖσε· πᾶν ἐστὶν ἄνθρωπος συμφορή. ἐμοὶ δὲ καὶ σὺ, πλουτέειν μὲν μέγα φαίνεαι· καὶ βασιλεὺς πολλῶν εἶναι ἀνθρώπων· ἐκεῖνο δὲ, τὸ εἰρεό με, οὔκω σε λέγω, πρὶν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι. οὐ γάρ τι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐφ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστιν, εἰ μή οἱ τύχη ἐπίσποιτο, ἔχοντα πάντα καλὰ τελευτῆσαι εὖ τὸν βίον. πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων, ἀνόλβιοί εἰσι· πολλοὶ δὲ μετρίως ἔχοντες βίον, εὐτυχέες. ὁ μὲν δὴ μέγα πλούσιος ἀνόλβος δὲ, δυοῖσι προέχει τοῦ εὐτυχέος μούνοισι· οὗτος δὲ τοῦ πλουσίου καὶ ἀνόλβου, πολλοῖσιν. ὁ μὲν, ἐπιθυμίην ἐκτελέσαι, καὶ ἄτην μεγάλην προσπεσοῦσαν, ἐνεῖκαι δυνατώτερος. ὁ δὲ, τοῖσδε προέχει ἐκείνου· ἄτην δὲ καὶ ἐπιθυμίην, οὐχ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖ· καὶ

Ayuntamiento de Madrid

ταῦτα δὲ, ἡ εὐτυχίη οἱ ἀπερύκει. ἄπειρός ἐστιν. ἄνουσος ἀπαθής. εὔπαις. εὐειδής. εἰ δὲ πρὸς τούτοισιν ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖνος, τὸν σὺ ζητεῖς ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι. πρὶν δ᾽ ἂν τελευτήσῃ, ἐπισχεῖν. μὴ δὲ καλέειν κω ὄλβιον, ἀλλ᾽ εὐτυχέα. τὰ πάντα μὲν νῦν ταῦτα συλλαβεῖν ἄνθρωπον ἐόντα ἀδύνατόν ἐστιν. ὥσπερ χώρη οὐδεμία καταρκέει πάντα ἑωυτῇ παρέχουσα. ἀλλ᾽ ἄλλο μὲν ἔχει. ἕτερον δὲ ἐπιδέεται, ἣ δὲ ἂν τὰ πλεῖστα ἔχῃ. αὕτη ἀρίστη. ὡς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὔταρκές ἐστι. τὸ μὲν γὰρ ἔχει. ἄλλου δὲ ἐνδεές ἐστιν ὃς δ᾽ ἂν αὐτῶν πλεῖστα ἔχων διατελέῃ, καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ᾽ ἐμοὶ τὸ οὔνομα τοῦτο ὦ βασιλεῦ. δίκαιός ἐστι φέρεσθαι. σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτὴν, κῇ ἀποβήσεται. πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς, προρρίζους ἀνέτρεψε.

## ΠΕΡΙ ΤΩΝ ΠΑΡ᾽ ΑΞΙΑΝ ΕΥΤΥΧΟΥΝΤΩΝ.

### ΛΟΓΟΣ ρδ'.

Τιμῆς ἐπαίρει τῶν πέλας μᾶλλον φρονεῖν. Εὐριπίδου
θνήσκοι μ᾽ ἄν, οὐ γὰρ ἄξιον λεύσσειν φάος.
κακοὺς ὁρῶντας ἐκδίκως τιμωμένους.
Πολλοῖς παρέστην, κἀφθόνησα δὴ βροτῶν
ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ᾖ.
λόγων ματαίων εἰς ἅμιλλαν ἐξιών.
τὸ δ᾽ ἦν ἄρ᾽ οὐκ ἀκουστὸν, οὐδ᾽ ἀνασχετόν.
σιγᾶν κλύοντα δεινὰ πρὸς κακιόνων.
Ὅταν κακοὶ πράξωσιν ὦ ξένοι καλῶς.
ἄγαν κρατοῦντες κοὐκ ὀνειδίζοντες δίκην
δώσειν, ἔδρασαν πάντ᾽ ἐφιέντες ἡδονῇ.



Ayuntamiento de Madrid

Η δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
ὅταν πονηρὸς ἀξίωμ' ἀνὴρ ἔχῃ,
γλώσσης κατάρχων δῆμον, οὐδὲν ὢν τὸ πρίν.

Φ εῦ φεῦ. κακοῖσιν ὡς ὅταν δαίμων διδῷ
καλῶς, ὑβρίζουσ' ὡς ἀεὶ πράξοντες εὖ.

Ρ ολλοὶ γεγῶτες ἄνδρες, οὐκ ἔχουσ' ὅπως
δείξωσιν αὐτοὺς τῶν κακῶν ἐξουσίᾳ.

Μενάνδρου Ε ἴτις προσελθών μοι θεῶν λέγοι Κράτων,
ἐπὰν ἀποθάνῃς αὖθις ἐξ ἀρχῆς ἔσῃ,
ἔσῃ δ' ὅτι ἂν βούλῃ κύων· πρόβατον· τράγος·
ἄνθρωπος· ἵππος· διαβιῶναι γάρ σε δεῖ.
εἱμαρμένον τοῦτ' ἐστίν· ὅ,τι βούλει δὲ ἑλοῦ,
ἅπαντα μᾶλλον εὐθὺς εἰπεῖν ἂν δοκῶ
πόει με· πλὴν ἄνθρωπον, ἀδίκως εὐτυχεῖ.
κακῶς τε πράττει τοῦτο τὸ ζῶον μόνον.
ὁ κράτιστος ἵππος, ἐπιμελεστέραν ἔχει
ἑτέρου θεραπείαν· ἀγαθὸς ἂν γένῃ κύων,
ἐντιμότερος εἶ τοῦ κακοῦ κυνὸς πολύ.
ἀλεκτρυὼν γενναῖος ἐν ἑτέρᾳ τροφῇ
ἐστίν· ὁ δ' ἀγεννὴς, καὶ δέδιε τὸν κρείττονα.
ἄνθρωπος ἐὰν ᾖ χρηστὸς, εὐγενὴς σφόδρα
γενναῖος, οὐδὲν ὄφελος ἐν τῷ νῦν γένει,
πράττει δ' ὁ κόλαξ ἄριστα πάντων, δεύτερα,
ὁ συκοφάντης· ὁ κακοήθης τρίτα λέγει.
ὄνον γενέσθαι κρεῖττον, ἢ τοὺς χείρονας
ὁρᾶν ἑαυτοῦ ζῶντας ἐπιφανέστερον.

Θεόγνιδος Κ αὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
Γ ἅπτετο· καὶ τιμῆς κακὸς ὢν ἔλαχεν.
ολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
ἐσθλόν· ὃς αὐτῷ βέλτερος οὐδὲν ἐὼν,
οὐδὲ φίλοις· ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται.
αἰχμητὴς γὰρ ἀνὴρ, γῆν καὶ ἄστυ σαοῖ.

Σοφοκλέ. Δ εινὸν τοὺς μὲν δυσεβεῖς κακῶν ἄπο
βλαστόντας εἶτα τοὺς δὲ μὲν πράσσειν καλῶς.

τοὺς

Ayuntamiento de Madrid

τοὺς δ᾽ ὄντας ἐσθλοὺς ἔκ τε γενναίων ἅμα
γεγῶτας, εἶτα δυστυχεῖς πεφυκέναι.
οὐ χρὴ τὰ δ᾽ οὕτω δαίμονας θνητῶν πέρι
πράσσειν. ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν,
ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα.
τοὺς δ᾽ ὄντας ἀδίκους τῶνδε τὴν ἐναντίαν
δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν.
κοὐδεὶς ἂν οὕτως εὐτυχεῖ κακὸς γεγώς.

Τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται. Δημοσθένους.

Αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀνθρώπων εἰσίν. εἰ δέ τι πταίσει, τότ᾽ ἀκριβῶς ἀνακαλυφθήσεται ταῦτα πάντα. Ἐκ τοῦ ἀρίστων.

Ἔοικεν ὁ βίος θεάτρῳ. διὸ πολλάκις χείριστοι τὸν κάλλιστον ἐν αὐτοῖς κατέχουσι τόπον.

## ΠΕΡΙ ΤΩΝ ΠΑΡ᾽ ΑΞΙΑΝ ΔΥΣΤΥΧΟΥΝΤΩΝ,

## ΛΟΓΟΣ ρε΄.

Οὐθέν με λυπεῖ μᾶλλον, ἢ χρηστὸς τρόπος. Μενάνδρου
εἰς χαλεπὸν ὅταν ᾖ συγκεκλεισμένος βίον.
Οἰκτρότατόν ἐστι πεῖραν ἐπὶ γήρως οὐδέν.
ἀδίκου τύχης, δίκαιος εἰληφὼς τρόπος.
Ὡς μεταβολαῖς χαίρουσι παντοίαις τύχη,
σόν ἐστ᾽ ὄνειδος τοῦθ᾽ ὅταν οὗτος ἀνὴρ
δίκαιος ἀδίκοις περιπέσῃ συμπτώμασιν.

Οὐκ ἔσθ᾽ ὅπως ἔχουσιν αἱ τύχαι φρένας Ἀλέξιδος
οὐδεὶς γὰρ ποιοῦτος ἡ τύχη ποτέ.

Τὴν δ᾽ εὐγένειαν τῆς τύχης νικωμένην Εὐριπίδου.

Ayuntamiento de Madrid

νῦν δὴ μάλιστ' ἔσεσθον. οὐδὲ γὰρ πατρὸς
ἐσθλοῦ γεγῶτες, δυστυχοῦσ' ἀναξίας.

Μενάνδρου. Πολλοὺς δι' ἀνάγκην γὰρ πονηροὺς οἶδ' ἐγὼ,
ὅταν ἀτυχήσωσι γεγονότας οὐ φύσει ὄντας τοιούτους.

Εὐσεβίου. Πολλοὶ τῶν ἀνθρώπων, ἐπειδὰν δοκέωσι παρ' ἀξίαν πρήσσειν, δυσανασχετέοντες, ἔπειτα δακνολογεόμενοι πρὸς ἑωυτοὺς καὶ τοὺς πλησιάζοντας, τοιάδε διαλέγονται. ὁ μὲν, γαμέει καὶ ἐξ οἴκων τῶν εὐδαιμόνων. ἐγὼ δὲ ἄγαμος. καὶ ὁ μὲν, οἰκίην ἔχει μεγάλην, καὶ οἰκοδομέει μεγαλοπρεπέως, καὶ ἀγροὺς κέκτηται πολλούς. ἐγὼ δὲ, ἀέστιος, καὶ ἀκτήμων. καὶ τῷ μὲν πάρα πολλὰ χρήματα, ἐμὲ δὲ ἀχρηματίη πᾶσα ἔχει. πρὸς οὓς χρὴ παραμυθεόμενον τάδε λέγειν. ὡς οὐ χρὴ ἐπ' ἄλλων εὐτυχίῃ ἄχθεσθαι, ἀλλὰ ἥδεσθαι διὰ τὸ ὁμογενές. εἰδέναι δὲ ὅτι καὶ ἄλλοι πολλῶν, ἔστε τὰ ἑαυτῶν ἐγκύψαντες, καὶ τὰ ἐκείνοις παρεόντα εὑρήσουσιν ἑωυτοὺς ἄμεινον πρήσσοντας. καὶ ὅτι οὐδεὶς ὑπὸ τῆς τοῦ πέλας εὐτυχίας τῆς ὀφελλομένης ἑαυτῷ εὐπρηγίης ἀποστερέεται.

Ἡροδότου. Εἶπε, ὅτι δεῖ γενέσθαι ἐκ τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ. οὐδὲ γὰρ πιστὰ λέγουσι, θέλει πείθεσθαι οὐδείς. ταῦτα δὲ Περσέων συχνοὶ εἰδότες ἑπόμεθα, ἀναγκαίῃ ἐνδεδεμένοι. ἐχθίστη δὲ ὀδύνη ἐστὶ, τῶν ἐν ἀνθρώποισι αὕτη. πολλὰ φρονέοντα, μηδενὸς κρατέειν.

## ΟΤΙ ΔΕΙ ΓΕΝΝΑΙΩΣ ΦΕΡΕΙΝ ΤΑ ΠΡΟΣΠΙπτοντα ὄντας ἀνθρώποις, καὶ κατ' ἀρετὴν ζῆν ὀφείλοντας,

## ΛΟΓΟΣ. ρϛ'.

Φιλήμονος. Εἰ τὰ δάκρυ' ἡμῖν τῶν κακῶν ἦν φάρμακον,
ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο.
ἠλλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυσίον.
νῦν δ' οὐ προσέχει τὰ πράγματ' οὐδ' ἀπο-
ἐάν τι κλαίῃς, ἐάν τι μὴ πορεύεται. (βλέπει.
τί δὴ ποιεῖς πλέον. οὐδὲν, ἡ λύπη δ' ἔχει.
ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν τὸ δάκρυον.

Τοῦ αὐτοῦ. Ἐγὼ δὲ λυποῦμαι μὲν εἰς ὑπερβολήν.
ἥδη τοῖς παροῦσ', ἐν δὲ τῇ λύπῃ φρονῶ.

Ayuntamiento de Madrid

τοῦτό με τηροῦν ἐστὶ κἄνθρωπον ποιοῦν.
Μὴ οὖν θέλε λυπεῖν σαυτὸν· εἰδὼς ὅτι πολλάκις Εὐριπίδου
τὸ λυποῦν, ὕστερον χαρὰν ἄγει.
καὶ τὸ κακὸν, ἀγαθοῦ γίνεται παραίτιον.
Οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός. Χαιρήμονος.
Γηρῶ τύχης ἄνοιαν ἀνδρείως φέρειν. 
Εἰ πάντες ἀποθανούμεθ', οἷς μὴ γίνεται Μενάνδρου
ἃ βουλόμεθα, πάντες ἀποθανούμεθα. Διφίλου.
Ω μακάρι' ἀτυχεῖν θνητὸς ὢν ἐπίστασο.
ἵν' ἄλλα τἀναγκαῖα δυστυχῇς μόνον.
πλείω δὲ διὰ τὴν ἀμαθίαν μὴ προσλάβῃς.
Οταν ἀτυχεῖν σοι συμπέσῃ τι δέσποτα, Φιλιππίδου.
εὐριπίδου μνήσθητι· καὶ ῥάων ἔσῃ.
οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
εἶναι δ' ὑπόλαβε καὶ σὲ, τῶν πολλῶν ἕνα.
Εφυ μὲν οὐδεὶς, ὅστις οὐκ ἀεὶ ποιεῖ, Εὐριπίδου.
θάπτει τε τέκνα, χἄτερα κτᾶται πάλιν
ἄλλους δὲ θνήσκειν καὶ τὰ δ' ἄχθονται βροτοί.
εἰς γῆν φέροντες, τὴν ἀναγκαίως ἔχει
βίον θερίζειν, ὥστε κάρπιμον στάχυν.
καὶ τὸν μὲν, εἶναι· τὸν δὲ, μή· τί ταῦτα δεῖ
στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν.
Τὰς συμφορὰς γὰρ ὅστις οὐκ ἐπίσταται
θνητὸς πεφυκὼς, ὃν τρόπον χρεὼν φέρειν
οὐδ' ἀνδρὸς δύναιτ' ἀνθυποστῆναι βέλος.
Οστις δὲ πρὸς τὸ πίπτον εὐλόγως φέρει
τὸν δαίμονα· οὗτος, ἧσσον ἐστὶν ὄλβιος.
Μεταβαλλομένου δαίμονος, ἀνέχου· πλεῖ κατὰ πορθμόν. πλεῖ κατὰ δαίμονα.
Θνητὸς γὰρ ὢν, καὶ θνητὰ πείσεσθαι δόκει.
θεοῦ βίον ζῆν ἄξιος ἄνθρωπος ὤν.
Θάρσει τέκνον· καὶ μὴ χαλεπῶς μετάβαλε δέμας.
ἔχον δὲ νόσον μεθ' ἡσυχίας καὶ γενναίου
λήματος οἴσεις· μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη.

Ayuntamiento de Madrid

Ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα ὄντας ἀνθρώπους.

Ρ ᾷστον τὸ θρηνεῖν· τὸ δὲ κοινὸν ἄχος·
μετρίως ἀλύειν σοφία μελετᾷ.

Α λλ' εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.

Μ οχθεῖν ἀνάγκη· τὰς δὲ δαιμόνων τύχας,
ὅστις φέρει κάλλιστ' ἀνὴρ οὗτος σοφός.

Τ οῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών.
μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' οὑντυγχάνων
τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς.

Ε χεις μὲν ἀλγεινά· οἶδα· πειρᾶσθαι δὲ χρή.
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.

Ρ ᾷστον ἄριστον, μὴ βιάζεσθαι θεούς.
στέργειν δὲ μοῖραν· τῶν ἀμηχάνων δ' ἔρως,
πολλοὺς ἔθηκε τοῦ παρόντος ἀμπλακεῖν.

Τ ὰ τυγχάνοντα δ' ὅστις εὖ φέρει βροτῶν.
σοφὸν νομίζω· σωφρονεῖν τ' ἐμοὶ δοκεῖ.

Π έπονθας οἷα χἄτεροι πολλοὶ βροτῶν
τὰς γὰρ παρούσας οὐχὶ σώζοντες τύχας,
ὤλοντ' ἐρῶντες μειζόνων ἀβουλίᾳ.

Βακχυλίδου. Ε ἷς ὅρος· μία βροτοῖσιν ἐστὶν εὐτυχίας ὁδὸς,
θυμὸν εἴ τις ἔχων ἀπευθῆ δύναται διατελεῖ βίον.
οἷς δὲ, μυρία μὲν ἀμφιπολεῖ φρενὶ, τὸ δὲ
παρὸ μαρτε νύκτα· μελλόντων χάριν
ἄπτεται κέαρ, ἄκαρπον ἔχει πόνον.

Πυθαγόρου Ο σσα δὲ δαιμονίαισι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν.
ὧν ἂν μοῖραν ἔχῃς ταύτην φέρε· μηδ' ἀγανάκτει.

Ἀντιφάνους Α νδρὸς διαφέρει τοῦτ' ἀνήρ· ὁ μὲν κακῶς
πράττων, τὸ λυπούμενον, ἤγαγ' εἰς παράστασιν,
ὁ δ' ἐμφρόνως δεξάμενος, ἤνεγκε κακῶς.

Τ ὰς τύχας φέρειν δεῖ, ἠπίως τὸν εὐγενῆ.
τὸ μὲν ἀτυχῆσαι, παντὸς εἶναί μοι δοκεῖ.
ἀνδρὸς δὲ συνεγκεῖν ἀτυχίαν, ὀρθοῦ τρόπου.

Μενάνδρου Ε νεγκ' ἀτυχίαν καὶ βλάβην εὐσχημόνως.
τοῦτ' ἐστὶν ἀνδρὸς, νοῦν ἔχοντος, οὐκ ἄνω
ἀνασπάσας τις τὰς ὀφρῦς, εἰ μὴ λαλεῖ

Ayuntamiento de Madrid

ἀλλ' ὃς τὰ αὑτοῦ πράγματ' ἐγκρατῶς φέρει.
Α εἰ τὸ λυπροῦν ἀποδίωκε τοῦ βίου.
μικρόν τι τοῦ βίου καὶ στενὸν ζῶμεν χρόνον.
Μ είζω τὰ κακὰ ποιοῦσι πολλοὶ δέσποτα. Φιλήμονος
αὐτοὶ δι' αὑτούς, ἢ πέφυκε τῇ φύσει.
οἷον τέθνηκεν υἱός, ἢ μήτηρ τινί,
ἢ νὴ δί' ἄλλων τῶν ἀναγκαίων γέ τις.
εἰ μὲν λάβῃ τοῦτ' ἀπέθανεν, ἄνθρωπος γὰρ ἦν,
τοσοῦτον γέγονε τὸ κακὸν, ἡλίκον περ ἦν.
ἐὰν δὲ ἀβίωτος ὁ βίος, οὐκ ἔτ' ἴψομαι,
ἀπόλωλεν, ἐν ἑαυτῷ τοῦτο ἐὰν σκοπῇ,
πρὸς τοῖς κακοῖς οὗτος, ἕτερα συλλέγει κακά.
ὁ δὲ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν,
τὸ κακὸν ἀφαιρεῖτ', ἀγαθὸν δὲ λαμβάνει.
Ο ὕτως ἄνανδρος γέγονας, οὐκ εὐψυχία Διφίλου.
τοῦτ' ἐστὶν ὃ ποιεῖς νῦν γὰρ, ἀλλ' ἀνανδρεία.
τὸ μὴ δύνασθαι καρτερεῖν λυπούμενον.
Χ αλεπὸν τύχης τι πρᾶγμα χαλεπόν. ἀλλὰ δεῖ Ἀπολλο-
αὐτὴν φέρειν κατὰ τρόπον ὥσπερ φορτίον. δώρου.
Τ ὰ προσπεσόντα προσδοκᾶν ἅπαντα δεῖ. Μενάνδρου
ἄνθρωπον ὄντα. παραμένει γὰρ οὐδὲ ἕν.
Α γνώς τις ἔστ' ἄνθρωπος, δυσδαίμων ἔσῃ Φιλήμονος
τέθνηκέ τις. μὴ δεινὸν ἔστω τοῦτό σοι.
κεκύηκέ τις. μὴ δεινὸν, οὐ κεκύηκέ τις.
ἠτύχηκέ τις. βλέπει τίς. οἰμώζει τίς
ἡ φύσις φέρει δ' ἅπαντα ταῦτα. φεῦγε τὰς λύπας.
Π ολλὰ δύσκολα ἐν τοῖς πᾶσιν εὕροις ἄν. Μενάνδρου
ἀλλ' εἰ πλείονα τὰ συμφέροντ' ἔνεστι,
τοῦτο δεῖ σκοπεῖν.
Α νδρῶν τάδ' ἐστὶν ἐνδίκων τε καὶ σοφῶν Εὐριπίδου
κἀν τοῖς δεινοῖσι, μήτε θυμοῦσθαι θεοῖς.
Τ ὰ δυσχερῆ γὰρ καὶ τὰ λυπήσαντά σε
ὁρᾷς ἐν αὐτῷ. τἀγαθὰ δ' οὐκέτι βλέπεις. Μενάνδρου
εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων σμύλε

Ayuntamiento de Madrid

ἀγαθὸν, ὅπου τι μὴ πρόσεστι καὶ κακόν.
Ὧν δὲ μὴ αἴτιος τρόπος, τό γ' ἀπὸ τῆς τύχης
φέρειν δεῖ γενναίως τὸν εὐγενῆ.
Καὶ μὴ θεομάχει, μὴ δὲ προσάγου τῷ πράγματι
χειμῶνας ἑτέρους, τοὺς δ' ἀναγκαίους φέρε.

Φιλήμονος. Ἄνθρωπος εἶ δήπουθεν, οὐκ ἔστ' οὐδὲ εἷς,
ᾧ μὴ κακόν τι γέγονεν, ἢ γενήσεται.
ὁ ποιῶν δ' ἐλάχιστον τὸ γεγενημένον,
ἀμφότερον οὗτος, εὐτυχεῖ τε καὶ φρονεῖ.

Σοφοκλέ. Στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει
σοφὸν κυβερνήτην, ἀλλὰ μὴ στένειν τύχην,

Ἀλέξιδος. Σοφοῦ γὰρ ἀνδρὸς καὶ τὰς τύχας εὖ φέρειν.

Σοφοκλέ. Ἴσχει μὲν ὦ γύναι κεὐδ' οὐδ' ἂν εἷς φύγοι.
βροτῶν ποθ', ᾧ κε Ζεὺς ἐφορμήσῃ κακά.
νόσους δ' ἀνάγκη τὰς θεηλάτους φέρειν.
Τίν' ἡμῖν ἥκεις τοῦ θεοῦ φήμην φέρων
ἐσθλήν. λέγων γὰρ καὶ τὰ δύσφορ' εἰ τύχοι
κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν.
Εὔφημα φώνει. μὴ κακὸν κακῷ διδοὺς
ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.
Θάρσει γύναι. τὰ πολλὰ τῶν δεινῶν, ὄναρ
πνεύσαντα νυκτὸς ἡμέρας μαλάσσεται.
Ἀλγεινὰ πρόκνη. δῆλον. ἀλλ' ὅμως χρεὼν
τὰ θεῖα θνητοὺς ὄντας, εὐπετῶς φέρειν.

Σωτάδου. Μῦθός τις περιφέρεται γυναικός. ὅτι ἡ λύπη παρ' οἷς ἂν τρέφεται καὶ αὔξεται. παρ' ἐκείνοις ἡ δέος καὶ μένει. ὁ δὲ κλεάνθης, ἔλεγε τὴν λύπην, ψυχῆς παράλυσιν. ὁ δὲ φρόνιμος ἐρεῖ. τολμήσεις μοι μῦθος. ἐπεὶ μάλα πολλὰ πέπονθα. μετὰ καὶ τόδε, τοῖσι γενέσθω.

Ῥούφου ἐκ τῶν ἠθικῶν τοῦ περὶ φιλίας. Ὅτι τοιαύτη ἡ τοῦ κόσμου φύσις. καὶ ἦν, καὶ ἔστι. καὶ ἔσται. καὶ οὐχ οἷόν τε ἄλλως γίνεσθαι τὰ γινόμενα, ἢ ὡς νῦν ἔχει. καὶ ὅτι ταύτης τῆς τροπῆς καὶ μεταβολῆς, οὐ μόνον οἱ ἄνθρωποι μετειλήφασιν, καὶ τ' ἄλλα ζῶα τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ θεῖα. καὶ νὴ δί' αὐτὰ τὰ τέσσαρα στοιχεῖα, ἄνω καὶ κάτω τρέπεται καὶ μεταβάλλει. καὶ γῆ τε ὕδωρ γίνεται. καὶ ὕδωρ ἀήρ. οὗτος δὲ πάλιν εἰς ἕτερα μεταβάλλει. καὶ ὁ αὐτὸς τρόπος τῆς μεταβολῆς ἄνωθεν κάτω. ἐὰν πρὸς ταῦτα

Ayuntamiento de Madrid

τις περὶ χαρῆ ῥέπειν τὸν νοῦν καὶ πείθειν ἑαυτὸν ἑκόντα δέχεσθαι τὰ ἀναγκαῖα, πάνυ μετρίως καὶ μουσικῶς διαβιώσεται τὸν βίον.

Ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς, γνώμῃ μὲν ἥκιστα λυποῦνται. ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν, κράτιστοί εἰσι. Θουκυδίδου

Ξενοφῶντι θύοντι, ἧκέ τις ἐκ μαντινείας ἄγγελος, λέγων τὸν υἱὸν αὐτοῦ τὸν γρύλλον τεθνάναι. κἀκεῖνος, ἀπέθετο μὲν τὸν στέφανον. διετέλει δὲ θύων. ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε τῷ προτέρῳ λόγῳ, ὅτι νικῶν τέθνηκεν, πάλιν ὁ ξενοφῶν ἐπέθετο τὸν στέφανον. Αἰλιανοῦ.

Πάντα ὑπακούει τῷ κόσμῳ καὶ ὑπηρετεῖ γῆ καὶ θάλασσα καὶ ἥλιος, καὶ τὰ λοιπὰ ἄστρα, καὶ τὰ γῆς φυτὰ, καὶ ζῶα. ὑπακούει δὲ αὐτῷ καὶ τὸ ἡμέτερον σῶμα, καὶ νοσοῦν καὶ ὑγιαῖνον, ὅταν ἐκεῖνος θέλῃ. καὶ νεάζον καὶ γηρῶν. καὶ τὰς ἄλλας διερχόμενον μεταβολάς. οὐκοῦν εὔλογον, καὶ ὃ ἐφ' ἡμῖν ἐστι, τουτέστι, τὴν κρίσιν, μὴ ἀντιτείνειν μόνην πρὸς αὐτόν. καὶ γὰρ ἰσχυρός ἐστι. καὶ κρείσσων. καὶ ἄμεινον ὑπὲρ ἡμῶν βεβούλευται. μετὰ τῶν ὅλων καὶ ἡμᾶς συνδιοικῶν. πρὸς δὲ τούτοις καὶ ἡ ἀντίπραξις μετὰ τοῦ ἀλόγου. καὶ πλέον οὐδὲν ποιοῦσα. πλὴν τὸ διακενῆς σπᾶσθαι καὶ περιπίπτειν ὀδύναις, καὶ λύπαις ποιεῖ. Ἀῤῥιανοῦ.

Λύπην ἀδέσποτον ψυχῆς ναρκώσης, λογισμῷ ἔκκρουε. Δημοκρί.

Μέγα τὸ ἐν συμφοραῖσι φρονεῖν ἃ δεῖ.

Μεγαλοψυχίη, τὸ φέρειν πράως πλημμέλειαν.

Πενίην ἐπιεικέως φέρειν, σωφρονέοντος.

Διογένης περιπεσὼν εὐτισι συμπτώμασιν ἔλεγεν. εὖγε ὦ τύχη, ὅτι μου ἀῤῥένως προέστηκας. ἐν δὲ τοῖς τοιούτοις καιροῖς, καὶ τερετίζων ἀνεφώνει.

Χίλων λυπουμένου τινὸς ἐπὶ τοῖς αὐτοῦ κακοῖς, εἶπεν. εἰ τὰ πάντων κατανοήσεις, ἧττον ἐπὶ τῶν σεαυτοῦ δυσφορήσεις.

Πιττακὸς, συνετῶν μὲν ἀνδρῶν εἶπεν ἔργον, ἵνα μὴ γένηται κωλῦσαι. ἀνδρείων δὲ, γενόμενα φέρειν ἐγκρατῶς.

Σωκράτης διαλεγόμενος, καί τινος προσαγγείλαντος, ὅτι ὁ υἱὸς αὐτοῦ τέθνηκε, συμπεραιώσας τὴν διάλεξιν, ἀπίωμεν ἔφη σωφρονίσκῳ τὰ νενομισμένα πληρώσαντες.

Τὰς τῆς τύχης μεταβολὰς, γενναίως πειρῶ φέρειν. καὶ μήτε εὐτυχῶν ὑπερήφανος ἔσο, μήτε ἀπορῶν ταπεινός. ἀλλὰ γίνου ταπεινὸς ἐφ' ἑκατέρᾳ τῆς τύχης. Θεοβούλου

Ἀνὴρ ἐν μεγαλοψυχίᾳ ἀληθινῇ καὶ φιλοσοφίᾳ τεθραμμένος. πρὸ τῶν ξυμφορῶν, τὴν ἐπιθυμίαν ἐν τῇ γνώμῃ ἀπόθετον ἔχει. τὸ δὲ ἐπὶ τοῖς δειναῖς. Φαβωρίνου

Ayuntamiento de Madrid

τῆς δὲ ἑτέρου παρηγορίας χρήζειν, τὸν καιρὸν τῆς εὐθυμίας ὑπερβαίνει.

Διονυσίου ἁλικαρνασέως.

Ξανθίππη ἔφη. μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς κατασχουσῶν· ἐν πάσαις ὅμοιον τὸ σωκράτους πρόσωπον. καὶ προϊόντος ἐκ τῆς οἰκίας, καὶ ἐπανιόντος θεάσασθαι· ἥρμοστο γὰρ δηλονότι πρὸς πάντα ἐπιεικῶς τοιγάρτοι οὐδὲν πώποτε ἐλύπησεν αὐτόν.

Ἐκ τοῦ ἐπικτήτου ἐγχειριδίου.

Ὅταν κλαίοντα ἴδῃς ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος τοῦ ἀνθρώπου, ἀλλ' εὐθὺς τὸ χεῖρον ἔσω· ὅτι τοῦτον θλίβει, οὐ τὰ συμβεβηκότα. ἄλλον γὰρ οὐ θλίβει· ἀλλὰ τὰ δόγματα. μέχρι μέντοι λόγου, μὴ ὄκνει συμπεριφέρεσθαι αὐτοῖς· κἂν οὕτω τύχῃ, ἐπιστενάξαι. λίαν δὲ πρόσεχε, μὴ καὶ ἔσωθεν στενάξῃς.

Τοῦ αὐτοῦ.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσα αὐτό, ἀλλ' ὅτι ἀπέδωκα. τὸ παιδίον ἀπέθανεν· ἀπεδόθη. τί δέ μοι μέλλει· διότι με ὁ δοὺς ἀπῄτησε. μέχρι δ' ἂν διδῶται, ἐπιμελοῦμαι ὡς τοῦ πανδοκείου.

Ἀρριανοῦ ἐπικτητίου, ἐκ τοῦ περὶ προνοίας.

Ἀλλὰ γίνεταί τινα ἀηδῆ καὶ χαλεπὰ ἐν τῷ βίῳ. καὶ τί οἴει; ὅτι ὁ ἡρακλῆς ἂν ἀπέβη τοιοῦτος· εἰ μὴ λέων οὗτος ἐγένετο· καὶ ὕδρα· καὶ ἔλαφος, καὶ σῦς· καὶ ἄδικοί τινες ἄνθρωποι, καὶ θηριώδεις, οὓς ἐκεῖνος ἐξήλαυνε καὶ ἐκάθαιρε. καὶ σὺ τούτων αἰσθανόμενος, βλέψον εἰς τὰς δυνάμεις καὶ ἀφορμάς, δι' ὧν κοσμήσεις σαυτόν, οὔ· ἀλλὰ κάθησθε τὰ μὲν, μὴ συμβῇ τρέμοντες. περὶ δὲ τῶν συμβαινόντων, ὀδυρόμενοι· εἶτα τοῖς θεοῖς ἐγκαλεῖτε; τί γάρ ἐστιν ἄλλο ἀκόλουθον τῇ τοιαύτῃ ἀγεννείᾳ. ἢ ἀσέβεια. καίτοι ὅτε θεὸς οὐ μόνον ἔδωκεν ἡμῖν τὰς δυνάμεις ταύτας, καθ' ἃς οἴσομεν πᾶν τὸ ἀποβαῖνον. μὴ ταπεινούμενοι μηδὲ συγκλώμενοι. ἀλλ' ὃ ἦν ἀγαθοῦ βασιλέως, καὶ ταῖς ἀληθείαις πατρός, ἀκώλυτον τοῦτο ἔδωκε· καὶ ὅλον αὐτὸ ἐφ' ἡμῖν ἐποίησεν.

Ἱππάρχου πυθαγορείου, ἐκ τοῦ περὶ εὐθυμίας.

Ὡς πρὸς τὸν σύμπαντα αἰῶνα ἐξετάζοντι· βραχύτατον ἔχοντες οἱ ἄνθρωποι τὸν τᾶς ζωᾶς χρόνον, κάλλιστον ἐν τῷ βίῳ, οἱονεί τινα παρεπιδημίαν ποιησοῦνται, ἐπ' εὐθυμίᾳ καταβιώσαντες. ταῦτα δὲ ἕξοντι μάλιστα πάντων ἀκριβῶς ἐπιστάμενοι, καὶ ἐπεγνωκότες ἑαυτούς· ὅτι ἐντὶ θνατοὶ καὶ σάρκινοι· εὐαδίκητον καὶ φθαρτὸν κεκτημένοι σῶμα. καὶ πάντων χαλεπωτάτων αὐτοῖς ἐπικρεμαμένων, μέχρις ἐσχάτας ἀναπνοᾶς· καὶ πρῶτόν γε πενθῶμεν ἐπὶ τὰ συμβαίνοντα περὶ τὸ σῶμα· πλευρίτιδες. περιπνευμονίαι· φρενίτιδες. ποδάγραι· στραγγουρίαι· δυσεντερίαι· ληθαργίαι· ἐπιληψίαι· σηπεδόνες· ἄλλα μυρία. περὶ δὲ τὰν ψυχάν, πολλῷ μείζονα καὶ χαλεπώτερα.

πάντα

Ayuntamiento de Madrid

πάντα γὰρ τὰ κατὰ τὸν βίον ἄθεσμα καὶ κακὰ· παράνομα· καὶ ἀσεβήματα, ἐκ τῶν κατὰ τὴν ψυχὴν παθημάτων ἐστί· διὰ γὰρ τὰς παρὰ φύσιν ἀμέτρους ἐπιθυμίας, πολλοὶ εἰς καταχέτεις ὁρμὰς ἐξώκειλαν· καὶ οὔτε τὰς ἐκ τῶν θυγατέρων, οὔτε τὰς ἐκ τῶν ματέρων ἀνοσιωτάτας ἡδονὰς ἀπέχοντο· ἀλλὰ καὶ ἤδη πατροκτονίαι παρεγένοντο· καὶ πολλοὶ τὰ ἴδια τέκνα κατέσφαξαν· τότε τὰ ἀπὸ τῶν ἐκτὸς ἐπηρτημένα, κατὰ τὰς ἐπομβρίας, καὶ αὐχμώς· ὑπερβολὰς καυμάτων· ὑπερβολὰς ψύξιος, ὥστε πολλάκις ἐκ τᾶς κατὰ τὸν ἀέρα ἀνωμαλίας, λοιμόν τε καὶ λιμὸν γίνεσθαι. καὶ ποικιλίαν παντοδαπῶν συμπτωμάτων· καὶ ὅλας πόλεις ἐρημοῦσθαι. πολλῶν οὖν τοιούτων ἤδη κρεμαμένων, μήτε τοῖς κατὰ τὸ σῶμα εὐαμερείαις προσέχοντες, σεμνυνόμενοι ἐπαιρόμεθα· ἅπερ ἐν ὀλίγῳ πυρετῷ ἤδη γινομένῳ, σὺν θεῶν τρόπῳ, συντόμως μαραίνονται· μήτε ταῖς ἐκτὸς νομιζομέναις εὐτυχίαις, καὶ αὗται πολλάκις τάχιον ἀπαλλάττεσθαι ἢ γίνεσθαι πεφύκασι· πάντα γὰρ ταῦτα, ἄστατά τε καὶ ἀβέβαια· εὗρε τὸν τρόπον, ἐν πολλαῖς καὶ ποικίλαις μεταβολαῖς γινόμενα παρειλήφαμεν· καὶ οὐδὲν αὐτῶν μένον, οὐδὲ ἀκίνητον, οὐδὲ βέβαιον· οὐδὲ ἀδιαίρετον· διὸ ταῦτα μὴ ἐνθυμηθέντες, νομίζοντες δὲ τὰ παρέοντα καὶ δεδομένα, καὶ τὸν ἐλάχιστον χρόνον διαμεῖναι δύναται, ἐν ἀθυμίᾳ διάξομεν, γενναίως φέροντες τὰ προσπίπτοντα· νῦν δὲ πολλοὶ πάντα τὰ ὑπὸ φύσιος καὶ τύχας παρεόντα, καὶ δεδομένα αὐτοῖς ἤδη τὸ βέλτιον προαναπλήσαντες, καὶ οὐχ οἷα δεῖ λογισάμενοι· ἀλλ᾽ οἷα ἐπ᾽ ἄκρον ἐπιτυγχανόμενα, δύναται γενέσθαι, ἄφρω στερόμενοι, πολλοῖς, καὶ μεγάλοις· καὶ ἀθέσμοις· καὶ ἀνοήτοις κακοῖς καταφορτίζοντι τὰν ψυχάν. καὶ οὕτω συμβαίνει αὐτοῖς, πικρότατον ἔχειν τὸν βίον καὶ χαλεπώτατον. ταῦτα δὲ γίνεται, ἤδη τε ἀποβολαῖς χρημάτων, ἢ φίλων θανόντων· ἢ τέκνων, ἢ τινῶν ἄλλων τῶν νομιζομένων τιμιωτάτων ἦμεν· εἶτα κλαίοντες καὶ ὀδυρόμενοι, λέγοντι αὐτοὺς μόνους ἀτυχεστάτους καὶ κακοδαίμονας, οὐ μεμναμένοι ὅτι, καὶ ταῦτα καὶ ἄλλοις πολλοῖς ἐγένοντο, καὶ νῦν γίνονται. οὔτε δυνάμενοι κατανοῆσαι, τόν τε τῶν παρεόντων βίον, καὶ τὸν τῶν παρεξεστακότων, ἐν ὅσαις συμφοραῖς καὶ κακῶν τρικυμίαις, καὶ νῦν ἐντὶ πολλοὶ, καὶ πρὸ τοῦ ἐγένοντο· ἤδη λογισάμενοι οὖν, ὅτι πολλοὶ ἀποβαλόντες χρήματα, ὕστερον διὰ τὰν τῶν χρημάτων γενομέναν ἀπώλειαν, αὐτοὶ περιεσώθησαν. ἢ λησταῖς διὰ τοῦτο μέλλοντες περιπίπτειν, ἢ τυράννῳ. πολλοὶ δὲ φιλήσαντές τινας, καὶ καθ᾽ ὑπερβολὴν εὐνοήσαντες, ἐν τῷ μετέπειτα χρόνῳ μεγάλως ἐμίσησαν. ἃ δὴ πάντα ἀναλογισάμενοι ἐκ τᾶς παραδεδομένας



Ayuntamiento de Madrid

ἀμὴν ἱστορίας καὶ μαθόντες ὅτι, καὶ ὑπὸ τέκνων καὶ φίλων μάλιστα φιληθέντων, πολλοὶ ἀπώλοντο. καὶ ἀντιπαραβάλλοντες τὸν αὐτῶν βίον, πρὸς τὸν τῶν πρασσομένων φαυλότερον, καὶ τὰ προσπίπτοντα ἀνθρώπινα νομίζοντες, καὶ μὴ μόνοις συμβαίνοντα, εὐθυμότερον διάξομεν. οὐδὲ γὰρ θέμις ἄνθρωπον ὄντα, τῶν ἀλλοτρίων συμπτώματα δύσφορα νομίζειν. ἀλλὰ καὶ τὰ ἴδια καὶ δὲ εἰδόντας. ὅτι πολλαὶ κῆρες κατὰ πάντα τὸν βίον πεφύκαντι. οἱ δὲ κλαίοντες καὶ κατοδυρόμενοι, πρὸς τῷ μηδ᾽ ἐντινοῦν ὠφελεῖν τῷ ἀπολλομένῳ ἢ τῷ ἀποιχομένῳ ἐπαινεῖσθαι, ἐς μείζονα παθήματα τὰν ψυχὰν ἐλαύνοντι, μέσαν πολλῶν φαύλων φυσιωμάτων οὖσαν. προσήκει οὖν ἐκνίπτοντας καὶ ἀνακαθαίροντας, ἀπορρύπτεσθαι πάσαις μηχαναῖς, τὰς ἐγκατεσκηρωμένας κηλῖδας, τῷ κατὰ φιλοσοφίαν λόγῳ. ποιήσομεν δὲ τοῦτο, ἀντεχόμενοι φρονήσιος καὶ σωφροσύνας. καὶ μεταποιούμενοι τοῖς παρεοῦσι, καὶ μὴ πολλῶν ὀρεγόμενοι. οἱ γὰρ ἄνθρωποι τὰ πολλὰ παρασκευαζόμενοι, ὡς οὐκ ἔστι ζῆν μετὰ τὸν τᾶς ζωᾶς χρόνον. ἄξεσι γενέσθαι, χρυσώμεθα παρουσία τῶν ἀγαθῶν. ἐκ δὲ τᾶς φιλοσοφίας καλῶν καὶ σεμνῶν, καὶ τῆς ἐκ τῶν φαύλων ἀπολυθησόμεθα ἀπλησίας.

Ἐκ τοῦ Τέλητος περὶ περιστάσεων.

Ἡ τύχη ὥσπερ ποιήτριά τις οὖσα, παντοδαπὰ ποιεῖ πρόσωπα. ναυαγοῦ. πτωχοῦ. φυγάδος. ἐνδόξου. ἀδόξου. δεῖ οὖν τὸν ἀγαθὸν ἄνδρα, πᾶν ὅ,τι ἂν περιθῇ, καλῶς ἀγωνίζεσθαι. ναυαγὸς γέγονας, εὖ τὸν ναυαγόν. πένης ἐξ εὐπόρου. εὖ τὸν πένητα. ἀρκούμενος ἐν μικροῖς τι, καὶ ἀρκούμενος ἐν μεγάλοισιν. ἀρκούμενος καὶ ἐσθῆτι τῇ τυχούσῃ καὶ διαίτῃ. καὶ διακονίᾳ. ὥσπερ ὁ Λαέρτης γρηῒ σὺν ἀμφιπόλῳ. ἥ οἱ βρῶσίν τε πόσιν τε παρτίθει. καὶ ἐκοιμᾶτο χαμαὶ ἐπὶ στιβάδος. φύλλων δὲ κεκλιμένων, χθαμαλαὶ βεβλήατο εὐναί. ἀρκεῖ γὰρ ταῦτα καὶ εἰς τὸ προσηνῶς καὶ εἰς τὸ ὑγιεινῶς, ἐὰν μή τις τρυφᾶν βούληται. οὐ γὰρ ἐν γαστρὸς φορᾷ τὸ χρηστὸν εἶναι. οὐδέ γε ἐν χλανίδος καταστολῇ. οὐδὲ ἐν στρωμνῆς μαλακότητι οὐκ ἀηδῶς γὰρ εὐελπίδης, τροφῇ δέ τι πολλῶν ἐδεστῶν μηχανὰς θηρεύομεν. καὶ οὐ μόνον ἐδεσμάτων, ἀλλὰ καὶ ὀσφραντῶν, καὶ ἀκουστῶν. οὐ δεῖ δὲ τρυφᾶν οὐδὲ τῶν πραγμάτων μὴ φερόντων. ἀλλ᾽ ὥσπερ οἱ ναυτικοὶ πρὸς τοὺς ἀνέμους καὶ πρὸς τὴν περίστασιν ὁρῶντες ἐκποιεῖ χρῆσαι, οὐκ ἐκποιεῖ παῦσαι. καὶ ὥσπερ ἐπὶ στρατείας, ὁ μὲν ἵππον ἔχων ἱππεὺς ἀγωνίζεται, ὁ δὲ ὅπλα ὁπλίτης. ὁ δὲ μηδὲν ἔχων ψιλός. καὶ ὥσπερ ἐκεῖ, ὅταν ἐπίκειται οἱ πολέμιοι, καὶ βάλλωσιν εἰς τὰ ὅπλα, ἀναχωρεῖ ψιλὸς ὤν, οὕτως αὖ δεῦρο ἐπίκειται ἐνίοτε πόλεμος. ἀπορία. ἀρρωστία. ἀναχωρεῖ εἰς μονοπτίχιαν. εἰς ἀλλοδιακονίαν. εἰς φρίβωνα. ἔσχατον, εἰς ᾅδην.

Ayuntamiento de Madrid

Τοῦ αὐτοῦ περὶ ἀπαθείας.

Μή ποθ' ὃν τρόπον ἀπύρηνος ῥοὰ λέγεται, καὶ ἀτράχηλοι καὶ ἄπλευροι ἄνθρωποι, οὕτω καὶ ἄλυποι καὶ ἄφοβοι ἄνθρωποι λέγονται; βούλει οὖν αὐτοῖς παραδείγμασι χρησάμενοι, ὃν τρόπον ἀπύρηνος ῥοὰ λέγεται, καὶ ἄπλευροι καὶ ἀτράχηλοι ἄνθρωποι, οὕτω καὶ ἀναμάρτητοι καὶ ἄφθονοι λέγονται. καὶ ὃν τρόπον ἐκεῖ ἄπλευρος οὐ κατὰ στέρησιν πλευρῶν, ἀλλὰ τοιούτων πλευρῶν λέγεται. οὕτω καὶ ὁ ἄφρων καὶ ὁ ἄνους, οὐ κατὰ στέρησιν φρενῶν καὶ νοῦ, ἀλλὰ τοιούτων φρενῶν καὶ τοιούτου νοῦ. καὶ ὥσπερ τὸ ἄπλευρον ἔχειν μὲν φαμὲν πλευρὰς μοχθηρὰς δέ, οὕτω καὶ τὸ ἄνουν ἔχειν μὲν νοῦν, μοχθηρὸν δέ. καὶ τὸ ἄφρονα ἔχειν μὲν φρένας, μοχθηρὰς δέ. ἢ παντάπασι τὸ πεπεῖσθαι ταῦτα γελοῖον. ἀλλ' ὥσπερ ἀναμάρτητος ὁ ἐκτὸς ἁμαρτίας, καὶ ἄφθονος ὁ ἀβάσκανος καὶ ἀπερίεργος καὶ ἀμεμψίμοιρος ἐκτὸς ἑκατέρων τούτων, οὕτω καὶ ἄλυπος καὶ ἄφοβος, ἐκτὸς λύπης καὶ φόβου. οὕτω γὰρ καὶ εὐδαίμων ἔσται, ὁ ἐκτὸς τοῦ πάθους καὶ ταραχῆς ὤν. ὅστις δὲ ἐν ὀδύνῃ καὶ λύπῃ ὤν, καὶ φόβῳ ἐστί, πῶς ἂν ἐκεῖνος εὐαρεστοίη τῷ βίῳ. ὁ δὲ μὴ εὐαρεστῶν, πῶς ἂν εἴη εὐδαίμων, ἢ ὁ λύπῃ ἅπτεται, πῶς οὐ καὶ φόβος. καὶ ἄγνοια. καὶ ὀργή. καὶ ἔλεος. ὧν γὰρ ὑπαρξάντων ἄνθρωποι λυποῦνται, τούτων ἐν προσδοκίᾳ γενόμενοι, φοβοῦνται, καὶ ἀγωνιῶσι καὶ τοὺς ἀναξίως δοκοῦντας περιπίπτειν, τούτους ἐλεοῦσι. καὶ τοῖς κατὰ προαίρεσιν ὑποβάλλουσιν, ὀργίζονται καὶ θυμοῦνται, καὶ ὑφορῶνται. καὶ οὓς μισοῦσι, τούτους ὁρῶντας εὖ πράττοντας, ζηλοτυποῦσι καὶ φθονοῦσι. καὶ ἀκούσαντες ἔχοντάς τι κακὸν, ἐπιχαίρουσιν. ὁ οὖν ἐν λύπῃ ἔσται, πῶς ἐκτός τινος ἔσται πάθους. ἢ μηδενὸς ἐκτὸς ὤν, πῶς ἀπαθὴς ἔσται. ὅπερ δεῖ τὸν μακάριον εἶναι. ὥστε οὖν, μήτε ἐπὶ φίλου, μήτε ἐπὶ τέκνου τελευτῇ λυπηθῆναι. εἴπερ μηδὲ ἐπὶ τῇ αὐτοῦ. ἢ οὐκ ἄνανδροί σοι δοκοῦσιν εἶναι, οἱ τὸν ἑαυτῶν θάνατον ἀγεννῶς καὶ μὴ εὐθαρσῶς προσδεχόμενοι. ἢ οὐ δεῖ τὸν εὔψυχον καὶ ἀνδρεῖον, εὐτυχῶς τὴν ἑαυτοῦ τελευτὴν φέρειν, ὥσπερ Σωκράτης, μὴ δυσφοροῦντα μηδὲ συσκολαίνοντα. ἢ δυσχερέστερόν τι κρίνειν τὴν ἄλλου τελευτὴν τῆς ἑαυτοῦ. ἢ οὐχ ὁμοίως αὐτὴν ἀγαπᾷ καὶ στέργει. καὶ τὸν φίλον μάλα. ἢ τὰ τέκνα. ἢ ἑαυτόν. καὶ ταύτην ἐπαινοῦσιν ἐντελλομένην. ἐπεὶ καὶ ταυτασὶ τὰς Λακωνικὰς γυναῖκας, πῶς τις ἐπαινεῖ ὡς εὐψύχους. ἀκούσασά τις τὸν ἑαυτῆς υἱὸν σεσωσμένον καὶ πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ. κακὰ κακὰ φάμα τεῦ κακκέχυται. τὺ ὦν ἢ ταύταν ἀπόριψαι. ἢ μὴ δ' ἁμῖν φαίνευ. οὐχ ὡς ἂν Ἀττικὴ γυνὴ ἀκούσασα σεσωσμένον, ἔγραψεν ἄν. εὖ τέκνον, ὅτι σαυτόν μοι ἔσωσας. ἀλλ' ἐκ τῶν ἐναντίων κακὰ φάμα τεῦ κακκέχυται. τὺ ὦν, ἢ ταύταν ἀπόριψαι, ἢ μὴ δ' ἁμῖν φαίνευ. τοῦτο δέ ἐστιν, ἀπάγξαι. καὶ ἄλλη πάλιν ἀπαγγείλα-



Ayuntamiento de Madrid

τος αὐτῇ τοῦ κήρυκος, ὁ υἱὸς ἐν τῇ παρατάξει τετελεύτηκε, ποῖός τις φησὶ γενόμενος. ἀνὴρ ἀγαθὸς ὦ μῆτερ. εὖγε ὦ τέκνον φησί. τούτου γὰρ ἕνεκά σε φησὶν ἐγέννησα, ἵνα χρήσιμος καὶ βοηθὸς ἦσθα τῇ σπάρτῃ. οὐκ ἔκλαιε καὶ ἐδυνοπάθει ἀλλὰ καὶ ἀκούσασα ὅτι εὐψύχως, ἐπῄνεσε. καὶ ἐκείνη δὲ πάλιν ἡ λάκαινα, ὡς γεννική. φυγόντων γὰρ ἄλλης τῶν υἱῶν ἐκ τῆς μάχης, καὶ παραγενομένων πρὸς αὐτήν, ποῦ φησιν ἥκετε φεύγοντες. ἢ δεῦρο καταδυσόμενοι ὅθεν ἐξέδυτε, ἀνασυραμένη καὶ δείξασα αὐτοῖς. ὅρα δὲ καὶ τῶν παρ' ἡμῖν τις γυναικῶν τοῦτ' ἂν ποιήσειεν, ἀλλ' οὐκ ἀσμένη ὄψεται σεσωσμένους. ἐκεῖναι δ' οὔ. ἀλλὰ ἀποθανόντας εὐτυχῶς, ἥδιον. καὶ ὥσπερ γράφουσι λακεδαιμόνιοι, οὔτε τὸ ζῆν θέμενοι καλὸν, οὔτε τὸ θνήσκειν. ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερα ἐκτελέσαι. πῶς δὲ οὐκ ἀλόγιστον καὶ ἄλλως μάταιον. τὸ, τελευτήσαντος τοῦ φίλον, καθῆσθαι κλαίοντα καὶ λυπούμενον, καὶ ἑαυτὸν προσκαταφθείροντα. δέον ἵνα καί τι μᾶλλον φιλόσοφος δόξῃ, παρὰ ἀποπλήκτοις πρὸ τοῦ τελευτῆσαι τὸν φίλον, οὐ δεῖσθαι κλαίειν. ἐνθυμούμενον ὅτι αὐτῷ ὁ φίλος, θνητὸς ἐγένετο καὶ ἄνθρωπος. οὐ γὰρ ὀρθῶς φησι βουλευομένους ὁ σίλπων. τὸ, διὰ τοὺς ἀπογενομένους, τῶν ζώντων ὀλιγωρεῖν. γεωργὸς οὐ ποιεῖ τοῦτο. οὐδὲ ἂν τῶν δένδρων ξηρόν τι γένηται, καὶ τὰ ἄλλα προσεκκόπτει. ἀλλὰ τῶν λοιπῶν ὥσπερ μελόμενος, πειρᾶται τὴν τοῦ ἐκλελοιπότος χρείαν ἀναπληροῦν. οὐδ' ἡμεῖς ὥσπερ τῶν ἡμετέρων μερῶν. γελοῖον γὰρ ἔσται. ἢ ἐὰν τὸν ἕτερόν τις ὀφθαλμὸν ἀποβάλῃ, δεήσει καὶ τὸν ἕτερον προσεκκόψαι. καὶ ὁ εἰς τοὺς κυλλός, καὶ τὸν ἕτερον ἀνάπηρον ποιεῖν. καὶ ἕνα ὀδόντα, καὶ τοὺς ἄλλους προσεκλέξαι. ἀλλ' ὥσπερ μὲν τούτων εἴ τις οὕτως οἴοιτο, μαργίτης. τοῦ δὲ υἱοῦ τελευτήσαντος ἢ τῆς γυναικὸς, αὐτοῦ τε ὀλιγωρεῖν ζῶντος, καὶ τὰ ὑπάρχοντα προσκαταφθείρειν. καὶ δὴ μὲν τῶν γνωρίμων τινὸς υἱὸς, ἢ γυνὴ ἀπέθανε, παρεκάλεσεν ἄν, οἰόμενος δεῖν ἀνδρωδῶν καὶ θαρσαλέως, καὶ μὴ βαρέως φέρειν. αὐτὸς δὲ τοῖς αὐτοῖς περιπεσὼν συμπτώμασιν, οὕτως οἴει δεῖν δυσφορεῖν, ἀλλ' οὐ πρᾴως; καὶ εἴπερ ἕτερον παρακαλεῖ· μέτριον ἐν στενοχωρίᾳ καὶ ἀπειρίᾳ μὴ δυσκολαίνειν, μηδὲ ἀβίωτον τὸν βίον νομίζειν, ἀλλὰ τῷ δοκοῦντι κακῷ, τὸ δοκοῦν ἀγαθὸν ἀντιθεῖναι καὶ ἐξισοῦν. ἀπογέγονεν ὁ φίλος. καὶ γὰρ γέγονε. σὺ δὲ ὅτι μὲν ἀπογέγονεν, ἀκληρεῖν οἴει. ὅτι δὲ ἐγένετο, οὐκ εὐκληρεῖν. καὶ ἃ μὲν μηκέτι παρέξεται χρείας ἀπογενόμενος, ἄθλιον, ὅτι δὲ παρείχετο γενόμενος, οὐ μακάριον; ναί. ἀλλ' οὐκέτι ἔσται. οὐδὲ γὰρ ἦν μυριοστὸν ἔτος. οὐδ' ὥσπερ τῷ φοίνικι. οὐδὲ γὰρ κατὰ τοὺς προπάτοράς σου. σὺ δὲ ὥσπερ μὲν τούτων, οὐκ ἄχθῃ.

ὅτι δὲ

Ayuntamiento de Madrid

ὅτι δὲ εἰς ὕστερον οὐκ ἔσται, δυσχεραίνεις· χρειῶν γὰρ ἐστέρημαι. καὶ γὰρ ὑπουργιῶν, ἃς αὐτὸς ἐλειτούργει ζῶντι τῷ τέκνῳ. καὶ τῷ φίλῳ. καὶ κακοπαθῶν καὶ κινδυνεύων. ἄδηλον γάρ φησιν ὁ Σωκράτης οὐ μόνον τῷ καλῶς εἶ, περὶ ταύτῃ πλείω, ἀλλὰ καὶ τῷ τέκνα, καὶ φίλους ἃ πει τοσούτοις πλείω. ἔπειτα δὴ καὶ ἀποδημοῦντος αὐτοῦ χρειῶν στερηθήσῃ. καὶ στρατευομένῳ ὑπὲρ τῆς πατρίδος, καὶ πρεσβεύοντος. καὶ ἱερεύοντος.

Καὶ τοὺς ὀδυρμοὺς ἄρα ἐξαιρήσομεν. καὶ τοὺς οἴκτους τῶν ἐλλογίμων ἀνδρῶν. ἀνάγκη ἔφη εἴπερ καὶ τὰ πρότερα. σκόπει δὴ ἦν δ' ἐγὼ εἰ ὀρθῶς ἐξαιρήσομεν. ἢ οὐ φαμὲν δὲ δὴ, ὅτι ὁ ἐπιεικὴς ἀνὴρ τῷ ἐπιεικεῖ, οὗπερ καὶ ἑταῖρός ἐστι τὸ τεθνάναι. οὐ δεινὸν ἡγήσεται. φαμὲν γὰρ, οὐκ ἄρα ὑπέρ γε ἐκείνου ὡς δεινόν τι πεπονθότος ὀδύροιτ' ἄν. οὐ δῆτα. ἀλλὰ μὴν καὶ τόδε λέγομεν. ὡς ὁ τοιοῦτος μάλιστα, αὐτὸς αὑτῷ αὐτάρκης πρὸς τὸ εὖ ζῆν. καὶ διαφερόντως τῶν ἄλλων ἥκιστα ἑτέρου προσδεῖται. ἀληθῆ ἔφη. ἥκιστα ἄρ' αὐτῷ δεινὸν στερηθῆναι υἱέος ἢ ἀδελφοῦ ἢ χρημάτων, ἢ ἄλλου του τῶν τοιούτων. ἥκιστα μέν τοι, ἥκιστα ἄρα καὶ ὀδύρεσθαι. φέρειν δὲ ὡς πρᾳότητα, ὅταν τις αὐτὸν τοιαύτη ξυμφορὰ καταλάβῃ. πολύ γε ὀρθῶς. ἄρ' οὖν ἐξαίρομεν τοὺς θρήνους τῶν ὀνομαστῶν ἀνδρῶν. γυναιξὶ δὲ ἀποδιδοῖμεν. καὶ οὐδὲ ταύταις σπουδαίαις. καὶ ὅσοι κακοὶ τῶν ἀνδρῶν. — Πλάτωνος

## ΟΤΙ ΔΕΙ ΤΑΣ ΜΕΝ ΕΥΤΥΧΙΑΣ ΠΡΟΦΑΙΝΕΙΝ. τὰς δὲ ἀτυχίας κρύπτειν. καὶ ὀρθῶς κεχρῆσθαι τοῖς παροῦσι,

## ΛΟΓΟΣ ρζʹ.

Ἀλλοτρίοισι μὴ προφαίνειν. — Πινδάρου.
τίς φέρεται μόχθος ἄμμιν.
τοῦτό γέ τοι ἐρέω. καλῶν μὲν ὦν
μοῖράν τε τερπνῶν, ἐς μέσον χρὴ
παντὶ λαῷ δεικνύναι.
εἰ δέ τις ἀνθρώποις ἀθεόσδοτος. ἀτλήκηκότα
πρὸς τύχη, ταύταν σκότει.
κρύπτειν ἔοικεν.

Μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα. — Σοφοκλέ.
σιγώμενος γὰρ ἐστὶ θρηνεῖσθαι πλέον.



Ayuntamiento de Madrid

## Ὅτι δεῖ τὰς δυστυχίας προφαίνειν.

Διφίλου. Ὡς δεινὸν ἦν ἰκ' αὔτις ὢν ἐν φροντίσιν,
ἄκη θεατὴν τὸν τυχόντα λαμβάνει.

Εὐριπίδου. Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας
εἰς πάντας, ἀμαθές· τὸ δ' ἐπικρύπτεσθαι, σοφόν.
Λύπη μὲν ἄτη περιπεσεῖν αἰσχρᾷ τινι.
εἰ δ' οὖν γένοιτο χρὴ περιστεῖλαι καλῶς.
κρύπτοντα καὶ μὴ πᾶσι κηρύσσειν τάδε.
γέλως γὰρ ἐχθροῖς γίνεται τὰ τοιάδε.
Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.

Σωκράτους. Ταὐτόν ἐστιν ἐν γυμνικῷ ἀγῶνι ἡττηθέντα ὕβρεως δίκην τῷ ἀνταγωνιστῇ λαχεῖν· καὶ ἐν τῷ ζῆν νικώμενον ὑπὸ τῆς τύχης, ἐγκαλεῖν αὐτῇ, ἐφ' οἷς δικαίοις εἰς τὸν ἀγῶνα τοῦ ζῆν συγκαταβεβήκαμεν.

Πλάτωνος. Λέγει που ὁ νόμος· ὅτι κάλλιστον μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς, καὶ μὴ ἀγανακτεῖν. ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων, οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι, οὔτε τι τῶν ἀνθρωπίνων ἄξιον ὂν μεγάλης σπουδῆς. ὅτι δεῖ ἐν αὐτοῖς ὅτι τάχιστα παραγίγνεσθαι ἡμῖν. τούτῳ ἐμποδὼν γιγνόμενον τὸ λυπεῖσθαι. τίνι ἦ δ' ὃς λέγεις· τὸ βουλεύεσθαι ἦν δ' ἐγὼ περὶ τὸ γεγονός. καὶ ὥσπερ ἐν πτώσει κύβων, πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ αὑτοῦ πράγματα. ὅπῃ ὁ λόγος ἐρεῖ βέλτιστ' ἂν ἔχειν. ἀλλὰ μὴ προσπταίσαντας καθάπερ παῖδες ἐχομένους τοῦ πληγέντος ἐν τῷ βοᾶν διατρίβειν. ἀλλ' ἀεὶ ἐθίζειν τὴν ψυχὴν, ὅτι τάχιστα γίγνεσθαι. πρὸς τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ πεσόν τε καὶ νοσῆσαν ἰατρικῇ, θρηνῳδίαν ἀφανίζοντα. ὀρθότατα γοῦν τις ἔφη πρὸς τὰς τύχας οὕτω προσφέροιτο. οὐκοῦν φαμὲν τὸ μὲν βέλτιστον τούτων, τῷ λογισμῷ ἐθέλει ἕπεσθαι. δῆλον δή. τὸ δὲ, πρὸς τὰς ἀναμνήσεις τε τοῦ πάθους καὶ τοὺς ὀδυρμοὺς ἄγον. καὶ ἀπλήστως ἔχον αὐτῶν. ἆρ' οὐκ ἀλόγιστόν τε φήσομεν εἶναι καὶ ἀργὸν καὶ δειλίας φίλον; φήσομεν οὖν. οὐκοῦν τὸ μὲν πολλὴν μίμησιν καὶ ποικίλην ἔχει τὸ ἀγανακτικόν. τὸ δὲ φρόνιμόν τε καὶ ἡσύχιον ἦθος παραπλήσιον ὂν ἀεὶ ἑαυτῷ, οὔτε ῥᾴδιον μιμήσασθαι, οὔτε μιμουμένοις εὐπετὲς καταμαθεῖν.

Ayuntamiento de Madrid

Ἐλπίζειν χρὴ πάντα, ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον — Λίνου.
ῥᾴδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν.

Οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ. — Ἀπολλοδώρου.
ἄνδρα, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί.

Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον. — Μενάνδρου

Ἄνθρωπος ἀτυχῶν, σώζεθ' ὑπὸ τῆς ἐλπίδος.

Μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα, — Εὐριπίδου
κακῶς τε πράσσουσ' ἐλπίδας κεδνὰς ἔχου.

Μούνη δ' αὐτόθι ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν. — Ἡσιόδου.
ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη· πρόσθε γὰρ μιν ἐπέβαλε πῶμα πίθοιο.

Κάμνουσι γάρ τοι καὶ βροτῶν αἱ ξυμφοραί. — Εὐριπίδου
καὶ πνεῦμ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει.
μεθίσταται γὰρ πάντ' ἀπ' ἀλλήλων δίχα.
οὗτος δ' ἀνὴρ ἄριστος, ὅστις ἐλπίσι
πέποιθεν ἀεί, τὸ δ' ἀπορεῖν, ἀνδρὸς κακοῦ.

Ὦ Ζεῦ πολυτίμηθ'· οἷόν ἐστιν ἐλπὶς κακόν. — Μενάνδρου

Οὕτω τι πρᾶγμ' ἐστὶν ἐπίπονον τὸ προσδοκᾶν.

Χρημάτων ἄελπτον οὐδέν ἐστιν, οὐδ' ἀπώμοτον — Ἀρχιλόχου
οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ ὀλυμπίων
ἐκ μεσημβρίας ἔθηκε νύκτ' ἀποκρύψας φάος.
ἡλίου λάμποντος· λυγρὸν δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ, οὐκ ἄπιστα πάντα κἀπίελπτα γίγνεται
ἀνδράσι· μηδεὶς ἔθ' ὑμῶν εἰσορῶν θαυμαζέτω.
μὴ δ' ἵνα δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν.
ἐνάλιον, καί σφι θαλάσσης ἠχέεντα κύματα
φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' ἡδὺ ἦν ὄρος.

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖα. — Θεόγνιδος
οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.

Ἐλπὶς ἐν ἀνθρώποις μούνη θεὸς ἐσθλὴ ἔνεστι.

Ἐλπὶς βροτοῖς κάκιστον· ἣ πολλὰς πόλεις — Εὐριπίδου
συνῆψ', ἔχουσα θυμὸν εἰς ὑπερβολάς.

## ΠΕΡΙ ΕΛΠΙΔΟΣ.

Σοφοκλέ. Ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν.

Θεοκρίτου Θαρσεῖν χρὴ φίλε βάττε, τάχ' αὔριον ἔσσετ' ἄμεινον.
ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.
χ' ὠ ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.

Εὐριπίδου Ἄελπτον οὐδὲν, πάντα δ' ἐλπίζειν χρεών.

Ἐκ τῶν τοῦ βίωνος βουκολικῶν. Αὐτὰρ ἐγὼν βασεῦ, καὶ ἐμὰν ὁδὸν, ἐς τὸ κάταντες
τῆνο, ποτὶ ψάμαθόν τε καὶ ἠϊόνα ψιθυρεῖσθαι.
λισσόμενος γαλάτειαν ἀπηνέα. τὰς δὲ γλυκείας
ἐλπίδας ὑστατίῳ μέχρι γήραος οὐκ ἀπολείψει.

Δημοκρίτου. Ἐλπίδες αἱ τῶν ὀρθὰ φρονεόντων, ἐφικταὶ
αἱ δὲ τῶν ἀξυνέτων, ἀδύνατοι.

Διογένης ἐρωτηθεὶς, τί τῶν κατὰ τὸν βίον ἀκρότατον, εἶπεν ἐλπίς.

Σωκράτους Αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ ὁδηγοὶ, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν.

Ἐπικτήτου Οὔτε ναῦν ἐκ μιᾶς ἀγκύρας, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.

Καὶ τοῖς σκέλεσι καὶ ταῖς ἐλπίσι τὰ δυνατὰ δεῖ διαβαίνειν.

Θαλῆς ἐρωτηθεὶς, τί κοινότατον. ἀπεκρίνατο, ἐλπίς. καὶ γὰρ οἷς ἄλλο μηδὲν, αὕτη πάρεστιν.

Ἀλλὰ πάντα μὲν ἄνθρωπον ὄντα προσδοκᾶν δεῖ.

Σωκράτης. Οὔτε γυνὴ χωρὶς ἀνδρὸς, οὔτε ἐλπὶς ἀγαθὴ, χωρὶς πόνου γεννᾷ τι χρήσιμον.

## ΠΕΡΙ ΤΩΝ ΠΑΡ' ΕΛΠΙΔΑΣ.

### ΛΟΓΟΣ ρθ.

Εὐριπίδου Πτωχὰς διώκεις ὦ τέκνον τὰς ἐλπίδας.
οὐχ ἡ τύχη σε. τῆς τύχης δ' οὐχ εἷς τρόπος.

Πατροκλέους. Καὶ νῦν τὰ δεινὰ ταῦτα καὶ τὰ πόλλ' ἔπη,
ἃς ὧδε μικρὸν τοὖχος ἤθροισεν τύχη.
τί δῆτα θνητοὶ πόλλ' ἀπειλοῦμεν μάτην
δεινοὺς ἐπ' ἀλλήλοισι πέμποντες λόγους.
καὶ πάντα συννοοῦμεν ἐκ πράξειν χερὶ,
πρόσω βλέποντες. τὴν δὲ πλησίον τύχην,



Ayuntamiento de Madrid

οὐκ ἴσμεν οὐδ᾽ ὁρῶμεν ἄθλιον μόρον.
Πολλ᾽ ἐλπίδες ψεύδουσι καὶ ἄλογοι βροτούς. Εὐριπίδου
Ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς
φανεῖσα μᾶλλον, ἢ τὸ προσδοκώμενον.
Πολλ᾽ ἄελπτα κραίνουσι θεοί.
καὶ τὰ δοκηθέντ᾽ οὐκ ἐτελέσθη.
τῶν δ᾽ ἀδοκήτων πόρον εὗρε θεός.
θάρσει. τάχ᾽ ἂν γένοιτο· πολλὰ τοῖς θεοῖς
κἀκ τῶν ἀέλπτων εὔπορ᾽ ἀνθρώποις πέλει.
Ἑκάβη. τὸ θεῖον ὡς ἄελπτον ἔρχεται.
θνητοῖσιν ἕλκει δ᾽ οὔποτ᾽ ἐκ ταυτοῦ τύχας.
Ὁρᾷς δ᾽ ἀέλπτων μυρίων ἀναστροφάς,
πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον.
πολλοὶ δὲ λόγχαις πολεμίων ἀμείνονες
ἥσσους γεγῶτες κρεῖσσον ἦλθον εἰς τύχην.
Οὐκ ἔστιν εἰπεῖν ζῶντα, τοῦτ᾽ οὐ πείσομαι. Μενάνδρου
πάντα δὲ τὰ μὴ προσδοκώμενα ἔκστασιν φέρει.
Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι γρηγορότων ἐνύπνια.
Διονύσιος ἐκπεσὼν τῆς ἀρχῆς, εἴ τις αὐτὸν ᾐτία, ἐν Κορίνθῳ διατρίβοντα, ἔλεγεν· ὡς μακάριοι οἱ ἐκ παίδων δυστυχεῖς.
Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. Ὁμήρου.
Πολλάκις παρὰ δόξαν τε καὶ ἐλπίδα γίνεται εὑρεῖν Θεόγνιδος
ἔργ᾽ ἀνδρῶν· βουλαῖς δ᾽ οὐκ ἔπεσεν τὸ τέλος.
Πᾶσίν τοι κίνδυνος ἐπ᾽ ἔργμασιν, οὐδέ τις οἶδε.
ποῖ σχήσειν μέλλει πρήγματος ἀρχομένου.
ἀλλ᾽ ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας,
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν.
τῷ δὲ καλὸν ποιοῦντι, θεὸς κατὰ πάντα τίθησι.
συντυχίην ἀγαθῶν, ἔκλυσιν δ᾽ ἀφροσύνης.

Ayuntamiento de Madrid

## ΟΤΙ ΟΥ ΧΡΗ ΕΠΙΧΑΙΡΕΙΝ ΤΟΙΣ ΑΤΥΧΟΥΣΙΝ·

## ΛΟΓΟΣ ΕΚΑΤΟΣΤΟΣ ΔΕΚΑΤΟΣ.

Μενάνδρου. Ταῖς ἀτυχίαις μὴ ἐπίχαιρε τῶν πέλας.
Πρὸς τὴν τύχην γὰρ ζυγομαχεῖν οὐ ῥᾴδιον.
Οὐκ ἐμὸν ἀνοίγειν λανθανούσας ἀτυχίας
ἐς, ἀλλὰ κατακαλύπτειν φημὶ δεῖν.

Εὐριπίδου. Μὴ σκυθρωπὸς ἴσθ' ἄγαν πρὸς τοὺς κακῶς
πράσσοντας ἄνθρωπος γεγώς.
Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων,
οὔ πώποθ' ὑβρίσας αὐτὸς ὀρρωδῶν παθεῖν.
Εἰ δ' ἐγὼ πράσσω κακῶς, μηδὲν τὸ δ' αἶσχος.
καὶ σύ τοι πράξειας ἄν.
Εἰ μὴ γὰρ ὢν ἄνθρωπος ἀνθρώπου τύχαις
ὑπηρετήσω εἶτ' οὐ φανήσομαι φρονῶν.

Σοφοκλέ. Πρότερα δ' εἰπέ μοι τίν' αἵρεσιν λάβοις
φίλοις ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν.
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών.

Ἰσοκράτ. Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἀόρατον.

Δημοκρίτου. Οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί. οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ πᾶσι· ἀπορέουσι δὲ οἰκίης χαρᾶς.

Χίλωνος. Ἀτυχοῦντι μὴ ἐπιγέλα· κοινὴ γὰρ ἡ τύχη.
Τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης.
Οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται· καὶ ἐννυκτὶ δὲ χαίρουσιν ὁμοιοπρεπεῖς· ἀγέλας τὰ πρόσωπα βιαζόμενοι.

Φιλήμονος. Ἀνθρώπῳ δ' ὅταν τις ἀκολουθῶν λέγῃ χαῖρε· ἐξ ἀνάγκης οὗτος οἰμώζω λέγει.

Δημοσθένους. Ἐγὼ δὲ ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει, παντελῶς ἀνόητον ἡγοῦμαι· ἣν γὰρ ὁ τὰ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος, οὐκ οἶδεν εἰ τοιαύτη διαμενεῖ μέχρι τῆς ἑσπέρας· πῶς χρὴ περὶ ταύτης λέγειν, ἢ πῶς ὀνειδίζειν ἑτέρῳ.

Ἡροδότου. Ἄμασις Πολυκράτει ὧδε λέγει· ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα· ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι, οὐκ ἀρέσκουσιν· ἐπισταμένῳ τὸ θεῖον, ὡς ἔστι φθονερόν· καί κως βούλομαι καὶ αὐτός, καὶ

Ayuntamiento de Madrid

τῶν ἂν κήδωμαι, τὸ μέν τι εὐτυχεῖν τῶν πρηγμάτων. τὸ δὲ, προσπταίειν. καὶ οὕτω διαφέρειν τὸν αἰῶνα, ἐναλλὰξ πρήσσων, ἢ εὐτυχεῖν τὰ πάντα. οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας, ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόῤῥιζος, εὐτυχέων τὰ πάντα.

## ΟΤΙ ΡΑΟΝ ΑΛΛΟΝ ΠΑΡΑΙΝΕΙΝ, Η ΕΑΥΤΟΝ.

## ΛΟΓΟΣ ΕΚΑΤΟΣΤΟΣ ΕΝΔΕΚΑΤΟΣ.

Σχολῇ μὲν οὐχί. τῷ δὲ δυστυχοῦντί πως, Εὐριπίδου
τερπνὸν τὸ λέξαι κἀπικλαύσασθαι πάλιν.
Σ ὐνάλγησον, ὡς ὁ κάμνων δακρύων μεταδοὺς
ἔχει κουφότητα μόχθων.
Α' μουσία τοι, μηδ' ἐπ' οἰκτροῖσι δάκρυ στάζειν.
Σ ὺν τοῖς φίλοισιν, ἡδὺ μὲν πράσσειν καλῶς,
εἰ δ' ἄρα συμβαίνοι τι δυσχερέστερον.
εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ.
Ο ὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς.
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις.
ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ,
μεθ' ἧς ταράσσει καὶ γαληνίζει φρένα
παραυτὰ δ' ἡσθεὶς, ὕστερον στένει διπλᾶ.
Κ ουφοτέρως τότε φῶτα διαθλίβουσιν ἀνῖαι. Καλλιμ.
ἐκ δὲ φιληκόντων μοῖραν ἀφεῖλε μίαν.
ἢ ὅτ' ἐς ἄνδρα συνέμπορον, ἢ ὅτε κωφαῖς
ἄλγεα μὰψ αὔραις ἔσχατον ἐξερύη.
Α λλ' ὦ φίλοι. τούτων γὰρ οὕνεκ' ἐστάλην. Σοφοκλέ.
ἀρήξατ' εἰσελθόντες εἰ δῶσθέ τι
φίλον γὰρ οἱ τοιοίδε νικῶνται λόγοις.
Δ έρκεσθε. καὶ μιμνήσκεσθε τοῖς εἰρημένοις Μενάνδρου
ἡμῶν ὑπό τινος ἢ πεπονθόσι κακῶς.
ἔστι καταφυγὴ πᾶσιν, οἱ χρηστοὶ φίλοι
καὶ γὰρ ἐποδύρασθαί τι μὴ γελώμενον.
καὶ συναγανακτοῦσθ' ὁπότ' ἂν οἰκείως ὁρᾷ

Ayuntamiento de Madrid

Ὅτι ῥᾷον ἄλλον παραινεῖν ἢ ἑαυτόν.

ἕκαστος αὐτῶν τὸν παρόντα παύεται
τοῦτον μάλιστα τὸν χρόνον τοῦ δυσφορεῖν.

Φιλήμονος.

Τί ποτ᾽ ἔστιν ἄρα διότι βούλεταί με ἰδεῖν,
ἢ καθάπερ οἱ νοσοῦντες ἀλγοῦντες σφόδρα.
τὸν ἰατρὸν ἂν ἴδωσιν ἀλγοῦσιν ἔτι,
οὕτως ἐπάν τις τυγχάνῃ λυπούμενος,
ἧττον ὀδυνᾶται, φίλον ἐὰν παρόντ᾽ ἴδῃ.

Μενάνδρου

Ἡδύ γε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις.

Σοφοκλέ.

Ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονή.
λήθην ὅταν ποιῶσι τῶν ὄντων κακῶν.

Μενάνδρου

Μέγιστόν ἐστιν ἄρα τοῖς ἐπταικόσι,
τὸ παρόντας εὐθὺς τοὺς συναλγοῦντας βλέπειν.

Τῷ μὲν σῶμα διατεθειμένῳ κακῶς,
χρεία ἐστὶν ἰατροῦ· τῷ δὲ τὴν ψυχήν, φίλου.

Λύπην γὰρ εὔνους οἶδε θεραπεύειν φίλος.

Σωτίωνος ἐκ τοῦ περὶ ὀργῆς.

Ὅτι ἡ παραμυθία φάρμακον ἀνίας ἐστὶ μέγιστον. νηπενθές ἄχολόν τε. καὶ κακῶν ἐπίληθον ἁπάντων. καλῶς δὲ καὶ ταῦτ᾽ εἴρηται. λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλου· ἄγαν δὲ μωραίνοντι νουθετήματα.

Τοῖς μὲν νοσοῦσιν, ἰατρούς· τοῖς δ᾽ ἀτυχοῦσι,
φίλους δεῖ παραινεῖν.

Φιλίππου ὀλυνθιακῷ.

Οὐ χαλεπόν ἐστι τῷ κακῶς διακειμένῳ,
εἰπεῖν τιν᾽ ἐσθίοντα μὴ κακῶς ἔχειν.
πύκτῃ τ᾽ ἐπιτιμᾶν, οὐδὲν ἔργον μαχομένῳ.
αὐτὸν δὲ μάχεσθαι, οὐκ ἔστι ῥᾴδιον.
ἕτερόν τι τοῦ λέγειν ἐστὶ τὸ πεπονθέναι.

Φιλήμονος

Τοὺς ἰατροὺς οἶδ᾽ ἐγὼ ὑπὲρ ἐγκρατείας
τοῖς νοσοῦσιν εὖ σφόδρα πάντας λαλοῦντας,
εἶτ᾽ ἐπὰν πταίσωσί τι, αὐτοὺς ποιοῦντας,
πάνθ᾽ ὅσ᾽ οὐκ εἴων τότε
ἀλγεῖν, καὶ θεωρεῖν ἔστ᾽ ἴσως.

Εὐριπίδου.

Σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας,
πάντες διαιρεῖν, ἢ τύχας τὰς οἴκοθεν.
μηδέν ποτε πεῖραν τοῖς θεοῖς εὔχου λαβεῖν,
φαίδιμε τοιοῦτον μηδενὸς μὴ δεδιέναι.

Ayuntamiento de Madrid

ὡς ἔστιν ἑτέρῳ ῥᾴδιον παραινέσαι,
ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν.
Τοὺς δ' ἂν μεγίστους καὶ σοφωτάτους φρενὶ Σοφοκλέ.
τοίους δ' ἴδοις ἄν, οἷός ἐστι νῦν ὅδε,
καλῶς κακῶς πράσσοντι συμπαραινέσαι.
ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν
μάστιγ' ἐρείσῃ τοῦ βίου πάλιν τρόπον,
τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα.
Οἶδ' ἀλλὰ κάμπτειν τῷ χρόνῳ λύπας χρεών. Εὐριπίδου
χρή. τοῦτο δ' εἰπεῖν ῥᾷον ἢ φέρειν κακά.
Οἴμοι. τίς ἀλγεῖν οὐκ ἐπίσταται κακοῖς.
τίς ἂν κλύων τῶν δ' οὐκ ἂν ἐκβάλοι δάκρυ,
Ἦν ἄρα φανὸς αἶνος ἀνθρώπων ὅδε. Μοσχίωνος
ὡς τὸν πέλας μὲν νουθετεῖν, βραχὺς πόνος.
αὐτὸν δ' ἐνεγκεῖν ὕβριν ἠδικημένον,
πάντων μέγιστον τῶν ἐν ἀνθρώποις βάρος.

## ἜΡΑΙΝΟΣ ΓΗΡΩΣ. ΛΟΓΟΣ ριβ'.

Ὦ τέκνον. οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ, Εὐριπίδου
Ἐτεόκλεες πρόσεστιν. ἀλλ' ἡ 'μπειρία
ἔχει τι λέξαι τῶν νέων σοφώτερον.
Ὦ παῖ. νέων τοι δρᾶν μὲν εὔτονοι χέρες.
γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.
ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον.
Ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει.
ἀκόλασ' ἤθη λαμπρὰ συγγελᾶν μόνον,
μισεῖ. βραχεῖα τέρψις ἡδονῆς κακῆς.
Παλαιὸς αἶνος. ἔργα μὲν νεωτέρων

Ayuntamiento de Madrid

βουλαὶ δ᾽ ἔχουσι τῶν γεραιτέρων κράτος.
Τὸ γῆρας ὦ παῖ τῶν νεωτέρων φρενῶν
σοφώτερον πέφυκε, κἀσφαλέστερον.
ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ.

**Ἀλέξιδος.** Ὁμοιότατον ἄνθρωπος οἴνῳ τὴν φύσιν,
τρόπον τιν᾽ ἐστί· τὸν γὰρ οἶνον τὸν νέον,
πολλή γ᾽ ἀνάγκη καὶ τὸν ἄνδρ᾽ ἀποζέσαι
πρώτιστον, ἀφυβρίσαντ᾽, ἀποινήσαντα δὲ
σκληρὸν γενέσθαι, καὶ καταστῆναι πάλιν
ἡδὺν θ᾽ ἅπασι τοὐπίλοιπον διατελεῖν.

**Σοφοκλέ.** Γῆρας διδάσκει πάντα, καὶ χρόνου τριβή.

**Κράτητος ἐξ ἀντιφάνους.** Ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα
ᾧ μὴ τυχόντι, θάνατος ἔσθ᾽ ἡ ζημία.
οὗ πάντες ἐπιθυμοῦμεν. ἂν δ᾽ ἔλθῃ ποτὲ,
ἀνιώμεθ᾽. οὕτως ἐσμὲν ἀχάριστοι φύσει.
τοῦ ζῆν γὰρ οὐδεὶς ὡς γηράσκων ἐρᾷ.

**Αἰσχύλου.** Γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον.

**Εὐριπίδου.** Γ κράτηει δ᾽ ὁ γέρων κεῖνος ἐλαφρότερον.
κοῦροι τὸν φιλέουσι. νέοι δέ μιν οἷα τοκῆα.
χειρὸς ἐπ᾽ οἰκείην ἄχρις ἄγουσι θύρην.

Παλαιὸς αἶνος. ἔργα μὲν νεωτέρων.
βουλαὶ δ᾽ ἔχουσι τῶν γεραιτέρων κράτος.

Τηρεῖν μὲν ἑτέροις οἱ γέροντες δυνάμεθα.
ἡμεῖς δ᾽ ἀπολάβειν ὧν ἔχουσιν οἱ νέοι.

**Ἱπποθόου.** Παυρολόγοι πολιοὶ τὰς γῆρας ἄνθεα θνατοῖς.
Γῆρας λεόντων, κρεῖσσον ἀκμαίων νεβρῶν.

**Σοφοκλέ.** Σοφὸν γέ τοι τι πρὸς τὸ βουλεύειν ἐστὶ,
τὸ γῆρας· ὡς δὴ πόλλ᾽ ἰδόν τε καὶ μαθόν.

Καίτοι γέρων ὤν, ἀλλὰ τῷ γήρᾳ φιλεῖ·
χὠ νοῦς ὁμαρτεῖν, καὶ τὸ βουλεύειν ἃ δεῖ.

**Εὐριπίδου.** Τὸ γῆρας ὦ παῖ τῶν νεωτέρων φρενῶν
σοφώτερον πέφυκε κἀσφαλέστερον.
ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ.

Ayuntamiento de Madrid

Οὐδὲ γὰρ τοῦτο ἐάσω ἄρρητον· ὅτι καὶ πλάτωνι καὶ πυθαγόρᾳ δοκεῖ τὸ γήρας οὐκ ἐπ' ἐξόδῳ τοῦ βίου εἶναι· ἀλλ' ἐπ' ἀρχῇ μακαρίας ζωῆς. Ἐκ τῶν φαβωρίνου.

Νέοις δὲ ζηλωτέον τοὺς γέροντας· κατὰ σιμωνίδην· ἄεθλος ἵππῳ πῶλος ὣς ἅμα τρέχειν. καθάπερ φησὶν ὁ πλάτων περὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου· μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι. Πλουτάρχου.

Ἰσχὺς καὶ εὐμορφίη νεότητος, ἀγαθά· γήραος δὲ, σωφροσύνης ἄνθος. Δημοκρίτου.

Τέλος δ' ἐπειδὰν τῶν περὶ τὸν μυελὸν τριγώνων οἱ συναρμοσθέντες μηκέτι ἀντέχωσι δεσμοί, τῷ πόνῳ διϊστάμενοι, μεθιᾶσι τοὺς τῆς ψυχῆς αὖ δεσμούς· ἡ δὲ, λυθεῖσα κατὰ φύσιν μεθ' ἡδονῆς, ἐξέπτατο· πᾶν γὰρ τὸ μὲν παρὰ φύσιν, ἀλγεινόν· τὸ δὲ ᾗ πέφυκε γιγνόμενον, ἡδύ. καὶ θάνατος δὴ κατὰ ταῦτα· ὁ μὲν κατὰ νόσους καὶ ὑπὸ τραυμάτων γιγνόμενος, ἀλγεινὸς καὶ βίαιος· ὁ δὲ μετὰ γήρως ἰὼν ἐπὶ τέλος, κατὰ φύσιν ἀπονώτατος τῶν θανάτων· καὶ μᾶλλον μεθ' ἡδονῆς γιγνόμενος, ἢ λύπης. Πλάτωνος.

Ὁ γέρων νέος ἐγένετο· ὁ δὲ νέος ἄδηλον εἰ ἐς γῆρας ἀφίξεται· τὸ τέλειον οὖν ἀγαθὸν τοῦ μέλλοντος, ἔτι καὶ ἀδήλου, κρέσσον. Δημοκρίτου.

Ἡδονῆς γὰρ ὁ μὲν ἑκὼν ἀργόμενος, σοφός· ὁ δὲ μὴ δεόμενος μακάριος. τὸ δὲ γῆρας πρὸς ἀμφότερα ἐπιτήδειον· καὶ γὰρ φρονιμωτέρους τοὺς ἀνθρώπους ἀπεργάζεται, καὶ τῶν ἡδέων ἀμελεστέρους. Ἐκ τῶν φαβωρίνου.

Ἄξιον δὲ ἐστὶν ὡς τὸν περὶ τῆς ἡδονῆς λόγον προσελθόντα, μηδὲ ἐκείνην ἀμνημόνευτον ἐᾶσαι, τὴν παρὰ πᾶσι τοῖς νοῦν ἔχουσιν εὐδαιμονοῦσαν· ἣν ἡδονὴν ὀνομάζουσι καὶ χαρὰν καὶ τέρψιν· περιγίνεται δ' ἐκ τῶν καλῶν μαθημάτων, καὶ τῶν ἐνδόξων κατορθωμάτων· ἀμφοτέρων δὲ τούτων ὑπάρχει τῷ γέροντι πρὸς ἑαυτὸν ἀναμιμνήσκεσθαι καὶ καθάπερ κτήμασι τέρπεσθαι, λογιζόμενον, ὅτι ἡ τύχη ἡ πάντων κυρία τούτων, ταῦτα ἄκυρός ἐστιν ἀφελέσθαι.

Ὁ βοιώτιος εὐτυχὼν θησαυρῷ μετὰ ἑβδομήκοντα ἔτη, ἐπάρας τὸ σκέλος, ἀπεματάϊσε καὶ παρῆλθεν ὡς οὐκέτι οὐδὲν ὄντα πρὸς αὐτόν. ὥστε καὶ πολυχρηματίας ἅμα παύει τὸ γῆρας, καὶ πολυπραγμοσύνης.

Σκέψασθε δὲ καλῶς· οἶμαι ὁ νομοθέτης· ὅτι οἱ πρεσβύτεροι τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν· ἡ δὲ τόλμα, ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν, διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων. Αἰσχίνου.

Μέταμμι δὲ ἐπὶ τὴν ἑαυτοῦ γνώμην· ἡγούμενος τοὺς μὲν πρεσβύτας διά τε τὸν χρόνον αὐτὸν, καὶ διὰ τὴν τῶν κατὰ τὸν βίον ἔργων ἐμπειρίαν καθαρεύειν ἁμαρτημάτων· τοὺς δ' αὖ νέους ἐμποδίζεσθαι πρὸς τἀγαθά· διά τε ῥώμην σώματος, ᾗ πιστεύοντες αἴρονταί πως ἐπὶ πολέμους καὶ πλεονεξίαν· διά τε ἀμελετησίαν Ἰουνίου.

Ayuntamiento de Madrid

τῶν ξυμφερόντων. καὶ δὴ παρέσται καί μοι μάρτυς τῶν λεγομένων, ἀθηναῖος σόλων. νομοθετήσας μήτε ἄρχειν τὸν σφόδρα νέον, μήτε ξυμβουλεύειν. ἃ καὶ ἄριστα δοκοίη γνώμης ἔχειν. τὸ μέντοι τῶν ἐπιθυμιῶν ἐστερῆσθαι τοὺς γέροντας. μηδὲν ὑπ' αὐτῶν ἔτι παρενοχλουμένους, μέγιστον δὴ τοῦτο καὶ πρεπωδέστατον ἡγοῦμαι δεδόσθαι τοῖς ἀνθρώποις δῶρον ὑπὸ τῶν θεῶν, κατά τινα τῆς αὐτῶν ἐκείνων φύσεως ὁμοιῶσθαι. οἱ μὲν γάρ, οὐ σῖτον ἔδουσιν. οὐδὲ πίνουσιν αἴθοπα οἶνον. οἱ δέ, τοῦ περιττοῦ καὶ ἐνοχλοῦντος ἀπεχόμενοι, κατ' οὐδὲν τῆς χρήσεως αὐτοῦ δέονται. τῆς μὲν ἐνδείας ἐκπεφευγότες τὸ λυπηρόν. τοῦ δὲ ἀναμνήσεις αὐτοῖς προσάγοντος ἡδονήν. καὶ γὰρ τὸ πεπαῦσθαι τῆς κατὰ τὰ ἀφροδίσια ὁρμῆς τε καὶ ὀρέξεως, ὦ ζεῦ, μέγα ὄφελος φαίην ἄν, καὶ μανίας καὶ λύπης ἀπόρρυσιν. ὁπότε τῆς μὲν ψυχῆς τὸ ἀλόγιστον δὴ καὶ ἐπιθυμητικὸν δοῦλοι. διαφυγὸν πονηροὺς δεσπότας. τὸ δὲ λογιστικὸν ἀπολαύοι, διὰ τῆς ὄψεως τῆς κατὰ τὸ κάλλος ἡδονῆς. καὶ γὰρ θαυμάσεται τὸν τοιοῦτον κύριον ὁ γέρων, καὶ προσιόντα καθάπερ υἱὸν ἀσπάσεται. καὶ παιδεύσει κατὰ τὸν σωκράτους νόμον, ὥσπερ ὁ ἀλκιβιάδης ἐκεῖνος. τῶν δὲ περιττῶν καὶ ἀκολάστων, οὐδὲ μεμνήσεται. καὶ ὅλως ὦ φίλε σκόπησον ἐπὶ πάντων πραγμάτων αὐτὸ δὴ τοῦτο. ὡς ἄρα τὸ μὲν ἐθέλειν μετὰ σπουδῆς οὐτινοσοῦν τυγχάνειν, δι' ἁμαρτίας ἑπομένης, λύπην ἐπάγει. τὸ δὲ ἀπόνως καὶ ἀνενδεῶς διακεῖσθαι, μίμησίν τινα ἐμπιεῖ τῆς θείας σωφροσύνης. τοῦτο δὲ ἔτι σοι σαφέστερον ἐξηγήσομαι πρὸς τὰ ἐγκλήματα τοῦ γήρως, ἃ πεποίησαι μικρῷ πρόσθεν ἀποκρινόμενος. καὶ γὰρ ἧττον ἐσθίων, ἢ πίνων ὁ πρεσβύτης, ἀφροδισίων τε ἀπεχόμενος. ὥσπερ τε ἱεροφάντης ἀλύπως διάκειται καὶ ἀνενδεῶς, τὸ πρὸς σωτηρίαν χρήσιμον προσαγόμενος. ἀπολείπων σοι τῷ νέῳ δι' ἀμαθίαν καὶ ἄγνοιαν τὰ νομιζόμενα περισπούδαστα. μακάριζε τὸν τῶν μὲν ἀνθρωπείων κακῶν ἀπηλλαγμένον. ἄγοντα δὲ σχολὴν ἐπὶ τοῖς κατὰ ἀλήθειαν καλοῖς καὶ ἀγαθοῖς. ὁπότε δὲ πτωχὸν δὴ λέγοι καὶ ἀνάπηρον, καὶ παρειμένον τὸν γέροντα, μέμνησο ὡς ταῦτα δὴ τὰ παθήματα, οὐ μόνον γήρως ἔργα. μυριάκις δὲ ἔκ τινος τύχης ἐπιπαραγίνεται καὶ τοῖς νέοις. ταῦτα δὲ τὸν μὲν ἐν ἀκμῇ τῆς ἡλικίας διάγοντα, βαρέως οἶμαι φέρειν. τὸν δὲ πρεσβύτην ἐν δυσμαῖς ὄντα τοῦ βίου καὶ δυστυχοῦντα, ἧττόν τις ἡγήσεται βλάπτεσθαι εὖ φρονῶν. ἀλλὰ μὴν ταυτὶ τὰ δυσχερῶτά σοι δεινά πως εἶναι καὶ ἄφυκτα, κουφίζουσι μὲν καὶ φίλων καὶ οἰκείων ἐπικουρίαι. μάλιστα δὲ ὁ κατὰ φιλοσοφίαν λόγος. ὃν δεῖ πιστεύειν τοῖς μετιοῦσιν αὐτόν. χειραγωγόν τε εἶναι καὶ φύλακα. καὶ πλοῦτον καὶ φῶς. καταγε-

λάσας

Ayuntamiento de Madrid

λάσας δὲ μικρῷ πρόσθεν τοῦ εἰρημένου περὶ τῆς τῶν γερόντων δυσμορφίας.
οὐ γὰρ ἐπὶ κάλλει κριθησόμενον τὸ γῆρας πρὸς τὴν νεότητα παρήγετο, οὐδ'
ὥσπερ ὑπό τινων ἐμπόρων ἢ ἐραστῶν, μορφαὶ τινὲς ἐδοκίμαζον τῶνδε. ὅ-
μως ἵνα μὴ δοκοίην τὰ πρόδηλα ταῦτα ὑπολείπειν ὑπομνήσωσε. ὅτι τὸ
μὲν νέον, ὥρα τις καὶ ἀκμὴ κατακοσμεῖν ἔοικεν· τό, τε τοῦ σώματος ἄνθος
λήγει, ἅμα τῷ χρόνῳ. τὸ δὲ ἀληθὲς κάλλος, ὅπερ ἐκ θείας κοινωνίας ἔχει τὴν
ἀπόρροιαν, καὶ ἦλθεν ἐπί τινας. τοῦτο δέ, οὔτε πόνος ἢ λιμός, ἢ ἀμέλειά τις.
ἀλλὰ μὴν οὐδ' ὁ πολὺς χρόνος δύναται ἀμαυρῶσαι. συγγενόμενον δὲ ὁ-
πωσοῦν καὶ συντραφέν, οὐκ ὤφθη ποτὲ θᾶττον ἀπαλλαγὲν τῆς ἐκείνου ψυ-
χῆς. ὥσπερ δὲ ἔν τινι ἀγαθῇ γῇ, φυτὸν ἀεὶ θαῤῥοῦν ἀνίησι τοὺς καρποὺς καὶ
φυλάττει πολυχρονίους, οὕτω δὲ καὶ παιδὸς ἁψάμενον ὑπὸ τῆς ὥρας, νεα-
νίσκῳ τε συμπαρομαρτεῖ. καὶ γηράσαντος, οὐκ ἀπολείπεται. αὐτίκα ἔστιν
ἰδεῖν τοὺς πλείστους γέροντας, οὐ μόνον σεμνότητι κατὰ τὸ σχῆμα καὶ βα-
δίσματι πρᾴῳ κοσμουμένους, οὐδὲ φωνῇ καθάπερ που ὅμηρος εἶπεν ἐπὶ τῶν
γερόντων ἡδεία, καὶ τῇ τῶν τεττίγων λειριοέσσῃ χρωμένους. ἀλλὰ δὴ καὶ
τὸ εὐπρεπὲς παραμένει αὐτοῖς. ὥστε καὶ κατὰ ἀγοράν, καί που ἐν θεάτροις
ὀφθέντες, οἷα δὴ ἐν ἀγέλῃ βοῶν καὶ ἵππων, οἱ δοκοῦντες ἄρχειν τῆς ἀγέ-
λης, τὸ εὐπρεπὲς παρέχουσι δῆλον τοῖς ἁπάντων ὀφθαλμοῖς. μάλιστα δὲ
ἐν τοῖς ἱεροῖς θύοντες ἐστεφανωμένοι, περιβλεπτότεροι τῶν ἱερῶν γίνονται.
ὅ, τε νόμος αὐτοὺς ἐκείνους χειροτονεῖ τῇ ἀθηνᾷ. ὥς φησι ξενοφῶν ὁ φιλόσο-
φος θαλλοφόρους. μέτειμι δὲ ἐκ τοῦ παρόντος λόγου, καίτοι πλέον ἴσως τοῦ
προσήκοντος ἐνδιατρίψας αὐτῷ. ἐπὶ τὸν εἰρημένον ὑπὸ σοῦ τελευταῖόν
τε καὶ ὥσπερ ἀνανταγώνιστον. ἐδόκει γάρ πως οὗτος ἐνίους τῶν παρόντων
ταράττειν ἅμα τε καὶ λυπεῖν. ἐπειδὴ καὶ προστησάμενος τοῦ παντὸς ἀγῶ-
νος καὶ τῆς χλεύης, τὸν περὶ τοῦ θανάτου φόβον ἤλπισας ἐκπλήξειν οὐδὲν ἧτ-
τον καὶ μὲ τὸν ἀντιλέγοντά σοι. ἀλλὰ μὴν τὸ κοινὸν τοῦ θανάτου τέλος, καὶ
ὅτι οὐδεὶς ἐπ' αὐτῷ νόμος ἢ χρόνος ὑπὸ τῶν θεῶν γέγραπται, ἴσον οἶμαι
ποιεῖ τὸ πρᾶγμα τοῖς νέοις καὶ τοῖς γέρουσιν. ἀλλ' ὁ μὲν γέρων προλαβὼν
τἀγαθά, καὶ πλείονι χρόνῳ διατρίψας ἐν αὐτοῖς, μένει μὲν καὶ τῷ παρόντι
βίῳ προσιούσης τῆς τελευτῆς μεμνημένος. ὧν τε εἶδεν ὧν τε μετέσχε καθ' ἡ-
δονήν. ὁ δέ, ἐπὶ τοῖς, θαῤῥεῖ ὡς ἐπ' ἄλλα ἀφιγμένος. οἱ δ' ἐν ἀκμῇ τῆς ἡλι-
κίας τελευτήσαντας. ἀνάγκη γὰρ τελευτᾶν καὶ νέοις. ἄπειρός τε τῶν ἡδέων.
καὶ ἀπλήρωτος ἐν τοῖς ὁμοίοις ἔσται. δοκεῖ δέ μοι ἑκάτερος αὐτῶν ἐοικέναι
τοῖς ἀγωνιζομένοις δρόμον, ἢ τοῖς πλέουσι, καὶ ὁ μὲν διελθὼν τὸ μέγα πέ-



Ayuntamiento de Madrid

λαγος, ὅτι εἶναι λέγω τὸν βίον, καὶ πέρας ἤδη τινὰ λιμένα τοῦ κυβερνήτου κελεύσαντος, ἀπέβη τῆς νεὼς, ἤ που διαγωνισάμενος ἐν τῷ σταδίῳ, καὶ τοῦ στεφάνου τυχὼν, ἀποπέπαυται τοῖς ἀγῶσιν· ὁ δ' ἕτερος ἐν μέσῳ τῷ πόρῳ τῆς θαλάττης, διεφθάρη· μὴ ἐλθὼν τὸν προκείμενον αὐτῷ πλοῦν, ὑπὲρ οὗ πολλάκις ηὔξατο· ἤ που τρέχων ἐν τῷ σταδίῳ, καταπεσὼν, ἀστεφάνωτος ἐξενομίσθη.

Ἀρχύτα Πυθαγορείου. ἐκ τοῦ περὶ ἀνδρὸς ἀγαθοῦ, καὶ εὐδαίμονος.

Π αραπλησίως δὲ καὶ γῆρας ἔχει ποτὶ νεότατα. καὶ περὶ μὲν νεότας, ἐγερτικῶς· τὸ δὲ γῆρας ποτὶ νοατικῶς· καὶ μηδέποκα ἀφύλακτον αὐτὸ ἀφιέμεν διανοίας· ἀλλὰ καὶ τί πράσσει, καὶ τί πέπραγεν ἐπισκοπεῖ· ἵνα τὰ μὲν μέλλοντα τοῖς παρεόντεσσι σταθμώμενος· τὰ δ' ἐνεστακότα τοῖς παροιχημένοις αὐτὸς αὐτὸν διορθοῦσθαι δύνηται· ποτὶ μὲν τὸν παροιχόμενον, τὰν μνάμαν ἐφαρμόζων· ποτὶ δὲ τὸν παρεόντα, τὰν αἴσθησιν· ποτὶ δὲ τὸν μέλλοντα τὰν πρόνοιαν· ἔστι γὰρ ἀεὶ μνάμα μὲν ἡμῖν τῶ παρεληλυθότος χρόνω· πρόνοια δὲ τῶ μέλλοντος· αἴσθασις δὲ, τῶ παρεόντος. διὸ δὴ δεῖ τὸν ὀρθῶς καὶ καλῶς βιοτεύειν μέλλοντα, μὴ μόνον αἰσθατικὸν καὶ μναμονικόν· ἀλλὰ καὶ προνοατικὸν ἦμεν.

Θεμιστίου. Κ αίτοι περί γε τῶν γερόντων ὁ Σοφοκλῆς εἴρηκε χαριέντως· σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή. καταγωγὴ γὰρ ἔοικεν ὁ γεροντικὸς θάνατος· ἐκβολὴ δὲ καὶ ναυάγιόν ἐστιν ὁ τῶν νέων· ἐκπίπτει γὰρ ἡ ψυχὴ βίᾳ συντριβομένου τοῦ σώματος.

Ἑρμινίδου. Γ ῆρας γίνεσθαι, παρὰ τὴν τοῦ θερμοῦ ὑπόλειψιν.

Πλάτωνος. Ω ς εὖ ἴσθι, ὅτι ἔμοιγε ὅσον αἱ ἄλλαι αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αὔξονται αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί. μὴ οὖν ἄλλως ποίει, ἀλλὰ τοῖσδέ τε τοῖς νεανίσκοις ξυνίσθι· καὶ δεῦρο παρ' ἡμᾶς φοίτα, ὡς παρὰ φίλους τε καὶ πάνυ οἰκείους. καὶ μὴν ἦν δ' ἐγὼ ὦ Κέφαλε, χαίρω γε διαλεγόμενος τοῖς σφόδρα πρεσβύταις. δοκεῖ γάρ μοι παρ' αὐτῶν πυνθάνεσθαι, ὥσπερ τινὰ ὁδὸν προεληλυθότων, ἣν καὶ ἡμᾶς ἴσως δεήσει πορεύεσθαι, ὁποία τίς ἐστι, τραχεῖα καὶ χαλεπὴ, ἢ ῥᾳδία καὶ εὔπορος. καὶ δὴ καὶ σοῦ ἡδέως ἂν πυθοίμην, ὅ, τί σοι φαίνεται τοῦτο, ἐπειδὴ ἐνταῦθα ἤδη εἶ τῆς ἡλικίας, ὃ δὴ ἐπὶ γήραος οὐδῷ φασιν εἶναι οἱ ποιηταί· πότερον χαλεπὸν τοῦ βίου, ἢ πῶς σὺ αὐτὸ ἐξαγγέλλεις. ἐγώ σοι ἔφη νὴ τὸν Δία ἐρῶ ὦ Σώκρατες, οἷόν τέ μοι φαίνεται, πολλάκις γὰρ συνερχόμεθά τινες εἰς ταυτὸ παραπλησίαν ἡλικίαν ἔχοντες, διασώζοντες τὴν παλαιὰν παροιμίαν. οἱ οὖν πλεῖστοι ἡμῶν ὀλοφύρονται ξυνιόντες τὰς ἐν τῇ νεότητι ἡδονὰς ποθοῦντες καὶ ἀναμιμνησκόμενοι περί τε τὰ ἀφροδίσια, καὶ περὶ πότους, τε καὶ εὐωχίας, καὶ ἄλλα

Ayuntamiento de Madrid

αἴτια, ἃ τῶν τοιούτων ἔχει· καὶ ἀγανακτοῦσιν ὡς μεγάλων τινῶν ἀποστερημένοι· καὶ τότε μὲν εὖ ζῶντες· ἔνιοι δὲ καὶ τὰς τῶν οἰκείων προπηλακίσεις τοῦ γήρως ὀδύρονται· καὶ ἐπὶ τούτῳ δὴ τὸ γῆρας ὑμνοῦσιν, ὅσων κακῶν σφίσιν αἴτιον. ἐμοὶ δὲ δοκοῦσιν ὦ σώκρατες οὗτοι, οὐ τὸ αἴτιον αἰτιᾶσθαι. εἰ γὰρ ἦν τοῦτο αἴτιον, κἂν ἐγὼ ταυτὰ ταῦτα ἐπεπόνθειν ἕνεκά γε γήρως· καὶ οἱ ἄλλοι πάντες ὅσοι ἐνταῦθα ἦλθον ἡλικίας. νῦν δ' ἔγωγε ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσι καὶ ἄλλοις. καὶ δὴ καὶ σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος. πῶς ἔφη ὦ σοφόκλεις ἔχεις πρὸς τὰ ἀφροδίσια. ἔτι οἷός τε εἶ γυναικὶ συγγίνεσθαι; καὶ ὅς, εὐφήμει ἔφη ὦ ἄνθρωπε. ἀσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών. εὖ οὖν μοι καὶ τότε ἐκεῖνος ἔδοξεν εἰπεῖν· καὶ νῦν οὐχ ἧττον. παντάπασι γὰρ τῶν τε τοιούτων ἐν τῷ γήρᾳ πολλὴ εἰρήνη γίνεται καὶ ἐλευθερία. ἐπειδὰν αἱ ἐπιθυμίαι παύσωνται κατατείνουσαι καὶ χαλάσωσι, παντάπασι τὸ τοῦ σοφοκλέους γίνεται. δεσποτῶν πάνυ πολλῶν ἐστι καὶ μαινομένων ἀπηλλάχθαι. ἀλλὰ καὶ τούτων πέρι, καὶ τῶν γε πρὸς τοὺς οἰκείους, μία τις αἰτία ἐστίν. οὐ τὸ γῆρας ὦ σώκρατες, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ τὸ γῆρας μετρίως ἐστὶν ἐπίπονον. εἰ δὲ μή, καὶ γῆρας ὦ σώκρατες καὶ νεότης, χαλεπὴ τῷ τοιούτῳ συμβαίνει.

## ΨΟΓΟΣ ΓΗΡΩΣ.

## ΛΟΓΟΣ ριγ΄.

Τὸ πρὶν ἐὼν κάλλιστος, ἐπὴν παραμείψεται ὥρη, Μιμνέρμου
οὐδὲ πατὴρ παισὶ τίμιος, οὔτε φίλος.

Φεῦ φεῦ. τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους. Εὐριπίδου
γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον.
μακρὸς γὰρ αἰών, συμφορὰς πολλὰς ἔχει.

Ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ.



Ayuntamiento de Madrid

Φεῦ. φεῦ. παλαιὸς αἶνος· ὡς καλῶς ἔχει,
γέροντες οὐδέν ἐσμεν ἄλλο, πλὴν ὄχλος·
καὶ σχῆμ' ὀνείρων δ' ἕρπομεν μιμήματα.
νοῦς δ' οὐκέτ' ἔστιν· οἰόμεσθα δ' εὖ φρονεῖν.
Ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον
ἐς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς.
μακρὸς γὰρ αἰὼν, μυρίους τίκτει πόνους.
Ὦ γῆρας· οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις·
καὶ πᾶς τις ἐς σὲ βούλετ' ἀνθρώπων μολεῖν
λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει.
οἷς οὐδὲν ἔστι χεῖρον ἐν τῷ γήραϊ βαρύ.
Τί δ' ἄλλο· φωνὴ καὶ σκιὰ γέρων ἀνήρ.
Μενάνδρου Ὦ χληρὸν ὁ χρόνος ὁ πολύς· τὸ γῆρας βαρύ.
ὡς οὐδὲν ἀγαθὸν, δυσχερῆ δὲ πόλλ' ἔχεις·
τοῖς ζῶσι καὶ λυπηρά· πάντες ἐς σὲ δὲ
ἐλθεῖν ὅμως εὐχόμεθα καὶ σπουδάζομεν.
Οὐκ ἂν γένοιτ' ἐρῶντος ἀθλιώτερον.
οὐδὲν γέροντος· πλὴν ἕτερος γέρων ἐρῶν,
ὃς γὰρ ἀπολαύειν βούλεθ' ὢν ἀπολείπεται,
διὰ τὸν χρόνον, πῶς οὗτος οὐκ ἔστ' ἄθλιος.
Θεόγνιδος Οὔτε γε μὴν πενίης θυμοφθόρου μελεδαίνω.
οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς.
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἀπολείπει.
κλαίω δ' ἀργαλέον γῆρας ἀπερχόμενον.
Ὤμοι ἐγὼν, ἥβης καὶ γήραος οὐλομένοιο.
τοῦ μὲν, ἐπερχομένου· τῆς δ' ἀπονισσομένης.
Φερεκράτους. Ὦ γῆρας· ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ.
καὶ πανταχῇ λυπηρὸν, οὐ καθ' ἓν μόνον.
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ' οὐδ' ἰσχύομεν.
σὺ τηνικαῦθ' ἡμᾶς προσδιδάσκεις εὖ φρονεῖν
ἀκμῆς ἐπῆρας ὄντα τηλικουτονί.
πολλάκις ἐμαυτὸν ἐγκυλίσαι πράγμασιν.
ἐγὼ γὰρ ὦ ἄνδρες ἡνίκ' ἦν νεώτερος,
ἐδόκουν μὲν, ἐφρόνουν δ' οὐδέν· ἀλλὰ πάντα μοι

κατὰ

Ayuntamiento de Madrid

κατὰ χειρὸς ἦν τὰ πράγματ' ἐνθυμουμένῳ,
νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν.
Σ φόδρα τί ἐστιν ὁ βίος ἡμῶν οἴνῳ προσφερής. Ἀντιφά-
ὅταν ᾖ τὸ λοιπὸν μικρόν, ὄξος γίνεται. νους.
Π ρὸς γὰρ τὸ γῆρας ὥσπερ ἐργαστήριον,
ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά.
Τ ὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν.
πάντ' ἔστ' ἰδεῖν γὰρ εἰς τοῦτο καταπεφευγότα.
Ω γῆρας, ὡς ἅπασι τοῖς ζητοῦσί σε
ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος.
Σ ύρα σύρα. τί ἐστι. πῶς ἡμῖν ἔχεις, Φιλήμο-
ἐπὰν γέροντ' ἴδῃς ἢ γραῦν τινα. νος
ἴσθι δ' εὐθὺς ὅτι κακῶς ἔχει.
Η δη γὰρ ὁ βίος οὑμὸς ἑσπέραν ἄγει. Ἀλέξιδος
Μ ικρόν ἐστι θρέμμα ἐν οἰκίᾳ γέρων. Μενάνδρου
Ε πὴν τὸν ἑξηκοστὸν ἥλιον κάμψῃς, Ἡροδότου
ὦ γρύλλε γρύλλε, θνῆσκε καὶ πεφρήγνου.
ὡς τυφλὸς ὁ ὑπὲρ κεῖνο τοῦ βίου καμπτήρ.
Η δη γὰρ αὕτη τῆς ζωῆς ἀπήμβλυντο.
Ω γῆρας· ὡς ἅπασιν ἀνθρώποισιν εἶ Ἀντιφά-
ποθεινόν, ὡς εὐδαῖμον· εἶθ' ὅταν παρῇς, νους.
ἀχθηρόν, ὡς μοχθηρόν, εὖ λέγει τίς σε
οὐδείς· κακῶς πᾶς τις ὃς σοφὸς λέγει.
Ο ὐδεὶς τὰ πατρῷα πω γέρων κατεδήδοκε.
ἀλλ' οὐδὲ κατεμώρανεν· οὐδ' ἐλύσατο
πορνίδιον· οὐδὲ θυροκόπων ὦφλε δίκην.
οὕτω τὸ γῆρας σωφρονοῦν οὐκ εὐτυχεῖ.
Γ ῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ' ἔλθῃ. Μενεκρά-
μέμφεται· ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον. τους.
Ο ὐδὲν γὰρ ἄλγος, οἷον ἡ πολλὴ ζωή. Σοφοκλέ.
πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά.
νοῦς φροῦδος· ἔργ' ἀχρεῖα· φροντίδες κεναί.
Ο γὰρ χρόνος μ' ἔκαμψε τέκτων οὐ σοφός. Κράτητος.
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.



Ayuntamiento de Madrid

**Διφίλου.** Πολιὸς τεχνίτης ἐστὶν ὁ χρόνος ὦ ξένε.
χαίρει μεταπλάττων πάντας ἐπὶ τὰ χείρονα.

Τιθωνῷ μὲν ἔδωκε ἔχειν κακὸν ἄφθιτον ζεύς,
γῆρας ὃ καὶ θανάτου ῥίγιον ἀργαλέου.

**Μιμνέρμου.** Ἀλλ᾽ ὀλιγοχρόνιον γίνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα, τὸ δ᾽ ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ᾽ ὑπὲρ κρέμαται.
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅτ᾽ ἄγνωστον τιθεῖ ἄνδρα
βλάπτει δ᾽ ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

**Εὐριπίδου.** Ὦ γῆρας, οἷον τοῖς ἔχουσιν εἶ κακόν.

Ἀνειμένον τι χρῆμα πρεσβυτῶν γένος.
καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.

Ἀλλ᾽ ἤ τι γῆρας τὴν κύπριν χαίρειν ἐᾷ,
ἥ τ᾽ ἀφροδίτη τοῖς ἐρῶσιν ἄχθεται.

**Ἰσοκράτους.** Ἀλλ᾽ οὕτω τὸ γῆρας ἐστὶ δυσάρεστον καὶ μεμψίμοιρον, καὶ μικρόλογον, ὥστε πολλάκις ἤδη τὴν τε φύσιν τὴν ἐμαυτοῦ κατεμεμψάμην, ἧς οὐδεὶς ἄλλος καταπεφρόνηκε.

**Δημοκρίτου.** Γῆρας, ὁλόκληρός ἐστι πήρωσις· πάντ᾽ ἔχει, καὶ πᾶσιν ἐνδεῖ.

**Μητροδώρου.** Οὐ μακαριεῖς τὸν γέροντα, καθ᾽ ὅσον γηράσκων τελευτᾷ, ἀλλ᾽ εἰ τοῖς ἀγαθοῖς συμπεπλήρωται· ἕνεκα γὰρ χρόνου, πάντες ἐσμὲν ἄωροι.

Ἐρατοσθένης τῆς ἡλικίας ἔφη, τὸ μὲν, ἀκμάζον, ἔαρ εἶναι· τὸ δὲ μετὰ τὴν ἀκμὴν, θέρος καὶ μετόπωρον, χειμῶνα δὲ τὸ γῆρας.

**Φαβωρίνου.** Πολύς τοι μόχθος, ἐν μακρῷ χρόνῳ.

**Δημοκρίτου.** Αὐξανομένου τοῦ σώματος, συναύξονται φρένες, γηράσκοντος δὲ, συγγηράσκουσι· καὶ εἰς τὰ πράγματα πάντα, ἀμβλύνονται.

Κάτων γέροντι πονηρευομένῳ ἔφη· τί ἄνθρωπε τῷ γήρᾳ, κακὰ καὶ πολλὰ ἔχοντι, τὴν ἐκ τῆς πονηρίας αἰσχύνην προστίθης.

Ἄλεξις ὁ τῶν κωμῳδιῶν ποιητὴς, ἐπειδή τις αὐτὸν ὄντα πρεσβύτην ἑώρακε μόλις πορευόμενον, καὶ ἠρώτα· τί ποιεῖς, ἔφη· κατὰ σχολὴν ἀποθνήσκω.

Πατροκλῆς τὸ γῆρας, τοῦ βίου ἔλεγε χειμῶνα.

**Ἰωνικοῦ.** Ἐπειδὴ γὰρ ὁρῶ τὰς μὲν ἐπὶ τῆς νεότητος καὶ ἀκμῆς ἡδονὰς καὶ ἀπολαύσεις, αἳ πᾶσιν ἔργοις ἕπονται· συνελόντι δὲ εἰπεῖν, τὴν ἀνθρώπινον εὐδαιμονίαν παραλιπόντα, καὶ παραμειψάμενον καθάπερ ἐπὶ νέως νομίζω

μενον οὐειοδρομούσης, ἱστάμενον ἐπὶ τῷ γήρᾳ, καὶ αὐτὸν ἑαυτοῦ βραδύτερόν τε καὶ δυσκινητότερον γεγονότα καὶ ἀεὶ γιγνόμενον τῇ τε ψυχῇ καὶ τῷ σώματι, ἐθέλω παρὰ σοῦ μαθεῖν, ἥντινα γνώμην ἔχεις περί τε τῶν γεγηρακότων, καὶ περὶ αὐτοῦ δὴ τοῦ γήρως. ἐμοὶ γὰρ δύσκολος ὁ ἐν αὐτῷ βίος καταφαίνεται, διὰ τὴν τῶν αἰσθήσεων στέρησιν, κατ᾽ ὀλίγον ἀποσβεννυμένων. διόπερ ἡδὺ μὲν οὐδὲν ἔτι παρακολουθεῖν φασι τοῖς γεγηρακόσιν. ἐπίπονα δὲ ἅπαντα εἶναι καὶ χαλεπά. αὐτῷ τε τῷ πάσχοντι τὴν μεταβολήν. περαιτέρω τούτων ἐνοχλεῖν. τὸν περὶ τοῦ θανάτου φόβον ἀεὶ ἑπόμενον αὐτῷ. καθάπερ ἐπιβουλεύοντα συνοδοιπόρον ἢ σύνοικον. καὶ τοῦτον δὲ ἔκ τινος ὡμολογημένης καὶ φυσικῆς ἀνάγκης. τῶν γὰρ πρώτων ὅρων τοῦ βίου, κατὰ τὴν προσοῦσαν ἡλικίαν, ὑφ᾽ ἑκάστου ῥᾳδίως ἀπολειπομένων, ὁπότε παῖς μὲν ὁ παῖς οὐκέτι ἔσται, τὸ δὲ μειράκιον ἀνὴρ γίνεται, μετὰ δὲ τὸν ἄνδρα, γῆρας πρόσεισιν, ἀνάγκη που μετ᾽ αὐτὸ μηδενὸς ἑτέρου καταλειπομένου, διάλυσίν τε καὶ χωρισμὸν ἐπιγίνεσθαι τῇ ψυχῇ καὶ τῷ σώματι. ὃ δὴ καλεῖται θάνατος. πολλὰ δὲ καὶ ἄλλα ἐν τῷ ζῆν πρεσβύτῃ ἀνδρὶ χαλεπὰ παρομαρτεῖ καὶ ἐπίπονα. τότε μὲν, συνεχεῖς νόσοι, καὶ δίαιτα πάντως νοσώδης. ἃ καὶ μηδὲν παρείη ἰατροῦ δεόμενον. ἐκεῖνον δὴ τὸν λεγόμενον εὐδαίμονα εἶναι, καταναλίσκει. κεῖται γάρ που γήρᾳ παρειμένος. ἄσιτος καὶ ἄποτος καὶ ἀνέραστος. οὐδενὸς μὲν ξὺν ἡδονῇ μετέχων. τοῦ δὲ λυποῦντος ἀκριβῶς αἰσθανόμενος. εἴτε δὲ θαρρήσει προελθεῖν εἰς τὴν ἀγορὰν, γέλωτα τοῖς ὁρῶσι παρασκευάζει. βλέπων τε οὐκ ἀκριβές. καὶ βοώντων οὐκ ἀκροώμενος. καὶ πειρώμενος ἑαυτὸν διακομίζειν καταπίπτων ἐφαλλόμενος. θλίβειν λεγόμενος καὶ ἀφανίζειν τὸν κοινὸν τῆς πόλεως ἀέρα. οὔτε γὰρ εἰς τὸν ἀριθμὸν τῶν φυλετῶν ἐν ἐκκλησίᾳ παρὼν τάττεται, οὔτε μὴν ἀρχῆς οἷός τέ ἐστι προΐστασθαι διά τε τὰ προειρημένα ἐμπόδια, κυφός τε ὢν καὶ ῥικνὸς, καὶ ἄμορφος καὶ ἀδύνατος. τῇ τε ψυχῇ κατὰ τὴν παροιμίαν. παῖς πάλιν γεγονώς. ἐν δὲ πολέμῳ, τί χρὴ καὶ λέγειν. ὡς ἀστράτευτός τε καὶ γυμνὸς ἀπολείπεται οὐ πεζὸς οὐχ ἱππευτὴς τεταγμένος. οὐδ᾽ αὖ νεὼς ἐρέτης τὶς, ἢ ἐπιβάτης. ὅτι δὴ καὶ τὸ καθίζεσθαι αὐτῷ, μᾶλλον δὲ καὶ τὸ κεῖσθαι, πόνον ἔχει. συμπεπλεγμένου αὐτῷ τοῦ θανάτου, καὶ ἤδη, αὐτὸν ἄγοντος εἴσω τῶν ἑαυτοῦ θυρῶν. εἰ δὲ καὶ πενία πως ἀνδρὶ γεγηρακότι ξυμπέσοι, αὐτὸς ἂν ἐκεῖνος εὔξαιτο ἀπαλλαγῆναι τέλεον τοῦ βίου, διὰ τὸ ἄπορον ἐπὶ πᾶσιν, οὐχ ἡγεμόνος ὁδοῦ τυγχάνων.



Ayuntamiento de Madrid

οὐ τροφέως· οὐκ ἐσθῆτα τὴν αὐτάρκη περικείμενος· ὥστε γῆς ἐν πορῶν οὐ τροφῆς· ἔτι δὲ ὅπῃ καὶ ὕδατος, οὐκ ἔχων τὸν ἀρυσόμενον· οἱ δὲ ὁρῶντες αὐτὸν, οἵ τε καὶ φίλοι καὶ οἰκεῖοι λέγοιντο, ἐπαχθὲς εἶναι νομίζουσι, καὶ θέαμα ἀλγεινόν τε, καὶ λυπηρὸν, καὶ πολυχρόνιον· τὰ δὲ ἄλλα ἅπερ εἶπεν Ἰλιὰς κακῶν. τῷ δὲ νέῳ, πολλὰ μὲν πλεονεκτήματα, εἴτε τῇ ψυχῇ καὶ τῷ σώματι ἔδωκεν ὁ θεὸς ἀεὶ αὐξόμενα· μέγεθός τε καὶ ἀλκὴν, καὶ κάλλος· καὶ χαίρειν ἐπανθοῦσαν· νοῦν τε ἤδη βέβαιον· καὶ φρόνησιν· καὶ λόγον τῶν κατὰ τὴν ψυχὴν ἀγαθὸν ἄπειλον. πολλὰ δὲ ἐκ τῶν ἀεὶ συμβαινόντων καὶ τεχνῶν ἐκαρπώσατο. εἰ δὲ ἔλθοι τι αὐτῷ δυστύχημα νόσου κομιζούσης, ἢ πενίας, ἢ ἀδοξίας, οἷός τέ ἐστι διαφέρειν ἕκαστα· καὶ ὥσπερ ἀγαθὸς ἀθλητὴς, νικᾷ τὸ προσπῖπτον· ἀλλ' οὐ γὰρ νεότητα βουλόμενος μακαρίσαι, τούσδε τοὺς λόγους ἐποιησάμην· δῆλα γάρ ἐστιν οἶμαι καὶ τυφλῷ τὰ συνόντα αὐτῇ καλά τε καὶ ἀγαθὰ, καὶ μάλα οὐκ ἀποσκοποῦντός τινος δοκῶ μοι εἰρηκέναι· ἅτινα τῷ γεγηρακότι ἐνοχλεῖν ἔφην παρόν τά τε καὶ ἀφιστάμενα αὐτοῦ· καὶ ὁπόσα κοσμεῖν ἔοικε καὶ ὠφελεῖν νέον.

Πλάτωνος Τὸ δ' ἐφεξῆς διέλθωμεν, ὃ προὐθέμεθα· ἔφαμεν γὰρ δὴ ἀκμαζόντων δεῖν τὰ ἔκγονα γίγνεσθαι ἀληθῆ. ἆρ' οὖν σοι ξυνδοκεῖ μέτριος χρόνος ἀκμῆς τὰ εἴκοσι ἔτη γυναικί, ἀνδρὶ δὲ τὰ τριάκοντα; τὰ ποῖα αὐτῶν ἔφη. γυναικὶ μὲν ἦν δ' ἐγὼ ἀρξαμένη ἀπὸ εἰκοσιέτιδος, μέχρι τετταρακοντέτιδος, τίκτειν τῇ πόλει· ἀνδρὶ δὲ, ἐπειδὰν τὴν ὀξυτάτην δρόμου ἀκμὴν παρῇ, τὸ ἀπὸ τούτου γεννᾶν τῇ πόλει, μέχρι πεντεκαιπεντηκονταέτους. ἀμφοτέρων γοῦν ἔφη αὕτη ἀκμὴ, σώματός τε καὶ φρονήσεως.

## ΟΤΙ ΤΟ ΓΗΡΑΣ, ΑΝΕΡΑΧΘΕΣ, ΚΑΙ ΠΟΛΛΗΣ ΑΙΔΟΥΣ ΑΞΙΟΝ Η ΣΥΝΕΣΙΣ ΑΠΕΡΓΑΖΕΤΑΙ.

## ΛΟΓΟΣ ριδ'.

Αναξανδρίδου.

Ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας, οὐ προσήγορον.
Οὔτοι τὸ γῆρας ἐστὶν ὡς οἴει πάτερ.
τῶν φορτίων μέγιστον, ἀλλ' ὃς ἂν φέρῃ,
ἀγνωμόνως αὐτ', οὗτός ἐστιν αἴτιος.

οὐ

Ayuntamiento de Madrid

οὐ δ' εὐκόλως ἐνίοτε χειμάζειν ποιεῖ,
μεταλαμβάνων αὐτὸ δεξιῶς αὐτοῦ τὸν τρόπον.
λύπην ἀφαιρῶν ἡδονήν τε προστιθείς.
λύπην δὲ ποιῶν, εἴ τις δυσκόλως ἔχει.

Οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς Σοφοκλέ.
θείᾳ ξυνέστιν ἡμέρᾳ τεθραμμένος.
προμήθεια γὰρ κέρδος ἀνθρώποις μέγα.

Τοῖς γὰρ ἀστείοις πρεσβύταις, ὅσον αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, Αναξιμένου τοσοῦτον αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι πάλιν αὔξονται· καὶ τοσούτῳ βεβαιότερον αὐτοῖς παρέχει τὸ λέγειν τι χρήσιμον τοῖς ἄλλοις, καὶ παρ' ἑτέρων αὐτοὺς ἀκούειν, ὥστε τὰς μὲν ἀπὸ τῶν βρωτῶν καὶ ποτῶν καὶ ἀφροδισίων ἡδονὰς γινομένας ἰδεῖν ἐστιν. οὐχ οὕτως εἰς τὸ παραχρῆμα εὐφραινούσας, ὡς ὕστερον λυπούσας. ἡ δὲ περὶ τοὺς λόγους ἡδονὴ καὶ μάθησις, ἔν τε τῷ παραυτίκα εὐφραίνει, καὶ πρὸς τὸν ἄλλον βίον τοὺς μανθάνοντας ἡδίους παρασκευάζει.

Ξενοφῶν περὶ ἀγησιλάου φησί. ποίας γὰρ νεότητος οὐ κράτιστον τὸ ἐκείνου γῆρας.

Ὁ μὲν χειμὼν, σκέπης. τὸ δὲ γῆρας, ἀλυπίας δεῖται. Σωκράτους

Αὖθις δὲ, ἐπεὶ πρεσβύτης τις ἐπύθετο. τί ἂν εἴη γήρως ἐφόδιον ἄριστον Μουσωνίου. αὐτὸν εἶπεν, ὅπερ καὶ νεότητος, τὸ ζῆν ὁδῷ καὶ κατὰ φύσιν. τοῦτο δὲ μάλιστ' ἂν οὕτω μάθοις ὁποῖόν τί ἐστιν, εἰ ἐννοήσας τὴν τοῦ ἀνθρώπου φύσιν, ὡς οὐ πρὸς ἡδονὴν γέγονεν. οὐδὲ γὰρ ἵππος, οὐδὲ κύων, οὐδὲ βοῦς ἅπερ ἀτιμότερα πολὺ αὐτοῦ ἐστιν, οὐ πρὸς ἡδονὴν γέγονεν. οὐδὲ γὰρ νομισθείη ἂν τυγχάνειν τοῦ ἑαυτοῦ τέλους, ἵππος, ἐσθίων μὲν καὶ πίνων καὶ ὀχεύων ἀνέδην, πράττων δὲ μηδὲν, ὧν ἵππῳ προσήκει. οὐδέ γε κύων, ἡδόμενος μὲν ὥσπερ ὁ ἵππος ἁπάσας ἡδονὰς, πράττων δὲ μηδέν. ἀφ' ὧν ἀγαθοὶ νομίζονται εἶναι κύνες. οὐδὲ μὴν ἄλλο ζῶον ὁτιοῦν, ἔργου μὲν τοῦ προσήκοντος αὐτῷ στερόμενον, ἡδονῶν δὲ ἐμπιπλάμενον. οὐδὲν οὖν οὕτω ζῆν λέγοιτο κατὰ φύσιν, ἀλλ' ὅτι ἂν μάλιστα τὴν ἀρετὴν ἐμφανίζῃ. δι' ὧν πράττει κατὰ τὴν ἑαυτοῦ φύσιν. ἄγει γὰρ ἡ ἑκάστου φύσις ἕκαστον, πρὸς τὴν ἀρετὴν τὴν ἐκείνου. ὥστε καὶ τὸν ἄνθρωπον εἰκὸς, οὐχ ὅταν ἐν ἡδονῇ βιοῖ, τότε κατὰ φύσιν βιοῦν. ἀλλ' ὅταν ἐν ἀρετῇ. τότε γὰρ καὶ ἐπαινεῖσθαι δικαίως ὑπάρχει αὐτῷ. καὶ μέγα φρονεῖν ἐφ' αὐτῷ, εὔελπιν καὶ θαρραλέον εἶναι. οἷς εὐφροσύνην τε καὶ χαρὰν βεβαίαν ἕπεσθαι ἀναγκαίαν. καθόλου δὲ ἄνθρωπος, μίμημα μὲν θεοῦ, μόνον τῶν ἐπιγείων ἐστίν. ἐκείνῳ δὲ παραπλησίας

Ayuntamiento de Madrid

## Ὅτι τὸ γῆρας κἂν ἐπαχθὲς καὶ πολλῆς αἰδοῦς ἄξιον,

ἔχει τὰς ἀρετάς. ἐπεὶ μηδ' ἐν θεοῖς μηδὲν ὑπονοῆσαι κρεῖττον ἔχομεν φρονήσεως καὶ δικαιοσύνης· ἔτι δὲ ἀνδρείας καὶ σωφροσύνης. ὥσπερ οὖν ὁ θεός, διὰ τὴν παρουσίαν τούτων τῶν ἀρετῶν, ἀήττητος μὲν ἡδονῆς· ἀήττητος δὲ πλεονεξίας. κρείττων δὲ ἐπιθυμίας, κρείττων δὲ φθόνου καὶ ζηλοτυπίας. μεγαλόφρων δὲ καὶ εὐεργετικὸς καὶ φιλάνθρωπος, τοιοῦτον γὰρ ἐπινοοῦμεν τὸν θεόν, οὕτω καὶ τὸ ἐκείνου μίμημα τὸν ἄνθρωπον ἡγητέον, ὅταν ἔχῃ κατὰ φύσιν· ὁμοίως ἔχειν, καὶ οὕτως ἔχοντα, εἶναι ζηλωτόν. ὢν δὲ ζηλωτὸς εὐθὺς ἂν εἴη καὶ εὐδαίμων. οὐ γὰρ ἄλλους γέ τινας, ἢ τοὺς εὐδαίμονας ζηλοῦμεν. καὶ μὴν οὐκ ἀδύνατον γενέσθαι τοιοῦτον ἄνθρωπον. οὐ γὰρ ἑτέρωθέν ποθεν ταύτας ἐπινοῆσαι τὰς ἀρετὰς ἔχομεν, ἢ ἀπ' αὐτῆς τῆς ἀνθρωπείας φύσεως. ἐντυχόντες αὐτοῖς τοῖς δέ τισιν οἵους ὄντας αὐτούς, θείους καὶ θεοειδεῖς ὠνόμαζον. εἰ μὲν οὖν τις τύχοι πρότερον ἔτι νέος ὤν, παιδείας ὀρθῆς ἐπιμέλειαν πεποιημένος, καὶ τὰ μὲν ὅσα μαθημάτων ἔχεται καλῶν, μεμαθηκὼς οὐκ ἐνδεῶς· τὰ δὲ ἀσκητὰ ἠσκηκὼς ἱκανῶς, οὗτος ἂν ἐν γήρᾳ ταῖς ἐνούσαις ἑαυτῷ χρώμενος ἀφορμαῖς, ζῶν κατὰ φύσιν· καὶ ἀλύπως μὲν φέρει τὴν στέρησιν τῶν ἡδονῶν τῶν ἐπὶ νεότητος· ἀλύπως δ' ἔχοι τῇ παρούσῃ τοῦ σώματος ἀδυναμίᾳ. δυσκολαίνοι δ' οὐκ ἂν οὔτε καταφρονούμενος ὑπὸ τῶν πλησίον, οὔτ' ἀμελούμενος ὑπὸ τῶν οἰκείων καὶ φίλων· ἅτε πρὸς ταῦτα πάντα ἀλεξιφάρμακον ἔχον καλὸν ἐπὶ τῇ διανοίᾳ τῇ ἑαυτοῦ, τὴν παιδείαν τὴν ὑπάρχουσαν. εἰ δέ τις εἴη παιδείας μὲν ἐνδεέστερον μετεσχηκώς, προθυμίαν δὲ παρέχοιτο πρὸς τὰ κρείττω, καὶ πείθεσθαι δύναιτο τοῖς εὖ λεγομένοις, οὗτος ἂν εὖ ποιοίη ζητῶν λόγων ἀκούειν ὑποθετικῶν, παρὰ τῶν πεποιημένων ἔργον εἰδέναι, τίνα μὲν βλαβερά, τίνα δὲ ὠφέλιμα ἀνθρώποις. καὶ τίνα ἂν τρόπον, τὰ μὲν ἐκφύγοι· τὰ δέ, κτῷτο. καὶ πῶς ἂν τὰ μὴ ὄντα μὲν κακά, δοκοῦντα δέ, προσιόντα πράως δέχοιτο. τούτων μὲν ἀκούων καὶ πειθόμενος, ὥς τό γε ἀκούειν ἀπειθῶς, ἀκερδέστατον, διάθοιτ' ἂν τὸ γῆρας καλῶς. τά τε ἄλλα, καὶ τὸν τοῦ θανάτου φόβον ἐξαιρεθείη ἄν, ὃς μάλιστα θορυβεῖ τε καὶ πιέζει τοὺς γέροντας, ὥσπερ ἐπιλελησμένους, ὅτι παντὶ θνητῷ, θάνατος ὀφείλεται. καὶ τότε ἀθλιώτατον ποιοῦν τὸν βίον τοῖς γέρουσιν, ἄλλο τοῦτό ἐστιν, ὁ τοῦ θανάτου φόβος. ὥσπερ ἀμέλει καὶ ὁ ῥήτωρ Ἰσοκράτης ἀνωμολογήσατο. φασὶ γὰρ ἐκεῖνον, ἐρωτήσαντός τινος, ὅπως διάγει, εἰπεῖν, ὅτι οὕτως, ὥσπερ ἐκεῖνον, τὸν ἐνενήκοντα μὲν γεγονότα ἔτη· κάκιστον δὲ ἔσχατον νομίζοντα εἶναι τὸν θάνατον. καίτοι τῆς ἐκείνου τί παιδείας μετὸν, ἢ γνώσεως τῶν ἀληθῶν ἢ κακῶν. ὃς ὑπελάμβανεν

εἶναι καλόν, τὸ δὲ ἐξ ἀνάγκης ἑπόμενον βίῳ τῷ ἀρίστῳ. εἴγε ἄριστος βίος, ὁ τοῦ ἀγαθοῦ ἀνδρός· πέρας δὲ καὶ τούτου, θάνατος. ὃ δ᾽ οὖν εἶπον, εἰ τοῦτο περιποιήσαιτό τις ἐν γήρᾳ, τὸ προσδέχεσθαι τὸν θάνατον ἀφόβως καὶ θαρραλέως, οὐ μικρὸν ἂν μέρος τὸ ζῆν ἀλύπως καὶ κατὰ φύσιν εἴη πεπορισμένος· κτήσαιτο δ᾽ ἂν τοῦτο, συνὼν τοῖς οὐκ ὀνόμασι μόνον, ἀλλ᾽ ἀληθῶς φιλοσόφοις· ἄν γε καὶ πείθεσθαι θέλῃ αὐτοῖς. ἐγὼ μὲν οὖν φημι γήρως ἐφόδιον εἶναι κράτιστον, ὃ δὴ καὶ ἀρχόμενος τοῦ λόγου εἶπον, τὸ ζῆν κατὰ φύσιν· ἃ χρὴ πράττοντα καὶ διανοούμενον. οὕτω γὰρ ἂν καὶ εὐθυμότατος εἴη ὁ γέρων, καὶ ἐπαινετώτατος. ταῦτα δὲ ἔχων, εὐπότμως καὶ ἐντίμως βιώη ἄν. εἰ δέ τις οἴεται μέγιστον εἶναι παραμύθιον τοῖς γέρουσι τὸν πλοῦτον, καὶ τοῦτον αὐτοῖς παρέχειν ἀλύπως βιοῦν, κακῶς οἴεται. πλοῦτος γὰρ ἡδονὰς μὲν οἷός τε παρέχειν ἀνθρώποις ἐστὶ τὰς ἀπὸ σίτων καὶ πότων καὶ ἀφροδισίων, καὶ ἄλλων ὁμοίων· οὔτε δὲ εὐθυμίαν, οὔτε ἀλυπίαν, οὐδαμοῦ τῷ κεκτημένῳ παράσχοι ἄν. μαρτυροῦσι δὲ πολλοὶ τῶν πλουσίων, λυπούμενοι καὶ ἀθυμοῦντες, καὶ ἀθλίους νομίζοντες εἶναι αὑτούς· διότι οὐδὲ αὐτὸ εὕρημα γήρως καλὸν ὁ πλοῦτος εἴη ἄν.

Σὺ δὲ ἄκουε λόγον οὐκ ἐμὸν, οὐδὲ νεώτερον, ἐχθές που καὶ πρώην εὑρεθέντα, καὶ μόλις εὐδοκιμήσαντα· παλαιῶν δὲ ἀνδρῶν σοφῶν τεθαυμασμένον. διδάσκει γὰρ ἡμᾶς ὅτι πάντα δὴ σχεδὸν τὰ ἐν οἷς πράγματα, τέλος οὐκ ἂν εὑρεθείη βέβαιον ἔχοντα, πρὸς τὸ ἀγαθὸν, ἢ τὸ χεῖρον. ἐπειδή περ χρῆσις μεταβάλλειν αὐτὰ ἔοικεν· ὡς εἶναι ποτὲ μὲν καλὰ καὶ ἀγαθὰ, προστάτου καὶ καθηγεμόνος ἀγαθοῦ τυχόντα· ποτὲ δ᾽ αὖ ἑαυτὰ τὴν ἐναντίαν ἔχειν δύναμιν ὑπ᾽ ἀνδρὸς κακοῦ παρειλημμένα· καὶ τὰ μὲν ἄλλα, ὡς πλοῦτόν τε καὶ δόξαν, καὶ στρατηγίαν, καὶ πολιτείαν, καὶ δύναμιν σώματος· καὶ κάλλος· καὶ ἰσχὺν λέγω· καὶ πάντα ὁπόσα ἐς τὸ καλὸν καὶ τὸ φαῦλον τελευτᾷ· καλῶς ἢ πονηρῶς δρώμενα· ἐπ᾽ ἄλλην δὲ πειράσομαι τὴν προκειμένην ὑπόθεσιν ῥαπῆναι, διά τινος συντόμου καὶ εὐθείας ὁδοῦ. καὶ γὰρ νεότης ὦ οὗτος καὶ γῆρας· ἄμφω μὲν καλὰ ἐστὸν καὶ περισπούδαστα καὶ εὐκτά. ἄμφω δὲ χαλεπὰ καὶ αἰσχρὰ καὶ δύσκολα δειχθείη ἂν, ὑπὸ τῶν οὐ δεόντως αὐτοῖς χρωμένων. αὐτίκα τὸν ἀμαθῆ τε καὶ θρασὺν, ἕτοιμον πρὸς τὸ ἀδικεῖν. εὔρωστόν τε καὶ πλούσιον πλάττωμεν τῷ λόγῳ· συνέστω δὲ τούτῳ κατὰ τὴν αὐτοῦ ἡλικίαν, πρεσβύτης πονηρὸς τὸν τρόπον καὶ ἀναίσχυντος, καὶ ὃς οὐδὲν ὑπομένων ἐλαττοῦσθαι τοῦ νέου αὐτοῖς τοῖς ἁμαρτήμασι. τί οὖν, ἢ νεότητα διὰ ταῦτα μέμψαιτ᾽ ἄν, ἢ γῆρας αἰτιάσαιτο, οὐχὶ δὲ τὸν νέον, ἀλλ᾽ ὅτι δὴ τοῦτο καὶ τὸν γέροντα, Ἰωάννου ἐκ τοῦ περὶ γήρως.

Ayuntamiento de Madrid

ἢ ἀδικοῖεν, ὑπευθύνους εἶναι δόξει; καὶ δὴ καθάπερ ἐπὶ σκηνῆς, ἢ τινὸς ἀ-
γορᾶς, ἐν ᾗ δεικνύουσιν οἱ θαυματοποιοὶ τὰ θαύματα, ἡκέτω τις ἡμῖν ἑτέ-
ρα εἰκὼν, τὴν προειρημένην μορφὴν ἔχουσαν, διὰ τὴν προσοῦσαν ἡλικίαν ἑκα-
τέροις· τοῖς δὲ τρόποις καὶ τὰ ἤθη καὶ τὰ ἔργα, κατὰ τὸ ἐναντίον τῶν προειρη-
μένων. ἀγαθὸς μὲν ὁ νέος ἔστω, καὶ περὶ τὸ ποιεῖν τἀγαθὸν, προθυμότατος.
ἐνάρετος δὲ ὁ πρεσβύτης καὶ δυνατὸς ἐπιτελεῖν, ὁπόσα λέγεται καὶ ἔστιν
ἐν ἀνθρώποις πλεονεκτήματα. ἐπὶ τοῖσδε οὖν ἀμφοῖν περιβλέπειν ὄντοιν,
τῷ γήρᾳ καὶ τῇ νεότητι, τὰς αἰτίας τῆς ἀρετῆς τοῖν ἀνδροῖν ἀναθήσομεν.
οὐχὶ δὲ ἑκατέρῳ τὰ προσόντα δι' ἑαυτὸν εἶναι πείθομαι. καί με ὑπόμει-
νον λέγοντα, ἅπερ ποτὲ ἤκουσα ἀνδρὸς φιλοσόφου διδάσκοντος ἡμᾶς αὐ-
τὰ ταῦτα. ἔλεγε δὲ, περί τε ψυχῆς ἀνθρώπου καὶ σώματος· ὅτι ἄρα, τὰ μὲν
θεῖα καὶ μεγάλα, καὶ οἷς ἐφέστηκε δαίμων τις, ἢ θεὸς ἢ τύχη, ταῦτα δὲ καὶ
ἀκόντων ἡμῶν κρατεῖ. τὰ δὲ ὥσπερ κοινὰ ἤδη καὶ συνήθη τισὶν ἁμαρτήμα-
τα οἱ χρόνοι προσάγουσιν, ἑκοῦσιν ἑκούσια. φράσω δέ τι σαφέστερον ἅπερ εἶ-
πεν. ἔχει δὲ ὧδε. τῆς ψυχῆς τὸ μὲν εἰλικρινὲς καὶ καθαρὸν, ὃ δὴ θεῖόν ἐστι καὶ
εἶναι δοκεῖ, τοῦτο μὲν ἔφη γεννωμένοις ἡμῖν συνεκπέμπεσθαι. μηδενὸς αὐ-
τῷ κοινωνοῦντος τῶν παραπτόντων τε καὶ ἀφανιζόντων τὴν ἐν αὐτῷ φρόνη-
σιν. ἔπειτα δὲ τρεφομένου καὶ αὐξομένου τοῦ σώματος, παρακολουθεῖν τι-
νας ἡδονὰς καὶ ἀδικίας τῷ ζώῳ πολεμούσας. αἷς σύμμαχός τε καὶ συνέ-
ριθος ἡ νεότης γίνεται. ὑφ' ἧς βαδίζουσαι καὶ κατακρύπτεσθαι δοκοῦσαι,
μονονουχὶ μάστιξι καὶ κέντροις, ὥσπερ ἐπὶ σκηνῆς αἱ τῶν τραγῳδῶν εὐμε-
νίδες τὸν νέον ἐλαύνουσιν, αἱ μὲν, ἐπί τινας ἔρωτας, οὐ νενομισμένους, οὐ-
δὲ θεοῖς φίλους. ἄλλαι δὲ, ἐξοργίζουσί τε καὶ ἀνεγείρουσι τὸν, ἐπὶ μα-
νίαν καὶ θυμὸν ἀλόγιστόν τινα. πάντα τὰ δεινὰ κελεύουσαι δρᾶν. ἅπερ
οἶμαι καλλωπίζουσί τε καὶ ἐπισκιάζουσιν ἑτέροις ὀνόμασιν. εἰ μὲν θυγα-
τρὸς ἐρῴη τις ἢ μητρὸς, τὸν ἔρωτα συνήγορον παραλαμβάνουσαι. εἰ δὲ ἀλ-
λοτρίου μέν τινος, οὐκ ἐξὸν δὲ, ὅμως τὰ τῶν βοιωτῶν, ἢ τὰ τῶν ἰώνων νό-
μιμα σημαίνουσιν ὑπὸ κάλλους καὶ ἡδονῆς περιαστράπτεσθαι λέγουσαι
τὸν ἄνδρα. καὶ ὅτι νέῳ δέ τε πάντα ἐπέοικεν. αἱ δὲ, θάρσος ἐμποιοῦσαι καὶ
ἀλογιστίαν, ἀνδρείαν ταῦτα ἐκάλουν. μέτριαι δέ πως ἐνομίσθησαν, αἱ φι-
λοίνους τε καὶ ὀψοφάγους, καὶ αὖ φιλαργύρους ποιοῦσαι. καὶ δὴ σκοπή-
σατε ὦ παρόντες. ὅτι αὗται δὲ αἱ μυρίαι σειρῆνες αἱ τὸν πλεῖστον ἀπάγου-
σαι λεὼν ὥσπερ αἰχμάλωτον, οὐ θαρροῦσι προσελθεῖν γέροντι. ἀλλὰ δὴ
σὺν τῷ σώματι λήγοντι καὶ μαραινομένῳ, τά τε αἴτια τῶν ἁμαρτημάτων

Ayuntamiento de Madrid

ὑπέξεισιν. ἥ τε ψυχὴ αὐτοῦ μελετᾷ ἤδη, ὥσπερ καθ' ἑαυτὴν γιγνομένη, τὰ μὲν ἀνθρώπεια κακὰ, φεύγειν. συνεῖναι δὲ σωφροσύνῃ. τεκμήρια δὲ τῶν εἰρημένων καὶ πίστεις ἐποιεῖτο, τά τε ἔργα παραλαμβάνων, καὶ παλαιὰ ἐξηγούμενος. δι' ὧν ἔπειθε, τὸ μὲν νέον ἅπαν, σκιρτᾶν τε καὶ πεφυκέναι ἀκρατὲς ἑαυτοῦ, καὶ παράπτεσθαι. τὸ δὲ πρεσβύτερον καὶ κατηρτυμένον, δίκαιόν τε εἶναι καὶ εἰλικρινὲς, οὐ παρέχον τοῖς λυποῦσιν ἀφορμὰς, ὅμοιον εἶναι θεῷ. ἐμνημόνευε δὲ φράσεις ἐπὶ τὴν ἑλληνικὴν ἱστορίαν τοῦ πυλίου νέστορος. ὃν διὰ γνώμην καὶ γῆρας τῶν ξυμπάντων ἡρώων, προετίμησεν ἀγαμέμνων, ὁ τοῦ πολέμου στρατηγός. οὐδ' ἡμέρας μόνον, ἀλλὰ καὶ νύκτωρ παραγενόμενος ἐπὶ τὴν ἐκείνου ναῦν, ὁπότε συμβούλου δέοιτο, θέλων αὐτῷ συνεῖναι κατὰ τοὺς κινδύνους. ἀχιλλέως μηνίοντος. οὐ γὰρ τὸν νέον καὶ ἄφρονα αἴαντα. οὐδὲ μὴν διομήδη τὸν περιφανέστατον, διὰ τὸ ἐπικείμενον αὐτοῦ τοῖς ὅπλοις θεῖον πῦρ. ἀλλ' οὐδὲ μενέλεων τὸν ἀδελφὸν, ὡς ἐκεῖνον δὴ τὸν ὑπερβαλλόμενον γενεὰς ἀνθρώπων. τὰς ἐπὶ ζωῇ νενομισμένας πάντα ἐδόκει αὐτῷ τὰ κατὰ τοὺς πολέμους βοηθήματα εἶναι. καὶ τοῦτο δὲ ἔλεγε, τὸν θεμιστοκλέα τὸν ἀθηναῖον νέον μὲν ὄντα ὁ πατὴρ ἀπεκήρυξεν, οὐκ ἐθέλων υἱὸν ἔχειν, διὰ τὰς ἐν τῇ νεότητι ἁμαρτάδας. πλησίον δὲ τοῦ γήρως γιγνόμενον, αὐτὸν ἐκεῖνον οἱ ἀθηναῖοι στρατηγὸν εἵλοντο ἐν τῷ περσικῷ πολέμῳ. καὶ συμβουλεύοντί τε καὶ διακρίνοντι ἐπὶ τὸ σαφέστερον τὰ τοῦ ἀπόλλωνος μαντεῖα εἵποντο. ἀπολιπόντες τὴν πόλιν ἐρήμην. καὶ προθύμως ἀνέβαινον εἰς τὰς ναῦς, ἡγουμένου θεμιστοκλέους. καὶ διὰ τοῦτο ἐσώζοντο. τί γάρ με δεῖ τοῦ ἀλκιβιάδου λέγειν νεότητα, καὶ τὸ γῆρας τοῦ νικίου. ὧν ὁ μὲν, ἐπὶ σικελίαν ἦγεν αὐτοὺς, καὶ ἐδυστύχησαν. ὁ δὲ, συνεβούλευσε σωφρονεῖν, εἰ γὰρ ἐθελήσαιμι τούτων γε πέρι καὶ τῶν ὁμοίων γίγνεσθαι, ἐπιλείψει με ὁ σύμπας χρόνος.

Ayuntamiento de Madrid

## ΠΕΡΙ ΘΑΝΑΤΟΥ, ΚΑΙ ΩΣ ΕΙΗ ΑΦΥΚΤΟΣ.

### ΛΟΓΟΣ ριέ.

Αἰσχύλου. Μόνος θεῶν γὰρ θάνατος, οὐ δώρων ἐρᾷ.
οὔτ᾽ ἄν τι θύων, οὔτ᾽ ἐπισπένδων ναοῖς.
οὐ βωμός ἐστιν, οὐδὲ παιωνίζεται.
μόνου δὲ πειθὼ δαιμόνων ἀποστατεῖ.

Ὁμήρου. Ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα.
κτητοὶ τε τρίποδες, καὶ ἵππων ξανθὰ κάρηνα,
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν, οὔτε λῃϊστή,
οὔθ᾽ ἑλετή. ἐπεὶ ἄρκεν ἀμείψεται ἕρκος ὀδόντων.

Φιλήτου. Ἀτραπὸν εἰς ἀΐδαο ἤνυσα.
τὴν οὔπω τις ἐναντίον ἦλθεν ὁδίτης.

Σιμωνίδου. Τοῦτό κεν, ἐς ἀΐδαν, κενεὰ διανήχεται ἀχώ.
σιγᾷ δ᾽ ἐν νεκύεσσι. τὸ δὲ σκότος, ὄσσε κατέρρει.
Πάντα γὰρ μίαν ἱκνεῖται δασπλῆτα Χάρυβδιν.
αἱ μεγάλαι ἀρεταὶ καὶ ὁ πλοῦτος.
Ὁ δ᾽ αὖ θάνατος ἔφυκε καὶ τὸν φυγόμαχον.
Πῶς ἀναλύεται τὸ σῶμα, πνεύματος φυγόντος.

Εὐριπίδου. Κατθανεῖν δ᾽ ὀφείλεται. καὶ τῷ κατ᾽ οἴκους
ἐκτὸς ἡμένῳ πόνων.

Μενάνδρου. Ἀθανασία δ᾽ οὐκ ἔστιν, οὐδ᾽ ἂν συναγάγῃς
τὰ Ταντάλου τάλαντα ἱκανὰ λεγόμενα.
ἀλλ᾽ ἀποθανῇ, καὶ ταῦτα καταλείψεις τινί.

Σοφοκλέους. Σμικρὰ παλαιὰ σώματ᾽ εὐνάζει ῥοπή.
Ὅστις δὲ θνητῶν θάνατον ὀρρωδεῖ λίαν,
μωρὸς πέφυκε. τῇ τύχῃ μέλει τάδε.
ὅταν γὰρ ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ,
οὐδ᾽ ἂν πρὸς αὐλὰς Ζηνὸς ἐκφύγῃ μολών.

Ayuntamiento de Madrid

Γ ολιοὶ μὲν ἡμῖν ἤδη κρόταφοι· κάρα δὲ λευκόν. — Ανακρέοντος.
χαρίεσσα δ' οὐκ ἔθ' ἥβη πάρα· γηραλέοι δ' ὀδόντες.
γλυκεροῦ δ' οὐκ ἔτι πολλὸς βιότου χρόνος λέλειπται
διὰ ταῦτ' ἀνασταλύζω θαμὰ, τάρταρον
δεδοικώς· ἀΐδεω γάρ ἐστι δεινὸς μυχός.
ἀργαλέη δ' ἐς αὐτὸν κάθοδος.
καὶ γὰρ ἕτοιμον καταβάντι, μὴ ἀναβῆναι.

Β ροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται — Ευελπίδου.
κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται,
τὴν αὔριον μέλλουσαν, εἰ βιώσεται.

Θ νητὸς πεφυκὼς, μὴ εὐλαβοῦ τεθνηκέναι. — Διφίλου.

Τ ὸ γὰρ φοβεῖσθαι τὸν θάνατον, λῆρος πολὺς — Αριστοφάνους.
πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.

Ω ν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν. — Ποσιδίππου
τῆς ἀθανασίας κρεῖττον οὐδὲν εὔχεται.

Ο ὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται· λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. — Πλάτωνος

Ε δησεν ἡ φύσις, τοῦτο φύσις λύει· καὶ ὃ ἔδησεν ἡ ψυχή· τοῦτο αὐτὴ λύει. ἔδησε δὲ, φύσις μὲν σῶμα ἐν ψυχῇ· ψυχὴ δὲ αὐτὴν ἐν σώματι. φύσις μὲν ἄρα, λύει σῶμα ἐκ ψυχῆς· ψυχὴ δὲ αὐτὴν λύει ἀπὸ σώματος. — Πορφυρίου.

Τ αράσσει τοὺς ἀνθρώπους, οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα. θάνατος, οὐ φοβερόν· ἐπεὶ καὶ σωκράτει ἂν ἦν· ἀλλὰ τὸ δόξαι τὸν θάνατον εἶναι φοβερὸν, ὅταν οὖν ἐμποδιζώμεθα, μηδέποτε ἄλλον αἰτιώμεθα· ἀλλ' ἑαυτούς. τοῦτό δέ ἐστι, τὰ φαῦλα δόγματα, καθάπερ ἐν πλῷ πλοίου καθορμισθέντος, εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον καὶ κοχλίδιον ἀναλέξασθαι καὶ βολβάριον, τετάσθαι δ' ἐπὶ τὸ πλοῖον, καὶ συνεχὲς ἐπιστρέφεσθαι, μήτι ὁ κυβερνήτης καλῇ, κἂν καλῇ πάντας ἀφεῖναι, ἵνα μὴ δεδεμένος βληθῇς ὡς τὰ πρόβατα, οὕτω καὶ ἐν τῷ βίῳ· ἐὰν δίδωται ὁδοῦ πάρεργον, ἀντὶ βολβοῦ καὶ κοχλίου, γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα, μηδὲ ἐπιστρεφόμενος· ἂν δὲ ᾖς γέρων, μηδὲ ἀποχώρει τοῦ πλοίου μακράν· μήποτε καλοῦντος ἐλλίπῃς. — Εκ τοῦ ἐπικτήτου ἐγχειριδίου.

Α φυκτὸν ἐστι τὸ τῆς πεπρωμένης κακόν.

Γ οργίας ὁ λεοντῖνος, ἐπὶ τέρματι ὢν τοῦ βίου, ὑπ' ἀσθενείας καταληφθεὶς, — Αριστοτέ.

Ayuntamiento de Madrid

κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο. ἤδη δέ τις αὐτὸν τῶν ἐπιτηδείων ἤρετο, τί πράττοι, ὁ γοργίας ἀπεκρίνατο. ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τἀδελφῷ.

Σωκράτους. Χρὴ ψυχὴν λιπεῖν, μὴ δ' ἀνίζειν δακρύοις καὶ θρήνοις. τὸ δὲ χρεὼν, ἀνδρὸς ἀγαθοῦ φέρειν.

Οὐχ ὁ θάνατος δεινὸν, ἀλλ' ἡ περὶ τὴν τελευτὴν ὕβρεις φοβερά.

Τοῦ ἀποθανεῖν ὁμοίως ἤδη κεκλωσμένου πᾶσιν, οὐ τὸ βραδέως, ἀλλὰ τὸ ἐμφανῶς ἀποθανεῖν μακάριον.

Ἀείμνηστος ἐρωτηθεὶς τί μέγιστον ἀγαθὸν ἀνθρώπῳ, εἶπε· τὸ καλῶς ἀποθανεῖν.

Ὅτι παραπλήσια τοῖς μετοικιζομένοις πάσχομεν. καὶ γὰρ οἱ μὲν ἐκείνων εὐδαίμονες, ταχέως ἐξίασιν. οἱ δὲ μὴ βουλόμενοι, πρὸς βίαν.

Γοργίας ὁ ῥήτωρ ἤδη γηραιὸς ὑπάρχων, ἐρωτηθεὶς εἰ ἡδέως ἀποθνήσκοι, ἥκιστα εἶπεν· ὥσπερ δὲ ἐκ σαπροῦ καὶ ῥέοντος συνοικιδίου ἀσμένως ἀπαλλάττομαι.

Ἐπικούρου. Ὁ θάνατος, οὐδὲν πρὸς ἡμᾶς. τὸ γὰρ διαλυθὲν, ἀναισθητεῖ. τὸ δὲ ἀναίσθητον, οὐδὲν πρὸς ἡμᾶς.

Ἑρμάχου. Εὐκαταφρόνητος ὁ θάνατος. ἄπρακτον γὰρ τὸ ποιοῦν, τοῦ πάσχοντος ἀνῃρημένου.

Πορφυρίου. Ὁ θάνατος διπλοῦς. ὁ μὲν οὖν συνεγνωσμένως· λυομένου τοῦ σώματος ἀπὸ τῆς ψυχῆς. ὁ δὲ τῶν φιλοσόφων, λυομένης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. καὶ οὐ πάντως ὁ ἕτερος τῷ ἑτέρῳ ἕπεται.

Πρὸς μὲν τὰ ἄλλα, δυνατὸν ἀσφάλειαν πορίσασθαι. χάριν δὲ θανάτου. πάντες ἄνθρωποι πόλιν ἀτείχιστον οἰκοῦμεν.

## ΕΠΑΙΝΟΣ ΖΩΗΣ.

## ΛΟΓΟΣ ρις'.

Εὐριπίδου. Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν.
γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου.
ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
θνήσκειν, τὸ γῆρας δ' οὐκ ἔτ' ἔστ' αὐτοῖς βαρύ.

Πᾶς ἀνὴρ κἂν δοῦλος ᾖ τις ἥδεται τὸ φῶς ὁρῶν.

Πᾶσιν γὰρ οἰκτρὸν, ἡ φίλη ψυχὴ βροτοῖς.

Πανταχοῦ ζῆν ἡδὺ μᾶλλον, ἢ θανεῖν τοῖς σώφροσιν.

Τὸ φῶς τὸ δ' ἀνθρώποισιν ἥδιστον βλέπειν.

τὸ νέρθεν

Ayuntamiento de Madrid

τὸ νέρθεν οὐδέν. μαίνεται δ' ὃς εὔχεται
θανεῖν. κακῶς ζῆν κρεῖττον ἢ καλῶς θανεῖν.

Ὦ λαμπρὸς αἰθὴρ, ἡμέρας θ' ἁγνὸν φάος.
ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσιν καλῶς,
καὶ τοῖσι δυστυχοῦσιν, ὧν πέφυκ' ἐγώ.

Τύχης γὰρ οὐδέν ἐστι τιμιώτερον.

Βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ. Ὁμήρου.
ἀνδρὶ παρακλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

Τὸ ζῆν γὰρ ὦ παῖ, παντὸς ἥδιστον γέρας. Σοφοκλέ.
θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς.

Καὶ γὰρ ἡνίκα μὲν ᾖ πρόσω τὸ κατθανεῖν, Λυκόφρονος.
ᾅδης ποθεῖται τοῖς δὲ δυστυχηκόσιν.
ὅταν δ' ἐφέρπῃ κῦμα λοίσθιον βίου,
τὸ ζῆν ποθοῦμεν, οὐ γὰρ ἔστ' αὐτοῦ κόρος.

Ὅτε μειράκιον ἦν, τοὺς ἀώρους ἠλέουν· Ἀπολλοδώρου.
νυνὶ δ' ὅτε γέροντος ἐκφορὰν ἴδω,
κλαίω. πρὸς ἐμὲ γάρ ἐστι τοῦτο κεῖν' ὁδοῦ.

Τὸν γὰρ ὕστατον τρέχων, δίαυλον τοῦ βίου, ζῆν βούλομαι. Ἀλέξιδος.

Θεόδωρος μὲν γὰρ ὁ Κυρηναῖος, οὐδὲ μίαν ἱκανὴν πρόφασιν ἔφασκεν εἶναι τῷ σοφῷ, πρὸς τὴν τοῦ βίου κατάλυσιν. καὶ τό, τε ἀκόλουθον οὕτως ἑώρα. τὸ γὰρ καταφρονοῦντα τῶν ἀνθρωπείων συμπτωμάτων ὑπ' ἄλλων ἐκ τοῦ βίου γίνεσθαι, πῶς οὐχ ὑπεναντίον τῷ μόνον μὲν τὸ καλὸν ἀγαθὸν, μόνον δὲ αἰσχρὸν τὸ κακὸν εἰρηκότι. Φαβωρίνου

Γευσίππῳ παραλυθέντι τὰ σκέλη, Διογένης ἐξαγαγεῖν αὐτὸν παρῄνει τοῦ βίου. ὁ δὲ, οὐ τοῖς σκέλεσιν ἔφη ζῶμεν, ἀλλὰ τῷ νῷ.

Πολλοὶ σοφοὶ γηραιοὶ φιλοζωοῦσι. καὶ γὰρ οἱ ὀψὲ γήμαντες φιλοζωοῦσιν, ἵν' ἐκθρέψωσι τὰ τέκνα. καὶ οὗτοι ὀψὲ ἀρετῆς ἐπήβολοι γενόμενοι, ἐφίενται αὐτὴν ἐκθρέψαι. Ἀρίστωνος



Ayuntamiento de Madrid

Εὐριπίδου. Ἄκουσον· ὡς σοὶ τέρψιν ἐμβαλῶ φρενί·
τὸ μὴ γενέσθαι, τῷ θανεῖν ἴσον λέγω.
Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι.
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

Νεοπτολέμου. Ὦ θάνατ' εἴθ' εἴης ἀλλάγρετος, ὄφρ' ἂν ἑλοίμην,
πρώτιστον· καὶ κ' ἐχθρὸς ἐών, πολὺ φίλτατος εἴης.

Εὐριπίδου. Εἴπερ δὴ κάτω χθονός, εἴη γε μέντοι μηδέν,
εἰ γὰρ ἕξομεν, κἀκεῖ μερίμνας οἱ θανούμενοι
βροτῶν, οὐκ οἶδα ποῖ τις τρέψεται· τὸ γὰρ θανεῖν,
κακῶν μέγιστον φάρμακον νομίζεται.

Σοφοκλέους. Ἀλλ' ἔσθ' ὁ θάνατος λοίσθιος ἰατρὸς νόσων.

Μενάνδρου. Ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος.

Λεωνίδου. Εὔθυμος ὢν ἔρχευ τὴν ἐπ' Ἀΐδος
ἀταρπὸν ἕρπων· οὐ γὰρ ἐστὶ δύσβατος
οὐδὲ σκαλιώδης οὐδενὸς πλέως πλάνης,
ἰθεῖα δὴ μάλιστα καὶ κατακλινής,
ἅπασα κἠκ μεμυκότων ὁδεύεται.

Εὐριπίδου. Ἅλις ὦ βιοτά· πέραινε, πρὶν τινα συντυχίαν
ἢ κτεάτεσσιν ἐμοῖς ἢ σώματι τῷδε γενέσθαι.

Σωτάδου. Πάντων λιμὴν τῶν μερόπων ὁ θάνατός ἐστιν.

Αἰσχύλου. Ὦ θάνατε παιάν· μή μ' ἀτιμάσῃς μολεῖν·
μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν ἰατρός,
ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῖς.

Σοφοκλέους. Τὸ δ' ἦν ἄρ' οὐδὲν ἄλλο, πλὴν θανεῖν ἐμέ.
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίνεται.

Ἀστυδάμαντος. Χαῖρ'· εἰ τὸ χαίρειν ἔστι που κάτω χθονός.
δοκῶ δέ που γάρ, μὴ ἐστὶ λυπεῖσθαι βίῳ.

Ayuntamiento de Madrid

ἔστιν τὸ χαίρειν τῶν κακῶν λελασμένων;

Τίς δ' οἶδεν εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν. — Εὐριπίδου
τὸ ζῆν δὲ θνήσκειν ἐστί, πλὴν ὅμως βροτῶν
νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
οὐδὲν νοσοῦσιν, οὐδὲ κέκτηνται κακά.

Ἀναξαγόρας, δύο ἔλεγε διδασκαλίας εἶναι θανάτου τόν τε πρὸ τοῦ γενέσθαι χρόνον, καὶ τὸν ὕπνον.

Ἔνιοι θνητῆς φύσεως διάλυσιν οὐκ εἰδότες ἄνθρωποι, συνειδήσει δὲ τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης, τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωροῦσι. ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χρόνον. — Δημοκρίτου.

Φέρτερον εὐκλεᾶ μοῖραν ἐπ' ἀκλέα βιότοιο — Ἰουλίου.
εὑρέμεναι. ἀγαθὸν δὲ θανεῖν τῷδε περὶ ἔργων.

Ἐχρῆν μὲν ἡμᾶς σύλλογον ποιουμένοις, — Σοφοκλέ.
τὸν ζῶντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά.
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον.
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.

Τροφώνιος καὶ Ἀγαμήδης, ποιήσαντες ἐν Δελφοῖς ναόν, ᾔτουν παρὰ τοῦ Ἀπόλλωνος, τὸν μισθόν· ὁ δέ, αὐτοῖς ἔφη δώσειν, τῇ ἑβδόμῃ ἡμέρᾳ· καὶ ταύτῃ ἀπέθανον. ἔτι δὲ Κλέοβις καὶ Βίτων, Κυδίππης τῆς μητρὸς αὐτῶν εὐξαμένης τῇ Ἥρᾳ, δοῦναι τοῖς παισὶν ὅπερ ἂν εἴη κάλλιστον, ὅτι ἑαυτοὺς ὑποζεύξαντας τὴν μητέρα εἰς τὸ ἱερὸν ἀνήγαγον, τὸν βίον παραχρῆμα κατέστρεψαν, εἰς οὓς καὶ τοιόνδε τις ἐπίγραμμα πεποίηκεν. — Πλουτάρχου

» Οἵδε Βίτων Κλέοβίς τ' αὐτοῖ σώμασιν οἰκείοισιν
» φεύγλαν ζευξάμενοι μητέρα τὴν ἀγέτην
» ἥρας εἰς ἱερὸν· λαοὶ δέ μιν ἐζήλωσαν
» εὐτεκνίας παίδων, ἡ δὲ χαρεῖσα θεοῦ,
» εὔξατο παῖδε τυχεῖν, τοῦ ἀρίστου δαίμονος αἴσης.
» οἳ ἐκ' ἐτίμησαν μητέρα τὴν σφετέρην.
» αὐτοῦ δ' εὐνηθέντε, λίπον βίον ἐν νεότητι.
» ὡς τὸ δ' ἄριστον ἐὸν καὶ μακαριστότατον.

Κουσιανοὶ τοὺς μὲν γεννωμένους θρηνοῦσι· τοὺς δὲ τελευτήσαντας, μακαρίζουσιν. — Ἐκ τῶν ἠθῶν τῶν Νικολάου

Τίς γὰρ οὐκ οἶδε τῶν ἁπάντων, ὅτι τοῖς μὲν ζῶσι πᾶσιν, ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος· τοὺς τεθνεῶτας δέ, οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἔτι μισεῖ. — Δημοσθ.



Ayuntamiento de Madrid

Ἑρμοῦ. Περὶ δὲ τοῦ θανάτου νῦν λεκτέον. τοὺς γὰρ πολλοὺς ὁ θάνατος φοβεῖ, ὡς κακὸν μέγιστον, ἀγνοίᾳ τοῦ πράγματος. θάνατος γὰρ γίνεται, διάλυσις καμόντος σώματος. καὶ γὰρ ἀριθμοῦ πληρωθέντος τῶν ἁρμῶν τοῦ σώματος. ἀριθμὸς γάρ ἐστιν, ἡ ἁρμογὴ τοῦ σώματος, ἀποθνήσκει δὲ τὸ σῶμα, ὅταν μηκέτι δύναται φέρειν τὸν ἄνθρωπον. καὶ τοῦτό ἐστι θάνατος. διάλυσις σώματος καὶ ἀφανισμὸς αἰσθήσεως σωματικῆς.

Θεμιστίου. Ταῦτα τοῦ Τίμωνος εἰπόντος, ὑπολαβὼν ὁ Πατροκλῆς, ὁ καὶ λόγος εἶπεν. οὐχ ἧττον ἰσχυρὸς ἢ παλαιός. ἔχει δὲ ἀπορίας. εἰ γὰρ ἡ δόξα τῆς ἀφθαρσίας παμπάλαιός ἐστι. πῶς αὖ πάλιν τὸ τοῦ θανάτου δέος· πάντων πρεσβύτατον εἶναι τῶν φόβων. εἰ μὴ νὴ Δία καὶ πάντας ἡμῖν τοῦτο τοὺς ἄλλους ἐγγεγέννηκεν. οὐ γὰρ νεαρὸν οὐδὲ πρόσφατόν ἐστι, τὸ κλαίεσθαι τὸν τεθνηκότα. καὶ ταῦτα δὴ τὰ θρηνώδη καὶ δύσφημα τῶν ὀνομάτων ἐπιλέγεσθαι· τὸν ἄθλιον καὶ τὸν οἰκτρόν· ἀλλ᾽ οὕτω μὲν ἔφη ὁ Τίμων λογιζόμενοι, καὶ τὰ ἄφθαρτα δόξουσι διανοεῖσθαι φθειρομένοις. ὅτι μὲν οὖν τὸ μεταλλαχέναι καὶ μεθίστασθαι καὶ οἴχεσθαι τὸν τεθνηκότα, δυσχεροῦς οὐδενὸς ἁπλῶς, ἀμείψεως δέ τινος ἢ μεταβολῆς ὑπόνοιαν δίδωσιν, οὐκ ἄδηλόν ἐστι. ποῦ δὲ αὕτη γίνεται τοῖς μεταλλάττουσιν ἡ μεταβολή, καὶ πότερον ἐς χεῖρον ἢ βέλτιον, ἐκ τῶν ἄλλων ὀνομάτων σκοπῶμεν. αὐτὸ τοίνυν τὸ τοῦ θανάτου πρῶτον, οὐχ ὑπὸ γῆν ἔοικεν. οὐδὲ κάτω μηνύειν χωροῦν τὸ μεταλλαχός· ἀλλ᾽ ἄνω φερόμενον καὶ θέον. ὃ δὴ καὶ λόγον ἔχει. καθάπερ εἰ κάμπτης τινὸς ἀνέσης, οἷον ἐξάπτειν καὶ ἀναθεῖναι τὴν ψυχὴν ἀποπνέοντος τοῦ σώματος, ἀναπνέουσαν ἄλλην καὶ ἀναψύχουσαν. ὅρα δὲ τὸ ἀντικείμενον θανάτῳ τὴν γένεσιν· ὡς τοὐναντίον δηλοῖ· ῥοπήν τινα κάτω καὶ νεῦσιν ἐπὶ γῆν, ἐκείνου τοῦ περὶ τὴν τελευτὴν πάλιν ἀναθέοντος· οἳ καὶ γενέθλιον τὴν ἡμέραν καλοῦσιν. ὡς ἄθλων καὶ πόνων μεγάλων ἀρχὴν γενομένην. μᾶλλον δ᾽ ἴσως ἀφ᾽ ἑτέρας τὸ αὐτὸ συζυγίας· κατοψόμεθα καὶ σαφέστερον. ἀπολύεσθαι γὰρ τὸν ἀποθνήσκοντα, καὶ τὴν τελευτήν, ἀπόλυσιν καλοῦσιν· αὖ δὲ ἔρημαι σώματος. τοῦτο γὰρ δὲ δέμας ὀνομάζουσιν. ὡς δεδεμένης ὑπ᾽ αὐτοῦ τῆς ψυχῆς ἐνταῦθα παρὰ φύσιν· οὐδὲν γὰρ ἐν ᾧ πέφυκεν εἶναι κατέχεται βίᾳ. καὶ τῷ δεδέσθαι τήν τε βίαν ταύτην παραγαγόντες, ὠνόμασαν βίον. ὥσπερ οἶμαι τὴν ἑσπέραν Ὅμηρος, ἕσπερον. ὅθεν ἀντίφωνον τοῦ βίου ὄνομα γέγονε, τὸ ἀναπαύεσθαι τὸν θνήσκοντα. μεγάλης καὶ παρὰ φύσιν ἀνάγκης ἀπαλλαττόμενον.

Ἐν ταὐτῷ. Ὁ οὕτω κατὰ τὴν εἰς τὸ ὅλον μεταβολὴν καὶ κατακόσμησιν, ὀλωλέναι τὴν ψυχὴν

λέγομεν

λέγομεν ἐκεῖ γενομένην· ἐνταῦθα δὲ ἀγνοεῖν· πλὴν ὅταν ἐν τῷ τελευτᾶν ἤδη γένηται. τὸ δὲ πάσχει πάθος οἷον οἱ τελεταῖς μεγάλαις κατοργιαζόμενοι. διὸ καὶ τὸ ῥῆμα τῷ ῥήματι καὶ τὸ ἔργον τῷ ἔργῳ τοῦ τελευτᾶν καὶ τελεῖσθαι προσέοικε. πλάναι τὰ πρῶτα καὶ περιδρομαὶ κοπώδεις καὶ διὰ σκότους τινὸς ὕποπτοι πορεῖαι καὶ ἀτέλεστοι. εἶτα πρὸ τοῦ τέλους αὐτοῦ τὰ δεινὰ πάντα· φρίκη καὶ τρόμος καὶ ἱδρὼς καὶ θάμβος. ἐκ δὲ τούτου, φῶς τι θαυμάσιον ἀπήντησεν. ἢ τόποι καθαροὶ καὶ λειμῶνες ἐδέξαντο. φωνὰς καὶ χορείας καὶ σεμνότητας ἀκουσμάτων ἱερῶν καὶ φαντασμάτων ἁγίων ἔχοντες. ἐν αἷς ὁ παντελὴς ἤδη καὶ μεμυημένος ἐλεύθερος γεγονὼς καὶ ἄφετος, περιιὼν ἐστεφανωμένος ὀργιάζει. καὶ σύνεστιν ὁσίοις καὶ καθαροῖς ἀνδράσι. τὸν ἀμύητον ἐνταῦθα τῶν ζώντων ἀκάθαρτον ἐφορῶν ὄχλον. ἐν βορβόρῳ πολλῷ καὶ ὀμίχλῃ πατούμενον ὑφ᾽ ἑαυτοῦ καὶ συνελαυνόμενον. φόβῳ δὲ θανάτου τοῖς κακοῖς, ἀπιστίᾳ τῶν ἐκεῖ ἀγαθῶν ἐμμένοντα. ἐπεὶ τό γε παρὰ φύσιν, τὴν πρὸς τὸ σῶμα τῇ ψυχῇ συμπλοκὴν εἶναι καὶ σύνερξιν, ἐκεῖθεν ἂν συνίδοις. πόθεν ἔφη ὁ Πατροκλεύς· ὅτι τῶν περὶ ἡμᾶς παθῶν ὁ ὕπνος ἥδιστόν ἐστι. πρῶτα μὲν γὰρ αἴσθησιν ἀλγηδόνος πᾶσι σβέννυσι διὰ τὴν ἡδονήν, πολλῷ τῷ οἰκείῳ κεραννυμένης. ἔπειτα τῶν ἄλλων ἐπιθυμιῶν κρατεῖ, κἂν ὦσι σφοδρόταται. καὶ γὰρ πρὸς ἡδονὴν οἱ φιλομουσότατοι δυσαναχετοῦσιν, ἐπιόντος αὐτοῖς τοῦ καθεύδειν. καὶ περιβολὰς ἐρωμένων προΐενται καταδαρθάνοντες. καὶ τί δεῖ ταῦτα λέγειν. ὅτι οὐ καὶ τῶν ἀπὸ τοῦ μανθάνειν καὶ διαλέγεσθαι καὶ φιλοσοφεῖν ἡδονὴν καταλαμβάνων ὁ ὕπνος, ἀποκλείει τῆς ψυχῆς ὥσπερ ἀπὸ ῥεύματος λείου καὶ βαθέος ὑποφερομένης. ἡδονὴ δὲ ἡ δὲ πᾶσα μὲν ἴσως ἔοικεν ἔχειν καὶ φύσιν ἀλγηδόνος ἀπαλλαγήν. αὕτη δὲ καὶ παντάπασιν. οὐδενὸς γὰρ ἔξωθεν οἷον ἐπιτερποῦς καὶ κινητικοῦ προσιόντος ἡδόμεθα καταδαρθάνοντες. ἀλλ᾽ ἐπί πονόν τινα καὶ κοπώδη καὶ σκληρὰν ἔοικεν ἐξαίρων ὕπνος διάθεσιν ἥδιστον εἶναι. αὕτη δ᾽ ἐστὶν οὐχ ἑτέρα τῆς πρὸς τὸ σῶμα τὴν ψυχὴν συνδεούσης. χωρίζεται γὰρ ἐν τῷ καθεύδειν ἀναφέρουσα. καὶ συλλεγομένη πρὸς ἑαυτὴν ἐκ τοῦ διατετάσθαι πρὸς τὸ σῶμα καὶ διεσπάρθαι ταῖς αἰσθήσεσι. καίτοι λέγουσί τινες, ὡς καταμίγνυσι μᾶλλον ὁ ὕπνος πρὸς τὸ σῶμα τὴν ψυχήν, οὐκ ὀρθῶς λέγοντες. αὐτίκα μαρτυρεῖ γὰρ τῇ ἀναισθησίᾳ καὶ ψυχρότητι καὶ βάρει καὶ ὠχρότητι, τὸ σῶμα κατηγοροῦν τὴν ψυχὴν ἔκλειψιν μέν, ὅταν τελευτήσει. μετάστασιν δέ, ὅταν καθεύδῃ. καὶ τοῦτό ἐστι τὸ τὴν ἡδονὴν ποιοῦν, ἀνάπαυλαν καὶ ἀνάπαυσιν τῆς ψυχῆς, ὥσπερ ἄχθος κατατιθεμένης. καὶ πάλιν ἀναλαμβανούσης



Ayuntamiento de Madrid

καὶ ἐκπεδυομένης. φεύγειν γὰρ ἔοικε κομιδῇ τὸ σῶμα θνήσκοντα. δραπετεύειν δὲ καταλαμβάνοντα, διὸ θνήσκουσι μὲν ἔνιοι μετὰ πόνων, καθεύδουσι δὲ μετὰ ἡδονῆς ἅπαντες. ὅπου μὲν γὰρ ἀπορρήγνυνται παντάπασιν ὁ δεσμός. ὅπου δ' ἐνδίδωσι καὶ χαλᾶται, καὶ γίγνεται μαλακώτερος. οἷον ὀμμάτων. ἀφαμμάτων. αἰσθήσεων παραλυομένων, καὶ προϊεμένων τῶν περὶ τὸ σῶμα τῆς ψυχῆς ἐν πᾶσιν. εἶτα πῶς εἶπεν ὁ πατροκλῆς, οὐ δυσφοροῦμεν οὐδὲ ἀλγοῦμεν ἐγρηγορότες. πῶς δὲ ἔφη ὁ τίμων, κειρομένων μὲν αἰσθάνεται κουφότητος ἡ κεφαλὴ καὶ ῥαστώνης. κομώντων δὲ, βαρύτητος αἴσθησιν οὐ πάνυ παρέχει. καὶ λυθέντες μὲν ἐκ δεσμῶν, ἥδονται. δεδεμένοι δὲ οὐκ ἀλγοῦσι. καὶ φῶς εἰσενεχθὲν ἐξαίφνης συμποσίῳ, θόρυβον καὶ κρότον ὑφ' ἡδονῆς ἐποίησε. πρότερον δὲ τὸ ἀλαμπὲς ἐδόκει μὴ ἐνοχλεῖν, μηδὲ λυπεῖν τὴν ὄψιν. ἓν γὰρ αἴτιον ὥφαλε τούτων ἁπάντων, ὅτι τὸ παρὰ φύσιν, τὸ κατὰ μικρὸν σύνηθες καὶ σύντροφον ἐποίει τὴν αἴσθησιν. ὥστε μὴ πάνυ δυσχεραίνειν πάσχουσαν. ἀπαλλαγείσης δὲ καὶ μεταβαλλούσης εἰς τὴν φύσιν. φαίνεται: γὰρ εὐθὺς τῷ οἰκείῳ τὸ ἀλλότριον. καὶ τῇ ἡδυμείᾳ τὸ λυποῦν ὅτι παρῶν. καὶ βαρῦνον. οὕτω δὴ καὶ τὴν ψυχὴν, τῇ πρὸς τὰ θνητὰ πάθη καὶ μέρη κοινωνία, τὸ παρὰ φύσιν καὶ ἀλλότριον. οὐ πάνυ δοκεῖ πιέζειν ὑπὸ μικρᾶς συνηθείας. αἰσθάνεσθαι δὲ, ῥαστώνῃ καὶ κουφότητι μεθ' ἡδονῆς ἐφιεμένη τῶν διὰ τοῦ σώματος ἐνεργειῶν. ἐκείναις γὰρ ἐνοχλεῖται. καὶ περὶ ἐκείνας ἐκπιεῖται. καὶ ἀπ' ἐκείνων σχολῆς δεῖται καὶ ἀναπαύσεως. ἀεὶ δ' ἄλλη καθ' αὑτὴν ἐνεργεῖ, κατὰ φύσιν, τὸ σκοπεῖν ἀεί τι καὶ λογίζεσθαι, καὶ μνημονεύειν καὶ θεωρεῖν πρὸς ταῦτα, ἄμικτός ἐστι καὶ ἀνήρεστος. καὶ γὰρ ὁ κόρος, κόπος ἐν ἡδοναῖς ἔοικεν εἶναι, τῷ μετὰ σώματός τι τὴν ψυχὴν πάσχειν. ἐπεὶ πρός γε τὰς ἄλλας ἡδονὰς οὐ κατηγοροῦσι. συμπεπλεγμένη δὲ ὥσπερ εἴρηται τῷ σώματι, ταὐτὰ τῷ ὀδυσσεῖ πέπονθεν. ὡς γὰρ ἐκεῖνος τῷ ἐρινεῷ προσφὺς εἴχετο, καὶ περιέπτυσσεν, οὐ ποθῶν οὐδὲ ἀγαπῶν ἐκεῖνον, ἀλλὰ δεδιὼς ὑποκειμένην τὴν χάρυβδιν, οὕτως ἔοικεν ἡ ψυχὴ ἔχεσθαι καὶ περιπεπλέχθαι δι' εὔνοιαν οὐδεμίαν αὐτοῦ καὶ χάριν. ἀλλ' ὀρρωδοῦσα τοῦ

» θανάτου τὴν ἀδηλότητα. κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι κατὰ τὸν σοφὸν ἡσίοδον. οὐ σαρκίνοις τισὶ δεσμοῖς πρὸς τὸ σῶμα τὴν ψυχὴν καταδήσαντες. ἀλλ' ἕνα δεσμὸν αὐτῇ καὶ μίαν μηχανὴν μηχανησάμενοι. καὶ περιβαλόντες τὴν ἀδηλότητα καὶ ἀπιστίαν τῶν μετὰ τὴν τελευτήν. ἐπεὶ τήν γε πεισθεῖσαν ὅσα ἀνθρώπους περιμένει τελευτήσαντας, καθ' ἡράκλειτον, οὐδὲν ἂν κατάσχοι.

Ayuntamiento de Madrid

Πλάτωνος

Δ υοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι. ἢ γὰρ οἷον μηδὲν εἶναι, μηδὲ αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ λεγόμενα, μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψυχῇ τοῦ τόπου ἐνθένδε, εἰς ἄλλον τόπον. καὶ εἴτε μηδεμία αἴσθησίς ἐστιν ἀλλ' οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδὲ ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. ἐγὼ γὰρ οἶμαι εἴ τινα ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν ὥστε μηδὲ ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτὶ δέοι σκεψάμενον, πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ. οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινὰ, ἀλλὰ τὸν μέγαν βασιλέα εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας, πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι κέρδος, ἐγώ τε λέγω, καὶ γὰρ οὐδὲν πλέον ὁ πᾶς χρόνος φαίνεται. οὕτω δὴ εἶναι ἢ μία νύξ. εἰ δ' αὖ, οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον καὶ γὰρ ἀληθῆ ἐστι τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνεῶτες τί μεῖζον ἀγαθὸν τούτου εἴη ὦ ἄνδρες δικασταί. εἰ γάρ τις ἀφικόμενος εἰς ᾅδου ἀπαλλαγεὶς τούτων τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστὰς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν. μίνως τε καὶ ῥαδάμανθυς καὶ αἰακὸς καὶ τριπτόλεμος, καὶ ἄλλοι ὅσοι θεῶν δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ. ἆρα φαύλη ἂν εἴη ἀποδημία; ὀρφεῖ συγγενέσθαι καὶ μουσαίῳ, καὶ ἡσιόδῳ καὶ ὁμήρῳ; τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε. καὶ ἤδη τὸν λοιπὸν χρόνον, ἀθάνατοί εἰσιν εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστιν.

Τοῦ αὐτοῦ

B αβαὶ ὦ σιμμία. ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πείσαιμι, ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην. ὅτε γε μηδ' ὑμᾶς δύναμαι πείθειν, ἀλλὰ φοβεῖσθε μὴ δυσκολώτερον διάκειμαι, ἢ ἐν τῷ πρόσθεν βίῳ καὶ ὡς ἔοικε τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν. οἱ ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ, τότε δὴ πλεῖστα καὶ μάλιστα ᾄδουσι γεγηθότες. ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι, οὗπερ εἰσὶ θεράποντες. οἱ δ' ἄνθρωποι διὰ τὸ αὐτῶν δέος τοῦ θανάτου, καὶ τῶν κύκνων καταψεύδονται. καὶ φασὶν αὐτοὺς θρηνοῦντας τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν. καὶ οὐ λογίζονται ὅτι οὐδὲν ὄρνεον ᾄδει, ὅταν πεινῇ, ἢ ῥιγοῖ. ἤ τινα ἄλλην λύπην λυπῆται. οὔτε αὐτὴ ἀηδὼν καὶ ἔποψ. ἃ δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν. ἀλλ' οὔτε ταῦτά μοι φαίνεται λυπούμενα ᾄδειν. οὔτε οἱ κύκνοι. ἀλλ' ἅτε οἶμαι τοῦ ἀπόλλωνος ὄντες, μαντικοί τέ εἰσι, καὶ προειδότες



Ayuntamiento de Madrid

τὰ ἐν ἅδου ἀγαθὰ, ᾄδουσι· καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως, ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ· ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι ὁμόδουλός τε εἶναι τῶν κύκνων, καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ· καὶ οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν, παρὰ τοῦ δεσπότου αὐτοῦ· οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι· ἀκήκοα δὲ ὅτι καὶ εὐφημίᾳ χρὴ τελευτᾶν· ἀλλ' ἡσυχίαν ἄγετε καὶ καρτερεῖτε.

Ἡροδότου. Τραυσοὶ δὲ, τὰ μὲν ἄλλα πάντα κατὰ ταυτὰ τοῖσι ἄλλοισι Θρήιξιν ὧδε τελέουσι· κατὰ δὲ τὸν γινόμενον σφίσι καὶ ἀπογινόμενον, ποιεῦσι τοιάδε, τὸν μὲν γινόμενον, περιϊζόμενοι οἱ προσήκοντες, ὀλοφύρονται, ὅσα μιν δεῖ. ἐπεί τ' ἐγένοντο ἀναπλῆσαι, κακὰ, ἀνηγεόμενοι τὰ ἀνθρωπήϊα πάντα πάθεα· τὸν δ' ἀπογινόμενον, παίζοντές τε καὶ ἡδόμενοι, γῇ κρύπτουσιν, ὧδε λέγοντες, ὅσων κακῶν ἐξαπαλλαχθεὶς ἐστὶν ἐν πάσῃ εὐδαιμονίῃ.

Πλάτωνος. Ὅτι τὸ κοινὸν δὴ τοῦτο, καὶ πρὸς πάντων θρυλλούμενον, παρεπιδημία τίς ἐστιν ὁ βίος· καὶ δεῖ τοῦτον ἠδόντας, μονονουχὶ παιανίζοντας, ὡς τὸ χρεὼν ἀπιέναι.

Ὅτι ὁ θάνατος οὔτε πρὸς τοὺς ζῶντάς ἐστιν, οὔτε πρὸς τοὺς μετηλλαχότας. πῶς φὴς ὦ Σώκρατες, ὅτι περὶ μὲν τοὺς ζῶντας, οὐκ ἔστιν· οἱ δὲ ἀποθανόντες οὐκ εἰσίν.

## ΣΥΓΚΡΙΣΙΣ ΖΩΗΣ ΚΑΙ ΘΑΝΑΤΟΥ.

### ΛΟΓΟΣ ριη'.

Εὐριπίδου.

Οὐ ταυτὸν ὦ παῖ τῷ βλέπειν τὸ κατθανεῖν.
τὸ μὲν γὰρ οὐδὲν· τῷ δ' ἔνεισιν ἐλπίδες.

Σιμωνίδου.

Βιότης μὲν γὰρ χρόνος ἐστὶ βραχὺς, κρυφθεὶς.
ὑπὸ γῆς κεῖται θνητὸς τὸν ἅπαντα χρόνον.

Ἀντιφάνους.

Οὐθεὶς πώποτε ὦ δέσποτ' ἀπέθαν', ἀποθανεῖν πρόθυμος ὤν.
τοὺς γλιχομένους δὲ ζῆν κατασπᾷ τοῦ σκέλους.
ἄκοντας ὁ Χάρων· ὧδε τὸ πορθμεῖον τ' ἄγει,

σιτιζομένους

Ayuntamiento de Madrid

σπιζομένους καὶ πάντ' ἔχοντας ἀφθόνως.
ὁ δὲ λοιμὸς ἐστὶν, ἀθανασίας φάρμακον.
Ω ς ἡδὺ τὸ ζῆν, εἰ μεθ' ὧν κρίνει τις ἄν. Μενάνδρου
τοῦτ' ἔστι τὸ ζῆν· οὐχ ἑαυτῷ ζῆν μόνον,
ἡδὺ τ' ἀποθνήσκειν ὅτῳ ζῆν μὴ πάρεστιν ὡς βούλεται.
Τ οῦτον εὐτυχέστατον λέγω, ὅστις θεωρήσας ἀλύπως παρ
τὰ σεμνὰ ταῦτ' ἀπῆλθεν, ὅθεν ἦλθεν ταχύ. (μῃ,
τὸν ἥλιον τὸν κοινὸν ἀστέρα· ὕδωρ·
νέφη· πῦρ· ταῦτα ἔτη κἂν ἑκατὸν βιώσεται,
ὄψει παρόντα· κἂν ἐνιαυτοὺς σφόδρ' ὀλίγους,
σεμνότερα τούτων ἕτερα, οὐκ ὄψει ποτέ.
πανήγυριν νόμισόν τιν' εἶναι τὸν χρόνον.
ὅν φημι τοῦτον ἐπιδημίαν ἀνθρώπῳ·
ὄχλος· ἀγορά· κλέπται· κυβεῖαι· διατριβαί.
ἂν πρῶτος ἀπέλθῃς, καταλύσεις βελτίονα.
ἐφόδι' ἔχων· ἀπῆλθες ἐχθρὸς οὐδενί.
ὁ προσδιατρίβων δὲ, κοπιάσας ἀπώλεσε.
κακῶς τε γηρῶν, ἐνδεής του γίνεται.
ῥεμβόμενος, ἐχθροὺς εὗρ', ἐπεβουλεύθη ποθέν.
οὐκ εὐθανάτως ἀπῆλθεν ἐλθὼν εἰς χρόνον.
Θ ανεῖν ἄριστόν ἐστιν, ἢ ζῆν ἀθλίως. Σοφοκλέ.
τὸ μὴ γὰρ εἶναι κρεῖσσον, ἢ τὸ ζῆν κακῶς.
Κ αί τοι, πότ' εἶπεν εἰσίδοιμ' ἀνὰ πτόλιν Εὐριπίδου
τυφλὸν προηγήτορος ἐξηρτημένον,
ἃ δαιμόνων, ταῖς συμφοραῖς ἐλοιδόρουν.
ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχειν.
καὶ νῦν λόγοισι τοῖς ἐμοῖς ἐναντίως
πέπτωχ' ὁ τλήμων. ὦ φιλόζωοι βροτοί.
οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν.
πόθον ἔχοντες, μυρίων ἄχθος κακῶν.
οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου.
τὸ ζῆν γὰρ ἴσμεν· τοῦ θανεῖν δ' ἀπειρία,
πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου. Ἀπολλο-
Α πραγμόνως ζῆν, ἡδύ· μακάριος βίος. δώρου.

Ayuntamiento de Madrid

καὶ σεμνὸς, ἂν ᾖ μεθ' ἑτέρων ἀπραγμόνων.
εὐθνήσκεις δὲ καὶ τεθνήκεις ὄντα δεῖ
εἶναι τεθνηκόν, ὦ ταλαιπώρον βίον.
Ο ὐ πανταχοῦ φρύξ εἰμι. τὸ ζῆν ἦν ὁρῶ.
κρεῖσσον τὸ μὴ ζῆν, χρησόμεθα τῷ κρείττονι.

Εὐριπίδου Ε γὼ δὲ τοὺς καλῶς τεθνηκότας,
ζῆν φημι μᾶλλον, τῶν βλέπειν τοὺς μὴ καλῶς.

Αἰσχύλου. Β ίου πονηροῦ, θάνατος εὐκλεέστερος.
Ζ ωῆς πονηρᾶς, θάνατος εὐπορώτερος.
τὸ μὴ γενέσθαι δ' ἐστὶ μᾶλλον ἢ πεφυκέναι.
Κ αὶ μὴν, πόθεν πλούτων ἂν ὠνομάζετο,
εἰ μὴ τὰ βέλτισ' ἔλαχεν. σὺ δέ σοι φράσω.
ὅπως τὰ κάτω κρεῖττον' ἐστὶν, ὧν ὁ ζεὺς ἔχει.
ὅταν γὰρ ἱστῇς τοῦ ταλάντου τὸ ῥέον,
κάτω βαδίζει. τὸ δὲ κενὸν, πρὸς τὸν δία.
οὐ γὰρ ἄν ποτε οὕτως ἐστεφανωμένοι,
προὐκείμεθα, οὐδ' ἂν κατακεκειμένοι,
εἰ μὴ καταβάντας εὐθέως πίνειν ἔδει.
διὰ ταῦτα γάρ τοι καὶ καλοῦνται μακάριοι.
πᾶς γὰρ λέγει τίς, ὁ μακαρίτης οἴχεται.
κατέδαρθεν εὐδαίμων, ὅτ' οὐκ ἀνιάσεται.
καὶ θύομεν αὐτοῖσιν τοῖς ἐναγίσμασιν.
ὥσπερ θεοῖσι καὶ χοάς γε χέομεν,
αἰτούμεθ' αὐτοὺς δεῦρ' ἀνιέναι τἀγαθά.

Μενάνδρου Τ ί δ' ἂν ἔχοι νεκρὸς ἀγαθὸν,
ὅπου γ' οἱ ζῶντες ἔχομεν οὐδὲ ἕν.

Εὐριπίδου. Θ ανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
ἢ ζῶν. τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.

Σοφοκλέ. Ο στις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου,
ἢ δειλός ἐστιν, ἢ δυσάλγητος φρένας.
Α ἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρήζειν βίου,
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει,
προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν.

Ayuntamiento de Madrid

οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν,
ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.
ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.

Τί γὰρ καλὸν ζῆν βίον, ὃς λύπας φέρει. Αἰσχύλου.

Οὐκοῦν τὸ μὴ ζῆν, κρεῖσσόν ἐστ' ἢ ζῆν κακῶς; Εὐριπίδου.

Τοὺς ζῶντας εὖ δρᾶν. κατθανὼν δὲ πᾶς ἀνὴρ,
γῆ καὶ σκιά, τὸ μηδὲν, εἰς οὐδὲν ῥέπει.

Διογένης, εἰπόντος τινὸς, χαλεπόν ἐστι τὸ ζῆν. οὐ εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν.

Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι. τοῦ γὰρ ζῆν κακῶς, τὸ τεθνάναι κρεῖσσον. Επικτήτου

Πύῤῥων ἔλεγε μηδὲν διαφέρειν ζῆν, ἢ τεθνάναι. καί τις ἔφη πρὸς αὐτόν· τί οὖν σὺ οὐκ ἀποθνήσκεις. ὁ δὲ, ὅτι εἶπεν οὐδὲν διαφέρει.

Θαυμαστὴ ἡ φύσις. καὶ ὥς φησι ξενοφῶν. φιλόζωος. τὸ γοῦν σῶμα τὸ πάντων ἀηδέστατον καὶ ῥυπαρώτατον, στέργομεν καὶ θεραπεύομεν. εἰ γὰρ ἔδει πέντε μόναις ἡμέραις θεραπεῦσαι τὸ τοῦ γείτονος σῶμα, οὐκ ἂν ὑπεμείναμεν. ὅρα γὰρ οἷόν ἐστιν. ἕωθεν ἀναστάντα, τρίβειν τοὺς ὀδόντας τοὺς ἀλλοτρίους. καί τι τῶν ἀναγκαίων ποιήσαντα, ἀπονίζειν ἐκεῖνα τὰ μέρη. τῷ ὄντι θαυμαστόν ἐστι φιλεῖν πρᾶγμα ᾧ τοσαῦτα λειτουργοῦμεν καθ' ἑκάστην ἡμέραν. νάττω τουτονὶ τὸν θύλακον. εἶτα κενῶ. τί τούτου βαρύτερον, ἀλλὰ θεῷ δεῖ με ὑπηρετεῖν. διὰ τοῦτο μένω, καὶ ἀνέχομαι λούων τὸ δύστηνον τοῦτο σωμάτιον. χορτάζων, σκέπων. ὅτε δὲ νεώτερος ἦν, καὶ ἄλλό τι προσέταττέ μοι. καὶ ὅμως ἠνειχόμην αὐτοῦ. διατί οὖν οὐκ ἀνέχεσθε, ὅταν ἡ δοῦσα ἡμῖν φύσις τὸ σῶμα ἀφαιρῆται. φιλῶ φησιν αὐτό. οὐκοῦν ὃ νῦν δὴ ἔλεγον, καὶ αὐτὸ τὸ φιλεῖν ἡ φύσις σοι δέδωκεν. ἡ δ' αὐτὴ λέγει, ἄφες αὐτὸ ἤδη. καὶ μηκέτι πρᾶγμα ἔχε. Επικτήτου

Ἐὰν νέος τελευτᾷ τὸν βίον, ἐγκαλεῖ τοῖς θεοῖς. ὅτι δέον αὐτὸν ἤδη ἀναπεπαῦσθαι, πρᾶγμα ἔχει. καὶ οὐδὲν ἧττον ὅταν προσίῃ ὁ θάνατος, ζῆν βούλεται. καὶ πέμπει παρὰ τὸν ἰατρὸν. καὶ δεῖται αὐτοῦ μηδὲν ἀπολιπεῖν προθυμίας καὶ ἐπιμελείας. θαυμαστοὶ ἔφη ἄνθρωποι, μήτε ζῆν θέλοντες, μήτε ἀποθνήσκειν.

Τοῦ πλείονος βίου φαυλοτέρου δὲ, τὸν ἐλάσσω ἀμείνονα ὄντα. παντὶ πάντως προαιρετέον.

Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν ἀποθανουμένῳ. ὑμῖν δὲ βιωσο-

Ayuntamiento de Madrid

μένοις. ὁπότεροι δὲ ἡμῶν ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ, πλὴν ἢ τῷ θεῷ.

Ἀπολλωνίου. Βραχὺς ὁ βίος ἀνθρώπῳ εὖ πράττοντι· δυστυχοῦντι δὲ, μακρός.

Ἰούγκου. Ὡς δ' εἰδείη ἀληθὲς εἶναι, καὶ αὐτὸ τοῦτο ὠφελήσειν τε καὶ διδάξειν τὰ ὄντα, νεανίσκους τε καὶ γέροντας, καὶ τὴν ἄλλην ἡλικίαν, ὧδέ μοι εἰρήσεται. πάντα μὲν ὅσα γίγνεται καθ' ἥντινα οὖν αἰτίαν, ἀνάγκη λυθῆναι. τὸ γὰρ ἀΐδιον καὶ ἄφθαρτον μόνῳ τῷ θείῳ προσήκει· τὸ δὲ ὑπὸ τεχνίτου συστὰν ἔκ τινος ὕλης, προσδέχεται φθοράν. ὁπότε καὶ φυτοῖς ἅπασι καὶ λίθοις καὶ σιδήρῳ, μεταβολὴν ἴσμεν ξυμβαίνουσαν ὁμοίαν θανάτῳ. δένδροις δὲ καὶ τοῖς ἐξ αὐτῶν ξύλοις, σηπεδόνα· λίθοις δὲ, διάλυσιν· σιδήρῳ δὲ, ἰόν. φασὶ δὲ καὶ τὸν κόσμον αὐτὸν, διότι ἐγένετο κατὰ γνώμην μέν τοι τοῦ ποιήσαντος θεοῦ· λελύσθαι ποτὲ ἐκ μέρους, καὶ αὖθις λυθήσεσθαι, εἰς τε πῦρ καὶ ὕδωρ. ἀνθρώπῳ δὲ, καὶ τοῖς ἄλλοις ζώοις ἡμέροις τε καὶ ἀγρίοις, ἐξιοῦσι τοῦ βίου πᾶσα ἀνάγκη καὶ σοὶ μὲν ἴσως, μᾶλλον δὲ ἄλλῳ τινὶ τῶν ἀμυήτων φιλοσοφίας, δόξει τὸ πρᾶγμα χαλεπὸν εἶναι, διὰ τὰ προειρημένα. εὖ δὲ ἴσθι ἐξεταζόμενον, αἱρετώτερον φαίνεται τῆς πάνυ σπουδαίου ζωῆς. ἐνταῦθα μὲν γὰρ ἐνοχλεῖ τοῖς ἀνθρώποις, οὐ βραχὺς πόνος· οὐδὲ λύπη καὶ ταλαιπωρία ξυνοῦσα μόνον. ἀλλ' οὐδὲ τῶν προσηκόντων εἰς σώματος ἐπιμέλειαν εὐπορία πάρεστιν, οὐδὲ ὑγίεια συνεχής· οὐδὲ μὴν αἱ θαυμαζόμεναι παρά τισιν ἡδοναὶ, καθ' ἑαυτὰς εἰλικρινεῖς τε καὶ ῥᾴδιαι γίνονται. τοῦ μὲν ἀνιῶντος προκαταρχομένου, καὶ ὥσπερ ἀπογεννῶντος αὐτάς· τοῦ δὲ οἰκείου βραχεῖαν καὶ ὀλιγοχρόνιον ἔχοντος τὴν τέρψιν. πόλεμοι δὲ καὶ μάχαι, καὶ πράξεις ἐπὶ ποιοι, μακρὰν ἂν εἴη λέγειν, ὁποῖα ἐστίν. εἴ τις ἐθέλοι μαρτύρια ποιήσασθαι τὰ ἔργα ἐπὶ τοῖς λόγοις. οὐδὲ γὰρ ἐπὶ θανάτοις οἰκείων καὶ φίλων ὁποῖα δρῶσι πατέρες ἢ μητέρες, καιρὸς ἐπιτήδειος ὁ παρὼν ἐξηγήσασθαι. ἀλλ' οὐδὲ τὰς ἐπὶ τὸ πλουτεῖν μεταβολὰς οὐδὲ κινδύνους ὑπομένουσιν ἑκάστων διὰ γῆς καὶ θαλάττης. ἐπὶ πᾶσι γὰρ ὁ δαίμων τέτακται, μεταποιεῖν τἀγαθὰ καὶ διώκειν, ἀντεισάγων αὐτοῖς τὰς συμφοράς. ὁ δὲ θάνατος, ἄδηλον μὲν, εἰ φύσιν ἔχει τῆς ἀληθοῦς ζωῆς, τοῦ ζῆν ὑπό τινων ἀποτεθνηκέναι λεγομένου. ὅσα μέν τοι ἀγαθὰ παρέχει, δεξάμενος ἡμᾶς ἀδεῶς τε καὶ πιστῶς, ἀκούεται. μὲν γὰρ ἐνοχλοῦντα ταῖς ψυχαῖς σώματα, μυρίων ὄντα κακῶν αἴτια· ἐπιστὰς διέλυσεν ἀποδιδοὺς αὐτὰ τοῖς στοιχείοις. καὶ προστιθεὶς ἅπερ ἐξ αὐτῶν ὥσπερ ἐδανείσατο. τὰς δὲ ψυχὰς ἄγει ἐπὶ τὸν ᾅδου τόπον. ἔνθα δικασταί τε καὶ ἀψευδεῖς θεοί. τῶν τε δικαίων καὶ τῶν ἀδίκων κάθηνται κρίνοντες, κατὰ μίαν ταπτομείας,

Ayuntamiento de Madrid

εἰς τὸν προεληλυθότα δῆμον. αἵ τε ἀπαλλαττόμεναι τῶν δικαιωτηρίων τυχοῦσαι νίκης, ἤδη τελεία ἡ λύσις καὶ τὰς ἑκάστοτε εὐπαθείας ἐκπέμπονται. καὶ εἰσὶ φίλαι τε καὶ κοινωνοὶ δαιμόνων τε καὶ ἡρώων. οὓς τέως ἀκοῇ παραλαμβάνουσαι, ἐθαύμαζον. στρατηγῶν τε καὶ βασιλέων οὐκ ἀπολείπονται. τὰς δὲ χαλεπὰς καὶ ἀλιτηρίους, μεταβολὴ καταλαμβάνει. καὶ οὐκέτι ἀφικνοῦνται ἐς τὸ φῶς.

Πλάτωνος.

Ἀλλὰ μὴν δὴ καὶ ὥς γε σὺ λέγεις, δεινὸς ὁ βίος. οὐ γάρ τοι θαυμάζοιμ' ἂν, εἰ εὐριπίδης ἀληθῆ ἐν τοῖσδε λέγει, λέγων, τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν. καὶ ἡμεῖς δὲ ἴσως τέθναμεν. ἤδη γάρ του ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡμεῖς τέθναμεν. καὶ τὸ μὲν σῶμά ἐστιν ἡμῖν σῆμα. τῆς δὲ ψυχῆς τοῦτο, ἐν ᾧ αἱ ἐπιθυμίαι εἰσὶ, τυγχάνει ὂν, οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω κάτω. καὶ τοῦτο ἄρα τις μυθολογῶν κομψὸς ἀνὴρ, ἴσως σικελικός τις ἢ ἰταλικὸς παράγων τῷ ὀνόματι. διὰ τὸ πιθανόν τε καὶ πιστικὸν, ὠνόμασε πίθον. τοὺς δὲ ἀνοήτους, ἀμυήτους. τῶν δὲ ἀνοήτων τοῦτο τῆς ψυχῆς, οὗ αἱ ἐπιθυμίαι εἰσί. τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανόν. ὡς τετρημένος εἴη πίθος. διὰ τὴν ἀπληστίαν ἀπεικάσας, τοὐναντίον δὴ οὗτός σοι ὦ καλλίκλεις ἐνδείκνυται. ὡς τῶν ἐν ἅδου τὸ ἀειδὲς δὴ λέγων. οὗτοι ἀθλιώτατοι εἶεν οἱ ἀμύητοι. καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον ὕδωρ, ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ, τὸ δὲ κόσκινον ἄρα λέγει, ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων, τὴν ψυχὴν εἶναι. τὴν δὲ ψυχὴν κοσκίνῳ ἀπείκασε τὴν τῶν ἀνοήτων. ὡς τετρημένην, ἅτε οὐ δυναμένην στέγειν. δι' ἀπιστίαν τε καὶ λήθην.

Ξενοφῶντος.

Ἐμοὶ δὲ δοκεῖ ὦ σώτειρα, οὔτε ὁ θάνατος αἰσχρὸν, οὔτε τι καλὸν εἶναι. ὅρος δὲ ζωῆς, οὐχ εἷς πάντων. ἀνισάριθμον ἐτῶν φέρων τὸ μὴ ὅμοιον τῆς γενέσεως τῇ ἰσχύϊ ἢ ἀρρωστίᾳ. τὴν δὲ πρόφασιν. ποτὲ μὲν αἰσχρὰν οὖσαν, ἐφέλκεσθαι θάνατον. ὅπου δὲ, καλὴν καὶ πρεπώδη.

Πλάτωνος.

Ὅτι τῆς συγκρίσεως ἅπαξ διαλυθείσης. καὶ τῆς ψυχῆς εἰς τὸν οἰκεῖον ἱδρυνθείσης τόπον, τὸ ὑπολειφθὲν σῶμα γεῶδες ὢν καὶ ἄλογον, οὐκ ἔστιν ὁ ἄνθρωπος. ἡμεῖς γάρ ἐσμεν ψυχή. ζῶον ἀθάνατον. ἐν θνητῷ καθειργμένον φρουρίῳ. τὸ δὲ σκῆνος τουτὶ, πρὸς κακοῦ περιήρμοσεν ἡ φύσις. ᾧ τὰ μὲν ἥδοντα, ἀμυχαῖα καὶ πτηνά, καὶ πλείοσιν ὀδύναις ἀνακεκραμένα. τὰ δὲ ἀλγεινὰ, ἀκραιφνῆ καὶ πολυχρόνια, καὶ τῶν ἡδόντων ἄμοιρα. νόσους δὲ καὶ φλεγμονὰς τῶν αἰσθητηρίων. ἔτι δὲ τὰς ἐντὸς κακότητας. οἷς ἀναγκαίως, ἅτε περιεσχημένη τοῖς πόροις ἡ ψυχὴ συναλγοῦσα, τὸν οὐράνιον ποθεῖ καὶ σύμφυλον αἰθέρα. καὶ διψᾷ τῆς ἐκεῖ διαίτης καὶ χορείας ὀριγνωμένη. ὥστε

Ayuntamiento de Madrid

ἡ τοῦ ζῆν ἀπαλλαγὴ, κακοῦ τινος ἐστὶν εἰς ἀγαθὸν μεταβολή.
Ε ἰ τῷ βίῳ καθάπερ ἐν θεάτρῳ ἄχρι τούτου δεῖ παραμένειν ἄχρις οὗ τὰ τῶν ἔργων θεᾶν, ὥσπερ τερπνὰ εἶναι συμβαίνει.

## ΠΕΡΙ ΠΕΝΘΟΥΣ ΛΟΓΟΣ ριθ'.

Βακχυλίδου. ΑΙ αἶ τέκος ἁμέτερον, μεῖζον ἢ πενθεῖν
ἐφάνη κακὸν ἀφθέγκτοισιν ἴσον.
Αἰσχύλου. Οὐ γάρ τι μεῖζον ἄλλο τοῦδε πείσομαι.
Σόλωνος. Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι· ἀλλὰ φίλοισι
καλλείποιμι θανὼν, ἄλγεα καὶ στοναχάς.
Εὐριπίδου. Ω ς ἡδὺ δάκρυα τοῖς κακῶς πεπονθόσι
θρήνων τ' ὀδυρμοὶ, μοῦσά θ' ἣ λύπας ἔχει.
Ὁμήρου. Τ οῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσι,
κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.
πάτροκλον κλαίωμεν· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Εὐριπίδου. Ε στι καὶ παρὰ δάκρυσι κείμενον ἡδὺ βροτοῖς
ὅταν ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκῳ.
Α λλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ,
θνητοῖς ὀδυρμοὶ, δακρύων τ' ἀπορροαί.
ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν·
καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους.
Κ αὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει.
ἢν καὶ δίκῃ θνήσκῃ τις, οὐχ ἧσσον ποθεῖ
πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους.
Σοφοκλέ. Ω ς ἄρ' ὦ τέκνον κενὴν ἐτερπόμην σου τέρψιν·
εὐλογουμένου, ὡς ζῶντος. ἡ δ' ἄρ' ἐν
σκότῳ λαθοῦσά μ' ἔσαιν' ἐρινὺς
ἡδοναῖς ἐψευσμένον.
Θ ανόντι κείνῳ συνθανεῖν μ' ἔρως ἔχει·
ἥξεις· ἐπεί τοι μηδὲν εἰς τὸ μόρσιμον.
Φιλήμονος Τ ί δὴ ποιεῖς πλέον οὐδέν. ἡ λύπη δ' ἔχει
ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν τὸ δάκρυον.
Δημοσθέν ους. Α λλ' ἔχει τινὰ τοῖς ἀδικουμένοις ῥαστώνην, τὸ λέγειν ἃ πάσχουσιν, ὥσπερ τοῖς

Ayuntamiento de Madrid

ἀλγοῦσι τὸ στένειν.

Ε στι δὲ ἀνθρώποις, καὶ θρηνῶν χάρις. καὶ ταύτην ἔδωκεν ἡμῖν παραμυθίαν ἡ φύσις ἐν ταῖς τύχαις. Οβρείμου.

Δ ακρύειν μὲν τὸν τετελευτηκότα ἐπιτρέπειν, εἰ μὴ ἄμορφον. θρηνεῖν δὲ καὶ ἔξω τῆς οἰκίας φωνὴν ἐξαγγέλλειν, ἀπαγορεύειν. καὶ τὸν νεκρὸν εἰς τὸ φανερὸν προάγειν τῶν ὁδῶν, κωλύειν. καὶ ἐν ταῖς ὁδοῖς πορευόμενον φθέγγεσθαι. καὶ πρὸ ἡμέρας ἔξω τῆς πόλεως εἶναι. Πλάτωνος

## ΠΕΡΙ ΤΑΦΗΣ ΛΟΓΟΣ. ρκʹ.

Ἀνθρώπων δὲ μαίνονται φρένες. Εὐριπίδου.
δαπάνας ὅταν θανοῦσι πέμπωσι κενάς.
Οὔ πώ ποτ' ἐζήλωσα πολυτελῆ νεκρόν. Μενάνδρου
εἰς τὸν ἴσον δ' ὄγκον τῷ σφόδρ' ἔρχετ' εὐτελεῖ.
Ε άσατ' ἤδη γῇ καλυφθῆναι νεκρούς. Μοσχίονος
ὅθεν δ' ἕκαστον εἰς τὸ σῶμ' ἀφίκετο.
ἐνταῦθ' ἀπελθεῖν, πνεῦμα μὲν, πρὸς αἰθέρα.
τὸ σῶμα δ' εἰς γῆν. οὔτι γὰρ κεκτήμεθα
ἡμέτερον αὐτό, πλὴν ἐνοικῆσαι βίον.
κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν.
Τ ὸ ζῆν ἀφέντες, τὸ κατὰ γῆν τιμῶσί σου. Εὐριπίδου.
κενόν γε· ὅταν γὰρ ζῇ τις εὐτυχεῖ κρέων.
Ο φρα ἑ ταρχύσωσι κασίγνητοί τε ἔται τε. Ὁμήρου.
τύμβῳ τε στήλῃ τε. τὸ γὰρ γέρας ἐστὶ θανόντων.
ἀλλὰ χρὴ τὸν μὲν, καταθάπτειν ὅς κε θάνησι.
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας.

Α νδρῶν γὰρ ἐπιφανῶν, πᾶσα γῆ τάφος.

Σ ωκράτης, ἐπεὶ τὸ κώνειον ἔμελλε πίεσθαι. τῶν ἀμφὶ τὸν κρίτωνα ἐρομένων αὐτὸν τίνα τρόπον ταφῆναι θέλει. ὅπως ἂν ὑμῖν ἀπεκρίνατο ἢ ῥᾷστον.

Ε λεγεν ὁ διογένης. ὅτι ἂν μὲν κύνες αὐτὸν σπαράξωσιν, ὑρκανία ἔσται ἡ ταφή. ἂν δὲ γῦπες. ἀπλέον. ἂν δὲ μηδεὶς προσέλθῃ, ὁ χρόνος κάλλιον τῇ ταφῇ. διὰ τῶν πολυτελεστάτων, ἡλίου καὶ ὄμβρου. Ἐκ τῶν νικολάου ἐθῶν συναγωγῆς.

Κ ῖοι τοὺς ἀποθανόντας κατακαύσαντες. καὶ ὀστολογήσαντες ἐν ὅλμῳ τὰ ὀστᾶ καταπτίσσουσιν. εἶτα ἐνθέντες εἰς πλοῖον καὶ κόσκινον λαβόντες, αἰα-

Ayuntamiento de Madrid

πλέουσιν εἰς πέλαγος· καὶ πρὸς τὸν ἄνεμον ἐξοδιάζουσιν· ἄχρις ἂν πάντα ἐκφυσηθῇ καὶ ἀφανῆ γένηται.

Ταῦροι σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι τοὺς εὐνουστάτους τῶν φίλων συγκαταθάπτουσιν· ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλου, ἢ μέρος ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον, πρὸς τὴν ἀξίαν τοῦ τελευτήσαντος.

Σινδοὶ, τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπιβάλλουσιν, ὅσους πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς ἦν.

Κολχοὶ τοὺς τελευτήσαντας οὐ θάπτουσιν ἀλλὰ κρεμῶσιν ἀπὸ δένδρων.

Φρύγες οὐ κατορύττουσι τοὺς ἱερεῖς τελευτήσαντας, ἀλλ' ἐπὶ λίθους δεκαπήχεας τιθέασιν ὀρθούς.

Ῥαίηβαι λιβύων· ὅταν αὐτοῖς βασιλεὺς ἀποθάνῃ, τὸ μὲν σῶμα, κατορύττουσι· τὴν δὲ κεφαλὴν ἀποκόψαντες, καὶ χρυσώσαντες, ἀνατιθέασιν ἐν ἱερῷ.

Ἰνδοὶ, συγκατακαίουσιν ὅταν τελευτήσωσι, τῶν γυναικῶν τὴν προσφιλεστάτην· αὐτῶν δὲ ἐκείνων, ἀγὼν μέγιστος γίνεται σπουδαζόντων νικῆσαι ἑκάστην τῶν φίλων·

Τὸ αὐτὸ καὶ Ἡρόδοτος ἐν πέμπτῃ ἱστοριῶν, παρὰ σκυθῶν τῶν ὕπερθεν κεισονέων γίγνεσθαι λέγει.

Ἡροδότου. Πέρσαι καὶ αἰγύπτιοι, οὐχ ὅσιον ἡγοῦνται τοὺς νεκροὺς καίειν, πέρσαι γὰρ θεὸν νομίζουσιν εἶναι τὸ πῦρ· διὸ, οὐ δίκαιον εἶναι λέγουσι θεῷ νέμειν νεκρὸν ἀνθρώπου· αἰγυπτίοισι δὲ νενόμισται τὸ πῦρ θηρίον εἶναι ἔμψυχον· πάντα δὲ αὐτὸ κατεσθίειν, τὰ ἄνπερ λάβῃ· πλησθὲν δὲ αὐτὸ τῆς βορῆς, συναποθνήσκειν τῷ κατεσθιομένῳ. οὐκοῦν θηρίῳ οὐδαμῶς σφιν νόμος ἐστὶ τὸν νέκυν διδόναι. καὶ διὰ ταῦτα ταριχεύουσιν· ἵνα μὴ κείμενος ὑπὸ εὐλέων καταβρωθῇ.

Πλάτωνος. Οὔσης γὰρ ταφῆς, τῆς μὲν, ὑπερβεβλημένης, τῆς δὲ, ἐλλειπούσης· τῆς δὲ, μετρίας· τὴν μίαν ἑλόμενος σὺ τὴν μέσην ταύτην προστάττεις· καὶ ἐπῄνεσας ἁπλῶς. ἐγὼ δὲ εἰ μὲν γυνή μοι διαφέρουσα εἴη πλούτῳ, καὶ θάπτειν αὐτὴν διακελεύοιτο ἐν τῷ ποιήματι, τὸν ὑπερβάλλοντα ἂν τάφον ἐπαινοίην. φειδωλὸς δ' αὖ τις καὶ πένης ἀνὴρ, τὸν καταδεᾶ· μέτρον δὲ οὐσίας κεκτημένος· καὶ μέτριος αὐτὸς ὤν· τὸν αὐτὸν ἂν ἐπαινέσοι.

Ξενοφῶντος. Τὸ δὲ ἐμὸν σῶμα ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε, μήτε ἐν ἀργυρῷ, μήτε ἐν ἄλλῳ μηδενί. ἀλλ' ὡς τάχιστα τῇ γῇ ἀπόδοτε. τί γὰρ τούτου μακαριώτερον, ἢ τὸ γῇ μιχθῆναι· ἣ πάντα μὲν τὰ καλά· πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει. ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀνθρώπου.

Παρηγορικά.

Ayuntamiento de Madrid

## ΠΑΡΗΓΟΡΙΚΑ. ΛΟΓΟΣ ρκα'.

Ἴσχεο· μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν. Ὁμήρου.
οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἱέος αἰνῶς.
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθησθαι.
Γαστέρι δ' οὔπως ἐστὶ νέκυν πενθῆσαι.
μέλλει μέν πού τι; καὶ φίλτερον ἄλλον ὀλέσσαι.
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν.
ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκε.
τλητὸν τοι μοῖραι θυμὸν θέσαν ἀνθρώποισι
καὶ γάρ τ' ἠΰκομος νιόβη ἐμνήσατο σίτου.
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο.
ἓξ μὲν θυγατέρες· ἓξ δ' υἱέες ἡβώοντες.
Τοῦ μὲν θανόντος, οὐκ ἂν ἐνθυμοίμεθα. Σιμωνίδου
εἴ τι φρονοῖμεν πλεῖον ἡμέρας μιᾶς.
Ἀνθρωπίνας χρὴ τὰς τύχας φέρειν ξένε. Μενάνδρου
τὰ κοινὰ κοινῶς δεῖ φέρειν συμπτώματα.
Γίγνωσκε τἀνθρώπεια, μὴ δ' ὑπερμέτρως Εὐριπίδου
ἄλγει· κακοῖσι γὰρ οὐ σὺ πρόσκεισαι μόνη.
Πέπονθεν οἷα καὶ σὲ καὶ πάντας μένει.
Τόλμα θυμὲ κακοῖσιν ὅμως ἄτλητα πεπονθώς. Θεόγνιδος
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη.
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων.
αἴσχει· μὴ δ' αἴσχεα μηδὲ φίλοις ἀνία.
μὴ δ' ἐχθροὺς εὔφραινε, θεῶν δ' εἱμαρμένα δῶρα
ἃ οὐ ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι.
Ἐκ θυμοῦ κλαῦσαι μέγα μέτρια· καί τι προσηνὲς Φιλήτα.
ἀπᾶν· μεμνῆσθαί τ' οὐκ ἔτ' ἐόντος ὅμως.
Οὐ κλαίω ξείνων δὲ φιλαίτατε· πολλὰ γὰρ ἔγνως Φιλέα.
καλά· κακῶν δ' αὖ σοι μοῖραν νέμοι θεός.



Ayuntamiento de Madrid

**Εὐφορίωνος.** Τὸ καὶ μέτρια μέν τις ἐπὶ φθιμένῳ ἀκάχοιτο·
μέτρια καὶ κλαύσειεν· ἐπεὶ καὶ πάμπαν
ἄδακρυν μοῖραι ἐπεμώσαντο.

**Ὁμήρου.** Αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι·
ζώειν ἀχνυμένοις· αὐτοὶ δ᾽ ἀκηδέες εἰσίν.

**Στησιχόρου.** Ἀτελέστατα γὰρ ἀμήχανα τοὺς θανόντας κλαίειν.

**Εὐριπίδου.** Τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι.
καὶ τ᾽ ἐκχυθέντα συλλέγεις ἀλγήματα.

**Σοφοκλέ.** Ἀλλ᾽ εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακά,
καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι,
ὁ χρυσὸς ἧττον κτῆμα τοῦ κλαίειν ἂν ἦν.
νῦν δ᾽ ὦ γεραιὲ, ταῦτ᾽ ἀνηνύτως ἔχει
τὸν μὲν τάφῳ κρυφθέντα, πρὸς τὸ φῶς ἄγειν.
κἀμοὶ γὰρ ἂν πατήρ γε δακρύων χάριν,
ἀνῆκτ᾽ ἂν εἰς φῶς.

**Τιμοκλέους.** Ὦ τᾶν ἄκουσον, ἤν τι σοι δοκῶ λέγειν.
ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει.
καὶ πολλὰ λυπηρὰ ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρετο.
ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν,
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει.
μεθ᾽ ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον εἰ βούλει σκόπει,
ὡς ὠφελοῦσι πάντας, ὁ μὲν γὰρ πένης,
πτωχότερον αὐτοῦ καταμαθὼν τὸν Τήλεφον
γενόμενον, οὕτω τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι μανικὸν, Ἀλκμαίωνα ἐσκέψατο.
ὀφθαλμιᾷ τις, ἴσαιν ἴδε τυφλόν.
τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικε.
χωλός τίς ἐστι, τὸν Φιλοκτήτην ὁρᾷ.
γέρων τις ἀτυχεῖ, κατέμαθε τὸν Οἰνέα.
ἅπαντα γὰρ τὰ μείζονα ἢ πέπονθέ τις
ἀτυχήματ᾽ ἄλλοις γεγονότ᾽ ἐννοούμενος,

Ayuntamiento de Madrid

τὶς ἄλλος ἄλλου συμφορὰς ἧττον στένει.

Γ ἀλλ' αἰαῖ καινοῖς δακρύοις οὐ χρὴ στένειν. Εὐριπίδου.

Ο κοινὸς ἰατρός σε θεραπεύσει χρόνος. Φιλιππίδου.

Ρ αὐτῶν ἰατρὸς τῶν ἀναγκαίων κακῶν. Μενάνδρου
χρόνος ἐστὶν, οὗτος καὶ σὲ νῦν ἰάσεται.

Τ έκνον ἐμόν. τίο μέχρις ὀδυρόμενος καὶ ἀχεύων, Ομήρου.
σὴν ἔδεαι κραδίην.

Φ εἴδεο τῆς ζωῆς, μή μιν καταθυμοβορήσῃς. Πυθαγόρου.

Λ ύπης δὲ πάσης γίνετ' ἰατρὸς χρόνος. Διφίλου.

Α λλ' ὅτ' ἤδη χρόνος ἔλθῃ, ὃς ἐκ δ' ἰὸς ἄλγεα πέσσειν Φιλήτα.
ἔλλαχε, καὶ πενθέων φάρμακα μοῦνος ἔχει.

Κ αὶ γάρ τις μελέοιο κορεσσάμενος κλαυθμοῖο,
κήδεα δειλαίων, ἧκεν ἀπὸ πραπίδων.

Γ ιθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλοις. Αντιφάνους
οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν.
ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον,
προσεληλύθασιν εἶτα χ' ἡμεῖς ἕτερόν
ἐς ταυτὸ καταγώγιον αὐτοῖς ἥξομεν.
κοινῇ τὸν ἄλλον συνδιατρίψαντες χρόνον.

Ρ αῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ. Εὐριπίδου
πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν.
ψῆφος κέκρανται. κατθανεῖν τ' ὀφείλεται.

Τ οῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει.
κοινὸν δ' ἔχοντες αὐτὸ, κοινὰ πάσχομεν.
πάντες. τὸ γὰρ χρεὼν μεῖζον, ἢ τὸ μὴ χρεών.

Κ ήδεα μὲν στονόεντα περίκλεες, οὔτε τις ἀστῶν. Αρχιλόχου
μεμφόμενος θαλίῃς τέρψεται οὐδὲ πόλις.
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης.
ἔκλασεν. ὑδαλέους δ' ἀμφ' ὀδύνῃ ἔχομεν
πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν
ὦ φίλ' ἤδη κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον. ἄλλοτε τ' ἄλλος ἔχει τόδε. νῦν μὲν ἐς ἡμέ
ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν, (ας
ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται. ἀλλὰ τάχιστα



Ayuntamiento de Madrid

τλῆτε· γυναικεῖον πένθος ἀπωσάμεναι.

Πολυαίνου. Ἐπὶ τοῖς ἀποθνήσκουσι, μὴ λυποῦ· ἀναγκαῖον γάρ· ἀλλ' ἐπὶ τοῖς αἰσχρῶς τελευτῶσιν.

Ἀμάσις· πρός τινα τὸν υἱὸν ἀποβαλλόντα, εἶπεν· εἰ ὅτε μηδέπω ἦν οὐκ ἐλυποῦ, μὴ δὲ νῦν λυπηθῇς, ὅτε οὐκ ἔτ' ἐστίν.

Δίωνος ἐκ τοῦ χαρίδου. Τὰ μὲν καθ' ἡμᾶς οὕτω γέγονεν, ὡς ἔδοξε τῷ θεῷ. χρὴ δὲ μὴ γιγνομένων χαλεπὸν ἡγεῖσθαι· μὴ δὲ δυσχερῶς φέρειν, ὥσπερ ἐν δεινοῖς οὖσι· παραινοῦσι δὲ, ἄλλοι τε σοφοὶ, καὶ οὐχ ἥκιστα Ὅμηρος· μηδαμῇ ἀπόβλητα εἶναι ἀνθρώποις τὰ θεῶν δῶρα· καλῶς ὀνομάζων τὰ δῶρα, τὰ ἔργα τῶν θεῶν· ὡς ἅπαντα ἀγαθὰ ὄντα, καὶ ἐπ' ἀγαθῷ γινόμενα.

Ἀπολλωνίου. Οὐ θρηνητέον οἵων ἐστερήθημεν· ἀλλὰ μνημονευτέον, ὅτι μετὰ τῶν φίλων τὴν καλλίστην βιοτὴν ἐβιώσαμεν.

Ὑπερίδου. Χαλεπὸν μὲν ἴσως ἐστὶ, τοὺς ἐν τοῖς τοιούτοις ὄντας πάθεσι παραμυθεῖσθαι· τὰ γὰρ πένθη, οὔτε λόγῳ, οὔτε νόμῳ κοιμίζεται· ἀλλ' ἡ φύσις ἑκάστου καὶ φιλία πρὸς τὸν τελευτήσαντα, ὁρισμὸν ἔχει τοῦ λυπεῖσθαι. ὅμως δὲ χρὴ θαρρεῖν, καὶ τῆς λύπης παραιρεῖν, εἰς τὸ ἐνδεχόμενον· καὶ μεμνῆσθαι, μὴ μόνον τοῦ θανάτου τῶν τετελευτηκότων, ἀλλὰ καὶ τῆς ἀρετῆς ἧς καταλελοίπασιν. οὐ γὰρ θρήνων ἄξια πεπόνθασιν, ἀλλ' ἐπαίνων μεγάλων πεποιήκασιν. εἰ δὲ γήρως θνητοῦ μὴ μετέσχον, ἀλλ' εὐδοξίαν ἀγήρατον εἰλήφασιν· εὐδαίμονές τε γεγόνασι κατὰ πάντα. ὅσοι μὲν γὰρ αὐτῶν ἄπαιδες τετελευτήκασιν, οἱ παρὰ τῶν Ἑλλήνων ἔπαινοι, παῖδες αὐτῶν ἀθάνατοι ἔσονται. ὅσοι δὲ παῖδας καταλελοίπασιν· ἡ τῆς πατρίδος εὔνοια, ἐπίτροπος αὐτοῖς τῶν παίδων καταστήσεται. πρὸς δὲ τούτοις εἰ μὲν ἐστὶ τὸ ἀποθανεῖν ὅμοιον τῷ μὴ γενέσθαι, ἀπηλλαγμένοι εἰσὶ νόσων, καὶ λύπης, καὶ τῶν ἄλλων τῶν προσπιπτόντων εἰς τὸν ἀνθρώπινον βίον. εἰ δ' ἔστιν αἴσθησις ἐν ᾅδου καὶ ἐπιμέλεια παρὰ τοῦ δαιμονίου, ὥσπερ ὑπολαμβάνομεν, εἰκὸς τοὺς ταῖς τιμαῖς τῶν θεῶν καταλυομέναις βοηθήσαντας, πλείστης εὐδαιμονίας ὑπὸ τοῦ δαιμονίου τυγχάνειν.

Διονυσίου ἁλικαρνασέως. Τοῖς δὲ ἀνθισταμένοις καὶ μὴ καταπίπτουσι, κουφότερα γίνεται τὰ κακά.

Σωκράτους. Πετείᾳ τινὶ ἔοικεν ὁ βίος· καὶ δεῖ, ὥσπερ ψῆφον τινὰ τίθεσθαι τὸ συμβαῖνον· οὐ γάρ ἐστιν ἄνωθεν βαλεῖν, οὐδὲ θέσθαι τὴν ψῆφον.

Ξενοφῶντος. Ἀλλ' οὔτε ἐπὶ θανάτῳ προσήκει, τοσοῦτον πένθος εὑρέσθαι· ἐπισταμένῳ, ὅτι ὁδοῦ ἀνθρωπίνης χρὴ νομίζειν, ἀρχὴν μὲν, γένεσιν· τέλος δὲ, θάνατον. ἀπέθανε δὲ, ὅπερ ἂν καὶ ὁ μὴ θέλων ἔπαθε. τὸ δὲ καλῶς, ἑκόντος τε ἔργον. καὶ

ἃ χρὴ

Ayuntamiento de Madrid

ἄχρι ἢ παιδευθέντος. μακάριος οὖν δὴ Γρύλλος, καὶ ὅστις, οὐ τὸ μήκιστον
ἑλόμενος τοῦ βίου. τὸ δὲ μετ' ἀρετῆς, καὶ ἐν βραχεῖ οἱ ἔδωκεν αἰῶνα ὁ θεός.
A ἀνὴρ ἦν δ' ἐγὼ ἐπιεικής, τοιᾶσδε τύχης μετασχών, ὑὸν ἀπολέσας, ἤ τι ἄλλο, Πλάτωνος
ὧν περὶ πλείστου ποιεῖται. ἐλέγομέν που καὶ τότε, ὅτι ῥᾷστα οἴσει τῶν ἄλλων;
πάνυ γε. νῦν δὲ τόδε ἐπισκεψώμεθα. πότερον οὐδὲν ἀχθέσεται. ἢ τοῦτο μὲν
ἀδύνατον, μετριάσει δέ πως πρὸς λύπην, οὕτω μᾶλλον ἔφη τό γε ἀληθές.
τὸ δὲ νῦν μοι περὶ αὐτοῦ εἰπέ. πότερον αὐτὸν μᾶλλον οἴει τῇ λύπῃ μαχεῖ-
σθαί τε καὶ ἀντιτείνειν, ὅταν ὁρᾶται ὑπὸ τῶν ὁμοίων, ἢ ὅταν ἐν ἐρημίᾳ
μόνος αὐτὸς καθ' αὑτὸν γίγνηται. πολύ που ἔφη διοίσει. ὅταν ὁρᾶται, μο-
νωθεὶς δέ γε οἶμαι, πολλὰ μὲν τολμήσει φθέγξασθαι, ἃ εἴ τις αὐτοῦ ἀκούοι.
αἰσχύνοιτ' ἄν. πολλὰ δὲ ποιήσει, ἃ οὐκ ἂν δέξαιτό τινα ἰδεῖν δρῶντα. οὕ-
τως ἔχει ἔφη. οὐκοῦν τὸ μὲν ἀντιτείνειν διακελευόμενον, λόγος καὶ νόμος ἐστί.
τὸ δ' ἕλκον ἐπὶ τὰς λύπας, αὐτὸ τὸ πάθος. ἀληθῆ. ἐναντίας δὲ δὴ ἀγωγῆς
γιγνομένης ἐν τῷ ἀνθρώπῳ. περὶ τὸ αὐτὸ ἅμα δύο ἔφαμεν δὴ ἀναγκαῖον
εἶναι. πῶς δ' οὔ. οὐκοῦν τὸ μὲν ἕτερον τῷ νόμῳ ἕτοιμον πείθεσθαι, ᾗ ὁ νό-
μος ἐξηγεῖται. πῶς. λέγει που ὁ νόμος, ὅτι κάλλιστον. ὅτι μάλιστα ἡσυχίαν
ἄγειν ἐν ταῖς ξυμφοραῖς, καὶ μὴ ἀγανακτεῖν. ὡς οὔτε δήλου ὄντος τοῦ ἀ-
γαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων, οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον
τῷ χαλεπῶς φέροντι. οὔτε τι τῶν ἀνθρωπίνων ἄξιον ὄν, μεγάλης σπουδῆς.
ὅτε δεῖ ἐν αὐτοῖς ὅτι τάχιστα παραγίνεσθαι ἡμῖν, τοῦτο ἐμποδὼν γινόμενον
τὸ λυπεῖσθαι. τίνι ἦ δ' ὃς λέγεις. τῷ βουλεύεσθαι ἦν δ' ἐγὼ περὶ τὸ γεγονός.
καὶ ὥσπερ ἐν πτώσει κύβων πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ αὑτοῦ πράγ-
ματα. ὅπου ὁ νοῦς αἱρεῖ βέλτιστ' ἂν ἔχειν. ἀλλὰ μὴ προσπταίσαντας καθάπερ
παῖδας ἐχομένους τοῦ πληγέντος ἐν τῷ βοᾶν διατρίβειν. ἀλλ' ἀεὶ ἐθίζειν
τὴν ψυχήν, ὅτι τάχιστα γίγνεσθαι πρὸς τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ
πεσόν τε καὶ νοσῆσαν, ἰατρικῇ θρηνῳδίαν ἀφανίζοντα. ὀρθότατα γ' ἂν οὖν
πρὸς τὰς τύχας οὕτω προσφέροιτο. οὐκοῦν φαμέν, τὸ μὲν βέλτιστον, τού-
τῳ τῷ λογισμῷ ἐθέλει ἕπεσθαι. δῆλον δή. τὸ δὲ πρὸς τὰς ἀναμνή-
σεις τε τοῦ πάθους, καὶ πρὸς τοὺς ὀδυρμοὺς ἄγον,
καὶ ἀπλήστως ἔχον αὐτῶν, ἆρ' οὐκ ἀλό-
γιστόν τε φήσομεν; ναί. καὶ ἀργὸν
καὶ δειλίας φίλον;
φήσομεν οὖν.



Ayuntamiento de Madrid

## ΟΤΙ ΟΥ ΧΡΗ ΠΑΡΟΙΝΕΙΝ, ΕΙΣ ΤΟΥΣ ΤΕΤΕΛΕΥΤΗΚΟΤΑΣ.

### ΛΟΓΟΣ. ρκβ'.

Ὁμήρου. Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.
Οὐχ ὁσίη φθιμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.
Ἀρχιλόχου Κενὸν θανόντος ἀνδρὸς αἰκίζειν σκιάν.
ζῶντας κολάζειν, οὐ θανόντας εὐσεβές.
οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσιν.
Εὐριπίδου. Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος.
ἔχει· τί γὰρ τοῦδ' ἐστὶ μεῖζον ἐν βροτοῖς·
τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ
ὀδύναισι δώσει, τίς δ' ἀτιμάζων νέκυς·
εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων.
Αἰσχύλου. Καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν·
τὸ γοῦν κακουργεῖν ἀμφιδεξίως ἔχει.
καὶ μήτε χαίρειν μήτε λυπεῖσθαι βροτούς.
ἡμῶν γε μέν τοι νέμεσις ἔσθ' ὑπερτέρα.
καὶ τοῦ θανόντος ἡ δίκη πράσσει κότον.
Διοδώρου. Πρὸς τὸν τελευτήσαντα ἕκαστος κἂν σφόδρα
ὢν ἐχθρὸς ᾖ τις, γίνεται φίλος τότε.
Εὐριπίδου. Τοῖς γὰρ τεθνηκόσιν ἄρ' ἴσον τὸν οὐ τεθνηκότα,
τιμὰς διδόντα χρόνιον εὐσεβεῖν θεόν,
Ἀρχιλόχου Τοῖς μὲν τεθνεῶσιν· ἔλεος ἐνδικὴς θεός·
τοῖς ζῶσι δ' ἕτερον ἀνοσιώτατον φθόνος.
Σοφοκλέ. Μὴ δὲ τῷ τεθνηκότι τὸν ζῶντ' ἐπαρκεῖν.
ἄλλον ὡς θανούμενον.
Μιμνέρμου Δεινοὶ γὰρ ἀνδρεῖ πάντες ἐσμὲν εὐκλεεῖ
ζῶντι φθονῆσαι κατθανόντα δ' αἰνέσαι.
Σοφοκλέ. Μενέλαε· μὴ γνώμας ὑποστήσας σοφάς.
μὴ τ' αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.
Κέρδος οὐκ ἔτ' ὄντας αἰκίζειν νεκρούς;
τί τὴν ἄναυδον γαῖαν ὑβρίζειν πλέον.

ἐπὴν

Ayuntamiento de Madrid

ἐπὰν γὰρ ἡ κρίνουσα καὶ τὰ ἡδία
καὶ τἀνιαρὰ φροῦδος αἴσθησις φθαρῇ,
τὸ σῶμα κωφοῦ τάξιν εἴληφε πέτρου.

Τὸν τεθνηκότα μὴ κακολόγει, ἀλλὰ μακάριζε. — Χίλωνος.

Ἀνελεύθερον δὲ οὐ δοκεῖ καὶ φιλοχρήματον νεκρὸν συλᾶν; καὶ γυναικείας καὶ σμικρᾶς διανοίας, τὸ πολέμιον νομίζειν τὸ σῶμα τοῦ τεθνεῶτος ἀποπταμένου τοῦ ἐχθροῦ· λελοιπότος δὲ ᾧ ἐπολέμει; ἢ οἴει τι διάφορον δρᾶν τοὺς τοῦτο ποιοῦντας τῶν κυνῶν, αἳ τοῖς λίθοις οἷς βληθῶσι, χαλεπαίνουσι τοῦ βάλλοντος; οὐδὲ σμικρὸν ἔφη. ἐατέον ἄρα τὰς νεκροσυλίας, καὶ τὰς τῶν ἀναιρέσεων διακωλύσεις. — Πλάτωνος

Εἴς τινα γὰρ οὖν μοι καιρὸν φαινόμεθα τοὺς ἔμπροσθεν λόγους διεξελθεῖν. ὡς ἄρα αἱ τῶν τελευτησάντων ψυχαί, δύναμιν ἔχουσί τινα, καὶ τῶν κατ' ἀνθρώπους πραγμάτων ἐπιμελοῦνται. ταῦτα δέ, ἀληθεῖς μέν, μακροὶ δὲ εἰσι περιέχοντες λόγοι. πιστεύειν δ' ἄλλοις νομοθετοῦσι ταῦθ' οὕτως ἔχειν. ἄνπερ μὴ παντάπασιν ἄφρονες φαίνωνται· καὶ τιμῶσί τε ἄλλους εὐμενεῖς εἶναι, καὶ ἀτιμάζουσι δυσμενεῖς. — Τοῦ αὐτοῦ

## ΟΤΙ ΤΩΝ ΠΛΕΙΣΤΩΝ ΜΕΤΑ ΘΑΝΑΤΟΝ Η ΜΝΗΜΗ ΔΙΑΡΡΕΙ ΤΑΧΕΩΣ. ΛΟΓΟΣ ρκγ'.

Τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος. — Εὐελπίδου
θανόντων δὲ καὶ λόγοι φίλοι, προδίδονται.
Φεῦ, τοῦ θανόντος, ὡς ταχεῖά τις βροτοῖς. — Σοφοκλέ.
χάρις διαρρεῖ καὶ προδοῦσ' ἁλίσκεται.
Οὔ τις αἰδοῖος μετ' ἀστῶν, οὐδὲ περίφημος θανὼν — Ἀρχιλόχου
γίνεται. χάριν δὲ μᾶλλον τοῦ ζωοῦ διώκομεν,
ζωοί, κάκιστα δὲ τῷ θανόντι γίνεται.
Θανόντος ἀνδρὸς, πᾶσ' ὄλωλ' ἀνθρώπων χάρις. — Στησιχόρου
Ὡς σκαιὸς ἀνὴρ καὶ ξένοισιν ἄξενος. — Εὐελπίδου
καὶ μνημονεύων οὐδὲν ὧν ἐχρῆν φίλον.
βέβαιοι δ' ἆρ' ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι.
κἂν ὁ μηδὲν ὦσι. τὸ γὰρ ἔχειν πλέον κρατεῖ,
Τῆς εὐσεβείας ἡ δ' ἐν ὀφθαλμοῖσι χάρις
ἀπόλωλ' ὅταν τις ἐκ δόμων ἔλθῃ.

Ayuntamiento de Madrid

## ΓΝΩΜΑΙ ΘΕΟΚΤΙΣΤΟΥ. ΠΡΟΣ ΤΟΥΣ μαλακῶς καὶ ὑπτιωτέρως διακειμένους. μάλιστα τὴν ὠφέλειαν παρέχουσαι, κατὰ στοιχεῖον.

Ἀνιαρὸν μὲν, πῶς γὰρ οὔ· τὸ μὴ ἤδη κουφίζειν ἀτυχίας ἐλέῳ καὶ συμφορᾶ διὰ τὸ ἀνθρώπινον, ἀδοκήτως παραπιπτούσας, ἀλλ' ὀνειδίζειν καὶ δριμυτέραν τὴν ὀδύνην ἐργάζεσθαι. ὑπέκκαυμα τοῦ πάθους καὶ τῆς δίκης, διὰ τὸ ὁμογενὲς καθεστῶτας.

Βέλτιον ἤδη ξηροῦ ἢ ὄγκου βαίνειν μετὰ προλήψεως, διὰ τὸ ἀβέβαιον καὶ ἀστάθμητον τοῦ βίου.

Γλῶ ὥσπερ ἐπαμησάμενοι ἄνθρωποι, ἤδη τὸ ἀσελγέστερον προϊούσης τῆς μοχθηρίας, κατέχεαν ἑαυτοῖς καὶ τοῖς ἐχθροῖς γέλωτα ὤφλησαν. ὡς καὶ οἱ ἤδη γενόμενοι, ὀφλισκάνουσιν.

Δεινὴ πέφυκεν ἡ συνήθεια. κόρον ἀπογεννῆσαι, καὶ φύσιν ἐκ παραλλήλου μεταποιῆσαι.

Εὐπαθοῦσι τοῖς φίλοις, οἱ πολλοὶ ἥδονται, δυσπαθοῦσι δὲ, εὐαρίθμητοι συμπάσχουσι· κακῷ τὸ κακὸν παρηγοροῦντες.

Ζωὴν ἀμείψασθαι χρείσης τὴν κρατίστην, ἤδη ποιώτερον.

Ἠλιθιότης οὐχ ἧττον ἢ κενοσπουδίας, τὸ ὑπεκλύειν τὸ ἀνακεχαρηκὸς τοῦ θυμοειδοῦς ἐν τοῖς περιπάτοις.

Θράσει μὲν οὐδεὶς οὐδέπω· πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιεικείᾳ ἀρετὴν ἐπεκτήσατο.

Ἰατρεύειν δεῖ τοὺς ἀναφέροντας καὶ μή, μή πως οἱ μὲν, πρὸς τὴν αὐτὴν νόσον. οἱ δὲ, τὴν ἤδη θανάτῳ βαδίσωσι.

Κράτιστον μὴ μᾶλλον ὑπ' ἀγχινοίας, ἢ ἀρετῆς ἐγκαλλωπίζεσθαι.

Λίαν εὖ βεβηκότων ἀνδρῶν. τῶν ἀκλινὲς τὸ τῆς ψυχῆς ὄρθιον ἐν τοῖς δεινοῖς διαφυλαττόντων.

Μέγιστον μὲν, τὸ ἀνάλαστον. γενναῖον δὲ, τὸ καὶ μετὰ τὸ ὑπὸ τῆς ἁμαρτίας

Ayuntamiento de Madrid

ἀρχθλῶσαι, ἐν τῷ παραχρῆμα ἀνενεγκεῖν.

Ναῦν δ᾽ ἐξ ἑνὸς ἀγκύρας, καὶ ἐκ μιᾶς ἐλπίδος, πρὸς τὸν λιμένα τῆς ἀπαθείας, οὐ καθορμίζομεν.

Ξένον χρὴ πάντα τρόπον τῶν γλαφυρῶν θεαμάτων τυγχάνειν, καὶ μετέωρον σκιαγραφίας· μή πως ὑφ᾽ ἡδονῆς ἀρθέντα, ἐπίσημον ἔχειν τὴν πονηρίαν.

Οὐ χαλεπὸν τοσοῦτον ἄλλοις πληρώμασι καταδῦσαι ναῦν ὅσον ὑπέραντλον ἄλλον τοῖς πάθεσιν ἀπειρηκότα τῷ βυθῷ τῆς ἀπωλείας καταβαπτίσαι.

Παῦ ὃ τιμῆς τε καὶ τιμωρίας κατὰ τὸ ἴσον ἀφέστηκεν, οὔπω ἀρετῇ.

Ῥαστώνης τὴν ἀκμὴν παραιρεῖσθαι κακίας ὑποπιμπλώσης· καὶ διωλύγιον τὸν ὄλισθον παρασκευαζούσης.

Σαινόντων παρασίτων ἐπ᾽ ἀρρήτοις καὶ ἀνωνύμοις αἰσχουργίαις, καὶ ὡς τὸ πολὺ καταγοητευόντων, μὴ ἐπιστρέφεσθαι.

Τὸ μὲν δυσωπεῖσθαι τὰς τῶν φίλων συνουσίας εἰς δυσμένειαν ἀποτελευτώσας· φυλάξασθαι οὐ ῥᾴδιον προαπολλοῦσαν ἰδεῖν· ἐπηλυγαζόντων τὸ ἀμύνασθαι· τὸ δὲ τὰς τῶν διαφόρων.

Ὑψιτενεῖν· μὴ ὑπερφρονεῖν τῶν σωτηρίων ὁδῶν ἐπιλαμβανόμενον.

Φεύγειν δεῖ πάντα τρόπον τὰς σκολιὰς καὶ πραεῖς· τὰς δὲ ἀποτόμους καὶ ὀρθίους τρίβους ἀσπάζεσθαι.

Χαλεπὰ τὰ καλά· τὰ δὲ κακά, οὐ χαλεπά.

Ψυχὴν ὅτι μάλιστα τῆς τοῦ σώματος βδελλυρίας χωρίζειν· ὅτι πάντα ἀνάγκη τὴν τούτων συμπάθειαν ἀποικονομεῖσθαι.

Ὥρας χρὴ ἀπεριμαχήτως ἠρηκέναι· τὸ γὰρ πειρᾶν καὶ ἄλλας, κινδυνεύει, μὴ οὐχὶ ἐπ᾽ ἔσχατον κακόν· ἅπερ αὖ κατὰ τὸ ἐναντίον χωρῆσαι.

ΤΕΛΟΣ.

Ayuntamiento de Madrid

* A B C D E F G H I K L M N O P Q R S T V X Y Z
aa bb cc dd ee ff gg hh ii kk ll mm nn oo pp qq.
Quaterniones omnes, præter * duernionem & qq ternionem.

Venetiis in ædibus Bartholomæi Zanetti Casterzagensis,
ære vero & diligentia Ioannis Francisci Trincaueli.
Anno a partu Virginis. M. D. XXXV.
Mense Februarii.

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Σὺν θεῷ



Οὐ μετὰ πολὺ

ἀνὴρ ἐσόμενος.

Ἀρχὴ τὸ ἥμισυ παντός.

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid